Harp. 111 Ἀγαθῆς Τύχης νεώς: οὐκ ἄδηλον τὸ σημαινόμενον.

104 — φάσιν sch. Ar. Ran. 138 ὅθεν—βάθος cf. Et. M. 4, 44 εὐθύς—vs. 7 ἄβυσσον Ar. Ran. 137—8; ἕως—ἀπέκειτο sch. Ar. Lys. 173 vs. 9 ἄβυσσον—Δαβίδ Thdr. in Ps. 103, 6, PG 80, 1697 a—b; vs. 12 ἄβυσσος—τροπικῶς Thdr. in Ps. 41, 8, PG 80, 1173 a vs. 15 ἄβυσσος sq. = An. Ox. 2, 428, 28 105 Dionys. Hal. 20, 9, 2 = EV 2, 82, 20—22 106 = Ambr. 367 107 = Bk. 121, 30 108 — λέξει = P, Ba 6 22; Xen. An. 4, 4, 9 ἀγαθὰ Κιλίκων sq. = Zen. I 3 109 Harp. = P, Ba 6, 20 110 — διδόντων = Zen. I 12 αἶρ' sq. Ar. Pac. 1 111 Harp. = P

104 hinc v. περιβολαῖον 105 cf. v. Πύρρος 1 108 cf. v. Κιλίκων 109 Z 13 110 vs. 27 μάζα sq. cf. v. et v. αἶρε et v. αἶρειν

A(GITSM) 1 πλείστων] πλεῖστον A Ba, πλείστη Kock 4 ὅθεν—6 βάθος om. AS mg M (sigl. ad vs. 7 οὐδετέρως) ὅθεν—βυσσοδομεύειν om. M 5 βυσός GIT Et. βυσσός M οὗ GIT ἣν M 6 εἰσέρχεται GIT Et. εἰσδύεται M 11 εἰκότως] ἄβυσσον add. M 15 ἄβυσσος—πολύ om. S 19 αὐθυπότακτον] ἀνθυπαρκτικά A 23 δέ] δὲ καί GTM 27 μάζα—29 κανθάρῳ om. S mg. AM ἔχει om. A 28 ὡς—κανθάρῳ om. A

112 Ἀγαθίας· σχολαστικὸς, Μυρινᾶος, ὁ γράψας τὴν μετὰ Προ- Hesy.
κόπιον ἱστορίαν τὸν Καισαρέα, τὰ κατὰ Βελισάριον καὶ τὰς ἐν Ἰταλίᾳ καὶ ἐν Λιβύῃ πράξεις, τουτέστι τὰ κατὰ Ναρσῆν ἐν Ἰταλίᾳ καὶ τὰ ἐν Λαζικῇ καὶ Βυζαντίῳ. οὗτος συνέταξε καὶ ἕτερα βιβλία ἔμμετρά τε καὶ καταλογάδην, τά τε καλούμενα Δαφνιακά, καὶ τὸν Κύκλον τῶν νέων Ἐπιγραμμάτων, ὃν αὐτὸς συνῆξεν ἐκ τῶν κατὰ καιρὸν ποιητῶν. συνήκμασε δὲ Παύλῳ τῷ Σελεντιαρίῳ καὶ Μακεδονίῳ τῷ ὑπάτῳ καὶ Τριβουνιανῷ ἐπὶ τῶν Ἰουστινιανοῦ χρόνων.

113 Ἀγαθικά: τὰ σπουδαῖα. Σ

114 Ἀγαθοεργία. Δαμάσκιος· ὡς δὲ ἑνὶ λόγῳ τὸ πᾶν συλλαβεῖν, Δ
ὅπερ ἔφη ὁ Πυθαγόρας ὁμοιότατον ἔχειν τῷ θεῷ τὸν ἄνθρωπον, τοῦτο σαφῶς ἐπὶ τῶν ἔργων αὐτὸς ἐπεδείκνυτο, τὴν ἀγαθοεργὸν προθυμίαν καὶ τὴν ἐς πάντας ἐπεκτεινομένην εὐεργεσίαν, μάλιστα μὲν τὴν ἀναγωγὴν τῶν ψυχῶν ἀπὸ τῆς κάτω βριθούσης παντοίας κακίας· ἔπειτα καὶ τὴν σωτήριον τῶν σωμάτων ἐκ τῆς ἀδίκου ἢ ἀνοσίου ταλαιπωρίας· τὸ δ' αὖ τρίτον, ἐπεμελεῖτο τῶν ἔξω πραγμάτων, ὅση δύναμις.

115 Ἀγαθοεργοί: αἱρετοὶ κατ' ἀνδραγαθίαν. ἐκ τῶν Ἐφόρων. Σ

116 Ἀγαθοθέλεια: ἡ τῶν ἀγαθῶν ἐκλογή. οὐκ ἀρκεῖ τοῖς Δ
πράγμασιν ἡ ἀγαθοθέλεια μόνον, ἀλλὰ δεῖ καὶ ῥώμης καὶ ἐπιστρεφείας.

117 Ἀγαθοκλῆς· οὗτος ἐγένετο τύραννος καὶ, ὡς φησι Τίμαιος, EV
κατὰ τὴν πρώτην ἡλικίαν κοινὸς πόρνος, ἕτοιμος τοῖς ἀκρατεστάτοις, κολοιὸς, τριόρχης, πάντων τῶν βουλομένων τοῖς ὄπισθεν ἔμπροσθεν γεγονώς. ὃς ὅτε ἀπέθανε, τὴν γυναῖκα φησὶ κατακλαιομένην αὐτὸν οὕτω θρηνεῖν· τί δ' οὐκ ἐγὼ σέ; τί δ' οὐκ ἐμὲ σύ; ὅτι δὲ ἐκ φύσεως ἀνάγκη μεγάλα προτερήματα γεγονέναι περὶ τὸν Ἀγαθοκλέα, τοῦτο δῆλον. εἰς γὰρ τὰς Συρακούσας παρεγενήθη φεύγων τὸν τροχὸν, τὸν καπνὸν, τὸν πηλὸν, περί τε τὴν ἡλικίαν ὀκτωκαίδεκα ἔτη γεγονὼς, καὶ μετά τινα χρόνον ὁρμηθεὶς ὑπὸ τοιαύτης ὑποθέσεως, κύριος μὲν ἐγενήθη πάσης Σικελίας, μεγίστοις δὲ κινδύνοις περιέστησε Καρχηδονίους, τέλος ἐγγηράσας τῇ δυναστείᾳ, κατέστρεψε τὸν βίον βασιλεὺς προσαγορευόμενος.

112 cf. sch. Anth. Pal. ed. Iacobs, Animadv. in Anth. 1, 1, p. LI 113 = P, Ba 6, 26 114 Dam. fr. 237 115 — ἀνδραγαθίαν Tim. = P. ἐκ sq. locus dubius 116 οὐκ sq. Dam. fr. 20; sed forte Polyb. 117 Polyb. 12, 15, 2—7 = EV 2, 131, 25—132, 8

112 hinc v. Τριβουνιανός 114 cf. Z 24 115 Z 13, Eudem. 116 Z 26 117 cf. v. τριόρχης; Z 13

1 σχολαστικός in A m. sec. Μυρινᾶος F Μυρρινᾶος S Μυρηνᾶος AM A(GITFSM) Σμυρηνᾶος G Σμυρνᾶος IT 5 Δαφνιακά AIM^{ac} cf. Anth. 6, 80, 1 Δαφνικά GIYP TS M^{ac} 6 ὅν] ὧν M^{ac} 14 ἀναγωγήν] ἀναγωγόν M ἀναγωγικόν Toup. 19 οὐκ—20 ἐπιστρεφείας om. S 21 φησ[ι]λέγει A 24 φησί A Exc. φασί rell.

Phil. 118 Ἀγαθόν: κοινῶς μὲν τό τι ὄφελος, ἰδίως δὲ ἤτοι ταὐτὸν ἢ οὐχ ἕτερον ὠφελείας· ὅθεν αὐτήν τε τὴν ἀρετὴν καὶ τὸ μετέχον αὐτῆς ἀγαθὸν τριχῶς λέγεσθαι. οἷον τὸ ἀγαθόν, ἀφ' οὗ συμβαίνει, ὡς τὴν πρᾶξιν καὶ τὴν ἀρετήν. ὑφ' οὗ δὲ, ὡς τὸν σπουδαῖον τὸν μετέχοντα τῆς ἀρετῆς. ἢ οὕτως· τὸ ἀγαθόν, τὸ τέλειον κατὰ φύσιν λογικοῦ, ἢ ὡς λογικοῦ. τοιοῦτο δ' εἶναι τὴν ἀρετὴν ὡς μετέχοντά τάς τε πράξεις τὰς κατ' ἀρετήν, καὶ τὸ σπουδαίους εἶναι. ἐπιγεννήματα δὲ τήν τε χαρὰν καὶ τὴν εὐφροσύνην καὶ τὰ παραπλήσια. ἔτι τῶν ἀγαθῶν τὰ μὲν εἶναι περὶ ψυχήν, τὰ δὲ ἐκτός, τὰ δὲ οὔτε περὶ ψυχὴν οὔτε ἐκτός. τὰ μὲν περὶ ψυχὴν ἀρετὰς καὶ τὰς κατὰ ταύτας πράξεις· τὰ δὲ ἐκτὸς τό τε σπουδαίαν ἔχειν πατρίδα καὶ σπουδαῖον φίλον καὶ τὴν τούτων εὐδαιμονίαν. τὰ δὲ οὐκ ἐκτὸς οὔτε περὶ ψυχὴν τὸ αὐτὸν ἑαυτῷ εἶναι σπουδαῖον καὶ εὐδαίμονα. ἔτι τῶν ἀγαθῶν τὰ μὲν εἶναι τελικά, τὰ δὲ ποιητικά, τὰ δὲ τελικὰ καὶ ποιητικά. τὸν μὲν οὖν φίλον καὶ τὰς ὑπ' αὐτοῦ προσγινομένας ὠφελείας ποιητικὰ εἶναι ἀγαθά· θάρσος δὲ καὶ φρόνημα καὶ ἐλευθερίαν καὶ τέρψιν καὶ εὐφροσύνην καὶ ἀλυπίαν καὶ πᾶσαν τὴν κατ' ἀρετὴν πρᾶξιν τελικά. ποιητικὰ δὲ καὶ τελικὰ, καθὸ μὲν ποιοῦσι τὴν εὐδαιμονίαν, ποιητικά ἐστιν ἀγαθά· καθὸ δὲ συμπληροῦσιν αὐτὴν, ὥστε μέρη αὐτῆς γενέσθαι, τελικά· οἷον φίλος καὶ ἐλευθερία καὶ τέρψις. ἔτι τῶν περὶ ψυχὴν ἀγαθῶν τὰ μέν εἰσιν ἕξεις, τὰ δὲ διαθέσεις, τὰ δὲ οὔτε ἕξεις οὔτε διαθέσεις. διαθέσεις μὲν αἱ ἀρεταί, ἕξεις δὲ τὰ ἐπιτηδεύματα, οὔτε δὲ ἕξεις οὔτε διαθέσεις αἱ ἐνέργειαι. κοινῶς τῶν ἀγαθῶν μικρὰ μέν ἐστιν εὐτεκνία καὶ εὐγηρία. ἁπλοῦν δέ ἐστιν ἀγαθὸν ἐπιστήμη. καὶ ἀεὶ μὲν παρόντα αἱ ἀρεταί, οὐκ ἀεὶ δὲ οἷον χαρὰ, περιπάτησις. πᾶν δὲ ἀγαθὸν λυσιτελὲς εἶναι καὶ συμφέρον καὶ δέον καὶ χρήσιμον καὶ εὔχρηστον καὶ καλὸν καὶ ὠφέλιμον καὶ δίκαιον καὶ αἱρετόν. ἀγαθὸν δέ ἐστι τὸ πᾶσιν ἐφετόν. ἀγαθόν οὖν ἐστιν, εἰς ὃ πάντα ἀνήρτηται, αὐτὸ δὲ εἰς μηδέν.

Phil. 119 Ἀγαθόν: ὁμώνυμός ἐστι φωνή. κατηγορεῖται δὲ τὰ ι' γένη τοῦ ἀγαθοῦ, τουτέστιν αἱ ι' κατηγορίαι. καὶ τὸ μὲν ποιεῖν, ἐπεί ἐστί τινα ἀγαθὰ ὡς ποιητικά, λέγεται γὰρ τὸ ἀγαθοῦ ποιητικὸν ἀγαθόν, οἷον τὸ ὑγιείας ποιητικὸν ἢ ἡδονῆς καὶ ὅλως ὠφέλιμον, τὸ γὰρ ἐν τῷ ἐδέσματι ἀγαθὸν ὡς ποιητικὸν ἀγαθοῦ ἀγαθόν· τὸ δὲ ποιητικὸν ὑπὸ τὴν τοῦ ποιοῦ κατηγορίαν. ποτὲ δὲ τὸ ποιὸν ἐπὶ ψυχῆς· ὅταν γὰρ κατηγορήσωμεν τὸ ἀγαθὸν ψυχῆς λέγοντες αὐτὴν ἀγαθὴν, τὸ ποιὰν αὐτὴν

118 — vs. 27 αἱρετόν Laert. 7, 94—98; 27. 28 ἀγαθόν—ἐφετόν Alex. Aphr. 93, 8 119 vs. 30 τὸ μὲν ποιεῖν sq. Alex. Aphr. 105, 25—106, 14

118, 119, 121—2 sch. B rec. in Ε 320

A(GITSM) 1 ἰδίως] ἰδικῶς GIT 6 μετέχοντα τάς S Laert. μετέχον τὰς T μετέχοντας rell., sch 14 τελικά sec. καὶ τ. S 15 προσγινομένας] προγινομένας A 21. 22 διαθέσεις μέν—23 διαθέσεις om. AS; mg. S: ἕξεις δέ—διαθέσεις 33 ὑγιείας] ὑγείας TM Alex. sch.

εἶναι σημαίνομεν, οἷον σώφρονα ἢ ἀνδρείαν ἢ δικαίαν· ποιότητος δὲ παρουσία τὰ ποιά. ὁμοίως καὶ ἀνθρώπου· ὅταν γὰρ τὸ ἀγαθὸν κατηγορήσωμεν, τὸ ποιὸν αὐτὸν εἶναι σημαίνομεν· οἷον σώφρονα, ἀνδρεῖον, δίκαιον, φρόνιμον. ἐνίοτε δὲ τὸ ἀγαθὸν τὸ ποτὲ σημαίνει· τὸ γὰρ ἐν τῷ προσήκοντι καιρῷ γενόμενον ἀγαθὸν λέγεται. σημαίνει δὲ ἀγαθὸν καὶ τὸ ποσόν· τὸ γὰρ μέτριον καὶ μὴ ὑπερβάλλον μήτε ἐνδέον εἴη ἂν ποσὸν, καθόσον τοσοῦτόν τι λέγεται. καὶ ὡς οὐσία τὶ ἀγαθόν· ὡς θεὸς, νοῦς. λέγεται δὲ καὶ ὡς πρός τι· τὸ γὰρ σύμμετρον οὕτως ἀγαθόν. καὶ ἐν τῷ πάσχειν, ὡς τὸ θεραπεύεσθαι καὶ διδάσκεσθαι. ἔστι τι τοῦ ἀγαθοῦ καὶ ἐν τῷ ποῦ, οἷον τὸ ἐν Ἑλλάδι εἶναι, τὸ ἐν ὑγιεινοῖς χωρίοις εἶναι, τὸ ἐν ἡσυχίαν ἔχουσιν ἢ εἰρήνην. εἴη δ' ἂν καὶ ἐν τῷ κεῖσθαι, ὅταν ᾧ μὲν λυσιτελὲς τὸ καθέζεσθαι, καθέζηται, ᾧ δὲ τὸ ἀνακεῖσθαι, ἀνάκειται· τῷ πυρέττοντι φέρε εἰπεῖν.

120 Ἀγαθός: παρὰ τὸ ἄγημι, ἄγαμαι, ἀγαστὸς καὶ ἀγαθός. Etym.

121 Ἀγαθός: ὁ φρόνιμος. οὐκ ἐπίσης δὲ ὁ φρόνιμος καὶ ὁ ἀγαθός. ἐπιπλέον γὰρ ὁ ἀγαθός. ἀγαθὸς γὰρ ὁ σώφρων, ὁ ἀνδρεῖος καὶ οἱ λοιποί. ἀγαθοὶ λέγονται καὶ οἱ ἐπιστήμονες. τοὺς δὲ Δάους ἀγαθοὺς μὲν ἀκοντιστὰς, ἀγαθοὺς δὲ καὶ ἐν χερσὶ ποιήσασθαι μάχην. E

122 Ἀγαθοῦ Δαίμονος: ἔθος εἶχον οἱ παλαιοὶ μετὰ τὸ δεῖπνον πίνειν Ἀγαθοῦ Δαίμονος, ἐπιρροφοῦντες ἄκρατον, καὶ τοῦτο λέγειν Ἀγαθοῦ Δαίμονος, χωρίζεσθαι δὲ μέλλοντες, Διὸς Σωτῆρος. καὶ ἡμέραν δὲ τὴν δευτέραν τοῦ μηνὸς οὕτως ἐκάλουν. καὶ ἐν Θήβαις δὲ ἦν ἡρῷον Ἀγαθοῦ Δαίμονος. ἄλλοι δέ φασι τὸ πρῶτον ποτήριον οὕτω λέγεσθαι. ὅτι περὶ τἀγαθοῦ βιβλίον συντάξας Ἀριστοτέλης, τὰς ἀγράφους τοῦ Πλάτωνος δόξας ἐν αὐτῷ κατατάττει. καὶ μέμνηται τοῦ συντάγματος Ἀριστοτέλης ἐν τῷ πρώτῳ περὶ ψυχῆς, ἐπονομάζων αὐτὸ περὶ φιλοσοφίας. Prov. Suid. Phil.

123 Ἀγαθῶν ἀγαθίδες: τάττεται ἡ παροιμία παρὰ τοῖς κωμικοῖς ἐπὶ τῶν πολλῶν ἀγαθῶν. καὶ Ἀγαθῶν θάλασσα, ἐπὶ πλήθους ἀγαθῶν. καὶ Ἀγαθῶν μυρμηκίαι, ἐπὶ πλήθους εὐδαιμονίας. καὶ Ἀγαθῶν σωρὸς, ἐπὶ πλήθους ἀγαθῶν καὶ πολλῆς εὐδαιμονίας. Σ Prov.

124 Ἀγάθων· ὄνομα κύριον. τραγικός δὲ ἦν· διεβέβλητο δὲ ἐπὶ μαλακίᾳ. Ἀριστοφάνης· Ἀγάθων δὲ ποῦ ἐστιν; ἀπολιπών μ' οἴχεται. Ar.

122 — vs. 23 Δαίμονος = Philol Suppl 6, 257 n. 6, cf. Bk. 209, 14, H, P, sch. Ar. Pac. 300 ὅτι περί sq. cf. Philop. 75, 32—35 123 — πολλῶν ἀγαθῶν = P, cf. Phryn. 13, 17 ἀγαθῶν θάλασσα sq. = Philol. Suppl. 6, 257, n. 7 124 Ar. Ran. 83—4 c. sch.

121 Z 13 122 ἄλλοι—λέγεσθαι ex 966 123 cf. 2601, v. Ναύσων, v. τὰ Ταντάλου, v. πόντος; Z 23 124 Z 13

3 αὐτόν] αὐτό A sch. 5 γενόμενον] γινόμενον sch. 120 om. AGS mg. M A(GITSM) post vs. 16 σώφρων I 14 Ἀγαθός—15 φρόνιμος pr. om. sch. 15 ὁ φρόνιμος om. A 17 Δάους A sch. Δαΐους GITM 23 ἄλλοι—24 λέγεσθαι ex 1 (post vs. 21 Δαίμονος) T (post vs. 21 Σωτῆρος) 26 συντάγματος] συγγράμματος GIT 30 μυρμηκίαι] μυρμηκία SM

ποῖ γῆς ὁ τλήμων; ἐς μακάρων εὐωχίαν. οὗτος ὁ Ἀγάθων ἀγαθὸς ἦν τὸν τρόπον, ποθεινὸς τοῖς φίλοις καὶ τὴν τράπεζαν λαμπρός. φασὶ δὲ ὅτι καὶ Πλάτωνος Συμπόσιον ἐν ἑστιάσει αὐτοῦ γέγραπται, πολλῶν ἅμα φιλοσόφων παραχθέντων. κωμῳδιοποιὸς Σωκράτους διδασκαλείου. ἐκωμῳδεῖτο δὲ εἰς θηλύτητα.

Δ 125 Ἀγαθώνιος: ὄνομα κύριον. ὃς ἐβασίλευσε τῆς Ταρτησσοῦ.

Prov. καὶ Ἀγαθώνιος αὔλησις: ἡ μαλακὴ καὶ ἐκλελυμένη· ἢ ἡ μήτε χαλαρά, μήτε πικρά, ἀλλ' εὔκρατος καὶ ἡδίστη.

Σ (Prov.) 126 Ἀγαθοὶ δ' ἀριδάκρυες ἄνδρες: ἐπὶ τῶν σφόδρα πρὸς ἔλεον ῥεπόντων.

Δ 127 Ἀγακλειτός: ὁ ἄγαν ἔνδοξος. καὶ Ἀγακλειτή.

128 Ἀγάλακτες: ὁμογενεῖς, ὅμαιμοι, ἀδελφοί. ἄλλοι δὲ τοὺς ἱερείων κοινωνοὺς καὶ συγγενεῖς. οἱ δὲ συντρόφους.

Δ 129 Ἀγαλεών: ὄνομα ὄρους.

Σ 130 Ἀγάλλει: ποιεῖ, σκευάζει, κοσμεῖ.

Hom. 131 Ἄγαλμα: πᾶν ἐφ' ᾧ τις ἀγάλλεται. καὶ δίδωσιν ἀργύριον, Ε ἵνα ἐκπονήσῃ τὸ ἄγαλμα ἄκρας τέχνης, προσθεὶς τὸ μέγεθος καὶ προσειπὼν τῆς λίθου τὴν φύσιν.

132 Ἄγαλμα Ἀθηνᾶς· ζήτει ἐν τῷ Ἀθηνᾶς· καὶ ζήτει ἄγαλμα βδέλυγμα τῆς ἐρημώσεως ἐν τῷ Ἀντίοχος· καὶ ζήτει ἄγαλμα Ἀπόλλωνος ἐν τῷ Ἀπόλλωνος ἄγαλμα· καὶ ζήτει ἄγαλμα Διονύσου ἐν τῷ Αὐξέντιος.

133 Ἀγάλματα: τὰ τῶν θεῶν μιμήματα, καὶ πάντα τὰ κόσμου τινὸς μετέχοντα. Ὅμηρος· βασιλῆϊ δὲ κεῖται ἄγαλμα. καὶ Ἡσίοδος τὸν ὅρμον ἄγαλμα καλεῖ· Πίνδαρος δὲ τὴν ἐπὶ τάφου στήλην οὕτω Σ καλεῖ, Εὐριπίδης τὸν ἐπὶ νεκροῖς κόσμον. καὶ ἐφ' ᾧ τις ἀγάλλεται. καὶ τὸ εἴδωλον, βρέτας, χάρμα, καλλονή, κόσμος, καύχημα, Σ θαλλοί, ἀνδριάντες, ἐπιγραφαί. Ἀγάλματα δὲ καὶ τὰς γραφὰς Δ καὶ τοὺς ἀνδριάντας λέγουσιν. Ἀγαλμάτιον δὲ ὑποκοριστικῶς.

Synt. 134 Ἀγάλλομαι· δοτικῇ.

135 Ἀγαλματοποιοί: τουτέστι χειρουργοί· οὗτοι ἀκριβεῖς Λύσιππος, Πολύκλειτος, Φειδίας.

Σ 136 Ἀγαλματοφορούμενος: ἀγάλματα ἤτοι τύπους τῶν νοηθέντων φέρων ἐν ἑαυτῷ. οὕτως Φίλων.

125 — Ταρτησσοῦ cf. Hdt. 1, 163; l. cf. Ambr. 236 Ἀγαθώνιος αὔλησις sq. = Zen. I 2 126 = P, Zen I 14 127 — ἔνδοξος = Ambr. 130, cf. sch. γ 59, H 128 ἀδελφοί cf. Et. M. 5, 41 130 = Ba 7, 1, P 131 — ἀγάλλεται = sch. θ 509, P, Ba 6, 24; 19, 5, Ap. S. 6, 30, H. Et. M. 5, 35, sch. Ar. Th. 773, Vesp. 313 καὶ δίδωσιν sq. Aelian. fr. 62 133 Ὅμηρος Δ 144, Hesiod. fr. 233, Pind. Nem. 10, 125, Eur. Alc. 613 ἐφ' ᾧ τ. ἀγάλλεται cf. ad 131 ἀνδριάντες, ἐπιγραφαί cf. Bk. 82, 9. ἀγάλματα—λέγουσιν = P, Ba 6, 24; 19, 5 134 cf. Synt. Laur. 136 = Ba 7, 3, P; Philon. vit. Moys. 1, 27 Cohn

127 Z 13 128—9 Z 14 131 Z 29 133 Z 29 135 Z 14 136 Z 35

A(GITSM) 1 ποῖ] πη A 4 κωμωδιοποιός A κωμωδοποιός rell. Σωκράτους A^{cp} Σωκρατικοῦ sch. διδασκαλείου] διδασκάλου pr. 7 καί pr. om. M, Ἀγαθώνιος αὔλησις—ἡδίστη ante gl. pos. 132 om. TS mg. AM 20 καί om. A 21 καί om. A Διονύσου eras. in A 22 κόσμου] τοῦ κ. AS

137 Ἀγάλλων: ἑαυτὸν σεμνοποιῶν. Σ

138 Ἄγαμαι καρδίας: Ἀττικῶς, ἀντὶ τοῦ θαυμάζω. Αἰλιανός· ἐπεὶ καὶ τὴν τοῦ Μενέλεω πρὸς τὸν τοῦ Πριάμου Πάριν οὔτε ἐπαινῶ οὔτε ἄγαμαι. ἐγὼ δὲ ἄγαμαι καὶ τούσδε τοὺς ἄνδρας· τὸν δὲ Ἀκαρνᾶνα μέγιστον καὶ πρὸ τούτων. ἃ γὰρ πεισομένους ἐγίνωσκε, τούτων ἐπεθύμησε τοῖς ἀνδράσι κοινωνῆσαι. E

139 Ἄγαμαι· κατὰ περιποίησιν γενικῇ· τὸν φίλον ἄγαμαι τῶν τρόπων καὶ τοῦ χρηστοῦ ἤθους ἕκητι· αἰτιατικῇ δὲ· οἶμαι δὲ τὸν πόλεμον θεῶν τινα ἀγασθῆναι. ὅταν ἔχῃ τὴν σε αἰτιατικῇ, καὶ ὅταν ἐξακούηται τὸ ἕνεκα γενικῇ συντάσσεται. Synt.

140 Ἀγαμέμνων· Ἀγαμέμνονος καὶ ὦ Ἀγάμεμνον. καὶ Ἀγαμεμνόνειος οἶκος, καὶ Ἀγαμεμνονεία ναῦς. Δ

141 Ἀγάμενος: θαυμάζων. ἀγάμενοι τοῦτον τῆς εὐψυχίας ἐποχοῦσι τῷ ἵππῳ. Σ E

142 Ἀγαμήδης: ὄνομα κύριον. καὶ θηλυκὸν Ἀγαμήδη. Δ

143 Ἄγαν ἐγκεῖσθαι τῷδε: οἷον αἰτιᾶσθαι καὶ ἀποτείνεσθαι. Σ

144 Ἀγάννιφον: Ὅμηρος, τὸ ὄρος τὸ λίαν χιονιζόμενον. Σ

145 Ἄγανον: προπαροξυτόνως τὸ κατεαγὸς ξύλον. ἢ τὸ φρυγανῶδες καὶ ἕτοιμον πρὸς τὸ κατεαγῆναι. οἱ δὲ τὸ ἀπελέκητον. Ἀγανὸν δὲ ὀξυτόνως καλόν. ἢ ἀγαθὸν ἢ ἱλαρόν, οἱ δὲ ἀθάνατον. ἔνθεν καὶ ἀγανοφροσύνη. καὶ Ἀγανοῦμεν, ἀντὶ τοῦ κοσμήσομεν. καὶ αὖθις· ὡς ἄν τοι ῥείῃ μὲν ἀγανὸς Ἀτθίδι δέλτῳ κηρὸς, ὑπὸ στεφάνοις δ' αἰὲν ἔχοις πλοκάμους. Σ+Ar. Ar. Anth.

146 Ἀγανόφρονος: τό τε τῆς ἀγανόφρονος ἡσυχίας εὐήμερον πρόσωπον. τῆς πράου καὶ προσηνοῦς. Ar.

147 Ἀγανοφροσύνη: προσήνεια, πραότης. Σ

148 Ἀγανώπιδος: πραέα βλεπούσης. Σ

149 Ἀγανώτερον: ποθεινότερον, πραότερον. Ar.

150 Ἀγαπᾶν: ἀποδέχεσθαι. Ἀγαπᾶν· τὸ ἀρκεῖσθαί τινι καὶ μηδὲν πλέον ἐπιζητεῖν. ἐξ οὗ καὶ τὸ ἀγαπῆσην ἄν. Σ

151 Ἀγαπήνορος: τὴν ἀνδρείαν ἀγαπῶντος. Hom.

137 = P, Ba 7, 2 138 — θαυμάζω fort. sch. Ar. Ach. 489 cf. Tim. ἐπεί—οὔτε ἄγαμαι Aelian. fr. 122 ἐγὼ sq. Philostr. 4, 23 139 cf. Synt. Gud p. 587; οἶμαι—ἀγασθῆναι Isocr. 4, 84 140 = Ambr. 185, 223, 239, 279 141 — θαυμάζων = P, Σ^{e}, cf. H ἀγάμενοι sq. Th. Simoc. 2, 6, 4 142 = Ambr. 174 et 271 143 = P, Ba 19, 19 (Phryn. fr. 46) 144 Ὅμηρος A 420, Σ 186; λίαν sq. = P, Ba 7, 6, H 145 — ξύλον + vs. 18. 19 ἀγανόν—καλόν = Lex rhet. fr. 340 ex Eust I. 200, 1 cf. P, Ba 20, 3, 5 τὸ φρυγανῶδες—κατεαγῆναι = Zon. 32. φρυγανῶδες, ἱλαρόν cf. Philop. diff. τὸ ἀπελέκητον = P καλόν—ἀγανοφροσύνη sch. Ar. Vesp. 1467 ἀγανοῦμεν—κοσμήσομεν cf sch. Ar. Pac. 398 ὡς sq. Anth. 7, 36, 5 146 Ar. Av. 1321 c. sch.; cf. Ambr. 159 147 = P, Ba 7, 7, cf. H, sch. Ω 772 148 = P, Ba 7, 8 cf. H 149 sch. Ar. Lys. 886 150 — ἐπιζητεῖν = Ba 7, 18, P 151 cf. sch. O 392 Ap. S. 8, 9 cf. 4, 4. Apion, Et. M. 6, 14, Ambr. 133

138 — θαυμάζω Z 34; Philostr. cf. 805 141 Z 34 142 Z 14 144 Z 14, 32 151 Z 14

3 τοῦ om. A 139 om. S mg. AIM 10 καὶ pr. om. SM 14 θηλυκόν] θηλυκῶς GI 17 ἢ—κατεαγῆναι om. ASM 21 δέλτῳ] διαλέκτῳ GIT 28 ἀγαπᾶν sec. nov. gl. SM Phot. τό om. SM 29 ἐξ—ἄν om. SM mg. AI A(GITSM)

Σ 152 Ἀγαπησμός: ἀγαπησμὸν λέγουσι καὶ ἀγάπησιν τὴν φιλοφρόνησιν. Συναριστώσαις Μένανδρος· καὶ τὸν ἐπὶ κακῷ γινόμενον ἀλλήλων ἀγαπησμὸν οἷος ἦν.

Σ 153 Ἀγαπητὰ ἤθη: τὰ καλὰ καὶ ἀγαθά.

Σ 154 Ἀγαπητόν: τὸ ἠγαπημένον ἢ τὸ μονογενές. καὶ Ἀγαπητῶς.

E οὕτω δὲ ἄρα πολὺ τὸ ἀνόητον ἐν τοῖς ἡγεμόσιν αὐτῶν ἦν, ὥστε ἀγαπητῶς εἶδον, εἰ μὴ μετὰ πάντων ἀγωνιοῦνται τῶν συναραμένων τῆς στρατιᾶς.

155 Ἡ ἀγάπη οὐ περπερεύεται, ὁ ἀπόστολος Παῦλός φησι· τουτέστιν οὐ προπετεύεται.

E 156 Ἀγαπητός· ἐπίσκοπος Συνάδων, ὃν ἐν ἐπαίνῳ πολλῷ τίθεται Εὐσέβιος ὁ Παμφίλου καὶ θαυμάτων αὐτοῦ ἐξαισίων μνήμην ποιεῖται, ὁρῶν μετασταίσεις καὶ ποταμῶν καὶ νεκρῶν ἐγέρσεις. καὶ ὅτι στρατιώτην ὄντα ἠβουλήθη Μαξιμῖνος ὡς Χριστιανὸν ἀποκτεῖναι, διὰ τὸ πυνθάνεσθαι πολλοὺς τὰ πρὸς αὐτοῦ τελούμενα ὑπεραγαμένους.

157 Ἀγάπιος· Ἀθηναῖος φιλόσοφος, μετὰ Πρόκλον ἀποιχόμενον, ὑπὸ Μαρίνῳ. ὃς ἐθαυμάζετο ἐπὶ φιλομαθείᾳ καὶ ἀποριῶν προβολῇ δυσεπιβόλων.

158 Ἀγάπιος· οὗτος ἦν Ἀλεξανδρεὺς μὲν τὸ γένος· ἐκ παίδων δὲ λόγοις ἐντραφεὶς ἐλευθερίοις καὶ ἰατρικῶν μαθημάτων ἐξηγητὴς γεγονὼς ἀνελθὼν ἐς τὸ Βυζάντιον διατριβήν τε συνεπήξατο μάλα διαπρεπῆ, φύσεώς τε μεγέθει καὶ δεξιότητι τύχης χρησάμενος, ἔνδοξός τε ἐπὶ τῇ τέχνῃ γέγονε καὶ χρήματα μεγάλα συνείλοχεν.

Δ 159 Ἀγαπῶν: εὐκτικῶς.

160 Ἀγαπῶν: ἐπὶ τοῦ ἀποδέχεσθαι, ἀγαπᾶν καὶ ἀρκεῖσθαι.

Synt. 161 Ἀγαπῶ: τὸ ἀρκοῦμαι δοτικῇ· ἀγαπῶν τοῖς ὑπάρχουσιν αὐτῷ ἀγαθοῖς· αἰτιατικῇ δέ· ἀγαπήσεις τὸν θεὸν ἐξ ὅλης ψυχῆς.

Δ 162 Ἀγγαρεία· λίαν ἀγγάρων ἡμιόνων. καὶ Ἄγγαρος· ἐργάτης,

Σ ὑπηρέτης, ἀχθοφόρος· ὅθεν ἀγγαρείαν ἀνάγκην ἀκούσιον λέγομεν καὶ ἐκ βίας γινομένην ὑπηρεσίαν.

152 = P, Ba 7, 22; Men. com. fr. 453 153 = P, Ba 7, 16 154 — μονογενές = P, Ba 7, 17, cf. H, sch. Z 401 155 Corinth. 1, 13, 4 156 Philostorg. II 8a 157 Dam. fr. 164 158 Dam. fr. 298 159 = Ambr. 338 161 cf. An. Ox. 4, 275, 12—14, Synt. Gud. 587, Synt. Laur., Vind. 113; ἀγαπῶν—ἀγαθοῖς Lys. 2, 21; ἀγαπήσεις sq. Deut. 6, 5 162 Ἀγγαρεία cf. Ambr. 278 ἄγγαρος sq. = Σ^{e}, Ba 7, 30, P cf. H

153 Z 31 154 cf. Z 14 155 cf. v. περπερεία 157 hinc v. ἐπιβολή et v. δυσεπήβολος

A(GITSM) 1 φιλοφρόνησιν A Ba Photii ms. ab^{ac}, φιλοφροσύνην rell. Photii ms. b^{ac} 6 οὕτω—8 στρατιᾶς om. S 8 στρατιᾶς] στρατείας M 155 om. GS mg. AI post 158 T 9 ἡ om. M 11 ἐπίσκοπος Συνάδων] σημειοφόρος G id. add. mg. I(T) 13 μετασταίσεις] μετάγων S 15 πυνθάνεσθαι] μανθάνειν SM πρός] παρ' SM 17 Μαρίνῳ SM Μαρίνων AI cp. G φιλομαθείᾳ AGI φιλομαθίᾳ TM προβολῇ] προσβολῇ S 160 om. S mg. A 25 ἀγαπῶν A ἀγαπῶ GIT 28 λίαν—ἡμιόνων ex GIT

163 Ἄγγαρος· καὶ Ἀγγαρεία, ἡ δημοσία καὶ ἀναγκαία δουλεία. Δ
ὥσπερ γάρ τι αὐτῷ πάρεργον τὸ ἐσθίειν τῆς φύσεως αὐτὸν ἀγγαρευο- E
μένης περὶ τὰ βρώματα ἐφαίνετο εἶναι.

164 Ἄγγαρος: οὕτως ἐκάλουν οἱ Πέρσαι τοὺς βασιλέων ἀγγέλους.
πέμπει τῶν πιστοτάτων ἄγγαρον παρὰ τὸν Βαβυλώνιον διὰ Παρσών- EV
δην τὸν ἄριστον.

165 Ἄγγαροι: οἱ ἐκ διαδοχῆς γραμματοφόροι. οἱ δὲ αὐτοὶ καὶ ἀστάνδαι. τὰ δὲ ὀνόματα Περσικά. Αἰσχύλος Ἀγαμέμνονι· φρυκτὸς δὲ φρυκτὸν δεῦρο ἀπ' ἀγγάρου πυρὸς ἔπεμπε. τίθεται τὸ ὄνομα καὶ ἐπὶ τῶν φορτηγῶν καὶ ὅλως τῶν ἀναισθήτων καὶ ἀνδραποδωδῶν. καὶ τὸ Ἀγγαροφορεῖν ἐπὶ τοῦ φορτία φέρειν. καὶ Ἀγγαρεύεσθαι καλοῦσιν ὥσπερ ἡμεῖς νῦν τὸ εἰς φορτηγίαν καὶ τοιαύτην τινὰ ὑπηρεσίαν ἄγεσθαι. Μένανδρος καὶ τοῦτο ἐν τῷ Σικυωνίῳ παρίστησιν· ὁ πλέων κατήχθη; κρίνεθ' οὗτος πολέμιος. ἐὰν ἔχῃ τί μαλακὸν, ἀγγαρεύεται.

166 Ἀγάσαιτο: θαυμάσειεν. καὶ Ἄγασθαι παρ' Ὁμήρῳ ἐπὶ τοῦ Σ
θαυμάζειν καὶ φθονεῖν.

167 Ἀγασθέντος: ἐκπλαγέντος, θαυμάσαντος. τοῦ δὲ ἀγασθέντος E + x
ἐπὶ τῇ προαιρέσει. καὶ Ἀγασθείς. ὁ δὲ ἀγασθεὶς ἐπί τε τῇ πόλει E
καὶ τοῖς ἀνθρώποις ἐπέμενε τρεῖς ἡμέρας.

168 Ἀγασθῶ τινι: ἀντὶ τοῦ θαυμάσω τινά. Ξενοφῶν· ὅταν τινὶ Σ
ἀγασθῶ τῶν στρατιωτῶν.

169 Ἀγασικλῆς: ὄνομα κύριον. ὃς λέγεται Ἁλιμουσίοις συνδικάσαι Harp.
καὶ διὰ τοῦτο ξένος ὢν ἐγγραφῆναι τῇ πολιτείᾳ.

170 Ἀγάσματα: σεβάσματα, ἃ ἄν τις ἀγάσαιτο. Σοφοκλῆς κέχρηται.

171 Ἀγάστονος: πολυστένακτος. Σ

172 Ἀγάστορες: ἀδελφοὶ, ὅμαιμοι, δίδυμοι. οἱ ὁμογάστορες. Δ Etym.

173 Ἀγαστός: θαυμαστός. Σ

174 Ἀγάστου: θανάτου. Σ

175 Ἀγαυρίαμα: ἔπαρμα. Σ

176 Ἄγαυρος: ὁ κομψός· οἱ δὲ κακός· ὑπὸ Ἰώνων δὲ ἄπορος, ὑπὸ δὲ Ἀττικῶν τρυφερός.

163 δουλεία = H, Et. M. 7, 23 ὥσπερ sq. Proc. h. a. 13, 29 164 ἀγγέλους cf. Et. M. 7, 24 πέμπει sq. Nic. Dam. fr. 4 FGrHist 2A 333 = EV 1, 332, 31 165 = P, Ael. D. fr. 6 ex Eust. O. 1854, 27, cf. Ba 8, 8, 11, Et. M. 6, 44; 7, 17, 20, H, Sueton. ap. Ps. Herodian. 289, Miller, Mél. 397, 422; Aesch. Ag. 269, Men. com. fr. 440. 166 — θαυμάσειεν = P, Ba 7, 20 ἄγασθαι sq. cf. Apion, Ap. S. 4, 32 167 τοῦ—προαιρέσει cf. Polyb. 39, 3, 10 168 = P, Ba 7, 27; Xen. Cyr. 2, 4, 9 169 Harp. = P, Ba 12, 22; — κύριον = Ambr. 176 170 = P, Ba 8, 21, cf. H; Soph. fr. 885 171 = P, Ba 7, 26 Ambr. 157 cf. H 172 — δίδυμοι cf. H οἱ sq. cf. Et. M. 6, 20 173—4 cf. P, Ba 7, 21, H 175 = P, Ba 8, 6 cf. H, Et. Gud. 176 cf. Et. M. 6, 30, H

165 hinc 4220, Z 17, 36 169 cf. 1231 173—4 Z 14 174 Eudem.

2 αὐτόν M Proc. αὐτῶν AGIT ἀγγαρευομένης AGIT Proc. ἀγγαρευού- A(GITSM)
σης M 5 τόν] τῶν A Παρσώνδην A¹G Nic. cf. v. et v. σφόδρου, Περσών-
σην A²ITM 14 κρίνεθ' M cf. Phot. κρίνεσθ' GIT κρίνε A 19 τρεῖς] τῆν
A¹ corr. A² 26 ὅμαιμοι om. S Hes. οἱ ὁμογάστορες ex GIT 28 θανάτου
omnes Zon. Eudem. (ad Xen. Hell. 2, 3, 56 rettulit Porson), θαυμαστοῦ Phot. Ba
30 οἱ—31 τρυφερός om. S

Suid. 177 Ἄγβαρος: ὄνομα κύριον. ὁ τῆς Ἐδέσσης βασιλεύς. ζήτει ἐν τῷ Αὔγαρος.
Δ 178 Ἀγαίομαι: φθονοῦμαι. καὶ Ἀγαῖος, ὁ ἐπίφθονος.
Δ 179 Ἀγγαῖος: ὄνομα κύριον.
Σ 180 Ἄγε δῆτα: φέρε, κόμιζε, δεῦρο. καὶ ἐπίγραμμα εἰς Διογένην
Anth. τὸν Κύνα· Διόγενες, ἄγε, λέγε, τίς ἔλαβέ σε μόρος ἐς Ἄϊδος; ἔλαβέ 5
με κυνὸς ὀδάξ. τὸ δὲ ἐπίγραμμα διὰ βραχέων.
Σ 181 Ἀγέλαστα: τὰ μὴ γέλωτος ἄξια, ἀλλ' ἀγανακτήσεως.
Δ 182 Ἀγέλαος: ὄνομα κύριον.
Δ 183 Ἀγελάρχης: ὁ τῆς ἀγέλης τῶν βοῶν ἄρχων.
Δ 184 Ἀγελαία σταφυλή: ἡ εὐτελής. καὶ Ἀγελαῖα, τὰ οὐ γενναῖα. 10
Hom. 185 Ἀγελαίη: ἡ Ἀθηνᾶ.
Δ 186 Ἀγέλαιος: προπαροξυτόνως μὲν ὁ ἀμαθής· Ἀγελαῖος δὲ ὁ ἐκ τῆς ἀγέλης.
Σ 187 Ἀγελαῖος: ἰδιώτης. ἢ ὁ ἐν ἀγέλῃ διάγων. καὶ Ἀγελαίων,
E+Σ ἰδιωτῶν, ῥεμβωδῶν. τῶν ἀγελαίων ἔοικεν ἀνθρώπων εἶναι ὁ τοι- 15
Harp. οῦτος. ἀντὶ τοῦ εὐτελῶν. καὶ Ἀγελαίων, τῶν πολλῶν καὶ τυχόντων. εἴη δ' ἂν ἐκ μεταφορᾶς τῶν ἀγελαίων ζώων ἢ ἀπὸ τῶν ἰχθύων, οὓς βόσκεσθαι ῥύδην καὶ ἀγεληδόν φασιν.
Δ 188 Ἀγελαιών: ὁ τόπος τῆς ἀγέλης.
Δ 189 Ἀγελαῖοι ἰχθύες: οἱ εὐτελεῖς καὶ μικροί. 20
Δ Etym. 190 Ἀγελείη: ἡ Ἀθηνᾶ. ἀπὸ τοῦ ἄγειν λείαν· τουτέστι στρατιωτική.
Δ 191 Ἀγεληδόν: ἐπίρρημα.
Δ 192 Ἀγελήτης βοῦς: ὁ ἐξ ἀγέλης.
Δ 193 Ἀγέληφιν: ἐκ τῆς ἀγέλης.
Σ 194 Ἀγγελιαφόρος: πρεσβευτής. 25
E 195 Ἀγέλιος· οὗτος ἐπὶ Οὐάλεντος ἦν Κωνσταντινουπόλεως ἐπίσκοπος, βίον ἀποστολικὸν βιούς. ἀνυπόδητος γὰρ διόλου διῆγεν, ἑνί τε χιτῶνι ἐκέχρητο, τὸ τοῦ εὐαγγελίου φυλάττων ῥητόν.

178 — φθονοῦμαι = Ambr. 326; ἀγαῖος sq. = Ambr. 162 cf. H, Et M. 8, 50; P = Ba 18, 25 179 = Ambr. 190 180 — δεῦρο = P, Ba 8, 17 καί- ὀδάξ Laert. 6, 79 = Anth. 7, 116 181 = Ap. S. 4, 21 183 = Ambr. 129 184 cf. Et. M. 7, 46, H 185 sch. Δ 128 186 = Philop. diff.; ἀγελαῖος sq. = Ambr. 118 187 — διάγων = Σ^a, Ba 8, 26 cf. 31; — ἰδιώτης = Ambr. 158 cf. H ἀγελαίων—ῥεμβωδῶν = P cf. Et. M. 7, 41, Ba 8, 30, 25, Ambr. 249 τῶν ἀγελαίων—τοιοῦτος Iul. or. 7, 205 d; ἀντὶ τοῦ εὐτελῶν cf. P, Ba 8, 31, Et. M. 7, 46 vs. 16 ἀγελαίων sq. Harp. = P, Ba 8, 26 188 = Ambr. 117 189 = Philop. diff. cf. H 190 — Ἀθηνᾶ = Et. M. 7, 38 cf. H ἀπό sq. cf. Et. M. 7, 38 191 cf. Ambr. 373 192 — βοῦς = Ambr. 147 193 = Ambr. 372 cf. sch. B 480, H 194 = P, Ba 8, 7, H 195 Socr. h. e. 4, 9, 3

177 ex 4409 178 Z 35, 14 180 Z 35 Laert. cf. v. ὀδάξ; hinc v. Διογένης 1 181 Z 29 182 Z 14 183 Z 15 184 cf. Z 26 185 Z 26 186–7 Z 14–15 188–9 Z 15 190 Z 26 192 Z 15 195 Z 15

A(GITSM) 177 om. GTS mg. I 4 καί—6 βραχέων om. S 20 ἰχθύες non ad l. AS 21 ἀπό – στρατιωτική ex GIT 26 Ἀγέλιος] Ἀγγέλιος A 27 διῆγεν] ἦγεν A

196 Ἄγγελος· οἱ ἄγγελοι μόνοι τῇ τοῦ νοὸς καταλήψει εἰσὶ περιγραπτοὶ, οὔτε δὲ ἐν τόπῳ, οὐδὲ ἐν σώματι, οὐδὲ ἐν χρόνῳ· πρὸ γὰρ τοῦ ἡλίου ἡ γένεσις αὐτῶν. ἀγγέλους πονηροὺς τοὺς τῆς τιμωρίας ὑπουργοὺς ἡ γραφὴ καλεῖ· ὥσπερ ἡμέραν πονηρὰν τὴν τῆς τιμωρίας. ὀργὴν δὲ καὶ θυμὸν καὶ θλῖψιν ἐπὶ Θεοῦ τὰς πικρὰς τιμωρίας καλεῖ. οὐ γὰρ φύσιν οὐδὲ προαίρεσίν φησιν. Thdr.

197 Ἀγένεια: ἡ δυσγένεια. Δ

198 Ἀγεννῶς: ἀνάνδρως. καὶ Ἀγεννὲς, ἐπὶ τοῦ ἀσθενοῦς καὶ ἐπὶ δυσγενοῦς. καὶ Ἀγεννία, ἡ ἀνανδρία καὶ ἡ δειλία. ἔθεντο οὖν Ῥωμαῖοι σπονδὰς ἀγεννεῖς διὰ δέος πρὸς Οὔννους. Σ Δ E

199 Ἀγενής: Ἰσαῖος ἀντὶ τοῦ ἄπαις. Harp.

200 Ἀγέραστος: ἄτιμος. Σ

201 Ἀγέροπτος: ὁ σπανίως ἐρχόμενος. Δ

202 Ἀγερωχία: ὑπερηφανία. ὅτι οἱ Σκύθαι εἰσὶν ὑπεροπτικοὶ καὶ λίαν ἀγέρωχοι. παρὰ τὸ ἄγαν αὐχεῖν ἢ παρὰ τὸ ἄγαν γερουχεῖν. καὶ Ἀγέρωχος, ἔντιμος, ἀνδρεῖος. Ἀγαθίας· ἵππου ἐπιβὰς εὐηνιωτάτου τε καὶ ἀγερώχου καὶ οἵου οὐκ ἄτακτα ἐξάλλεσθαι καὶ σκιρτᾶν. καὶ αὖθις· ὡς ἂν ἔσοιτο εὐκλεὴς τοῖς μετέπειτα καὶ ἀγέρωχος. ἢ Ἀγέρωχος, ὁ ἀλαζών. ΣE Etym. Σ E Δ

203 Ἄγεστα: πολεμικὸν μηχάνημα ἐκ λίθων καὶ ξύλων καὶ χοῦ ἐγειρόμενον. οἱ δὲ ἄγεστά φασι τὸ τοιοῦτον μηχάνημα. καὶ ζήτει ἐν τῷ ἔγεστα. Suid.

204 Ἄγεται: μνηστεύεται, ἐπὶ γάμον λαμβάνει. Αἰλιανός· τὴν δὲ ἀδελφὴν αὐτῷ Ἰόβας ὁ Μαυρούσιος ἄγεται. E

205 Ἄγετε: τὸ ἡγεῖσθε καὶ οἴεσθε. Σ

206 Ἄγετος: ὄνομα κύριον. Δ

207 Ἄγευστος θοίνης: ἀστείως βίου ἔχων. καὶ Ἄγευστοι, ἄπειροι. Ἄγευστον, τετραχῶς· ἢ γὰρ τὸ ἀχύμωτον μὲν τέως, δυνάμενον δὲ χυμωθῆναι, ὡς τὸ ὕδωρ· ἄποιον γὰρ ὂν δύναται χυμωθῆναι· ἢ τὸ ταῖς ἄλλαις αἰσθήσεσιν ὑποκείμενον, ὡς ὁ ψόφος, ἢ τὸ μικρὰν ἔχον γεῦσιν, ὡς τὰ ὑδαρὰ τῶν ῥοφημάτων, ἢ τὸ κακὴν ἔχον γεῦσιν, ὡς τὰ δηλητήρια. καὶ δῆλον τίνων τούτων ἀντιλαμβάνεται ἡ γεῦσις, καὶ Σ Phil.

196 ἀγγέλους sq. Thdr. in Ps. 79, 49, PG 80, 1496 b 198 — ἀνάνδρως = P, Ba 9, 4, Σ^a ἔθεντο sq. Procopio attr. Vind. 39 199 Harp. = An. Ox. 2, 488, 3, P, Ba 11, 11 200 = P, Ba 9, 5, Σ^a cf. H, Ambr. 313 201 cf H 202 — ὑπερηφανία = P, Ba 9, 6, Σ^a παρά—γερουχεῖν = Et. M. 7, 47 ἀγέρωχος—ἀνδρεῖος = P, Ba 9, 7, Σ^a, Et. M 7, 48 cf. H ἵππου—σκιρτᾶν Agath. 1, 21 p. 59 vs. 19 ἀγέρωχος sq. = Ambr. 125 204 Αἰλιανός sq. fr. 57 205 = Σ^a cf. P, Ba 9, 8 206 cf. Ambr. 178 207 — ἔχων = Ba 9, 9, P (Phryn. 18, 25); ἄγευστοι, ἄπειροι = P, Ba 9, 10, Σ^a ἄγευστον sq. Philop. 404, ms. A in app. et vs. 10—29

196 hinc v. ἡμέρα πονηρά et v. θλῖψις 201 Z 15 203 ex v. ἔγεστα

1 μόνοι I μόνοη A μόνη TSM cp. G 13 Ἀγέροπτος] Ἀγέροπος T Zon. A(GITSM) 15 παρά—γερουχεῖν om. AGSM mg. I ἢ—γερουχεῖν om. T 203 om. S mg. A 21 καί—ἔγεστα om. GIT 22 γάμον $AG^{ac}T^{ac}M^{ac}$ γάμῳ $G^{ec}M^{ec}$ γάμων IT^{ac} δέ om. A 24 Ἄγετε] Ἄγεται S ἡγεῖσθε] ἡγεῖσθαι A 27 τετραχῶς] διχῶς M

τίνος μή. καὶ ἐπὶ τῶν ἄλλων δὲ αἰσθήσεων τὰ τέσσαρα ταῦτα γινώσκεται σημαινόμενα. ἀρχὰς δὲ τῶν γευστῶν τὸ ποτόν φασι καὶ τὸ ἄποτον. εἰς ταῦτα γὰρ πρώτως διαιρεῖται τὸ γευστόν. καὶ γὰρ ἐν τῷ ὑγρῷ μάλιστα καὶ ὁ χυμὸς ἐκ τῆς ἐπιμιξίας τῶν ξηρῶν προσγενόμενος· καὶ ὥσπερ τὸ ποτὸν πότιμον γίνεται διὰ τὴν ἐπιμιξίαν τοῦ χρηστοῦ χυμοῦ, οὕτω καὶ τὸ ἄποτον διὰ τὴν ἐπιμιξίαν τοῦ ἀπότου χυμοῦ. ἀμφότερα δὲ, τό τε ἄποτον καὶ τὸ ποτὸν, γευστά. γευστὸν δὲ τὸ ἄποτον, οὐχ ὡς τελειωτικὸν, ἀλλ' ὡς φθαρτικὸν τῆς γεύσεως διὰ μοχθηρίαν χυμοῦ. τὸ δὲ ποτὸν ὡς σωστικόν τε καὶ τελειωτικὸν τοῦ κατὰ φύσιν γευστικοῦ. ἄρχει οὖν τῶν γευστῶν κατὰ τοῦτον τὸν λόγον τὸ ποτὸν καὶ τὸ ἄποτον. ἐπεὶ δὲ τὸ ποτὸν ὑγρὸν, τὸ δὲ ὑγρὸν τῇ ἁφῇ ἀντιληπτὸν, ὡς μὲν ὑγρὸν ἁπτὸν, ὡς δὲ τοιόνδε χυμὸν ἔχον γευστόν. τοῦτο οὖν κοινὸν ἁφῆς καὶ γεύσεως, τῆς μὲν ἁφῆς ὡς ἴδιον αὐτῆς αἰσθητὸν, τῆς δὲ γεύσεως ὡς ὕλη καὶ ὄχημα τῶν γευστῶν.

Δ 208 Ἀγγείδιον: τὸ μικρὸν ἀγγεῖον.

Σ 209 Ἄγειν καὶ φέρειν: τὸ ληστεύειν καὶ ἁρπάζειν. ἄγειν δὲ καὶ
EL ἀπάγειν χρήματα καὶ ἐπὶ ἀψύχων καὶ κομίζειν ἀδιαφόρως. ὁ δὲ ἐπεὶ ἐπεραιώθη ἐς τὸ κατ' ἀντικρὺ τοῦ ῥείθρου, παραχρῆμα τάς τε κώμας ἐνεπίμπρα τῶν Σκλαβηνῶν καὶ ἐσίνετο τοὺς ἀγροὺς, ἤγέ τε καὶ ἔφερεν ἅπαντα, οὐδενός πω τῶν ἐκεῖσε βαρβάρων θαρρήσαντός οἱ εἰς χεῖρας ἐλθεῖν, εἰς τὰ λάσια καὶ κατηρεφῆ τῆς ὕλης καταπεφευγότων.

Δ 210 Ἀγείρας: ὁ χωλός.

Σ 211 Ἀγείρει: συνάγει. καὶ Ἀγείρουσιν. ὁ γὰρ τρόπος ἱερὸς
E ἦν καὶ οὐδὲν ἐοικὼς τοῖς ἀγείρουσιν. καὶ αὖθις· ὁ δὲ λαθεῖν θέλων ξυρεῖται τὴν κεφαλὴν καὶ τὸ γένειον, καὶ στολὴν Αἰγυπτίαν ἀναλαβὼν, ἣν οἱ τῆς Ἴσιδος θεραπευτῆρες ἧσθηνται, καὶ σεῖστρον ἐπισείων καὶ πόλιν ἐκ πόλεως ἀμείβων, καὶ τῇ θεῷ ἀγείρων καὶ ἀναγκαίας τροφὰς, λιμοῦ φάρμακα, ἀγαπητῶς λαμβάνων.

Etym. 212 Ἄγη. ἄκλιτόν ἐστι. θαῦμα, χαρὰ, ἀπιστία, ζῆλος, παρ' Ἡρο-
Σ δότῳ βασκανία, παρ' Ὁμήρῳ ἔκπληξις, πληγὴ, θραῦσις, κλάσις, ἀπώ-
Δ λεια· ἔνιοι, ἱερεῖα. Ἄγη μὲν οὖν παροξυτόνως ἡ ἔκπληξις· Ἀγὴ δὲ ἡ κλάσις τοῦ κύματος.

208 cf. Ambr. 318 209 — ἀδιαφόρως = P, Ba 8, 18 cf. H ὁ δέ sq. Men. hist. fr. 48, FHG 4, 252 = EL 209, 3–7 210 = Ambr. 128, cf. Ios. Bell. 5, 474 211 — συνάγει = P, Σ[a], cf. Ba 8, 24, H ὁ γάρ—ἀγείρουσιν Philostr. 4, 39 ὁ δέ sq. Aelian. fr. 121 (Appiano attr. Wyttenb.) 212 — ἔστι = Et. M. 8, 38 θαῦμα—ἱερεῖα = P, Ba 9, 12, Σ[a], Et. M. 9, 1; Hdt. 6, 61, 1; Φ 221 ἄγη μέν sq. = Et. Gud. cf. Ambr. 266, Et. M. 8, 36, 41

208 Z 31 209 Z 34 210–11 Z 34 211 Aelian. cf. v. προυγράφη et v. σεῖστρον

A(G1T8M) 11 ἐπεὶ δέ] ἐπεὶ δὲ καί GIT 12 ἁπτόν] ἁπτικόν GI 14 ὡς GIM om. AT cf. Philop. ὄχημα] ὄχλημα A 21 λάσια] λάσια δέ G Exc. 29 ἄκλιτόν ἐστι om. AGS mg 1 supra l. M similia post ἱερεῖα T

213 Ἀγηγέρατο: συνηθροίζοντο. Ἀγείρω, ὁ μέλλων ἀγερῶ, ὁ παρακείμενος ἤγερκα, ὁ παθητικὸς ἤγερμαι, τὸ τρίτον ἤγερται καὶ τὸ τρίτον τῶν πληθυντικῶν Ἰακῶς ἀγηγέρατα· εἶτα ὁ ὑπερσυντελικὸς ἠγέρμην, τὸ τρίτον ἤγερτο καὶ ἀγήγερτο καὶ τὸ τρίτον τῶν πληθυντικῶν Ἰακῶς ἀγηγέρατο. Δ Etym.

214 Ἀγηλατεῖν: διώκειν, φυγαδεύειν, ἐπιτάττειν. Ἡρόδοτος, ὑβρίζειν. Hdt.?

215 Ἀγηλατεῖν: ὡς ἄγος καὶ ἐναγεῖς τινας ἐλαύνειν. ἐὰν μὲν δασέως, τὸ τὰ ἄγη ἀπελαύνειν· ἐὰν δὲ ψιλῶς, ἀντὶ τοῦ ἀπελάσειν. κλαίων δοκεῖς μοι καὶ σὺ χ' ὡ συνθεὶς τάδε ἀγηλατήσειν. καὶ Ἡρόδοτος· ὁ δὲ σὺν μεγάλῃ χειρὶ ἀπικόμενος ἀγηλατέει ἑπτακόσια ἐπίστια Ἀθηναίων. Σ Soph. E

216 Ἀγηλατοί: οἱ κεραυνοί. Ἀγηλατοῖ δὲ ῥῆμα, ἄγει, κεραυνοῖ ἢ διώκει. Δ

217 Ἀγῆλαι: τιμῆσαι θεὸν ἀγλαΐαις. οὕτως Εὔπολις Δήμοις· ἀναθῶμεν νῦν χήμεῖς τούτοις τὰς διττὰς εἰρεσιώνας καὶ προσαγήλωμεν ἐπελθόντες. χαίρετε πάντες, δεχόμεσθα. Ἀριστοφάνης Εἰρήνῃ· καὶ σε θυσίαισιν ἱεραῖσι προσόδοις τε μεγάλαις ἰδίᾳ πάντες, ὦ πότνι', ἀγαλοῦμεν ἡμεῖς ἀεί. Ἕρμιππος Ἀρτοπώλισι· φέρε νῦν ἀγήλω τοὺς θεοὺς οἵους ἐγὼ καὶ θυμιάσω τοῦ τέκνου σεσωσμένου. Σ

218. Ἀγήλειεν: τιμήσειεν. ὅτι Μουκιανὸς ὁ Ῥωμαῖος τιμᾶσθαι ὑφ' ἁπάντων ὑπὲρ πάντας ἤθελε καὶ ἤχθετο, εἰ καὶ ὁστισοῦν οὐχ ὅτι ὑβρίσειεν αὐτὸν, ἀλλ' ὅτι μὴ οὐ μεγάλως ἀγήλειεν. EV

219 Ἄγημα: τὸ προϊὸν τοῦ βασιλέως τάγμα ἐλεφάντων καὶ ἵππων καὶ πεζῶν. οἱ δὲ τὸ ἄριστον τῆς Μακεδονικῆς συντάξεως· κραταιὸν ὁπλίσει καὶ σωμάτων εὐεξίᾳ. Σ

220 Ἄγημα: τὸ ὅλως τάγμα εὕρηται κατὰ πολὺ παρὰ Ἀρριανῷ.

221 Ἀγηνορίη: ἡ αὐθάδεια.

222 Ἀγηνόριον: ὄνομα τόπου. Δ

213 — συνηθροίζοντο = Ambr. 337 cf. sch. Δ 211 = Et. M. 9, 12 ἀγείρω sq. cf. Et. M. 9, 12 214 = gl. alph. Hdt. p. 463, 28 cf. Et. M. 10, 34, H, gl. Hdt. 5, 72; Ba 22, 17 = P 215 — ἐλαύνειν = P, Ba 12, 14, cf. H ἐὰν—ἀγηλατήσειν = Soph. OT 401—2 c. sch.; cf. Et. M. 10, 3 Ἡρόδοτος sq. 5, 72, 1 216 ἀγηλατοῖ sq. = Ambr. 329, 330 217 = P, Ba 11, 18, 27 cf. Et. M. 9, 52, Phryn. (fr. 6a) in sch. Eur. Med. 1027; Eupol. fr. 119; Ar. Pac. 396—8; Hermipp. fr. 8 (1, 227 K.). 218 ὅτι sq. Cass. D. 66, 2, 4 = EV 2, 360, 12—14 219 — συνταξέως = P, Ba 11, 2, Σ^a, H, Et. M. 10, 36 cf. Ael. D. fr. 8 ap. Eust. O. 1399, 61 et Eust. 1877, 60 220 Ἀρριανῷ An. 1, 1, 11, al. 221 cf. Ap. S. 7, 20, Ambr. 296 222 = Ambr. 324

213–5 Z 35 216 Z 15 221 Z 24

1 ἀγείρω—4 ἀγηγέρατο om. AS mg. GI ἀγείρω] κανών· ἀγείρω M 2 ἤγερμαι] ἤγερμαι ὑπερσυντελικός ἠγέρμην M cf. infra ἤγερται GT ἤγερτο M τῶν om. M 3 Ἰακῶς G Ἰακῶς καὶ Ἀττικῶς M Ἰωνικῶς T om. I ἀγηγέραται] ἀγηγέρατο M εἶτα—4 ἀγηγέρατο om. M 4 Ἰακῶς G Ἰωνικῶς T 7 ἐλαύνειν] ἀπελαύνειν S 8 ἀπελάσειν] τὰ ἄγη ἀπηλάσειν GIT 9 καί —συνθείς om. GIT χ' ὡ A χ' ὡς SM 16 δεχόμεσθα] δεχόμεθα A Phot. 18 Ἀρτοπώλισι $AS^{ac}M$ Ἀρτοπώλοισι $GITS^{sc}$ Phot. Ba. 19 οἵους] ἰοῦς' sch. Eur. 25 εὐεξίᾳ] εὐεξίαν AI 220 ex IT 26 τό T τὸ προϊὸν τοῦ βασιλέως τάγμα ἤ I A(GITSM)

Σ+Δ 223 Ἀγήνωρ: ὁ ἄγαν ἀνδρεῖος, ἢ ἀγαστὸς ἐν ἀνδρείᾳ. σημαίνει δὲ καὶ τὸν ὑπερήφανον καὶ αὐθάδη. ἔστι δὲ καὶ κύριον ὄνομα.

Etym. παρὰ τὸ ἄγαν τῇ ἠνορέῃ ὅ ἐστι τῇ ἀνδρείᾳ χρῆσθαι.

Σ 224 Ἀγηοχώς: ἐνέγκας. Ἄγω, ἄξω, ὁ παρακείμενος ἦχα καὶ ὁ Ἀττικὸς

Etym. ἄγηχα· καὶ ἐπειδὴ ὁ Ἀττικὸς παρακείμενος θέλει ἔχειν ἐν τῇ δευτέρᾳ καὶ τρίτῃ συλλαβῇ τὸ αὐτὸ σύμφωνον, πλεονάζει ἡ γο συλλαβὴ καὶ γίνεται ἀγήγοχα, εἶτα πάλιν ἀποβολῇ τοῦ γ ἀγήοχα, ἡ μετοχὴ ὁ ἀγηοχώς.

Hom. 225 Ἀγήραον: ἄφθαρτον.

Δ 226 Ἀγηρηναῖοι: ὄνομα ἔθνους.

Σ 227 Ἀγήρω: τὰ μὴ γηρῶντα. καὶ σὺν τῷ ν ἀγήρων. οἱ δὲ ἄνευ τοῦ ν θηλυκόν φασιν εἶναι, οἱ δὲ τὸ μὲν σὺν τῷ ν τὴν αἰτιατικὴν δηλοῦν πτῶσιν, τὸ δ' ἄνευ τούτου, τὴν γενικήν τε καὶ δοτικήν. καὶ

Δ Ἀγήρως, ὁ ἄφθαρτος Ἀττικῶς· καὶ οὐδετέρως Ἀγήρων.

Δ 228 Ἀγησαγόρας: ὄνομα κύριον.

Harp. 229 Ἀγησίλαος: ὄνομα κύριον. ἦν δὲ Λακεδαιμονίων ἐπιφανὴς καὶ γενναῖος βασιλεὺς καὶ ᾄδεται παρὰ πολλοῖς τῶν ῥητόρων.

E? 230 Ἀγήτας: ὁ τῶν Αἰτωλῶν στρατηγός.

Δ 231 Ἀγητός: ὁ θαυμαστός.

Σ 232 Ἀγιάσατε: προευτρεπίσατε, κηρύξατε.

Σ 233 Ἁγιάσαι: καρπῶσαι, καῦσαι ἁγίως.

234 Ἅγίασμα: ὁ θεῖος νεώς. Δαβίδ· ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ.

Δ καὶ Ἁγιαστία, ἡ ἁγιωσύνη. ἁγιστεία δὲ διφθόγγῳ.

Soph. Σ 235 Ἁγίζων: ἁγιάζων. βούθυτον ἑστίαν ἁγίζων ἵκου. καὶ Ἁγιαστ. θέντων, ἀφιερωθέντων. καὶ Ἁγιάζω, αἰτιατικῇ.

Δ 236 Ἀγιναργεῖος: ὄνομα κύριον.

Δ 237 Ἀγίνεον: ἔφερον. Ἀγινῶ γὰρ ὁ ἐνεστώς.

E 238 Ἅγιος, ἅγιος, ἅγιος κύριος· ὅτι τοὺς λέγοντας, μυριάκις ἐστὶν ἅγιος ὁ θεὸς, καὶ τοὺς παρερμηνεῦσαι τοῦτο τολμῶντας, λαμπρῶς ἐλέγχει τὸ· ἐξεζήτησα τὸ πρόσωπόν σου, τὸ πρόσωπόν σου,

223 — ὄνομα (÷ καὶ αὐθάδη) = Ba 11, 5, P, Σ[a] cf. An. Ox. 2, 431, 4—9, H, Apion, Ap. S. 7, 16; αὐθάδη = Ambr. 134, Et. M. 9, 47, H, An. Ox. 2, 431, 4, Ap. S. 7, 17, sch. B 276. παρά sq. = Et. M. 9, 43 224 — ἐνέγκας = P, Ba 8, 23, Σ[a] ἄγω sq. Et. M. 9, 28 225 = sch. B 447, cf. H, Ambr. 310 226 = Ambr. 245 227 — δοτικήν = P cf. Ba 11, 8, Σ[a], H ἀγήρως—ἄφθαρτος = Ambr. 127; οὐδετέρως sq. = Ambr. 310 229 Harp. = P, Ba 12, 25; — κύριον = Ambr. 166 230 cf. Polyb. 5, 91 231 = Ambr. 132, Ba 9, 11, sch. Ω 376 cf. H 232 = P, Ba 11, 12, Σ[a] cf. H 233 = P, Ba 11, 10, Σ[a] 234 ἐγενήθη—αὐτοῦ Ps. 113, 2 235 — ἵκου Soph. O. C. 1495 c. sch. ἁγιασθέντων, ἀφιερωθέντων = Ba 11, 14, Σ[a] ἁγιάζω sq. = Synt. Gud. et Laur. 237 = Ambr. 325 238 — οὐσίας Georg. 528, 16—24, 529, 6—9; ἐξεζήτησα—ἐμοῦ Ps. 26, 8

225—6 Z 15 238 Z 16

A GITS M) 3 παρά—χρῆσθαι om. AGS post 1 ἀνδρεῖος I post 1 ἀνδρείᾳ TM παρά] ἐτυμ. παρά M ὅ ἐστι M καί IT 4 ἄγω—7 ἀγηοχώς om. AGS ἄγω] κανών· ἄγω M ἄξω T om. IM ὁ Ἀττικός IT Ἀττικῶς M cf. Et. 5 ἐπειδή IT ἐπεί M θέλει IT ἐθέλει M 6 εἶτα πάλιν IT καί M 7 ἡ om. M ὁ om. M 11 θηλυκόν AS Phot. θηλυκῶς GIT 12 δηλοῦν] δηλοῦντα A 17 Αἰτωλῶν] ἐντολῶν A 22 ἁγιστεία δὲ διφθόγγῳ ex M ss. 24 καί—αἰτιατικῇ om. S

κύριε, ζητήσω, μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ. τὴν ἁγίαν ἀνακηρύττει τριάδα. καὶ τὸ, θῦσον τῷ θεῷ θυσίαν αἰνέσεως καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σου, καὶ τὰ ἑξῆς. καὶ διὰ τούτων καὶ δι' ἄλλων πολλῶν ἡ παλαιὰ κηρύττει, ὅτι οὐχ ἑνὸς προσώπου σημαίνει δεσποτείαν, ἀλλὰ τριῶν μὲν ὑποστάσεων, μιᾶς δὲ οὐσίας. οἱ δὲ λέγοντες, ἅγιος ὁ σταυρωθείς, ἐπιστομιζέσθωσαν ἀπὸ τοῦ· ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν θεὸν τὸν ἰσχυρὸν, τὸν ζῶντα.

239 Ἅγις, Ἅγιδος. ὁ Παυσανίου. οὗτος ἐμβαλών ποτε ἐς τὴν Μαντινεικὴν, αὐτοὺς μὲν κατέκλεισε, τὸν δὲ παραρρέοντα ποταμὸν ἐς τὸ τεῖχος παρατρέψας παρέλυσεν· ἦν γὰρ ἐξ ὑμῆς πλίνθου, ἥτις πρὸς μὲν τὰς ἐλεπόλεις ἀσφαλεστέρα ἐστὶ τῆς ὀπτῆς καὶ τῶν λίθων. οἱ μὲν γὰρ κατάγνυνται καὶ ἐκπηδῶσι τῶν ἁρμονίων· ἡ δὲ ὑμὴ πλίνθος οὐχ ὁμοίως πονεῖ. διαλύεται δὲ ὑπὸ ὕδατος οὐχ ἧσσον ἢ ὑπὸ ἡλίου κηρός. Δ E?

240 Ἁγίσαι καὶ καθαγίσαι: τὸ καρπῶσαι. Ἁγίζω γὰρ ὁ ἐνεστώς. Σ+x Δ

241 Ἁγιστεύειν: ἁγιάζειν. καὶ Ἁγιστεύσαντες, τὰ τῆς θυσίας ἐπιτελέσαντες. Σ

242 Ἁγιστείας: ἁγιωσύνης, καθαρότητος, λατρείας. Σ

243 Ἀγκαλίδα: μερίδα. Σ

244 Ἀγκάσασθαι: ταῖς ἀγκάλαις βαστάσαι. Call.

245 Ἄγκεσι: συνδένδροις καὶ ὑλώδεσι τόποις. ἐν Ἐπιγράμμασι· θηροβολεῖ τούτῳ δ' ἄγκεσι θηροτόκοις. Anth.

246 Ἄγκεινθ' Ἡφαίστοιο: ἀντὶ τοῦ ἀνάκεινται. Suid.

247 Ἀγκιστρεύει: δελεάζει. Σ

248 Ἄγκος: ὑψηλὸς τοῦ ὄρους τόπος. ποσὶ δ' αὖ ἑλθεῖν ἄγκος ἐς ὑψικάρηνον ἐδίζετο. Call.

249 Ἀγκών· ἐν τῇ βασιλικῇ αὐλῇ τοῦ Γελίμερος οἴκημα ἦν σκότους ἀνάπλεων, ὃ δὴ Ἀγκῶνα ἐκάλουν οἱ Καρχηδόνιοι· ἔνθα ἐνεβάλλοντο ἅπαντες οἷς ἂν χαλεπαίνοι ὁ τύραννος. ἐνταῦθα ἐπὶ Βελισαρίου πολλοὶ καθειργμένοι ἐτύγχανον τῶν ἑῴων ἐμπόρων, οὓς μέλλοντας κατ' ἐκεῖνο καιροῦ ἀναιρεῖσθαι ὑπὸ τοῦ τυράννου ὁ φύλαξ τοῦ δεσμωτηρίου ἀπέλυσε. καὶ διετίθει τὰς μηχανὰς ᾗ μάλιστα ἐδόκει καίριον, E

238 θῦσον—σου Ps. 49, 14 ἐδίψησεν sq. Ps. 41, 3 239 — Ἅγιδος = Ambr. 164 ὁ Παυσανίου sq. Paus. Per. 8, 8, 7—8 240 ἁγίσαι + τὸ καρπῶσαι = Ba 13, 3 ἁγίζω sq. cf. Ambr. 362 241 = P, Ba 11, 14, 16 242 = P, Ba 11, 13, Σ^a, sch. Pl. Ax. 371 d 243 = P, Ba 11, 17, Σ^a cf. H 244 sch. ad Call. fr. 73 K. an. 331 S. 245 — τόποις cf. sch. Σ 321 θηροβολεῖ sq. Anth. 6, 186, 4 247 = P, Ba 12, 15 cf. H 248 Call. fr. 111 K an. 1 S. (= Babr. Myth. fr. 14) c. sch. 249 — ἀπέλυσε Proc. bell. 3, 20, 4—7

239 hinc v. πλίνθος 2 240 Z 36 246 ex v. ῥαιστήρ 249 Proc. Z 17

2 ἀπόδος] ἀπόδως AI 6 ἅγιος A Zon. ἅγιος ἅγιος ὁ θεός S ἅγιος ἀθάνατος GITM A(GITSMB) 9 Μαντινεικήν A cf. v. πλίνθος et Paus Μαντινιακήν S Μαντινεακήν M Μαντινείαν GT 13 ὑπό] ἀπό A utrob. 246 om. S mg. A 24 ἄγκεινθ'] ἄγκειθ' M cf. s. v. ῥαιστήρ Ἡφαίστοιο] Ἡφαίστῳ M, v ῥαιστήρ ἀνάκεινται] ἀνάκειται M, cf. v. ῥαιστήρ 31 μέλλοντας] μέλλον τούς A

ἀγκῶνας τε καὶ τάφρους ἐβάλετο ἑκατέρωθεν. καὶ Ἀγκῶνες, μέρος τι τῆς οἰκίας. ἀγκῶνες δὲ καὶ πάντα τὰ προσπηςόμενα κατ' ὄναρ τὸ κόσμιον τοῦ βίου σημαίνει. Ἀγκῶνες καὶ αἱ τῶν ποταμῶν
E? ἐξοχαὶ, αἱ παρὰ ταῖς ὄχθαις. οὐ δυνατὸν ἦν πρὸς ἀντίον τὸν ῥοῦν ἀναπλεῖν διὰ τὸ μέγεθος τῶν πρόσπιπτόντων ἀγκώνων, οὓς ἔδει κάμ-
Soph. πτειν παρέλκοντας τὰς ναῦς. καὶ Ἀγκῶνας, τὰς ἄκρας τῶν ὀρῶν. οἱ δὲ σπείρουσιν ἀγκῶνας, οἱ δ' ἀντηλίους ζητεῖτ' ἰόντες τ' ἀνδρὸς
Prov. ἔξοδον κακήν. καὶ παροιμία· τῷ ἀγκῶνι ἀπομυςςόμενος. Βίων
Phil.? φησὶν ὁ φιλόσοφος· ἐμοῦ ὁ πατὴρ μὲν ἦν ἀπελεύθερος, τῷ ἀγκῶνι ἀπομυςςόμενος· διεδήλου δὲ τὸν ταριχέμπορον. ζήτει καὶ ἄλλην παροιμίαν, τὸ γλυκὺς ἀγκών.

Σ 250 Ἀγκράτος ἐλαύνοντα: Ξενοφῶν, ἀντὶ τοῦ πάνυ ἐλαύνοντα.

Ar. 251 Ἀγκύλη: εἶδος ἀκοντίου. καὶ Ἠγκυλωμένος, ἀγκύλην ἔχων. σημαίνει δὲ καὶ ἔργον τι τῆς σκηνῆς τοῦ Μωϋσέος.

Σ 252 Ἀγκύλια: οἱ κρίκοι τῶν ἁλύσεων.

Δ 253 Ἀγκυλομήτης καὶ Ἀγκυλομήτεω. καὶ Ἀγκυλομῆται,

Σ οἱ σκολιόβουλοι.

Σ 254 Ἀγκύλον: καμπύλον, ἐπικαμπές.

Ar. +Σ 255 Ἀγκυλοχείλης καὶ Ἀγκυλόχειλος: σκολιόχειλος, ἐπίθετον

Σ τοῦ ἀετοῦ, ἐπικαμπεῖς τὰς χηλὰς ἔχων. ἐπὶ δὲ Κλέωνος, ἀγκύλας τὰς χεῖρας ἔχων πρὸς τὸ κλέπτειν καὶ ἁρπάζειν.

256 Ἄγκυρα πλοίου· ζήτει ἐν τῷ ἐμβρύοικος.

257 Ἄγκυρα: πόλις· ζήτει ἐν τῷ Γαλάται.

Suid. 258 Ἄγκυραν· ὅτι Ἀνάχαρσις Σκύθης φιλόσοφος εὗρεν ἄγκυραν καὶ τὸν κεραμεικὸν τροχόν. ἦν δὲ ἐπὶ Κροίσου.

259 Ἀγκυρανῶν πόλις· ὅτι οἱ νῦν Ἀγκυρανοὶ Ἑλληνογαλάται πάλαι ἐλέγοντο.

Δ 260 Ἀγκυρηβόλιον: τὸ σιδήριον τοῦ πλοίου.

Ar. 261 Ἀγκύρισμα: εἶδος παλαίσματος. καὶ Ἀγκυρίσας, ἀντὶ τοῦ καταπαλαίσας ἢ τῇ ἀγκύλῃ καταβαλών. ἔστι δὲ ἀγκύρισμα καὶ σκεῦος

249 vs. 2 ἀγκῶνες—σημαίνει Artem. 1, 74 vs. 6 ἀγκῶνας—κακήν Soph. Ai. 805—6 c. sch ἀγκῶνι ἀπομυςςόμενος Philol. Suppl. 6, 257, n. 11 Βίων—ταριχέμπορον Laert. 4, 46 250 = Σ^{a} v. ἀνακράτως cf. Ba 23, 7 = P; Xen. An. 1, 8, 1; Eq. 8, 10 251 — ἔχων sch. Ar. Av. 1180 cf. sch. Eq. 262 252 = P, Ba 12, 16, Σ^{a} 253 — ἀγκυλομητέω cf. Ambr. 161 ἀγκυλομῆται sq = P, Ba 12, 17, Σ^{a} 254 = P, Ba 12, 18, Σ^{a} cf. Ambr. 308 255 Ἀγκυλοχείλης + ἐπίθετον sq. sch. Ar. Eq. 197; ἀγκυλόχειλος, σκολιόχειλος = P, Ba 12, 19, Σ^{a} 257 — πόλις = Ambr. 275 „ 260 cf. Ambr. 321 261 Ar. Eq. 262—3 c. sch.

249 Artem. hinc v. ὄνειροι 250 cf. 2543; Z 38 251 Z 26 252 Z 32 258 ex 2130 259 cf. v. στεφανικὸν τέλεσμα 260—1 Z 32

A(GITSMB) 2 προσπηςόμενα AT Artem. προσπτηςόμενα GIM 4 οὐ δυνατόν TB ἴςως οὐ δύνατον IM ss. ἀνὰ τόν GM ἀναιτόν A ἀδύνατον Gsf. ἀντίον GITM ἀντί A 7 δὲ σπείρουσιν AGIT δ' ἑσπέρους MB Soph. 8 ἀπομυςςόμενος A Prov. ἀπομυςςόμενοι GIT ἀπομαςςόμενοι S 10 ζήτει—ἀγκών om. AS 12 Ἄγκρατος ASM^{ac} Ἄνκρατος GITM^{pc} 256 ex A mg. 257 om. S mg. A post 253 GITM 23 ζήτει—Γαλάται om. GIT Γαλάται ego γᾶ A γαλυc$^{\mu\iota}$ M 258 om. GS mg. A 259 om. S; Ἀγκυρανῶν πόλις post 253 A(GIT), ὅτι—ἐλέγοντο post 255 A 26 Ἀγκυρανῶν πόλις AM ἡ τῶν Ἀγκυρανῶν GIT 27 σιδήριον A σίδηρον rell.

ἀγρευτικὸν σύκων. Ἀριστοφάνης· διαβαλὼν, ἀγκυρίσας, εἶτ' ἀποστρέψας τὸν ὦμον, αὐτὸν ἐκολάβησας. τουτέστι προσέκρουσας.

262 Ἄγλαΐα: λαμπρότης. καὶ Ἀγλαΐαις, λαμπρότησιν. Σ

263 Ἀγλα�ϊεῖσθαι: καλλωπίζεσθαι. δοτικῇ. ὁ ἐνεστὼς ἀγλαΐζω. Δ

5 δοτικῇ.

264 Ἀγλαόκοιτος: πάνυ τίμιος. Σ

265 Ἀγλαομητία: ἡ μεγάλη βουλή. Δ

266 Ἀγλαότιμον: λαμπρὸν, τετιμημένον. Σ

267 Ἀγλαοφῶν: ὄνομα κύριον. Δ

10 268 Ἄγλαυρος: ἡ θυγάτηρ Κέκροπος. ἔστι δὲ καὶ ἐπώνυμον Harp.
Ἀθηνᾶς.

269 Ἀγλευκές: τὸ ἀηδές. Ξενοφῶν εἴρηκεν ἐν τῷ Οἰκονομικῷ. Σ
δοκεῖ δὲ ξενικὸν εἶναι τὸ ὄνομα, Σικελικόν· πολὺ γοῦν ἐστὶ πάλιν παρὰ Ῥίνθωνι. καὶ Ἀγλευκέστερον, ἀντὶ τοῦ ἀηδέστερον. Ξενο-

15 φῶν Ἱέρωνι.

270 Ἄγλιθες: αἱ κεφαλαὶ τῶν σκορόδων. Ἀριστοφάνης· ὡς ἀρου- Ar.
ραῖοι μύες ὀρύσσετε πασσάλῳ τὰς ἄγλιθας.

271 Ἀγλωττία: ἡσυχία, σιωπή. καὶ Ἄγλωσσος, ὁ ἄναυδος, ὁ Σ
ἄφωνος. νῦν εἰς γᾶν ἄγλωσσος, ἀναύδητός τε πεσοῦσα, κεῖμαι, Anth.

20 μιμητὴν ζῆλον ἀνηναμένη.

272 Ἄγμασι: κλάσμασι, τροπαῖς. ἄγματα ἀμφορέων ἐς τὰ ἑλώδη Σ
τῶν χωρίων λάθρα ἐβεβλήκεσαν. E?

273 Ἀγναπτότατος βάτος αὖος: ἐπὶ τοῦ σκληροῦ καὶ αὐθάδους τὸν τρόπον. Suid.

274 Ἁγνεία: καθαρότης· ἐπίτασις σωφροσύνης. Σ |

25 275 Ἀγνίας: ὄνομα κύριον. Harp.

276 Ἁγνίζω· ἰατικῇ. Synt.

277 Ἀγνοεῖ δ' ἀράχνη παῖδας ὡς παιδεύεται. θρέψασα Prov.
γὰρ τέθνηκε πρὸς τῶν φιλτάτων: ἐπὶ τῶν καθ' ἑαυτῶν τι πραγματευομένων.

30 278 Ἀγνόημα· ἀγνόημα τοσοῦτον ἠγνοηκότας, ὅσον οὐδεὶς ἂν ἠγ-

262 — λαμπρότης = P, Ba 13, 8, Σ^a; ἀγλαΐαις sq. = Σ^a 263 — καλλωπίζεσθαι = Ambr. 348, cf. Et. M. 11, 33; ἀγλαΐζω cf. Ambr. 360 264 = P, Ba 13, 9, Σ^a 265 cf. H, Ambr. 297 266 = P, Ba 13, 10, Σ^a, cf. H 267 = Ambr. 170, cf. 201 268 Harp. = Ba 13, 15, Phot. ms. a 269 = P; — ἀηδές = Ba 13, 11 cf. 10, 8 = H; ἀγλευκέστερον sq. = Ba 13, 12, Σ^a; Xen. Oec. ad 8, 4, ubi mss. ἀτερπές. et ad 8, 3, ubi mss. ἀγλευκέστατον, rettulit Zeune sec. Schenkl SB Wien 1876, 109; Rinthon. fr. 28 Kaib.; Xen. Hier. 1, 21 270 Ar. Ach. 763 c. sch. 271 — σιωπή = P, Ba 13, 13, H νῦν sq. Anth. 7, 191, 5—6 272 — τροπαῖς = P, Ba 13, 14, Σ^a 274 — καθαρότης = P, Ba 13, 18, Σ^a, Ambr. 282 275 Harp. = P, Ba 13, 17 276 cf. Synt. Laur. 277 = Macar. I 14 cf. Diogen. I 70 278 Dam. fr. 223

262 Z 27 265 cf. Z 27 270 Z 24 271 Anth. cf. 2757 272 Z 32 273 ex 340 274 Z 24

4 καλλωπίζεσθαι] καλλωπίσεσθαι M cf. Et. M 13 πάλιν AM πάνυ GT A(GITSM) MYp 14 παρά] παρὰ τῷ M 22 ἐβεβλήκεσαν] ἐσβεβλήκεσαν A 278 om. S mg. A 278 om. S

νόησεν, ὀλίγα διαλεκτικῆς ἁψάμενος καὶ ὅσον ἐπαΐειν ὑπὲρ αὐτῆς ἔχων.

Σ 279 Ἄγνος: φυτόν, ὃν καὶ λύγον καλοῦσιν. ἔστι δὲ καὶ εἶδος ὀρνέου.

Σ 280 Ἄγνον: οὐχὶ λύγον καλοῦσιν. καὶ ἀρσενικῶς Χιωνίδης Ἥρωσι· καὶ μὴν μὰ τὸν Δί' οὐθὲν ἔτι τέ μοι δοκῶ ἄγνου διαφέρειν ἐν χαράδρᾳ πεφυκότος. Πλάτων· ἥ τε γὰρ πλάτανος αὕτη μάλα ἀμφιλαφὴς καὶ ὑψηλὴ, καὶ τοῦ ἄγνου τε τὸ ὕψος καὶ τὸ σύσκιον πάγκαλον.

Δ Ἁγνὸς δὲ ὀξυτόνως, ὁ καθαρός.

Prov. 281 Ἁγνότερος πηδαλίου: ἐπὶ τῶν ἁγνῶς βεβιωκότων· παρ' ὅσον ἐν θαλάττῃ διὰ παντός ἐστι τὸ πηδάλιον.

Harp. 282 Ἁγνούσιος· Ἀγνοῦς δῆμος ἐστὶ φυλῆς τῆς Ἀκαμαντίδος, ἧς ὁ φυλέτης Ἁγνούσιος.

Soph. 283 Ἀγνώμονες: ἐναντιογνώμονες, ἀσύγγνωστοι. Σοφοκλῆς· Φοίβῳ τε κἀμοὶ μὴ γένησθ' ἀγνώμονες.

Σ 284 Ἀγνωμόνως: ἀνοήτως, ἢ ἀχαρίστως. λέγονται δὲ παρὰ Πλάτωνι ἀγνώμονες, ἀσύγγνωστοι, οἱ ἀμαθεῖς. καὶ Δημοσθένης ἐν τοῖς

Harp. Φιλιππικοῖς ἀντὶ τοῦ ἀλογίστως καὶ ἀβούλως. καὶ ὁ Θεολόγος· ὧν καὶ Ἰουδαίων ἀγνωμονέστερε. ἀντὶ τοῦ ἀνοητότερε.

Δ 285 Ἀγνώνειος: ὁ τοῦ Ἄγνωνος παῖς. καὶ Ἀγνωνίδης.

Ar. 286 Ἄγνωτα: ἀπὸ τοῦ ἄγνωτος. οὐ γὰρ παρασχηματίζει ἀπὸ τοῦ ἀγνὼς εἰς οὐδέτερον γένος. ῥήματα ἄγνωτα τοῖς θεωμένοις. Ἀριστοφάνης Βατράχοις.

Σ 287 Ἀγνῶτας: μὴ ἐπιγινωσκομένους. ἀγνῶτα δέ μοι προσεκόμιζεν
Ε ἄνθρωπον, ὃς καὶ ἑαυτοῦ ἀγνὼς ἐτύγχανεν ὤν. οἱ δὲ ἄρτι τῆς
γεωργίας ἀφέμενοι, εἰς κίνδυνον τοῦ πολέμου κατέστησαν, ἀγνῶτα σφίσι
Ε τὰ πρότερα ὄντα. καὶ αὖθις· φάσκουσα εἶναι μίσθωμα τὸ ἑαυτὴν παραβαλεῖν ἀνδρὶ ἀγνῶτι. φησὶν Αἰλιανὸς ἐν τῷ Περὶ προνοίας.

Δ Ἀγνὼς γὰρ ἀγνῶτος, ὁ ἄγνωστος.

Phil. 288 Ἄγνοια· εἴ τις λέγοι ἄγνοιαν εἶναι στέρησιν ἐπιστήμης, ἁμαρτάνει. ἔστι δὲ ἄγνοια ἕξις μοχθηρὰ καὶ ἠπατημένη.

279 — καλοῦσιν Tim. = P cf. Ba 7, 9 280 — πάγκαλον = P, Ael. D. fr. 12 ex Eust. O. 1638, 11; Chionid. fr. 2 (1, 4 K.); Pl. Phaedr. 230 b vs. 9 ἁγνὸς δέ sq. = Philop. diff., cf. Ambr. 153 281 = Diogen. I 11 cf. Cohn Z. d. Par. 72 282 Harp = P, Ba 13, 4 283 Soph. OC 86 c. sch. 284 — ἀμαθεῖς = P, Ba 13, 21, Σ[a]; Pl. Rep. 450 d Δημοσθένης (2, 26) sq. Harp. = An. Ox. 2, 488, 4, P ὧν—ἀγνωμονέστερε Greg. Naz. PG 36, 661 a 285 = Ambr. 237 et 184 286 Ar. Ran. 926 c. sch. 287 — ὧν = P; — ἐπιγνωσκομένους = Ba 13, 19, Σ[a] cf. H οἱ δέ—ὄντα Proc. bell. 1, 18, 39 φάσκουσα—προνοίας Aelian. fr. 12 ἁγνὼς sq. = Ambr. 154 288 Alex. Aphr. 472, 3—4, 8

278 cf. v. ἐπαΐειν 284 Z 38, 18 287 Aelian. cf. v. μίσθωμα, v. παραβαλεῖν, v. προσέσθαι ἁγνὼς sq. cf. Z 16

A(GITSM) 5 Χιωνίδης A Phot. Χιονίδης rell. 17 ἀσύγγνωστοι ex A = Hes. 18 καὶ ὁ—19 ἀνοητότερε om. S mg. AGM 20 τοῦ om. A 27 τὰ πρότερα AG1T MΥρ τὸ πρότερον SM 30 εἶναι] αὐτοῦ M

289 Ἀγνύθες: οἱ λίθοι τοῦ ἱστοῦ. Δ

290 Ἄγνυται: κλᾶται. καὶ Ἄγνυτον, ὁμοίως. καὶ Ἀγνυ- ΣΔ
μενάων, συντριβομένων. Hom.

291 Ἀγολαῖος: ὄνομα κύριον. Δ

292 Ἀγόμενος διὰ φρατέρων κύων μαστιγοῦται. Prov.

293 Ἀγομένων τῶν ἡμετέρων: ἀντὶ τοῦ ἁρπαζομένων καὶ λη- Σ
στευομένων. ἄγοντες καὶ φέροντες, διὰ πάσης ἰδέας λεηλατοῦντες E
καὶ πορθοῦντες τὴν χώραν. καὶ αὖθις· οὐδενὸς ἀμυνομένου κατὰ E
τὴν πολλὴν ἄδειαν ἄγοντες καὶ φέροντες διετέλεσαν.

294 Ἀγόμφωτον: τὸ ἀνήλωτον. Δ

295 Ἀγονία: ἀτεκνία, ἀγεννησία. Αἰλιανός· διεφθείρετο ἡ νεολαία, Δ
καὶ ἦν ἀγονία καὶ μέντοι καὶ γυναικῶν καὶ τῆς ἀγέλης τῆς τετράποδος. E

296 Ἀγωνίσονται· γενικῇ. Synt.

297 Ἀγόνων χοῶν. διφορεῖται ὁ Θεολόγος φησί· τουτέστι τῶν Greg.
ἐπὶ τοῖς νεκροῖς χεομένων καὶ διὰ τοῦτο ἀγόνων. καὶ Ἀγονία, ἡ Δ
ἀφορία. τὴν Ἄρτεμιν μηνίσαι καὶ μετελθεῖν δικαιοῦσαν αὐτὴν γῆς E
ἀγονίᾳ.

298 Ἀγγοπήνια: τὰ τῶν μελισσῶν κηρία. τουτέστιν ἀγγεῖα ὑφαντά· Δ
ὡς τὸ χρυσεοπήνητα.

299 Ἀγορά: ἡ ἐκκλησία, ὅθεν ὁ Νέστωρ ἀγορητής· καὶ ὁ τόπος, ἔνθα Ar.
πιπράσκεται τὰ ὤνια, καὶ αὐτὰ τὰ ὤνια.

300 Ἀγοράζειν: τὸ ὠνεῖσθαί τι καὶ τὸ ἐν ἀγορᾷ διατρίβειν. Ἀρι- Σ
στοφάνης ἐν Πλούτῳ ἐπὶ τοῦ συνήθως ἡμῖν ἀντὶ τοῦ ὠνήσασθαι. καὶ Ar.
ταῖς ἀδελφαῖς ἀγοράσαι χιτώνιον.

301 Ἀγορὰ Κερκώπων· οὗτοι ἐν Ἐφέσῳ ἦσαν, οὓς ἔδησεν Ἡρα- Prov.
κλῆς, Ὀμφάλης κελευούσης· οὓς ἀποκτεῖναι ᾐδέσθη, τῆς μητρὸς δεη-
θείσης. ἡ δὲ παροιμία εἴρηται ἐπὶ τῶν κακοήθων καὶ πονηρῶν ἀν-
θρώπων.

302 Ἀγορανομίας: λογιστίας. εἴρηται δὲ ἐπὶ τῶν ἐπισκοπούντων Σ
τὰ τῶν πόλεων ὤνια. καὶ Ἀγορανόμοι, οἱ τὰ κατὰ τὴν ἀγορὰν Harp.
ὤνια διοικοῦντες ἄρχοντες. Ἀριστοφάνης Ἀχαρνεῦσιν· ἀγορανόμους Ar.

290 — κλᾶται = Ba 13, 20, Σ^a, H 291 = Ambr. 191 292 = Macar. I 15 293 — λῃστευομένων = Σ^a, P, Ba 13, 30 294 = Ambr. 137 295 διεφθείρετο sq. Aelian. fr. 49 297 — ἀγόνων sch. in Greg. Naz. (PG 36, 378b) cf. Ambr. 111 τὴν sq. Aelian. fr. 46 299 sch. Ar. Ach 21 300 — διατρίβειν = P, Ba 14, 1 cf. Σ^a, H, Bk. 78, 8, Et. M. 12, 56 Ἀριστοφάνης sq. Pl. 984 c. sch. 301 cf. Zen. I 5, Diogen. I 3, Philol. Suppl. 6, 257, n. 12 302 — vs. 30 ὤνια = P, Ba 14, 12, Σ^a ἀγορανόμοι—ἄρχοντες Harp. = Ba 14, 7 cf. P, Bk. 199, 24, Et. M. 13, 8 Ἀριστοφάνης—οἰκίζετε Ar. Ach. 723—4 c. sch.; Call. h. Iov. 39; Ar. Av. 149

289 cf. Z 22 290 cf. Z 37 295 Z 27. Aelian. cf. v. νεολαία et v. προμοίρους 297 διφορεῖται cf. 337; Z 27. Aelian. cf. v. δικαιοῦσαν 298 Z 32 299 Z 27 302 Z 27

2 ὁμοίως] ἐκλάσθησαν S 9 τὴν om. M 10 ἀνήλωτον] ἀνόητον S A(G1TSM; 296 ex A mg. 14 διφορεῖται ex A 16 αὐτὴν GIT αὐτὸν M cp. A αὖθις S, αὐτοὺς v. δικαιοῦσαν 17 ἀγονίᾳ] ἀγονίαν S 18 τουτέστιν—χρυσεοπήνητα ex G1T 22 τι om. GIT 23 συνήθως GT sch. συνήθους AM

δὲ τῆς ἀγορᾶς καθίσταμαι τρεῖς τοὺς λαχόντας, τοὺς δ' ἰμάντας ἐκ λεπρῶν. τουτέστι λώρους, φραγγέλια. τὸ γὰρ παλαιὸν φραγγέλοις ἔτυπτον οἱ λογισταὶ τῆς ἀγορᾶς. λεπρῶν δὲ οἱ μὲν ἀπὸ τοῦ λέπειν, ὅ ἐστι τύπτειν· οἱ δὲ ἀπὸ Λεπρέου πολίσματος τῆς Πελοποννήσου, ἧς μέμνηται καὶ Καλλίμαχος ἐν Ὕμνοις· Καυκώνων πτολίεθρον, ὃ Λέπρειον πεφάτισται. οἱ δὲ ἐκ λεπρῶν βοῶν, διὰ τὸ τὰ ἐκ λεπρῶν βοῶν δέρματα ἰσχυρὰ εἶναι. οἱ δὲ ὅτι οἱ Μεγαρεῖς λεπροὶ τὸ σῶμα, πρὸς οὓς σπένδεται. ἄμεινον δὲ λέγειν, ὅτι τόπος ἔξω τοῦ ἄστεος Λεπροὶ καλούμενος, ἔνθα τὰ βυρσεῖα ἦν. οὗ καὶ ἐν Ὄρνισι μέμνηται· τί δ' οὖν τὸν ἥλιον Λέπρεον οἰκίζετε. καὶ Ἀγορανομῶ· γενικῇ.

Synt.

Harp. 303 Ἀγοράς: Ὑπερίδης ἀντὶ τοῦ συνόδους. λέγει γὰρ ἐν τῷ κατὰ Πολυεύκτου· οὗτοι πολλάκις ἀγορὰς ποιοῦνται. δηλοῖ δὲ καὶ ἄλλα τοὔνομα.

Harp. 304 Ἀγοράσαι: Ὑπερίδης τὸ ὠνήσασθαι. Ἀγοράσω λέγουσι, τὸ Σ δ' ἀγορῶ βάρβαρον· παραδειγμάτων δὲ μεστὰ πάντα, εἰλήφθω δ' ὅμως Ἀριστοφάνους ἐξ Αἰολοσίκωνος· ἀλλ' ἄνυσον· οὐ μέλλειν ἐχρῆν, ὡς ἀγοράσω ἀπαξάπανθ' ὅσα κελεύεις, ὦ γύναι. καὶ Ἀγοράσματα αὐτὰ τὰ ἠγορασμένα.

Ar. 305 Ἀγοράσω: ἀντὶ τοῦ ἐν ἀγορᾷ διατρίψω. Ἀριστοφάνης· ἀγοράσω τ' ἐν τοῖς ὅπλοις ἑξῆς Ἀριστογείτονι. ἀντὶ τοῦ ἐν τῇ ἀγορᾷ διατρίψω μετὰ Ἀριστογείτονος, ἐγγὺς Ἀριστογείτονος. τουτέστιν ἐν μυρσίνῳ κλάδῳ τὸ ξίφος φορέσομεν, ὥσπερ Ἁρμόδιος καὶ Ἀριστογείτων. οὗτοι γὰρ ἀπὸ τῶν μυρσίνων κλάδων τὰ ξίφη ἀνασπάσαντες τὸν τύραννον κατέβαλον.

Σ 306 Ἀγορᾶς ὥραν: οὐ τῶν πωλουμένων, ἀλλὰ τῶν ἄλλων πράξεων τῶν κατ' ἀγορὰν ἔωθεν, ἢ καὶ πρὶν ἀγορὰν πεπληθέναι. Φερεκράτης· πίνειν ἀεὶ καὶ μεθύειν πρὶν ἀγορὰν πεπληθέναι.

Σ 307 Ἀγοραίαν δίκην: τὴν δικαιολογίαν.

Σ 308 Ἀγοραῖος νοῦς: ὁ πανευτελὴς καὶ συρφετώδης καὶ οὐκ ἀπόρ-
Ar. ρητος οὐδὲ πεφροντισμένος. καὶ Ἀγοραῖος Ἑρμῆς· Ἀριστοφάνης. νὴ τὸν Ἑρμῆν τὸν Ἀγοραῖον κἀπιορκῶ γε βλέπων. τουτέστιν ὁ ἐν ἀγορᾷ τιμώμενος.

302 ἀγορανομῶ sq. = An. Ox. 4, 274, 6, Synt. Laur. 303 Harp. = P, Ba 14, 4, An. Ox. 2, 488, 6; Hyper. fr. 150 304 — ὠνήσασθαι Harp. = P; Hyper. fr. 70 ἀγοράσω sq. = P, Ba 16, 1; Ar. fr. 2 305 Ar. Lys. 633 c sch. 306 = P, Ba 14, 14; Pherecr. fr. 29 307 = Ba 14, 3, Σ^a, P 308 — πεφροντισμένος = P. Ba 24, 27 Ἀγοραῖος Ἑρμῆς sq. Ar. Eq. 297—8 c. sch. vs. 31 ὁ ἐν ἀγορᾷ sq. cf. Ba II 375, 34

303 Z 27 305 cf. v. ἐν μύρτου et v. φορήσω

A(GITSMB) 1 καθίσταμαι] καθίστημι M^{ac} 2 φραγγέλια] φραγέλλια A φραγγέλοις GIT φραγγέλλοις A φραγγελλίοις M 4 Λεπρέου] τοῦ Λεπρέου GIT 6 διά—βοῶν om. AT 8 Λεπροί] Λεπρός B, sch. 10 οὖν AGIT sch. Rav. οὐ MB ἥλιον AGIT sch. Rav. Ἠλεῖον MB Λέπρεον] Λέπρον A καί—γενικῇ ex A mg.; ante gl. M, om. καί 12 Πολυεύκτου ITM Πολύευκτον AG 305 nov gl. GITS 17 ὅσα κελεύεις] ὅς' ἂν κελεύῃς Toup, Hekk. 19 ἀντὶ τοῦ om. S 29 πανευτελὴς AGIT εὐτελὴς παντελὴς M 31 βλέπων AGIT βλεπόντων MBAr.

309 Ἀγοραῖοι: προπεριεσπωμένως· οἱ ἐν ἀγορᾷ ἀναστρεφόμενοι x + Σ
ἄνθρωποι. Δαμάσκιος· ὁ δὲ παρίστατο καὶ ἐξήτει τοῖς ἀποστεροῦσι μέχρι Suid.
καὶ δικαστῶν ἀγοραίων. προπαροξυτόνως δὲ Ἀγόραιος, ἡ ἡμέρα ἐν ᾗ
ἡ ἀγορὰ τελεῖται.

310 Ἀγορεύω· δοτικῇ. Synt.

311 Ἀγορῆθεν: ἐκ τῆς ἀγορᾶς. Hom.

312 Ἀγορήν: ἐκκλησίαν. Σ

313 Ἀγορηταί: σύμβουλοι, φρόνιμοι. Σ

314 Ἄγος: μίασμα, ἢ ἀγκών. λέγεται δὲ ἄγος καὶ τὸ τίμιον καὶ Σ
ἄξιον σεβάσματος, ἐξ οὗ καὶ αἱ ἱέρειαι παναγεῖς, καὶ ἄλλα τινά.
Θουκυδίδης· πέμψαντες οἱ Λακεδαιμόνιοι πρέσβεις ἐκέλευον τοὺς Ἀθη- E
ναίους τὸ ἄγος ἐλαύνειν τῆς θεοῦ. ἦν δὲ τὸ κατὰ Κύλωνα τὸν
Ὀλυμπιονίκην τὸν Ἀθηναῖον τὸν πάλαι. καὶ ἤλασαν τοὺς ἐναγεῖς.
Ἀγὸς δὲ ὀξυτόνως ὁ ἡγεμών. Δ

315 Ἀγοστῷ: τῷ ἀγκῶνι. ἐν Ἐπιγράμμασι· οὐκ ἔλαθες χάριτας, Hom.
οὐδ' Ἀκαδημίαν πολυγαθέα, τῆς ἐν ἀγοστῷ σὴν εὐεργεσίην τῷ προσ- Anth.
ιόντι λέγω.

316 Ἄγουσαν: ἱσταθμοῦσαν. διόπερ κατασκευάσας Νίκην χρυ-
σῆν, ἄγουσαν ὁλκὴν χρυσίων μυρίων, ἐξαπέστειλε πρεσβευτὰς εἰς τὴν EL
Ῥώμην τοὺς ταύτην κομιοῦντας τῷ δήμῳ.

317 Ἄγουσιν ἑορτὴν οἱ κλέπται: χαριεστάτη ἡ σύνταξις καὶ Σ
ἱκανῶς πεπαισμένη κατὰ τὴν κωμῳδικὴν χάριν. σημαίνει δὲ τοὺς
ἀδεῶς κλέπτοντας.

318 Ἄγω· αἰτιατικῇ. Synt.

319 Ἀγωγεύς: ὁ ἐνάγων τὴν δίκην, ὁ διώκων. καὶ Ἀγωγεὺς, ὁ Δ
λῶρος. καὶ Ἀγωγεῖ, ἱμάντι, ᾧ ἄγεται ὁ ἵππος. Σ

320 Ἀγωγή: φορὰ τινῶν, ὃ καὶ παρακομίζειν λέγεται, ὡς λέγεται Phil
σίτου ἀγωγὴ ἢ οἴνου.

321 Ἀγωγή: ἀναστροφή, τρόπος· ἢ ἡ κομιδή. καὶ τὸ ἀγόμενον Σ
βάρος. Ἀγωγὴ λέγεται καὶ ἡ διὰ τῶν ἠθῶν τοῦ τρόπου κατα- Ph

309 — ἄνθρωποι + προπαροξυτόνως sq. = Philop. diff., Wiener St 3, 295; οἱ—ἀναστρεφόμενοι = P, Ba 14, 9, Σ^a, H cf. Ambr. 113 Δαμάσκιος—ἀγοραίων Dam. fr. 24 310 = Synt. Gud 587 311 sch B 264 = Ambr. 370 312 = P, Σ^a cf. Ba 14, 10 = sch. A 54 et 305 313 = P, Ba 14, 19, Σ^a 314 — τινά = P; — ἀγκών = Σ^a cf. H; ἀγκών — τινά = Ba 15, 2 πέμψαντες —ἐναγεῖς Thuc. 1, 126, 2 3. 12 vs. 14 ἀγός sq. = Philop. diff. 315 — ἀγκῶνι sch Λ 425 cf. Ambr. 150 οὐκ sq Anth. 6, 144, 2—4 316 διόπερ sq. Diodor. 33. 28 a = EL 406, 17—20 317 = Ba 15, 14, P, fr. com. ad 662 318 = Synt. Gud cf. Laur. 319 — ἐνάγων = Ambr. 110 ἀγωγεῖ sq = Σ^c, P, Ba 18, 3 cf. H 320 Alex. Aphr. 423, 19—20 321 — βάροι = P, Ba 18, 6 vs. 30 ἀγωγή—ὀνόματι Alex. Aphr. 423, 20—424, 2

309 Z 19: Δαμάσκιος—ἀγοραίων ex v. παρίστασθαι 2 311 Z 27 315 Z 17 316 cf. v. εὐοιωνιστόν et v. λυσιτελές 319 Z 19 320—1 Z 27

1 ἀγορᾷ] τῇ ἀγορᾷ SM 2 Δαμάσκιος—3 ἀγοραίων om. S ἐξήτει GI A(GITSM) v. παρίστασθαι, ἐζήτει AM 15 χάριτας] χά|ιας A 16 εὐεργεσίην] εὐεργεσίαν M 22 πεπαισμένη IM^{ac} πεπαισμένην A πεπαιγμένη GTM^{ac}

κόσμησις, ὡς λέγεται παίδων ἀγωγή· καὶ ἡ μεταβολή· ἐφ' οὗ σημαινομένου ὁ ὁριζόμενος οὕτως τὴν γένεσιν κέχρηται τῷ τῆς ἀγωγῆς
E ὀνόματι. Πολύβιος· ἤγαγε δὲ ὁ ξενολόγος καὶ Λακεδαιμόνιον ἄνδρα τῆς Λακωνικῆς ἀγωγῆς μετεσχηκότα καὶ τριβὴν ἐν τοῖς πολεμικοῖς ἔχοντα σύμμετρον.
Σ 322 Ἀγώγιον: τὸ ἀγόμενον βάρος ἐπὶ τῆς ἁμάξης. οὕτως Ξενοφῶν.
Σ+Δ 323 Ἀγώγιμον καὶ Ἀγώγιμος: ἄγων, ἀγόμενος. φερόμενος.
Σ καὶ Ἀγωγίμων, φορτίων ἐμπορικῶν. αὐτοὺς μὲν τοὺς ἐμπόρους
E ἀπαθεῖς κακῶν ἀποσῶσαι, τὰ δὲ ἀγώγιμά σφισιν ἀνασώσασθαι.
Σ 324 Ἀγωγόν: ἐπακτικόν. καὶ Πισίδης· πρὸς τοὺς ἀγωγοὺς ἐτράπη τοῦ Τίγριδος. περὶ Χοιρόου ὁ λόγος. καὶ Ἀγωγοὺς,
Σ προπομπούς.
Anth. 325 Ἀγωαῖος· ἐν Ἐπιγράμμασι· ἀγωαῖόν τε κυνάγχαν.
Δ 326 Ἀγώμενος: θαυμαζόμενος. Ἀγόμενος δὲ φερόμενος.
Σ 327 Ἀγών: ἡ πρὸς τοὺς ἀγῶνας ἄσκησις. Ἀγῶνα· καὶ Ὅμηρος τὸν τόπον αὐτὸν ἐν ᾧ ἀγωνίζονται. Θουκυδίδης πέμπτῃ· προελθὼν ἐς τὸν ἀγῶνα ἀνέδησε τὸν ἡνίοχον.
Soph. 328 Ἀγωνάρχαι· Σοφοκλῆς· καὶ τἀμὰ τεύχη μήτ' ἀγωνάρχαι τινὲς
Σ θήσουσ' Ἀχαιοῖς μήθ' ὁ λυμεὼν ἐμός. καὶ παροιμία· Ἀγὼν οὐ δέχεται σκήψεις. τάττεται ἐπὶ τῶν μηδὲν ὀνιαμένων εἰ σκήψαιντο.
Prov. καὶ Ἀγὼν πρόφασιν οὐκ ἀναμένει. ἡ παροιμία ἐπὶ τῶν φύσει ῥᾳθύμων καὶ ἀμελῶν· ἢ ἐπὶ τῶν μὴ προσιεμένων τοὺς λόγους τῶν προφασιζομένων.
E 329 Ἄγγωνες: ἐπιχώρια δόρατα παρὰ Φράγγοις.
Σ 330 Ἀγωνία: Ξενοφῶν ἀντὶ τοῦ ἀγῶνι.
Harp. 331 Ἀγωνιᾶν· Ἰσοκράτης ἀντὶ τοῦ ἀγωνίζεσθαι.
Δ 332 Ἀγώνιος: ὁ ἐν ἀγῶνι. καὶ θηλυκὸν Ἀγωνία, ὁ φόβος. Ἀγονία δὲ διὰ τοῦ ο μικροῦ, ἡ στείρωσις.
333 Ἀγωνιούμενοι: εἰς ἀγῶνας ἐμβαλοῦντες. τοὺς πολεμίους
E ἀγωνιούμενοι ἀποτράποιντο ἀμαχεί.

321 ἤγαγε sq. Polyb. 1, 32, 1 322 = P, Ba 17, 31; Xen. Cyr. 6, 1, 54 323 ἀγώγιμος—ἀγόμενος = P, Ba 18, 2; φερόμενος = Ambr. 138 ἀγωγίμων —ἐμπορικῶν = P, Ba 18, 8 αὐτούς sq. Aelian. fr. 192 324 — ἐπακτικόν = P, Ba 18, 9 Πισίδης — Τίγριδος Pis. fr. 55 ἀγωγούς sq. = P, Ba 18, 10 325 Anth. 6, 35, 5 326 = Ambr. 344—345 327 = P; τόπον—ἀγωνίζονται = Ambr. 146; Ψ 273, Thuc. 5, 50, 4 328 — ἐμός Soph. Ai. 572—3 ἀγὼν οὐ—σκήψαιντο = P ἀγὼν πρόφασιν sq. = Greg. Cypr. L. I 11, sch. Pl. Crat. 421 d 329 Agath. 1, 21 p. 60 330 = P, Ba 18, 5; Xen. Cyr. 2, 3, 15 331 Harp. = Ba 18, 12, P; Isocr. 15, 183, 302(?) 332 — ἀγῶνι = Ambr. 151

322 Z 31 323 Z 32 324 Z 19 326 Z 36 327 Z 18 328 Soph. cf. v. λυμεών 331 Z 36 333 Z 36

A(GITSM) 1 ἐφ'] ἀφ' A 14 κυνάγχαν] κυνάγχην GIT 17 αὐτόν om. SM 28 θηλυκόν AM θηλυκῶς GITS 31 ἀποτράποιντο] ἀποτραποίαιντο A

334 Ἀγωνιῶ: κινδυνεύω· καὶ τὸ φοβοῦμαι. Πολύβιος· πολλαὶ δὲ πόλεις προσετίθεντο τῶν μεσογαίων τοῖς Ῥωμαίοις, ἀγωνιῶσαι τὰς πεζικὰς δυνάμεις. καὶ Ἀγωνιῶν, δεδιώς. ἀγωνιῶν δὲ τὴν ἀθεσίαν τῶν Κελτῶν καὶ τὰς ἐπιβουλὰς τὰς περὶ τὸ σῶμα. ἠγωνία δὲ τοὺς στρατιώτας, μὴ ἐπιλείπῃ τὰ ὀψώνια. καὶ Ἀγωνιῶντες, ἀντὶ τοῦ ἀγωνιζόμενοι. Ἰσοκράτης. Harp.

335 Ἀγωνίς: ὄνομα ἑταίρας.

336 Ἀγώνισμα: σπουδήν, ἐπιμέλειαν. ἀγώνισμα τίθεται συλλαβεῖν αὐτόν. Ἀριστοφάνης· ἐγὼ δ' εὐξαίμην ἂν ἐντυχεῖν τινι (λείπει θηρίῳ) λαβεῖν τ' ἀγώνισμ' ἄξιόν τι τῆς ὁδοῦ. ἔπαθλον. Ar. Δ

337 Ἀγώνων χοῦν· διαφορεῖται· ἀγώνων δὲ ἐπιταφίων. Suid.

338 Ἀγωνοθέτης: ὁ ἐν τοῖς σκηνικοῖς, Ἀθλοθέτης δὲ ὁ ἐν τοῖς γυμνικοῖς. Σ

339 Ἄγρα: Δήμητρος ἱερὸν ἔξω τῆς πόλεως πρὸς τῷ Ἰλισσῷ. Σ

340 Ἀγναπτότατος βάτος αὖος: ἐπὶ τοῦ σκληροῦ καὶ αὐθάδους τὸν τρόπον. Prov.

341 Ἄγραυλοι: οἱ ἐν ἀγρῷ διανυκτερεύοντες ἢ αὐλιζόμενοι. Σ

342 Ἄγραφα ἀδικήματα: οἱονεὶ ὑπὲρ ὧν νόμος οὐ γέγραπται. Σ

343 Ἀγραφίου: εἶδος δίκης κατὰ τῶν ὀφειλόντων μὲν τῷ δημοσίῳ καὶ διὰ τοῦτο ἐγγραφέντων, πρινὴ δὲ ἐκτίσαι ἐξαλειφθέντων. οὕτως Δημοσθένης καὶ Δείναρχος καὶ Λυκοῦργος. Harp.

344 Ἀγραφίου δίκη: τῶν ἐκ καταδίκης ὠφληκότων τῷ δημοσίῳ γράφουσι τὰ ὀνόματα ἐν σανίσιν οἱ κατὰ καιρὸν περὶ τούτων διοικοῦντες, προστιθέντες ἀνὰ πόσον ἐστὶ τὸ ὄφλημα. ὅταν δὲ ἀποδιδῷ ἕκαστος, ἐξαλείφεται τῆς σανίδος τὸ ἐπίγραμμα. ἐὰν οὖν τις ἀναγραφῇ μὲν ὠφληκέναι, δόξῃ δὲ μὴ ἀποδεδωκέναι, καὶ τὸ ὄνομα αὐτοῦ ἐξῃλειμμένον ᾖ ἐκ τῆς σανίδος, συγκεχώρηται τῷ βουλομένῳ τῶν ἀστῶν εἰσάγειν κατ' αὐτοῦ δίκην ἀγραφίου. Σ

345 Ἀγράφου μετάλλου δίκη: οἱ τὰ ἀργύρεια μέταλλα ἐργαζόμενοι ὅπου βούλοιντο καινοῦ ἔργου ἄρξασθαι, φανερὸν ἐποιοῦντο τοῖς ἐπ' ἐκείνοις τεταγμένοις ὑπὸ τοῦ δήμου καὶ ἀπεγράφοντο τοῦ τελεῖν ἕνεκα τῷ δήμῳ εἰκοστὴν τετάρτην τοῦ καινοῦ μετάλλου. εἴ τις οὖν ἐδόκει λάθρα ἐργάζεσθαι μέταλλον, τὸν μὴ ἀπογραψάμενον ἐξῆν τῷ βουλομένῳ γράφεσθαι καὶ ἐλέγχειν. Σ

334 — κινδυνεύω = P, Ba 18, 11, Σ^a, H πολλαί—δυνάμεις Polyb. 1, 20, 6 ἀγωνιῶν δέ—σῶμα Polyb. 3, 78, 2 ἠγωνία—ὀψώνια Polyb.(?) fr. 94 ἀγωνιῶντες sq. Harp. = P, Ba 18, 13; Isocr. 4, 91 336 Ἀριστοφάνης sq. Ar. Ran. 283—4 ἔπαθλον cf. H. 338 = P, Ba 18, 14 339 = P cf. Paus. Att. fr. 13 ex Eust. I. 361, 39 340 = Zen. I 16 cf. P. 341 = P, Ba 15, 5, Σ^a 342 = P, Ba 15, 8, Σ^a 343 Harp. = An. Ox. 2, 488, 7, P, Ba 15, 24 344 = P cf. Bk. 184, 23 345 = P cf. Bk. 184, 27

334 Z 37 Polyb. 3, 78 cf. 722 336 Z 33, Vind. 44 337 ex 297 338 Z 19 340 hinc 278 344—5 Z 33

10 θηρίῳ AM θηρίων G1T 337 om. SM mg. AI post 338 G 11 διαφορεῖται A om. rell. 340 om. M 17 ἀγρῷ] τῷ ἀγρῷ SM 27 ἀστῶν] αὐτῶν A A(G1TSM)

Δ 346 Ἀγρέμιος: ὁ ἀπὸ τῆς ἄγρας. ἀγρέμιον πολιᾶς ἐξ ἁλὸς
Anth. εὑράμενος.
Δ 347 Ἀγρεσία: ἡ ἄγρα. ἐν Ἐπιγράμμασι· οἱ τριττοί τοι ταῦτα τὰ
Anth. δίκτυα θῆκαν ὅμαιμοι, ἀγρότα Πάν, ἄλλης ἄλλος ἀπ' ἀγρεσίης.
Δ 348 Ἀγρεύς: ὁ ἐπὶ τῆς θήρας.
Hom. 349 Ἄγρει: ἄγε δή.
ΔAnth. 350 Ἀγρεία ἀοιδή: ἡ ἀγροικική. τὸ σκύτος ἀγρείης τ' εἶνε κατὰ
Ar. πλατάνου. ἐν Ἐπιγράμμασι. καὶ Ἀγρεῖος, ὁ ἄγροικος, ὁ ἀμαθής.
ΔAr. ἢ ὁ ἀπὸ τοῦ ἀγροῦ. Ἀριστοφάνης Νεφέλαις· ἀγρεῖος εἶ καὶ σκαιός.
Suid. ὁ ἄγροικος καὶ μέγαν πώγωνα ἔχων. καὶ αὖθις· ἄλλως τ' ἄμουσόν ἐστι
ποιητὴν ἰδεῖν ἀγρεῖον ὄντα καὶ δασύν.
Δ 351 Ἀγρεῖφνα: γεωργικὸν ἐγχαλεῖον, δι' οὗ συνάγουσι τὸν χόρτον.
Anth. ἄλκιμος ἀγρεῖφναν κενοδόντιδα καὶ φιλοδούπου φάρσος ἅμα στελεοῦ
χῆρον ἐλαϊνέου.
Prov. 352 Ἀγρία μέλιττα: ἐπὶ τῶν σφόδρα πονηρῶν τε καὶ ὠμῶν.
353 Ἀγρία συκῆ· ζήτει ἐν τῷ ἀνερίνασος.
Δ 354 Ἀγριᾶνες: τάξεις στρατιωτική.
Δ 355 Ἀγρίδιον.
Σ 356 Ἀγριόθυμος: ἄγριος τῇ ψυχῇ.
Σ 357 Ἄγριον ὑποβλέπει με: μᾶλλον χρηστέον ἢ ὑποβλέπεται.
E οἱ δὲ ἐλέφαντες ἀνέτρεχον καὶ ἐβόων ἀγριαίνοντες. καὶ ἄγριον ὑπο-
Suid. βλέποντες. καὶ αὖθις· ὁ δὲ τὸ θηριῶδες καὶ ἄγριον ὑπεκίνει καὶ διηρέθιζεν, εἴ
που κύριος γένηται τοῦ χωρίου.
358 Ἀγριοποιόν. καὶ ἄνθρωπος ἀγριοποιός. ἀγρίους εἰσάγοντα
Ar. τοὺς ἥρωας. Ἀριστοφάνης περὶ Αἰσχύλου· ἐγῶδα τοῦτον κἀξεπίσταμαι
καὶ διέσκεμμαι πάλαι, ἄνθρωπον ἀγριοποιὸν, αὐθαδόστομον, ἔχοντ'
ἀχάλινον ἀκρατὲς ἀθύρωτον στόμα, ἀπεριλάλητον, κομποφακελλορήμονα.
Δ 359 Ἄγριος: ὄνομα κύριον. καὶ Ἄγριος, ἄμικτος, ἀνήμερος. λέ-
γεται δὲ καὶ ἐπὶ κακίας ὑπερβολῇ. Αἰλιανός· ἀποστείλας τοὺς ἀγριω-

346 ἀγρέμιον sq. Anth. 6, 224, 2 347 οἱ sq. Anth. 6, 13, 1—2 349 sch. E 765, cf. H 350 τό—πλατάνου Anth. 6, 35, 2 ἀγρεῖος—ἀμαθής sch. Ar. Nu. 655 ἀπὸ τοῦ ἀγροῦ cf. Ambr. 143 Ἀριστοφάνης—σκαιός Ar. Nu. 655; ὁ ἄγροικος—ἔχων sch. Ar. Th. 160 351 ἄλκιμος sq. Anth. 6, 297, 1—2 352 = Macar. I 24 354 = Ambr. 259 355 = Ambr. 320 356 = P, Ba 15, 12, Ambr. 140 357 — ὑποβλέπεται = Ba 15, 20 358 ἀγρίους sq. Ar. Ran. 836—7 c. sch. 359 — κύριον = Ambr 180 ἄγριος sec.—ἀνήμερος = H; ἀνήμερος = Et. M. 13, 22, sch Θ 460, Ambr. 142 ἀποστείλας—θρηνοῦσαν Aelian fr. 49

346 cf. v. λαβύρινθος; Z 19 347 cf. v. ὅμαιμοι; hinc 369; Z 28 350 Vind. 144 ἄλλως sq. ex 1633 351 Z 29; Anth. cf. v. φάρσος 354 Z 28 cf. 17 355 Z 33 356—7 Z 20 357 ὁ δέ sq. ex v. διηρέθιζεν 358 cf. v. ἐγῶδα et 772

A(GITSM) 7 τ'εἶνε AGIT εἶνε M τεῖνε Anth. 8 ὁ ἀμαθής] καὶ ἀ. GIT 9 ἢ ὁ] ἢ S ἀγροῦ] ἀγρίου A Ἀριστοφάνης—11 δασύν om. S 10 ὁ om. A καὶ αὖθις—11 δασύν hic M post 373 AGIT καὶ αὖθις om. A 13 ἀγρεῖφναν AS καὶ ἀ. rell 15 τε om. SM 353 om. S mg. M 355 om. GS 19 ἄγριος] ὁ ἄ. SM 21. 22 καὶ ἄγριον ὑποβλέποντες om. AGIT (Zon.) 22 καὶ αὖθις—23 χωρίου om. S 24 καί ἀγριοποιός om. SM mg. A καί om. A 25 ἐγῶδα] ἐγῶ διά A

τάτους τῶν δορυφόρων ἐξήρπασε τὴν γυναῖκα καὶ πρὸς βίαν ἤσχυνε E
ποτνιωμένην καὶ θρηνοῦσαν. καὶ, ὁ Ἅδης, δημιουργὸς ἄγριος. Soph.
360 Ἀγρίους: Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου τοὺς σφόδρα ἐπτοη- Harp.
μένους περὶ τὰ παιδικὰ οὕτως ὠνόμασε. καὶ Μένανδρος δὲ ἄγριον
εἶπε κυβευτὴν τὸν λίαν περὶ τὸ κυβεύειν ἐσπουδακότα. ἀγρίους Ar.
καὶ κολλοποδιώκτας ἐκάλουν οἱ παλαιοὶ τοὺς παιδερασ τάς. ὅτι ἐκω- Suid.
μῳδοῦντο οἱ Ἀχαρνεῖς ὡς ἄγριοι καὶ σκληροί· καὶ Ζήτει ἐν τῷ δραχαρνεῦ.
361 Ἀγριότης: ὁρμή. θαυμαστὴ γάρ τις κίνησις, ὡς ἔοικε, τάν- E
θρώπου πρὸς τοῦτο τὸ μέρος ... ἀγριότης. ἐπὶ φιλαργυρίας. καὶ
Ἀγριώτατος, ὁ ἀνήμερος. Δ
362 Ἀγριωπός: τὴν ἀγριωπὸν ἀκρατῶς γαυρουμένην. λέγει δὲ τὴν ἁμαρτίαν. Io. Dam
ἐκ τοῦ ὤψ ὠπός, ὃ σημαίνει τὸν ὀφθαλμόν, τουτέστιν ἡ ἀναιδὴς καὶ ἄγριος.
363 Ἀγρίππας: ὄνομα κύριον. Δ
364 Ἄγριππος: ἡ ἀγρία ἐλαία. καὶ παροιμία· ἀκαρπότερος Δ
ἀγρίππου. Prov.
365 Ἀγρίφη: δίκελλα, σκεῦος γεωργικὸν πολύγομφον. Δ
366 Ἀγρολέτειρα: ἡ Ἄρτεμις. Δ
367 Ἀγρόμενοι: συναθροίζοντες. ἀγρόμενοι πᾶς δῆμος, σύντα- Σ
ξις πρὸς σχῆμα· ὁ δῆμος ἀγρόμενοι· ἐπεὶ ὁ δῆμος πλῆθος σημαίνει. Hom
368 Ἀγρονόμοι: οἱ ἐν ἀγροῖς διάγοντες. ἠχήεις τέττιξ δροσε- Σ
ραῖς σταγόνεσι μεθυσθεὶς, ἀγρόνομον μέλπεις μοῦσαν ἐρημολάλον. ἐν Anth.
Ἐπιγράμμασι.
369 Ἀγρότας: ἀγροίκους. καὶ Ἀγρότης· ὁ ἐν ἀγρῷ διαιτώμενος. ΣΔ
ἀλλ' ὡς πάροινος ἀγρότης ἀνεκλίθης. καὶ ἐν Ἐπιγράμμασι· οἱ τριττοί τοι ταῦτα Suid.
τὰ δίκτυα θῆκαν ὅμαιμοι ἀγρότα Πάν, ἄλλος ἄλλης ἀπ' ἀγρεσίης. θηλυκὸν δὲ
Ἀγρότις. ἐν Ἐπιγράμμασι· ἄνθετο δέρμα λέοντος Τεῦκρος Ἄραψι, καὐτὴν
ἀγρότιν αἰγανέαν.

359 ὁ sq. Soph. Ai. 1035 360 — ἐσπουδακότα Harp. = P, Ba 17, 10; Aeschin. 1, 52; Men. com. fr. 965 vs. 5 ἀγρίους—παιδερασ τάς sch. Ar. Nu. 348 361 θαυμαστή—μέρος (φιλαργυρίας) Polyb. fr 93 ἀγριώτατος = Ambr. 229 362 — γαυρουμένην Io. Dam. can. 1, 96 ὤψ—ὀφθαλμόν cf. Et. Gud., An. Ox. 2, 334, 28 363 = Ambr. 182 364 — ἐλαία cf. H v. ἄγριφος ἀκαρπότερος sq. cf. Zen. I 60 365 — δίκελλα = Ambr. 261 366 = Ambr. 273, Stud. An. 270 367 — συναθροίζοντες = P, Ba 15, 11 ἀγρόμενοι sq. Υ 166 c. sch. A 368 — διάγοντες = P, Ba 15, 22, cf. H ἠχήεις sq. Anth. 7, 196, 1 369 — ἀγροίκους = P, Ba 15 ἀγρότης—ἀγρῷ cf. Ambr. 136 b

359 Soph. cf. v. δημιουργός 360 ὅτι ἐκωμωδοῦντο sq. ex v. δραχαρνεῦ cf. v. σκληφρός 364 Z 20; Prov. cf. 806 365—6 Z 28 367 Z 37; Hom. cf. v. ὣς φάσαν 369 — ἀνεκλίθης Z 20; ἀλλ—ἀνεκλίθης ex v. B 457 οἱ τριccοί—ἀγρεσίης ex 347 ἄνθετο—αἰγανέαν ex v. αἰγανέαν cf. v. καὐτήν

1 βίαν] κακίαν S 6 ὅτι—δραχαρνεῦ ex A mg. 9 ἀγριότης nov. gl. ITS καὶ ἀγριότης Toup φιλαργυρίας] φλυαρίας S 362 om. S post 365 M; τὴν ἀγριωπόν sq. mg. A 12 ἐκ—ἄγριος] ὡς ἀναιδῆ καὶ ἀγρίαν M 16 δίκελλα] post πολύγομφον praemiss. ἤγουν GI'Γ' 17 Ἀγρολέτειρα] Ἀγρολέτηρα AS 20 ἠχήεις] ἠχητικός ss. S 21 σταγόνεσι] ἤγουν βραχείς ss. S μοῦσαν] ἤγουν τραγῳδίαν ss. S 23 καὶ AM om. GITS, nov. gl. 24 ἀλλ'—27 αἰγανέαν om. S mg. A 24 καὶ ἐν—25 ἀγρεσίης ex A mg.; Ζήτει χρῆσιν τὴν πρὸ ὀλίγων ἐν τῷ ἀγροπάν (ɔ: 347) M 25 ἀγρότα] ἀγρόστα A ἄλλης] ἀπ' ἄλλης A A(GITSM)

370 Ἀγροτέρας: ἀγρίου. ἐν Ἐπιγράμμασι· τοῦτό σοι ἀγροτέρης
Anth. Διονύσιος αὐτὸς ἐλαίης θῆκε ῥόπαλον.
Prov. 371 Ἀγροῦ πυγή: ἐπὶ τῶν λιπαρῶν καὶ ἐπιμόνως ὑφινιοῦν ἔργῳ προσκαθημένων.
Δ 372 Ἀγρωνίδης: ὁ Ἄγρωνος παῖς.
Δ 373 Ἀγρώσσω: τὸ ἀγρεύω. καὶ Ἀγρῶσται, οἱ κυνηγέται, ἀπὸ
Σ τοῦ ἀγρώσσω ῥήματος. Ὅμηρος· ἰχθῦς ἀγρώσσων.
Δ 374 Ἄγρωστις: εἶδος βοτάνης.
Δ 375 Ἀγροικίζω. καὶ Ἄγροικος, ἄφρων, δύσκολος· σκληρὸς καὶ
Σ ἀπαίδευτος, ἢ ὁ ἐν ἀγρῷ κατοικῶν. κατὰ μεταφορὰν δὲ ὁρίζονταί
Phil. τινες τὴν ἀγροικίαν σκληρότητα ἤθους· ἡ γὰρ σκληρότης κυρίως ἐπὶ σωμάτων.
Ar. 376 Ἄγροικος ἐξ ἄστεος: οὐκ ἀργῶς τῇ παραθέσει νῦν ἐχρήσατο· οὐ γὰρ ὀνειδίσαι βουλόμενος ἑαυτὸν ἄγροικον καλεῖ· ἀνόητον γὰρ καὶ ἄγροικον παντάπασι διαβάλλειν ἑαυτόν· ἀλλὰ πρῶτον μὲν διὰ τούτου λεληθότως τὴν εὐπορίαν παρίστησι τὴν ἑαυτοῦ. οὐ γὰρ ἂν, εἰ μὴ πάνυ ἦν πλούσιος, ἐπεδικάσατο ἂν αὐτοῦ ἡ γυνὴ καὶ τῇ δόξῃ αὐχοῦσα τοῦ γένους καὶ τῇ ἐν ἄστει διατριβῇ. ἀδοξεῖν γὰρ εἰώθαμεν ἐπὶ τοῖς ἀγροίκοις. ἔπειτα δὲ κἀκείνην θεραπεύει τὴν ἀντίθεσιν τὸ ὑποτετάχθαι αὐτὸν τῇ γυναικί· δεσπόζειν γὰρ εἰώθασιν οἱ ἄνδρες τῶν γυναικῶν. ὁ δὲ τῇ ἀντιπαραθέσει καὶ τοῦτο ἐπιστώσατο, φήσας ἄγροικον αὐτὸν εἶναι, τὴν δὲ γυναῖκα πολιτικήν. θαυμαστὸν γὰρ οὐδέν, εἰ ἄνθρωπον ἰδιοπράγμονα καὶ μέτριον τοὺς τρόπους διὰ τὴν ἐπὶ τῆς ἀγροικίας διαίταν γύναιον ὑπέταξε πολιτικὸν καὶ κατεδουλώσατο.
Ar. 377 Ἄγροικος ὀργήν: φιλόδικος, ἀκρόχολος, εἰς ὀργὴν εὔκολος.
Δ Ἀριστοφάνης· νῶιν γάρ ἐστι δεσπότης ἄγροικος ὀργήν. καὶ Ἀγροί-
της, ὁ ἀγρός.
Prov. 378 Ἀγροίκου μὴ καταφρόνει ῥήτορος: ὅτι μηδὲ τῶν εὐτελῶν χρὴ καταφρονεῖν.
Harp. 379 Ἀγροιλῆθεν: Ἀγροίλη δῆμός ἐστι φυλῆς τῆς Ἐρεχθεΐδος. ὁ δὲ δημότης πάλαι ἐλέγετο Ἀγροιλεύς.

370 τοῦτο sq. Anth. 6, 3, 3—4 371 = Macar. I 3, Philol. Suppl. 6, 257, n. 14 373 — ἀγρεύω = Ambr. 332 ἀγρῶσται sq. = P, Ba 16, 20; ε 53 374 = H, An. Ox. 2, 470, 3 cf. Ambr. 262 375 l. = Ambr. 365 ἄγροικος —δύσκολος = Ba 15, 7, P σκληρός—κατοικῶν Tim. = Ba 15, 9 cf. P (Phryn. fr. 76) ὁ—κατοικῶν cf. Ambr. 116, Philop. diff., sch. Ar. Nu. 43 κατά sq. Alex. Aphr. 324, 9—12 376 sch. Ar. Nu. 47 377 — vs. 26 ὀργήν Ar. Eq. 40—1 c. sch. ἀγροίτης cf. Ambr. 136a 378 = Zen. I 15 379 Harp. = P, Ba 17, 14

370 Z 28 373 Z 37, 18 374 Z 18 375 Vind. 144 377—8 Z 19 379 Z 19, 28

A(GITSM) 1 ἀγροτέρης] ἀγροτέρας SM^{ac} 3 πυγή] πηγή I cf. Prov. ὑφινιοῦν] ὁτιοῦν GI 5 ὁ om. SM 373 om. S post 370 M 6 ἀγρεύω M ἀγορεύω AGIT 8 cf. ad 350 9 ἄγροικος] ἀγροῖκος δέ add. S cf. Philop. et Ambr. 27 ἄγρος] ἄγριος Bas. 29 χρή] δεῖ A

380 Ἀγροιώτης: ὁ γεωργικὸς λεώς, ὁ ἐν ἀγρῷ. ἀγροιώτᾳ τῷδε Δ
μονοστόρθυγγι Πριήπῳ. στόρθυγξ γὰρ τὸ ἄκρον τοῦ δόρατος ἢ τὸ τοῦ βέλους Suid.
σιδήριον. θηλυκῶς δὲ Ἀγροιῶτις διὰ τοῦ ι. Δ

381 Ἄγοι: πολλὰ σημαίνει. Ἰσαῖος δὲ ἀντὶ τοῦ φέρειν καὶ ἐνάγειν Harp.
καὶ ἕλκειν ἔλαβεν· ἔβλαψε γάρ με, φησί, Ξενοκλῆς ἀφελόμενος Εὐμάθην εἰς ἐλευθερίαν, ἄγοντος ἐμοῦ εἰς δουλείαν. Ἀντιφῶν δὲ τὸ ἄγοι ἀντὶ τοῦ ἡγεῖτο παρείληφε· φησὶ γὰρ ἐν τῷ περὶ ἀληθείας· τοὺς νόμους μεγάλους ἄγοι.

382 Ἀγυιάν: τὸν στενωπὸν Ξενοφῶν. καὶ ὅλως πολλὰ τὰ γλωσσηματικὰ παρ' αὐτῷ. Σ

383 Ἀγυιαί: ἄμφοδα, ῥύμαι, ἢ ἐπιμήκεις ὁδοί· παρὰ γὰρ τὸ μὴ ἔχειν πως γυῖα καὶ μέλη καὶ κάμψεις. τὰ δὲ ἄμφοδα ἔχουσιν ἑκατέρωθεν διεξόδους καὶ ταύτῃ διαφέρουσιν. Ἀγυιᾶς δὲ ἔνιοι μὲν ὀξύνουσι θηλυκῶς χρώμενοι, οἷον τὰς ὁδούς· βέλτιον δὲ περισπᾶν, ὡς ἀπὸ τοῦ ἀγυιέας. ἀγυιεὺς δέ ἐστι κίων εἰς ὀξὺ λήγων, ὃν ἱστᾶσι πρὸ τῶν θυρῶν. ἰδίους δέ φασιν αὐτοὺς εἶναι Ἀπόλλωνος, οἱ δὲ Διονύσου, οἱ δὲ ἀμφοῖν. ἔστιν οὖν τὸ ὁλόκληρον ἀγυιεύς, καὶ τὴν αἰτιατικὴν ἀγυιέας, ἐν συναλοιφῇ δὲ ἀγυιᾶς. ἔστι δὲ ἴδιον Δωριέων. εἶεν δ' ἂν οἱ παρὰ τοῖς Ἀττικοῖς λεγόμενοι ἀγυιεῖς οἱ πρὸ τῶν οἰκιῶν βωμοί, ὡς Σοφοκλῆς μετάγων τὰ Ἀθηναίων ἔθη εἰς Τροίαν φησί· λάμπει δ' ἀγυιεὺς βωμὸς ἀτμίζων πυρὶ σμύρνης σταλαγμοὺς, βαρβάρους εὐοσμίας. καὶ Ἀγυιεύς, ὁ πρὸ τῶν αὐλείων θυρῶν κωνοειδὴς κίων, ἱερὸς Ἀπόλλωνος, καὶ αὐτὸς θεός. Φερεκράτης Κραπατάλοις· ὦ δέσποτα Ἀγυιεῦ, ταῦτα σὺ μέμνησό μου. Σ

384 Ἀγύλαιος: ὄνομα κύριον. Δ

385 Ἀγύρριος: ὄνομα κύριον. ὃς ἐπὶ μαλακίᾳ διεβέβλητο ὡς καὶ πέρδεσθαι αὐτόν. Ἀριστοφάνης Πλούτῳ. ἐκωμῳδεῖτο δὲ καὶ εἰς θρασύτητα. καὶ Ἀγύρριος, δημαγωγὸς Ἀθηναίων οὐκ ἀφανής. Ar. Harp.
Ἀγύρριος τὸν Προνόμου πώγων' ἔχων λέληθεν. ὁ Ἀγύρριος στρατηγὸς θηλυδριώδης, ἄρξας ἐν Λήμνῳ, ὃς τὸν μισθὸν τῶν ποιητῶν συνέτεμεν. ὁ δὲ Πρόνομος αὐλητὴς ἦν μέγαν πώγωνα ἔχων. Ar.

380 ὁ ἐν ἀγρῷ = Ambr. 135 381 Harp. = P, Ba 13, 23, An. Ox. 2, 488, 1; Isaeus fr. 67, Antiph. fr. 118 382 = P; Xen. Cyr 2, 4, 3 383 — διαφέρουσιν = P cf. Ba 16, 25 ἀγυιᾶς—εὐοσμίας Harp. = P, Ba 16, 8; Soph. fr. 341 Ἀγυιεύς sq. = P; Pherecr. fr. 87 384 = Ambr. 189 385 — θρασύτητα sch. Ar. Pl. 176 vs. 28 Ἀγύρριος—ἀφανὴς Harp. = P, Ba 16, 7 vs. 28. 29 Ἀγύρριος sq. Ar. Eccl. 102 c. sch.

380 — ἀγρῷ Z 20 ἀγροιώτᾳ—Πριήπῳ ex v. Πρίαπος; στόρθυγξ—σιδήριον ex v. στόρθυγξ 383 Z 20 385 — αὐτόν hinc v. πέρδεσθαι Ar. Eccl. hinc v. Πρόνομος; Z 21

1 ἀγροιώτᾳ—Πριήπῳ om. S τῷδε M, v. Πρίαπος, τῶν δέ AGIT A(GITSM)
2 στόρθυγξ—σιδήριον om. ASM mg. G 7 παρείληφε] παρέλαβον GI
8 μεγάλους] μεγάλως SM^{ac} 382 om. S 11 γάρ om. SM 14 θηλυκῶς] θ. δέ M 17 τήν om. M αἰτιατικήν] αἰτιατικόν M 22 αὐλείων] αὐλίων SM cf. Phot. κωνοειδὴς GIT κονοειδὴς SM καὶ νοειδὴς A 23 Ἀπόλλωνος] Ἀπόλλωνι SM^{ac}

Δ 386 Ἄγυρις: ἄθροισις. καὶ Ἀγυρισμός. ὁ δὲ ἐσπούδασεν εἰς τὸ δυνατὸν πρὸς ἀγυρισμὸν τῆς ἀπορρήτου τῶν θείων θεραπείας. καὶ
Σ Ἀγυρμός, ἐκκλησία, συναγωγή.
387 Ἀγυρτεία: ὁμιλίαν, οἵαν ἐκεῖνος ἐθηρᾶτο, πρὸς ἀγυρτείαν τινὰ θρασυνομένην.
Soph. Σ 388 Ἀγύρτης: πτωχὸς, ὀχλαγωγός. ἐπαίτης, φιλοκερδής. ἢ συρφετώδης. ἔστι δὲ καὶ βόλος κυβευτικὸς καὶ Γάλλος καὶ μάντις, ὡς
Anth. Ἀπίων. ἐν Ἐπιγράμμασι· κειράμενος γονίμην τις ἀπὸ φλέβα Μητρὸς
Soph. ἀγύρτης. καὶ αὖθις· δόλιον ἀγύρτην, ὃς ἐν τοῖς κέρδεσι μόνον δέδορκε. καὶ αὖθις· ἦν γὰρ αὐτὸς ἀγύρτης τῷ ὄντι καὶ φιλομαντευτής.
Σ 389 Ἀγύρτης: ὁ ἀλαζὼν καὶ ἀπατεών. τὸ δὲ ἀγείρειν καὶ τὸ περιαγείρειν, τὸ περιϊέναι καὶ περινοστεῖν ἐπὶ νίκῃ ἤ τινι ἑτέρῳ τοιούτῳ σεμνύνειν. ὁ δὲ ἀγύρτης καὶ κυβευτικοῦ βόλου ὄνομά ἐστιν. ἐμέμφετο αὐτοῦ τὸ περὶ τὰς μαντείας ἐπτοημένον καὶ βουλόμενον ἀεὶ
Σ τοῖς ἀγύρταις ἐπιτρέπειν τὰ οἰκεῖα πράγματα. καὶ Ἀγυρτικὰ, χυδαῖα ψεύσματα. καὶ Ἀγυρτώδη, συρφετώδη.
Eol.? 390 Ἄγχαυρος: ὁ παχνώδης ὄρθρος, παρὰ τὸ πλησίον ἔχειν τὴν αὔραν. Ὅμηρος· αὔρη δὲ ψυχρὴ πνέει ἠῶθι πρό.
Δ 391 Ἀγχεῖος: ὁ πλησίον.
Δ 392 Ἀγχείσιος: ὁ τοῦ Ἀγχείου.
Δ 393 Ἀγχηστῖναι: πυκναί. καὶ Ἀγχηστῖνος, ἡ εὐθεῖα.
Σ 394 Ἄγχι: ἐγγύς.
Δ 395 Ἀγχιάλεια: πόλις. καὶ Ἀγχίαλος, ἡ ἐγγὺς τῆς θαλάσσης.
Soph. οὐ πάντως δὲ αἱ ἀγχίαλοι καὶ ἀμφίαλοι εἰσίν. οἷά ἐστιν ἡ Ἀλεξάνδρεια, ἀγχίαλος μὲν, οὐκ ἀμφίαλος δέ· αἱ δὲ νῆσοι καὶ ἀγχίαλοι καὶ ἀμφίαλοί εἰσι. Σοφοκλῆς· Τελαμώνιε παῖ τῆς ἀμφιρρύτου Σαλαμῖνος.
Anth. καὶ αὖθις· θεῖον Ὅμηρον κλεινὸς ἐπ' ἀγχιάλῳ τύμβος ἔχει σκοπέλῳ.
Suid. 396 Ἀγχιάλη: πόλις, ἣν ἔκτισεν ἐν μιᾷ ἡμέρᾳ Σαρδανάπαλος ὁ τῶν Ἀσσυρίων βασιλεύς. ὁμοίως ἔκτισε καὶ τὴν Ταρσὸν ὁ αὐτός.

386 — ἄθροισις = Ambr. 258 cf. sch Π 661 ὁ δέ—θεραπείας Dam. fr. 92 ἀγυρμός sq. = P, Ba 15, 13 388 — πτωχός sch. Soph. OT 388 ἐπαίτης, φιλοκερδής = Σ^a, P, Ba 15, 17 Bk. 213, 9, Et. M. 14, 31 συρφετώδης—κυβευτικός cf. H et ad 389 κειράμενος—vs. 9 ἀγύρτης Anth. 6, 218, 1 δόλιον—δέδορκε Soph. OT 388 ἦν sq. Dam. ('Durchf. A') 389 — ἐστιν = P; — σεμνύνειν = Ba 15, 17, Et. M. 14, 32 cf. Ael. D. fr. 9 ex Eust. O. 1430, 34; H ἐμέμφετο—πράγματα Dam. ('Durchf. A') ἀγυρτικά sq = Ba 16, 23, P, Bk. 213, 10; — ψεύσματα = Et. M. 14, 35 390 cf. Et. M. 14, 42, sch. Ap. R. 4, 111; ε 469 391 = Ambr. 238 392 = Ambr. 235 393 = Ambr. 263 et 124 cf. sch. Ε 141, Et. M. 15, 3 394 = P, Ba 17, 7, sch. Ε 185, H 395 — πόλις = Ambr. 286 Ἀγχίαλος cf. Ambr. 274 οὐ—Σαλαμῖνος Soph. Ai. 134 c. sch. θεῖον sq. Anth. 7, 4, 1—2

386 Z 21 cf. 28 388 hinc v. B 869 388—9 Z 18 390 Z 21 391—2 Z 21 392 cf. 404 393 cf. Z 23 396 ex v. Σαρδανάπαλος

A(GITSM) 4 Ἀγυρτεία AS Ἀγυρτείαν GITM 11 ἀγείρειν] ἀγύρειν AM 18 αὔρη] αὔριον A πνέει] πνόη ss. S ἠῶθι] πρὸ τῆς ἡμέρας mg. S 25 νῆσοι καὶ S sch. νῆσοι rell. 396 om. S mg. A post vs. 23 πόλις GIT 28 πόλις om. GIT (add. καὶ Ἀγχιάλεια ἡ πόλις post vs. 29 βασιλεύς) 29 ὁμοίως—αὐτός ex M, ss. περισσόν

397 Ἀγχιβαθής: ὁ ἐγγύβαθος. Δ

398 Ἀγχιβατεῖν: Ἴωνες τὸ ἀμφισβητεῖν. καὶ Ἀγχισβασίην Ἡράκλειτος. Suid.

399 Ἀγχίθυρος: πλησιαίτατος. γείτων. ἀγχίθυροί τε καὶ γείτονες ἀλλήλων αἱ δυνάμεις ἐγίνοντο. ΔΣ E

400 Ἀγχίμαχος: ἐγγύθεν μαχόμενος. Σ

401 Ἀγχίμολον: ἐγγὺς ἐλθόν. Σ

402 Ἀγχίνους: συνετὸς, ὀξὺς τὸν νοῦν. δημηγορήσαντος τοῦ βασιλέως τοῦ τε ἱεροῦ ξυλλόγου τὸ ἀγχίνουν τε καὶ βουλευτικὸν τοῦ βασιλέως ἐπαινέσαντος. ὅτι τρία μέρη εὐμαθείας, ἀγχίνοια, μνήμη, ὀξύτης. καὶ μνήμη μέν ἐστι τήρησις, ὧν ἔμαθέ τις· ὀξύτης δὲ ἡ ταχύτης τῆς διανοίας· ἀγχίνοια δὲ τὸ ἐξ ὧν ἔμαθε θηρεύειν καὶ ἃ μὴ ἔμαθεν. Σ EL

403 Ἀγχίνοια: σύνεσις. ἢ ἕξις εὑρετικὴ τοῦ καθήκοντος ἐκ τοῦ παραχρῆμα. ἢ εὐστοχία τις ἐν ἀσκέπτῳ χρόνῳ. καὶ Ἀγχίνουν· Δαμάσκιος· ὀξεῖαν δὲ καὶ ἀγχίνουν φύσεως δύναμιν ἐπὶ πολλὰ δι' ὀλίγου φέρεσθαι δυναμένην ἑτοιμοτάτην συνιέναι καὶ γνωρίζειν τὰ ἴχνη τῶν θηραμάτων. περὶ Ἰσιδώρου ὁ λόγος. Σ Phil.

404 Ἀγχίσης: Ἀγχίσου. καὶ Ἀγχισίδης. Δ

405 Ἀγχίσποροι: ἐγγὺς γένους. Δαμάσκιος· ἀλλὰ ῥώμῃ γενναίας φύσεως καὶ θεῶν ἀγχισπόρου. Σ

406 Ἄγχιστα: ἔγγιστα. Σ

407 Ἀγχιστεύς. καὶ Ἀγχιστεία, συγγένεια. καὶ Ἀγχιστεῖς, οἱ ἀπὸ ἀδελφῶν καὶ ἀνεψιῶν καὶ θείων κατὰ πατέρα καὶ μητέρα ἐγγυτάτω τοῦ τελευτήσαντος. οἱ δὲ ἔξω τούτων, συγγενεῖς μόνον. οἱ δὲ κατ' ἐπιγαμίαν μιχθέντες τοῖς οἴκοις οἰκεῖοι λέγονται. ΔΣ

408 Ἀγχιστεία: ἡ μετουσία τῆς οὐσίας. παρὰ Ἀριστοφάνει· νόθῳ μὴ εἶναι ἀγχιστείαν. καὶ Ἀγχιστεύω ῥῆμα, γενικῆ. Ar. Synt.

409 Ἀγχιστίνδην: τὸ κατὰ ἀγχιστείαν, ὡς ἀριστίνδην καὶ πλουτίνδην. Σ

397 cf. Et. M. 15, 34, Ambr. 120 399 — πλησιαίτατος cf Ambr. 119 γείτων = P, Ba 17, 8; Bk. 213, 13 ἀγχίθυροι sq. Th. Simoc. 2, 8, 12 400 = Ba 17, 6, cf. P v. ἀγχέμαχος, H, Ambr. 122 (= Et. M. 15, 10) 401 = P, Ba 17, 16 cf. Bk. 213, 14, H, Ambr. 322 402 — νοῦν = P, Ba 17, 18 cf. H δημηγορήσαντος—ἐπαινέσαντος Men. Prot. fr. 5 FHG 4, 203 = EL 442, 28—29 ὅτι τρία sq. vita Pyth, Phot. bibl. 440 b 39—441 a 3 403 — σύνεσις = P, Ba 17, 17 ἕξις—παραχρῆμα Laert. 7, 93; εὐστοχία—χρόνῳ Alex. Aphr. 93, 7 (= Aristot. Anal. post 1 p. 89 b 10) ὀξεῖαν sq. Dam. fr. 31 = Phot. bibl. 337 a 21—24 404 — Ἀγχίσου = Ambr. 169 405 — γένους = P, Ba 17, 9, sch. Pl. Rep. 391 a ἀλλά sq. Dam. fr. 40 406 = P, Ba 17, 19, sch. B 58 407 Ἀγχιστεύς = Ambr. 187 ἀγχιστεία sq. = P, Ba 17, 20 cf. Ambr. 288 408 — ἀγχιστείαν Ar. Av. 1661 c. sch. ἀγχιστεύω sq. cf. Bk. 126, 8, Synt. Laur. 409 = Σ^c, P, Ba 17, 25

397 Z 21 398 ex 1762 402 vita Pyth. hinc v. μνήμη et v. ὀξύτης 403 Z 23. Dam. cf. v. ἔρως 2 405 Dam. cf. v. πολυήκοος 407 Z 21 408 Z 28

398 om. GS mg. A 17 περί] παρά A 408 om. S 26 Ἀριστοφάνει] A(GITSM) Ὄρνιϲι add. M

Σ 410 Ἀγχίστροφοι: συστραφέντες, ἢ ταχὺ ἐπιστρεφόμενοι. Προ-
Ε κόπιος· ἥ τε μάχη καρτερὰ ἐγεγόνει καὶ ἐκ χειρὸς ἦν, ἀγχιστρόφους
Ε τε τὰς διώξεις ἐποιοῦντο ἐς ἀλλήλους ἑκάτεροι. καὶ αὖθις· εἶτα
ὑμεῖς τὰς φάλαγγας ἐξελίξαντες ἀγχίστροφοι γενόμενοι, ἀντιμέτωποι
Ε γίνεσθε τοῖς διώκουσι. καὶ αὖθις· τῷ ἀγχιστρόφῳ τῆς τύχης. καὶ
Ar. ὁ Θηραμένης ποικίλος τις ὢν καὶ ἀγχίστροφος, καθωμίλει τοῖς καιροῖς
πρὸς τὸ κρεῖττον ἀεὶ διδοὺς ἑαυτόν.

Σ 411 Ἀγχιτέρμων: ὁ γείτων.

Ar. 412 Ἀγχόνη: ὁ βρόχος, τὸ σχοινίον, παροξυτόνως, Ἀγχονὴ δὲ τὸ
πρᾶγμα ὀξυτόνως. ἡ ἐνέργεια. καὶ Ἀγχονήσας: πνίξας.
Ἀπαγχονίσας δέ.

Δ 413 Ἀγχότερος: ἐγγύτερος. Ἡρόδοτος· στεινοτέρη ἐφαίνετο καὶ
Ε ἀγχοτέρη ἡ εἰσβολή.

Σ 414 Ἀγχοῦ: ἐγγύς.

Etym. 415 Ἀγχούροις: πλησιοχώροις. παρὰ τὸ ἄγχι τοὺς ὅρους εἶναι.

Ar. 416 Ἄγχουσα: εἶδος βοτάνης, ἧς ἡ ῥίζα ἐρυθρά, ᾗ ἐρυθραίνουσι τὰ
πρόσωπα αἱ γυναῖκες. ἡ ἄγχουσ' ὀδυνήσει καὶ τὸ σὸν ψιμμύθιον.

Synt. 417 Ἄγχω· αἰτιατικῇ.

ΔΣ 418 Ἀγχώμαλον. καὶ Ἀγχωμάλου, ἴσης, ἐγγὺς τοῦ ὁμαλοῦ.
Ε συμμίξαντες καὶ ἀγχώμαλα ἀγωνισάμενοι καὶ μήτε ζωγρήσαντές τινα
Ε μήτε ἐς τὸ πλέον ἔτι προχωρήσαντες διελύθησαν. καὶ αὖθις· ἱπ-
πομαχία γίνεται καρτερὰ καὶ πλήθει τῶν ἀγωνιζομένων ἀγχώμαλος καὶ
ἀρεταῖς ἐμφερής.

419 Ἄγχων: περισφίγγων, θλίβων. ὁ δὲ ἄγχων τὴν αὐτῆς δεξιὰν
Ε καὶ περιάγων περιαιρεῖται τὸ ξίφος.

Σ 420 Ἀδαήμονες: ἄπειροι. ὁ δὲ τὴν τῶν Αἰγυπτίων σοφίαν ἦν
ἀδαημονέστερος. ὁ Ἀσκληπιόδοτος.

Δ 421 Ἀδαϊστί: ἀπείρως.

Prov. 422 Ἄδακρυς πόλεμος: ἐπὶ τῶν ἔξω παντὸς κινδύνου καὶ ῥᾳστα
καὶ παρ' ἐλπίδας τὰ πράγματα κατορθούντων.

410 — ἐπιστρεφόμενοι = P, Ba 17, 27 Προκόπιος—ἑκάτεροι Proc. bell. 1, 15, 14—15 τῷ—τύχης Dionys. Hal. 9, 13, 1 cf. Byz. Zt. 23, 13 et 90, n. 1 ὁ Θηραμένης sq. sch. Ar. Ran. 970 411 = P, Ba 18, 1, cf. Ambr. 107 412 — ὀξυτόνως sch. Ar. Ach. 125 cf. Philop. diff. Wiener St. 3, 295 413 στεινοτέρη sq. Hdt. 7, 175, 1 414 = P, Ba 17, 28, sch. B 172, H 416 Ar. Eccl. 929 c. sch. = sch. Ar. Lys. 48 417 cf. Synt. Laur. 418 Ἀγχώμαλον cf. Ambr. 307 ἀγχωμάλου—ὁμαλοῦ = P, Ba 17, 29 419 ὁ δέ sq. Iambl. fr. 20 420 — ἄπειροι = P, Ba 27, 4 ὁ δέ sq. Dam. fr. 92 421 = Ambr. 528 422 Zen. I 28

410 εἶτα sq. cf. v. ἐξελίξαντες. Ar. cf. v. Θηραμένης 4 412 Z 28, 37; cf. 2870 413 Z 22 415 Z 22 416 hinc v. ἐρυθαίνει in fine, Z 29 420 Dam. cf. v. Ἡραΐσκος

A(GITSM) 5 γίνεσθε GTM γίνεσθαι AI 6 τοῖς καιροῖς] τοὺς καιρούς M^{sc} 9. 10 τὸ πρᾶγμα ὀξυτόνως A ὁ. τὸ π. ὑ ITM 11 ἀπαγχονίσας δέ ex SM; περισσόν ss. M 15 παρά—εἶναι ex GIT 17 ἀγχους'] λυπῆς ss. S ψιμμύθιον] [] ἀκάριον mg. S

423 Ἀδακρυτί: ἀκλαυστί. Δ
424 Ἀδαλίδης: ὄνομα κύριον. Δ
425 Ἀδάμ: ὁ πρῶτος ἄνθρωπος, ὁ χειρὶ θεοῦ πλασθεὶς καὶ κατὰ τὴν εἰκόνα καὶ ὁμοίωσιν μορφωθεὶς τοῦ δημιουργοῦ τε καὶ κτίσαντος, ὁ καὶ τιμηθεὶς τὴν εἰς παράδεισον οἴκησιν. οὗτος δικαίως ἂν πρῶτος καλοῖτο σοφὸς ὡς πρωτόκτιστον ἄγαλμα καὶ εἰκὼν οὖσα θεόγραφος, ὡς τῶν χαρίτων ὅλων ὑπάρχων ἀνάπλεως καὶ πάντα καθαρὰ καὶ ἀκίβδηλα περιφέρων τὰ ψυχῆς τε καὶ σώματος αἰσθητήρια. μαρμαρυγαὶ γάρ τινες, ὡς εἰπεῖν, ἐκ τῆς ἐκείνου ψυχῆς ἀπαστράπτουσαι καὶ θείων ἐννοιῶν τε καὶ ἐνεργειῶν πλήθουσαι κατὰ πᾶσαν εἰσέτρεχον φύσιν εὐστόχως καὶ ἀναμαρτήτως τὸ οἰκεῖον ἑκάστης πλεονέκτημα φθάνουσαι. ὃς οὐ παρὰ ἀνθρώπων ἐδοκιμάσθη τῶν τὰς κρίσεις πολλάκις ἐπισφαλῶς ποιουμένων, ἀλλὰ παρὰ τοῦ τῶν ὅλων θεοῦ τοῦ πᾶσαν γνῶσιν καὶ κρίσιν ὀρθῶς ποιουμένου καὶ πρὸ τοῦ τὰς ἐννοίας κινηθῆναι παρὰ τῆς ὠδινούσης τὰ τοιαῦτα ψυχῆς καὶ ἀποτικτούσης νοήματα. καὶ ᾗ φησιν ἡ γραφή· ἐποίησεν ὁ θεὸς πάντα τὰ κτήνη καὶ τὰ θηρία καὶ τὰ ἑρπετὰ καὶ πετεινὰ καὶ ἤγαγεν αὐτὰ πρὸς τὸν Ἀδάμ ἰδεῖν, τί καλέσει αὐτά. καὶ ὃ ἐκάλεσεν Ἀδάμ, τοῦτο ὄνομα αὐτῷ. τί τῆς φωνῆς ταύτης καὶ μαρτυρίας ἀριδηλότερον; τί τῆς σοφίας ταύτης καὶ διαγνώσεως ὑψηλότερον; ἐκάλεσεν ὀνόματα τὴν φύσιν αὐτὴν καὶ τὴν ὑπόστασιν ἑκάστου ζῴου ὥσπερ ὑπογραφόμενος, οὐ μελετήσας, οὐ προσκεψάμενος, οὐδέν τι προπεπονθὼς τῶν ὅσα μεταμανθάνουσιν ἄνθρωποι. καὶ πολλῶν καὶ ἀναρίθμων γενεῶν παραδραμουσῶν οὐκ ἴσχυσεν οὐδεὶς ὑπαλλάξαι κἂν τοῦ τυχόντος ζῴου τὸ ὄνομα, οὐδὲ τῆς ἐκείνου δράξασθαι μεγαλονοίας καὶ διαγνώσεως. μᾶλλον μὲν οὖν μένουσιν ἅπαντες οἱ κατὰ πᾶσαν ἐσπαρμένοι τὴν γῆν ἄνθρωποι τοῖς ἐκείνου στοιχοῦντες ἀμεταθέτοις θεσπίσμασι. καὶ οὐδὲ μέχρι τούτων ἔστη τοῦ πρωτογόνου ἀνθρώπου τὸ ὑπερβάλλον ἐν πᾶσιν ἀξίωμα, ἀλλὰ καὶ σπερμάτων καὶ φυτῶν διαφορὰς ῥιζῶν τε καὶ βοτανῶν δυνάμεις, καὶ ὅσα εἰς ἀντίληψιν καὶ θεραπείαν ἡ φύσις ἑκάστῳ προσαρμόττει τῶν ζῴων, διέκρινέ τε καὶ ἐσάφησεν. οὗτος καὶ τὴν γυναῖκα πρῶτος ἰδὼν οὐχ ὥσπερ ἐκ στόματος ἀνθρωπίνου περὶ ταύτης ἐφθέγξατο, ἀλλ' ὡς ἔκ τινος θείας ὁμοῦ ἐνηχούμενος εὐστόχως τὸ πολυύμνητον ἐκεῖνο καὶ θαυμαστὸν ἀπεφοίβασε λόγιον· τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου. αὕτη κληθήσεται γυνή, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη. οὗτος τοίνυν ἐστὶν ὁ δοκιμάσας ἕκαστα καὶ πᾶσι κανόνας καὶ στάθμας ἀκριβεῖς καὶ ὅρους ἀναντιρρήτους ἐναρμο-

424 = Ambr. 407 425 vs. 16 Gen. 1, 20; 2, 19. vs. 34 Gen. 2, 23

423 Z 50

4 ὁμοίωσιν] τὴν ὁ. M 8 ψυχῆς] τῆς ψ. M 20 ὀνόματα] ὀνόματι S cp. M A (GITSM) 26 οἱ om. M τὴν om. GIT 29 ῥιζῶν] ζῶν A 30 ἑκάστῳ] ἑκάστη A 31 ἐσάφησεν A διεσάφησεν rell. 32 ἰδών] ἰδεῖν A 33 ἐνηχούμενος] ἀκροώμενος ss. S 34 ἀπεφοίβασε] ἐμαντεύσατο mg. S 37 ἐναρμοσάμενος] ἁρμοσάμενος S

σάμενος. τούτου τέχναι καὶ γράμματα, τούτου ἐπιστῆμαι λογικαί τε καὶ ἄλογοι, τούτου προφητεῖαι, ἱερουργίαι καὶ καθαρισμοὶ καὶ νόμοι γραπτοί τε καὶ ἄγραφοι, τούτου πάντα εὑρήματα καὶ διδάγματα, καὶ ὅσαι κατὰ τὸν βίον ἀναγκαῖαι χρεῖαί τε καὶ δίαιται. οὗτός ἐστιν ὁ πρῶτος ἀνδριάς, τὸ θεόκλητον ἄγαλμα, ἀφ' οὗπερ ἀπευθύνονται πᾶσαι ἀνθρώπων ἀγαλματουργίαι, κἂν πρὸς τὸ ἧττον μᾶλλον καὶ μᾶλλον ἐκπίπτωσιν ἐκείνου τοῦ μακαρίου καὶ θεοειδοῦς ἀπεικάσματος μηδεμίαν ἔχοντος ἀφορμὴν, ἧς ἂν ἐπιλάβοιτο ὁ μετ' ἐκεῖνον διαπλαττόμενος ἢ ζωγραφούμενος, ἕως ὁ παλαμναῖος καὶ ἀποστάτης καὶ πλάνος διάβολος τοῦτον ἐξεκύλισεν ἐκ τῆς οἰκείας ἱδρύσεώς τε καὶ στάσεως καὶ κατὰ τοῦ πρανοῦς εἶασε φέρεσθαι πρὸς βαραθρώδεις τινὰς καὶ ἀλαμπεῖς χώρους καὶ μέχρι τῶν ἀμειδήτων τοῦ ᾅδου κευθμώνων ἐγγίζοντας. κἀντεῦθεν ἤρξατο φύσις ἡ τῶν ἀνθρώπων παραχαράττεσθαι καὶ διακιβδηλεύεσθαι καὶ τυποῦσθαι τοῖς τοῦ τυράννου μορφώμασί τε καὶ σχήμασιν. ἐντεῦθεν ἡ νόθος σοφία τὰς ἀφορμὰς ἔλαβε, τῆς θείας δραπετευσάσης καὶ πρὸς οὐρανὸν ἀναπτάσης, ὅθεν τὸ πρότερον ἦν ἀφορμήσασα. ὅθεν ὁ πλάνος τὸ τοῦ θεοῦ σφετερισάμενος ὄνομα εἰς πολλὰ κατεμέρισε, Κρόνους τε καὶ Ζῆνας καὶ Ποσειδῶνας ἑαυτὸν μετακαλῶν· καὶ τὸ δὴ πάντων ἀνοσιώτατον, εἰς ὀνόματα θηλέα τε καὶ ἄσεμνα τὴν μακαρίαν καὶ ἄρρητον συγκατασπάσαι φύσιν ὁ ἀλιτήριος κατετόλμησεν, εἵς τε τὰς Ῥέας ἐκείνας καὶ Ἀφροδίτας καὶ Ἀθηνᾶς καὶ εἰς ἄλλας μυρίας καὶ ἀλλοκότους ἀλόγων ἰδέας τε καὶ μορφὰς, ἃς ὁ κακίας δημιουργὸς καὶ τὴν ἀποστασίαν νοσήσας ἐπέχρωσέ τε καὶ διεχάραξεν. ἐντεῦθεν Αἰγυπτίων τὰ περὶ Ὄσιριν καὶ Τυφῶνα καὶ Ἶσιν μοχθηρὰ διηγήματα καὶ Περσῶν μαγικὰ μαγγανεύματα καὶ Βραχμάνων γυμνοσοφιστίαι καὶ ἄκαιροι φαντασίαι καὶ ἡ θαυμαζομένη Σκυθῶν ῥῆσις καὶ τὰ Θρᾳκῶν ὄργια καὶ οἱ Φρυγῶν αὐλοὶ καὶ Κορύβαντες. ἐντεῦθεν ἡ Χαλδαίων ἀστρονομία ἡ σφαλερά τε καὶ πολυώδυνος. ἐντεῦθεν ἡ τοῦ ψεύδους λοχεύτρια ποίησις, ἡ τῶν Ἑλληνικῶν ληρημάτων σεμνομυθία. ἐντεῦθεν Ὀρφεύς τε καὶ Ὅμηρος καὶ ὁ τῶν ἀθεμίτων γονῶν ζωγράφος Ἡσίοδος. ἐντεῦθεν ἡ Θάλητος δόξα καὶ ὁ κλεινὸς Πυθαγόρας καὶ ὁ σοφὸς Σωκράτης καὶ Πλάτων, τὸ τῆς Ἀθηναίων Ἀκαδημίας πολυθρύλητον σεμνολόγημα. ἐντεῦθεν οἱ Παρμενίδαι καὶ Πρωταγόραι καὶ Ζήνωνες. ἐντεῦθεν αἱ Στοαὶ καὶ οἱ Ἄρειοι πάγοι καὶ Ἐπικούρειοι. ἐντεῦθεν οἱ τραγῳδῶν θρῆνοι καὶ κοπετοὶ καὶ τὰ κωμικῶν παίγνια καὶ τωθάσματα. ἐντεῦθεν τὰ δολερὰ τοῦ Λοξίου καὶ ψευδηγόρου θεσπίσματα καὶ ἡ λοιπὴ τῶν Ἑλληνικῶν κομψευμάτων ἐρεσχελία καὶ τερατεία. καὶ ἵνα μὴ μακρὸν ἀποτείνω τὸν λόγον εἰς καπρούς τε καὶ ὀδωδότας μύθους ἐνασχολούμενος, πᾶσαν εἰς ἑαυτὸν τὴν κτίσιν ὁ πλάνος ἐμφορτισάμενος καὶ λαβὼν ὑπὸ χεῖρα τὸν ἄνθρωπον ὡς ἀνδράποδον

A(GITSM) 2 καθαρισμοί A καθαρμοί rell. 3 ἄγραφοι] ἄγραπτοι IS 6 κἂν] καί S 7 ἐκπίπτωσιν] ἐκπίπτουσιν SM 8 ἤ] καί A 11 τοῦ πρανοῦς] τοὺς πρανοῦ A; κατωφεροῦς mg. S 12 τοῦ] τῶν A 14 διακιβδηλεύεσθαι] κίβδηλον λέγεται τὸ παραχαραττόμενον νόμισμα mg. S 29 λοχεύτρια] μεεύτρικη mg. S 33 πολυθρύλητον] περὶ βοητόν mg. S Πρωταγόραι] φιλόσοφος mg. S 36 τωθάσματα] ὀνιδίσματα mg. S Λοξίου] τοῦ Ἀπόλλωνος mg. S 37 ἡ λοιπή] οἱ λοιποί A

καὶ διερχόμενος τὴν ὑπ᾽ οὐρανὸν καὶ περιπατῶν τὴν γῆν καὶ ὡς ὠὰ πάντα κατέχων, ὡς αὐτός πού φησιν ἀλαζονευόμενος, ᾤετο δεῖν τὸν ἑαυτοῦ θρόνον θήσειν ἐπάνω τῶν νεφελῶν τοῦ οὐρανοῦ καὶ ἔσεσθαι ὅμοιος τῷ Ὑψίστῳ. ἀλλ᾽ ὁ τοῦ θεοῦ μονογενὴς υἱὸς καὶ λόγος ὁ προαιώνιος οἰκτείρας τὸν ἄνθρωπον ὡς ἠπατημένον ὑπὸ τοῦ δράκοντος ἐκ τῶν τοῦ πατρὸς κόλπων ἑαυτὸν ἐκένωσε καὶ σαρκωθεὶς ἐκ πνεύματος ἁγίου καὶ ἐκ τῆς ἁγίας παρθένου καὶ θεοτόκου Μαρίας, καὶ διὰ τοῦ τιμίου σταυροῦ καὶ τοῦ πάθους αὐτοῦ καταβαλὼν τὸν ἀντίπαλον καὶ καταβὰς εἰς τὰ κατώτατα μέρη τῆς γῆς ἐκεῖθεν εἵλκυσε τὸν παραπεσόντα πρωτόπλαστον, ἀποδοὺς τῇ εἰκόνι τὸ πρῶτον κάλλος καὶ τῇ φύσει τὸ ἀρχαῖον ἀξίωμα. κἀντεῦθεν ἠφάνισται πᾶσα ἡ τοῦ τυράννου δυναστεία καὶ συμμορφία τοῦ τῆς εὐσεβείας φωτὸς διαυγάσαντος πάσῃ τῇ κτίσει τῶν ἡλιακῶν μαρμαρυγῶν τηλαυγέστερον. ἐκ τούτου τοῦ φωτὸς ἡ κατὰ θεὸν σοφία πάλιν διέλαμψε καὶ γλώσσας ἀλιέων ἐστόμωσε καὶ τῶν σοφῶν διδασκάλους τοὺς ἀσόφους εἰργάσατο ἐντεῦθεν ὁ τῆς βροντῆς γόνος, τὸ· ἐν ἀρχῇ ἦν ὁ λόγος, ἐξ οὐρανίων νεφελῶν ἀπαστράψας ἐβρόντησε, καὶ πᾶσαν τὴν οἰκουμένην ἐλάμπρυνε. κἀκ τούτου τοῦ φωτὸς Παῦλος εἰς τρίτον οὐρανὸν ἀναφέρεται καὶ θεᾶται τὰ ἀθέατα καὶ τῶν ἀρρήτων ὑπακούει λογίων καὶ διατρέχει πᾶσαν τὴν γῆν ὡς πτηνὸς καὶ ἀέριος τὸν Ἰησοῦν εὐαγγελιζόμενος. ἐντεῦθεν ὁ Πέτρος τὸν Χριστὸν υἱὸν θεοῦ τοῦ ζῶντος ὠνόμασε καὶ τὰς κλεῖς τῆς τῶν οὐρανῶν πιστεύεται βασιλείας, ἵνα ἀνοίγῃ μὲν τοῖς πιστοῖς, ἀποκλείῃ δὲ τοῖς ἀπίστοις τῶν θείων ἀνακτόρων τὴν εἴσοδον. ἐντεῦθεν ἀγέλαι μαρτύρων καταβάλλουσιν εἴδωλα καὶ τρέχουσιν ἕτοιμοι πρὸς τὸν θάνατον, ὡς στεφάνους τὰς πληγὰς καὶ ὡς πορφύρας τὰ ἑαυτῶν αἵματα περιφέροντες οἱ καλλίνικοι. ἔστω γοῦν ὁ πρωτόπλαστος ἀρχηγὸς τοῦδε τοῦ γράμματος, κατά γε τὸν ἐμὸν ὅρον καὶ λόγον, ὡς ποταμὸς πηγή τε καὶ θάλαττα καὶ ῥίζα καὶ κλάδοι καὶ ὅρπηκες καὶ πάσης ὑπάρχων τῆς ἀνθρωπίνης φύσεως ἀπαρχὴ καὶ πρωτόλειον. ὅτι ἀπὸ Ἀδὰμ ἕως τοῦ κατακλυσμοῦ ἔτη ,βϲμβ′. ἀπὸ E δὲ τοῦ κατακλυσμοῦ ἕως τῆς πυργοποιΐας ἔτη φκϵ′. ἀπὸ δὲ τῆς πυργοποιΐας ἕως τοῦ Ἀβραὰμ υκϵ′. ἀπὸ δὲ τοῦ Ἀβραὰμ ἕως τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐξ Αἰγύπτου υλ′. ἀπὸ δὲ τῆς ἐξόδου ἕως τῆς οἰκοδομῆς τοῦ Σολομωντείου ναοῦ ἔτη ψνζ′. ἀπὸ δὲ τῆς οἰκοδομῆς τοῦ ναοῦ ἕως τῆς αἰχμαλωσίας τοῦ Ἰσραὴλ υκϵ′. ὁμοῦ ἔτη ,δωπ′. ἀπὸ δὲ τῆς αἰχμαλωσίας ἕως Ἀλεξάνδρου βασιλέως τιη′. ἀπὸ δὲ Ἀλεξάνδρου ἕως Χριστοῦ τοῦ θεοῦ ἡμῶν τγ′. ὁμοῦ ἔτη ,εφ′. ἀπὸ δὲ Χριστοῦ ἕως τοῦ μεγάλου Κωνσταντίνου τιη′. ἀπὸ δὲ Κωνσταντίνου μέχρι Μιχαὴλ υἱοῦ Θεοφίλου φνϵ′. ὁμοῦ τὰ πάντα ἔτη

425 vs 16 Ioh. 1, 1 vs. 30 ἀπό—p. 46, 1 ,στοϵ′ Georg. 2, 804

1 ὡς ὠά om. A 2 δεῖν] δῆθεν Bhd. ἤδη Bekk. 11 κἀντεῦθεν] κἀν A A(GITSMB) 12 συμμορφία] συμμορία B 15 ἀσόφους] διδασκάλους add. A 29 πρωτόλειον] πρωτέλειον A 32 υκϵ′] ἔτη υκϵ GIT 36 βασιλέως] τοῦ β. M 38. 39 Κωνσταντίνου] τοῦ μεγάλου K. GIT

ˏστοεʹ. ἀπὸ δὲ Μιχαὴλ ἕως Ῥωμανοῦ υἱοῦ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου ἔτη ... ἀπὸ δὲ τοῦ Πορφυρογεννήτου ἕως τῆς τελευτῆς Δ Ἰωάννου τοῦ Τζιμισκῆ ἔτη... καὶ Ἀδαμιαῖος, ἀπὸ Ἀδάμ.

Σ 426 Ἀδαμάντινα: στερρά. ὁ δὲ Ἀπολλώνιος ὥσπερ ἑαυτῷ διελέγετο, Suid. οἶδα, ἔλεγε, καὶ δοκεῖ μοι· καὶ ποῖ φέρεσθε; καὶ χρὴ εἰδέναι. καὶ δόξαι βραχεῖαι καὶ ἀδαμάντιναι.

Δ 427 Ἀδαμαστί: ἐπίρρημα.

Soph. 428 Ἀδάμαστος: παρθένος, ἄζυξ. Σοφοκλῆς· νῦν δ' ἡ Διὸς γοργῶπις παρθένος θεὰ ἔσφηλεν ἐμβαλοῦσα λυσσώδη νόσῳ.

Δ 429 Ἀδαμίθειος.

Σ 430 Ἀδαξῆσαι: τὸ κνῆσαι, οὐκ ἐν τῷ ⟨ο⟩ ὀδαξῆσαι. καὶ Ἀδαχεῖν. τὸ κνήθειν. ἀδαχεῖ γὰρ αὐτοῦ τὸν ἄχορα ἐκλέγει τ' ἀεί· Ἀριστοφάνης.

Δ 431 Ἀδαῖον: ἄκαυστον. καὶ Ἀδαῖος: ὄνομα κύριον.

Δ 432 Ἄδαιτρον: ἀμέριστον.

Hom. 433 Ἄδεν: ἤρεσκεν. ἐν Μύθοις· οὐδέ οἱ οὐδ' αἴθων ἄδε πόρδαλις, οὕνεκα θυμοῦ ἐμπλείη.

Σ+Prov. 434 Ἀδεές: ἀσφαλές, οὐ φοβερόν. ὡς ἡ παροιμία· ἀδεὲς δέδοικας δέος. λεγόμενόν τί ἐστιν ἐπὶ τῶν τὰ μὴ φοβερὰ φοβουμένων.

Rhet. 435 Ἀδέητος: ὁ μηδενὸς δεόμενος καὶ πάντα ἔχων. Ἀντιφῶν ἐν α' Ἀληθείας· διὰ τοῦτο οὐδενὸς δεῖται, οὔτε προσδέχεται οὐδενός τι, ἀλλ' ἄπειρος καὶ ἀδέητος.

Σ 436 Ἀδεκάστως: ἀμερίστως, δικαίως, ἀδωροδοκήτως, ὀρθῶς.

Ar. 437 Ἀδεκατεύτους: Ἀριστοφάνης ἀτελωνήτους· τὰς γὰρ δεκάτας τῶν κοιλιῶν τῶν θυομένων ἐδίδοσαν τὴν δεκάτην μοῖραν ἐν τῷ πρυτανείῳ.

Δ 438 Ἀδεκτώ: ὄνομα δαίμονος.

439 Ἀδελφά: οἰκεῖα, ἁρμόζοντα, πρέποντα.

Δ 440 Ἀδέλφιος: ὄνομα κύριον.

Δ 441 Ἀδελφειός: ὁ ἀδελφός· Ἀδελφιδοῦς δὲ ὁ ἀνεψιός. καὶ τὸν Harp. ἀδελφίδοῦν. καὶ Ἀδελφίζειν, ἀντὶ τοῦ ἀδελφὸν καλεῖν. οὕτως Ἰσο-

425 Ἀδαμιαῖος sq. cf. Ambr. 408 426 — στερρά = P, Ba 27, 5, H 427 = Ambr. 526 428 Soph. Ai. 450—2 c. sch. 429 = Ambr. 425 430 = P, Ba 26, 26; — κνῆσαι = H, Et. M, 16, 5; Ar. fr. 410 431 = Ambr. 484, 414 432 = Ambr. 488 433 — ἤρεσκεν sch. M 80, cf. H οὐδέ sq. Babr. p. 217 434 = P cf. Philol. Suppl. 6, 257, n. 26 435 — ἔχων = Bk. 183, 11; Ἀντιφῶν (fr. 98) — Ἀληθείας = Harp. cf. P, Ba 27, 8, H 436 = P, Ba 27, 9 437 sch. Ar. Eq. 301 438 cf. Ambr. 458 440 = Ambr. 421 441 ἀδελφιδοῦς—ἀνεψιός = Ambr. 387 ἀδελφίζειν—ἐχρήσαντο Harp. cf. An. Ox. 2, 488, 11, Ba 27, 29, P; Isocr. 19, 30, Hecat. fr. 8 FGrHist; Apolloph. fr. 4 (1, 798 K.)

426 ὁ δέ sq. ex v. κατεγλωττισμένον 431 Z 48 432 Z 45 436 cf. Z 49 437 cf. Z 39 440—1 Z 40, 49

A(GITSM) 3 καί AM om. GI(TS), nov. gl. ἀπό] ὁ ἀπό GIT 4 ὁ—6 ἀδαμάντιναι om. S 4 ὥσπερ A, v. κατεγλωττισμένον, ὡσπερεί GITM 9 λυσσώδη GIT λυσσώδει AM 11 ⟨ο⟩ Pierson, om. mss. Phot. Ba 440 om. S 30 καὶ τὸν ἀδελφιδοῦν om. S ss. A 31 οὕτως—47, 3 ἀδελφήν om. S

κράτης καί ὁ Μιλήσιος Ἑκαταῖος καὶ Ἀπολλοφάνης ἐχρήσαντο. καὶ τὸ θηλυκὸν τὴν ἀδελφιδήν, ἡ ἀδελφιδή, τῆς ἀδελφιδῆς. ὅτι Ἀλυάττης ὁ τῶν Λυδῶν βασιλεὺς ἤσχυνε τὴν ἑαυτοῦ ἀδελφήν. Suid.

442 Ἀδελφὸς παρείη: ὅτι προτιμητέον τοὺς οἰκείους εἰς βοήθειαν ἐν καιρῷ περιστάσεως. Prov.

443 Ἀδένη: ἡ φλύαρος, ἡ δεῖνα. Δ

444 Ἀδερβός: ὄνομα κύριον. Δ

445 Ἀδέρκτως: οὐ προσβλέποντες ἀλλ' ἢ καταμύοντες· παραμειβόμεσθ' ἀδέρκτως. Soph

446 Ἀδέψητον: τὸ ὠμόν. Δ

447 Ἄδεια: ἄνεσις, ἀφοβία. Ἰώσηπος· οἱ δὲ στασιασταὶ τοὺς Ῥωμαίους ὁρῶντες κακῆς ὁμονοίας κατήρχοντο, καὶ λόγον ἀλλήλοις ἐδίδοσαν, τί μένοιεν; τί παθόντες ἀνέσχοιντο τρία ταῖς ἀναπνοαῖς αὐτῶν ἀναφραττόμενα τείχη καὶ τοῦ πολέμου μετ' ἀδείας ἀντιπολεμίζοντος ἑαυτόν. E

448 Ἄδεια: ἡ ἀφοβία. ἐκέλευον αὐτὸν λέγειν ὅ τι χρήζοι μετ' ἀδείας· ὁ δὲ τῆς μὲν ἀδείας χάριν ὡμολόγει, τὸ δὲ ἑαυτοῦ πάθος ἐπὶ μέγα ἐξάρας Ῥωμαίοις ἐμέμφετο. Δ E

449 Ἄδερ· ὁ ἀλιτήριος, ὁ ἐπαναστὰς Σολομῶντι. παῖς οὗτος ἦν, Ἰδουμαῖος γένος, ἐκ βασιλικῶν σπερμάτων. καταστρεψαμένου δὲ τὴν Ἰδουμαίαν Ἰωάβου τοῦ Δαβὶδ στρατηγοῦ καὶ πάντας τοὺς ἐν ἀκμῇ καὶ φέρειν ὅπλα δυναμένους διαφθείραντος μηνὶν ἓξ, φυγὼν οὗτος ἦκε πρὸς Φαραὼ τὸν Αἰγύπτου βασιλέα. ὁ δὲ φιλοφρόνως αὐτὸν ὑποδεξάμενος οἰκόν τε αὐτῷ δίδωσι καὶ χώραν εἰς διατροφὴν καὶ γενόμενον ἐν ἡλικίᾳ λίαν ἠγάπα, ὡς καὶ τῆς αὐτοῦ γυναικὸς αὐτῷ δοῦναι πρὸς γάμον τὴν ἀδελφὴν, ὄνομα Θαφίνην, ἐξ ἧς υἱὸς αὐτῷ γενόμενος τοῖς τοῦ βασιλέως παισὶ συνανετράφη. ἀκούσας οὖν τὸν Δαβὶδ θάνατον ἐν Αἰγύπτῳ καὶ τὸν Ἰωάβου, προσελθὼν ἐδεῖτο τοῦ Φαραῶ ἐπιτρέπειν αὐτῷ βαδίζειν εἰς τὴν πατρίδα. τοῦ δὲ βασιλέως ἀνακρίνοντος, τίνος ἐνδεὴς ὢν ἢ τί παθὼν ἐσπούδακε καταλείπειν αὐτὸν, τότε μὲν οὐκ ἀφείθη, ὕστερον δὲ καθ' ὃν ἤδη καιρὸν Σολομῶνι τὰ πράγματα κακῶς εἶχε διὰ τὰς προειρημένας αἰτίας καὶ παρανομίας καὶ τὴν ὀργὴν τὴν ἐπ' αὐτοῖς, τοῦ θεοῦ συγχωρήσαντος τῷ EV

442 = Diogen. V 1 91 443 — φλύαρος = Ambr. 457 444 = Ambr. 409 445 Soph. OC 129 c. sch. 446 = Et. M. 16, 35 cf. H 447 cf. ad 448 Ἰώσηπος sq. Bell. 5, 72—73 448 — ἀφοβία = Et. M. 16, 54, cf. H ἐκέλευον sq. Arr. Parth. R. p. 36 449 παῖς sq. Ios. Ant. 8, 200—204 = EV 1, 61, 31—62, 15

441 ὅτι sq. ex 1423 445 Z 49 446 cf. Z 46 447—8 Vind. 112 447 Ios. cf. v. πολεμίζει 449 Z 40

1. 2 καὶ τό—ἀδελφιδῆς mg. A ss. M τὴν ἀδελφιδήν A om. GITM A(GITSM) τῆς ἀδελφιδῆς om. M ὅτι—3 ἀδελφήν om. GIT' 442 om. S 445 om. S 8 παραμειβόμεσθ' A παραμειβόμεθα rell. 11 Ἰώσηπος—48, 2 Σολομῶνι om. S 13 ἀνέσχοιντο A ἀνέχοιντο rell. 449 post 444 in M; post 444 AGI: Ἄδερ· ζήτει (ἀντὶ GI) στρέφων τὸ φύλλον 21 Ἰδουμαίαν] Ἰουδαίαν M Ἰωάβου] Ἰακώβου A 25 ὡς] ὅς GI 28 Ἰωάβου] Ἰάβου A 30 καταλείπειν] καταλείπων A 33 καὶ τήν] τήν A

Φαραῶνι ὁ Ἄδερος ἦκεν εἰς τὴν Ἰδουμαίαν. ὃς τῆς Συρίας βασιλεύσας κατέτρεχε τὴν τῶν Ἰσραηλιτῶν χώραν, ἐπιτίθεται δὲ Σολομῶνι.

Δ 450 Ἀδειάς: εἶδος ἐσχάρας.

Δ 451 Ἀδειής: ἄφοβος. καὶ Ἄδειος, ὁμοίως.

ΣΔ 452 Ἀδείμαντα: ἄφοβα. καὶ Ἄδειμος, ὁ ἄφοβος.

453 Ἀδείμαντος· Κορινθίων στρατηγὸς, ὃς ἄπολιν εἶπε τὸν Θεμιστοκλέα. ὁ δὲ, τίς, εἶπεν, ἄπολις, ἔχων ς′ τριήρεις. τούτου καὶ

Ar. Πλάτων μέμνηται ἐν τῷ Πρωταγόρᾳ. ἦν γὰρ τῶν περὶ τοὺς καιροὺς τούτους στρατηγούντων. ἐκωμῳδοῦντο δὲ ἐπὶ πονηρίᾳ Κλέων, Μύρμηξ καὶ Νικόμαχος καὶ Ἀρχέμορος μετ' Ἀδειμάντου τοῦ Λευκολόφου.

Ar. 454 Ἄδειν κελεύονθ' ὡσπερεὶ τέττιγα ἑστιῶντα: διότι πο-

Δ λύλαλόν ἐστι τὸ ζῷον. Ἀδεῖν δὲ ἀρέσαι.

Prov. 455 Ἄδεις ὥσπερ εἰς Δῆλον πλέων: ἐπὶ τοῦ ἀφροντίστου καὶ φιληδοῦντος.

Δ 456 Ἀδηκότες: ταλαιπωρήσαντες.

ΔΕ 457 Ἀδήλητος: ἀσινὴς, ἀβλαβής. Ἀγαθίας· καὶ ἐπεδείκνυντο σῶοί τε καὶ ἀδήλητοι. δηλῶ γὰρ τὸ βλάπτω.

458 Ἀδηλία: ἀοριστία, ἀπειρία. τῷ δὲ ὑπερηφανίᾳ χρωμένῳ καὶ

Ε τὴν τοῦ πολέμου ἀδηλίαν ἥκιστα βαλλομένῳ εἰς νοῦν ἠλπίζε ῥᾳδίως

Δ αἱρήσειν τὸ βάρβαρον. Ἀδηλία δὲ καὶ ἡ κρυφιότης.

Δ 459 Ἀδημονῶ: τὸ λίαν λυποῦμαι. ὁ δὲ τὸ μὲν πρῶτον ἠδημόνει καὶ ἡσυχίαν εἶχεν ὑπὸ τοῦ παρόντος κακοῦ. καὶ Ἀδη-

Harp. μονούσης, ἀπορούσης.

460 Ἀδηλώσας: ἀγνώριστον ποιήσας. ὁ δὲ ἀδηλώσας ἑαυτὸν

Ε πιναρᾷ στολῇ καὶ λαβὼν δρέπανον ὡς ἄν γῆς ἐργάτης.

Δ 461 Ἀδημονία: ἡ φροντίς.

Σ+Δ 462 Ἀδημονῶν: ἀγωνιῶν, ἀκηδιῶν. καὶ Ἀδημονέστερος, ἀντὶ τοῦ ἀγωνιστικώτερος. ὢν δὲ τοῦ προσήκοντος ἀδημονέστερος ἀντεῖχε τούτῳ.

ΣΔ 463 Ἄδην: ἅλις ἢ εἰς κόρον, ἱκανῶς, ἀρκούντως. ἢ λάβρως, κατα-

Σ κόρως. ἐν Χαρμίδῃ· ἐπεὶ δὲ τῶν τοιούτων ἄδην ἔχομεν. καὶ Ἡρό-

450 = Ambr. 455 cf. H v. ἀδίας 451 — ἄφοβος = sch. H 117, H, Ambr. 375 452 — ἄφοβα = P. Ba 27, 6 ἄδειμος sq. = Ambr. 378 cf. H 453 — τριήρεις fort. ex eodem auctore quo v. Βοῦλις, Σπέρχις, Ξέρξης, 1280 τούτου—στρατηγούντων sch. Ar. Ran. 1513; ἐκωμῳδοῦντο sq. sch. Ar. Ran. 1506; Pl. Prot. 315 e 454 — ζῷον Ar. Nu. 1360 c. sch. ἀδεῖν sq = Ambr. 504 455 = Zen. II 37 456 = Ambr. 509 cf. sch. K 312 457 Ἀγαθίας—ἀδήλητοι 1, 13, p. 41 458 vs. 20 ἀδηλία sq. = Ambr. 472 459 ἀδημονούσης sq. Harp. = Ba 27, 31 460 ὁ δέ sq. Aelian.? (cf. Rh. Mus. 45, 274). 461 cf. Ambr. 475 462 — ἀγωνιῶν = P, Ba 27, 11 ἀκηδιῶν cf. Ambr. 510 463 — ἀρκούντως + ἐν—ἔχομεν = Ba 27, 21, P, sch. Pl. Charm. 153 d

450 Z 43 452 cf. Z 40 457 Z 41 458 Z 43 459 Z 49 461 Z 43 462 Z 41 463 Aelian. cf. 2108 et v. σπῶντες

A(GITSM) 7 τούτου—στρατηγούντων om. S 18 ἀοριστία] ἡ ἀ. GIT 19 ἠλπίζε AT ἠλπίζετο rell. 20 τό AGIT τόν SM 21 ὁ—22 κακοῦ om. S 460—1 om. S post 458 M 28 ὢν—τούτῳ om. S 30 ἀρκούντως—49, 14 ἐνήργουν om. S

δοτος· ὡς δὲ ἄδην εἶχον κτείνοντες, τὰ λοιπὰ αὐτῶν ἤλαυνον. ἐπι- E
νεμομένου τε ἄδην τοῦ πυρὸς τὰς ἀγχοῦ τειχῶν οἰκίας, ταραχῆς E
ἐπλήσθη ἡ πόλις. καὶ αὖθις· οἱ δὲ οἴνῳ ἄδην ἐχρῶντο ἑσπέριοι καὶ E
ἐς νύκτα τελευτῶντες. καὶ αὖθις· οἱ δὲ ἄδην καὶ ἀπείρως σπῶσι τοῦ E
οἴνου καὶ ἀνατραπέντες ἔκειντο ὡς ἔτυχον αὐτῶν ἕκαστοι εἰκῇ. καὶ
αὖθις· τοῦ δὲ οἴνου καὶ τῶν ἄλλων ἄδην ἐνεπίμπλαντο οἱ Κελτοὶ τήν EV
τε φύσιν ὄντες ἀκρατεῖς καὶ χώραν ἔχοντες, ὅτι μὴ πρὸς Δημητριακοὺς
καρποὺς, τῶν ἄλλων ἄγονον καὶ ἀφυᾶ. τά τε σώματα αὐτοῖς μεγάλα
ὄντα καὶ τρυφηλὰ καὶ σαρκῶν ὑγρῶν μεστὰ, καὶ ὑπὸ τῆς ἀδηφαγίας
καὶ μέθης ἐς ὄγκον καὶ βάρος ἐξεχεῖτο· ἐς δρόμους δὲ καὶ πόνους
ἀδύνατα πάμπαν. καὶ ὑπὸ ἱδρῶτος καὶ ἄσθματος ὅπου τι δέοι ἐξε-
λύοντο ταχέως. καὶ αὖθις· οἱ δὲ βασιλικοὶ ἐν ἐξουσίᾳ γενόμενοι E
τοῦ ἄδην τὰ δημόσια καταναλίσκειν Συβαριτικῶς τὸν νέον κραιπαλᾶν
ἐνήργουν.

464 Ἀδηνέως: ἁπλῶς καὶ ἀταλαιπώρως, κατὰ στέρησιν τῶν δηνέων Σ
καὶ μεριμνῶν.

465 Ἀδήωτον: ἀπόρθητον, ἀπραίδευτον. οἱ δὲ τὴν γῆν ἀδήω- Σ
τον ἔχειν ἐθέλοντες ὡμολόγησαν ἀργυρίου σταθμὰ δισχίλια δώσειν. EL

466 Ἀδήριτος: ἀνίκητος, ἄμαχος, ἀκαταπόνητος. τὴν λείαν τῶν Σ + x
πολεμίων ἤλπισεν ἀδήριτον περιαιρεῖν. ἀντὶ τοῦ ἄμαχον. καὶ E + Δ
Ἀδηρίτως, ἀφιλονείκως. Δ

467 Ἄδης· Ἄδη δυσκίνητε, τί τὴν ἐπέρασον ἑταίραν ἥρπασας; ἢ καὶ σὴν Suid.
Κύπρις ἔμηνε φρένα;

468 Ἀδήσειε: ἀρέσειε. Δ

469 Ἀδηφαγία: ἡ ἀπληστία. καὶ Ἀδηφάγος, ἀθρόως ἐσθίων, Δ
πολυφάγος, γαστρίμαργος. Ἀδηφάγοι τριήρεις λέγοιντ' ἂν Σ
αἱ ἐντελόμισθοι καὶ πολλὰ ἀναλίσκουσαι, ἐκ μεταφορᾶς τῶν τελείων Harp
καὶ ἀγωνιστῶν ἵππων. Ἀλκαῖος δὲ ἐν τῇ Κωμῳδοτραγῳδίᾳ τοὺς πότας
λύχνους ἀδηφάγους εἶπεν.

470 Ἀδιαβηνή· αὕτη ἡ χώρα κεῖται πρὸ τῆς Μεσοποταμίας ὡς ἐπὶ
ἀνατολὴν πέραν τοῦ Τίγρητος. ἐν αὐτῇ δέ ἐστι καὶ ἄσφαλτος ἡ λεγο-
μένη νάφθα. λέγεται δὲ Ἀδιαβηνὴ διὰ τὸ εἶναι πλείους ποταμοὺς
ἐν αὐτῇ καὶ δυσχερεστέραν ποιεῖν τὴν διάβασιν. ἐκεῖ ἐστι καὶ ἡ
Νινευί. τοσαύτην δὲ ἀσφάλειαν ποιεῖ τοῖς κτίσμασιν ἡ ἄσφαλτος, ὥστε

463 ὡς—ἤλαυνον Hdt. 9, 39, 2 vs. 4 οἱ δὲ ἄδην—εἰκῇ Aelian. fr. 73 τοῦ δέ—ταχέως App. Celt. fr. 7 = EV 2, 222, 6—13 vs. 12 οἱ δέ sq. Malch. fr. 9, FHG 4, 118 464 = P, Ba 27, 27 465 — ἀπραίδευτον = P, Ba 27, 13 οἱ δέ sq. Proc. bell. 2, 6, 24 = EL 96, 4—5 466 ἄμαχος = P, Ba 27, 14, Ambr. 377 cf. H τὴν—περιαιρεῖν Polyb. 3, 93, 1 ἀδηρίτως = Ambr. 532 cf. Et. M. 17, 39 = sch. P 42 468 = Ambr. 507, H 469 — ἀπληστία = Ambr. 476 ἀδηφάγος—γαστρίμαργος = P, Ba 27, 15 cf. H ἀδηφάγοι sq. Harp. = An. Ox. 2, 488, 12, P; Alcaei com. fr. 21 (1, 761 K.) 470 — νεμόμενα = Preger 151

463 Malch. cf. v. Ζήνων βασιλεύς 465 Z 46; Proc. cf. v. στάθμα
466 ἀδηρίτως Z 49 468 Z 48 470 Z 44

10 καὶ βάρος] βάρος A 467 om. AGS mg. I 33 ἐκεῖ] ἐκεῖ που GIT A(GITSM)

ταῖς ὀπταῖς πλίνθοις καὶ τοῖς λεπτοῖς λίθοις συμμιγεῖσα ἰσχυροτέρα γίνεται παντὸς σιδήρου. ἐκεῖσε δέ ἐστι καὶ τὸ Ἄορνον στόμιον, ἐξ οὗ δεινὸν πνεῦμα ἀναδίδοται, ὥστε πᾶν μὲν ἐπίγειον ζῷον, πᾶν δὲ πτηνὸν ἀποφθείρειν καὶ εἰ πρὸς τὸ τυχὸν ὀσφρήσαιτο. καὶ εἰ ἐσκεδάννυτο, οὐκ ἂν ᾠκίσθη ὁ χῶρος, ἀλλὰ κατ' εὐθεῖαν ἄνεισι καὶ ὀλίγον ἀνερχόμενον πάλιν ἀντανακλᾶται. καὶ ἐκ τούτου τά τε ἐν ὑψηλοτέρῳ πετόμενα σῴζεται, καὶ τὰ πέριξ νεμόμενα. καὶ Ἀδιαβηνός.

471 Ἀδιάδραστον: ἄφυκτον. καταπλαγείη δ' ἄν τις τὸ ἀδιάδραστον τῆς δίκης ἐκ τῆς συμβάσης τούτῳ τιμωρίας.

472 Ἀδιάκριτος: ἀδιαχώριστος. λαμβάνεται δὲ καὶ ἐπὶ τῶν μὴ γινωσκόντων τὰ δέοντα ἢ ἀφρόνως φλυαρούντων.

473 Ἀδιάλειπτον.

474 Ἀδιαλώβητον: ἀβλαβές.

475 Ἀδιάρθρωτον: ἄσημον, ἀτράνωτον.

476 Ἀδιάσκευον: ἀκόσμητον, ἀνεπιμέλητον. ὁ δὲ λαβὼν ἵππον ἀδιάσκευον καὶ καθοπλισμὸν ἀνεπίφαντον, βάδην προσήλαυνεν πρὸς τοὺς πολεμίους.

Harp. 477 Ἀδιάστατον: τὸ μήπω διεστηκὸς μηδὲ διακεκριμένον. Ἀντιφῶν εἶπεν.

478 Ἀδιαφορία: ἀμέλεια χωρὶς παρατηρήσεως. τὸ δὲ ἀδιάφορον

Phil. διχῶς λέγεται· ἅπαξ μὲν τὸ μήτε πρὸς εὐδαιμονίαν μήτε πρὸς κακοδαιμονίαν συνεργοῦν, ὡς ἔχει πλοῦτος, δόξα, ὑγεία, ἰσχὺς καὶ τὰ ὅμοια· ἐνδέχεται γὰρ καὶ χωρὶς τούτων εὐδαιμονεῖν, τῆς ποιᾶς αὐτῶν χρήσεως εὐδαιμονικῆς οὔσης ἢ κακοδαιμονικῆς. ἄλλως δὲ λέγεται ἀδιάφορον τὸ μήτε ὁρμῆς μήτε ἀφορμῆς κινητικόν, ὡς ἔχει τὸ ἀρτίας ἔχειν ἐπὶ τῆς κεφαλῆς τρίχας ἢ περιττάς, ἢ ἐκτεῖναι τὸν δάκτυλον ἢ συστεῖλαι, τῶν προτέρων ἀδιαφόρων καὶ οὐκέθ' οὕτως λεγομένων· ὁρμῆς γάρ ἐστιν ἐκεῖνα καὶ ἀφορμῆς κινητικά. διὸ τὰ μὲν αὐτῶν ἐκλέγεται, τῶν δὲ ἑτέρων ἐπ' ἴσης ἐχόντων πρὸς αἵρεσιν καὶ φυγήν. τῶν ἀδιαφόρων τὰ μὲν λέγουσι προηγούμενα, τὰ δὲ ἀποπροηγούμενα. προηγούμενα μὲν τὰ ἔχοντα ἀξίαν, ἀποπροηγούμενα δὲ τὰ ἔχοντα ἀναξίαν. ἀξίαν δὲ τὴν μέν τινα σύμβλησιν πρὸς τὸν ὁμολογούμενον βίον, ἥτις ἐστὶ περὶ πᾶν ἀγαθόν· τὴν δὲ εἶναι μέσην τινὰ δύναμιν ἢ χρείαν συλλαμβανομένην πρὸς τὸν κατὰ φύσιν βίον ὅμοιον εἰπεῖν, ἥντινα εἰσφέρεται εἰς τὸν κατὰ φύσιν βίον πλοῦτος, ὑγεία· τὴν δὲ εὐεξίαν ἀμοιβὴν δοκιμαστοῦ, ἣν ἂν ὁ ἔμπειρος τῶν πραγμάτων τάξῃ,

471 καταπλαγείη sq. Aelian. fr. 219 472 = P, Ba 27, 17, Bk. 213, 22 474 = P, Ba 27, 20, H 475 = P, Ba 27, 23 cf. H 476 ὁ δέ sq. Arr.? Parth. R. p. 57 477 Harp. = P, Ba 28, 2; Antiph. fr. 147 478 — παρατηρήσεως = P, Ba 27, 24; — ἀμελεία = Ambr. 479 τὸ δέ sq. Laert. 7, 104—7

471 Z 47 472 Z 39 476 Z 46 477 Z 46

A(GITSM) 1 λίθοις] πλίνθοις A 5 ἄνεισι] εἶσι A 474 nov. gl. A solus 15 ἵππον GIS ἵππων AM 16 πρός] εἰς S^{ec}M 27 καί om. M, Laert.

ὅμοιον εἰπεῖν ἀμείβεσθαι πυροὺς πρὸς τὰς σὺν ἡμιόνῳ κριθάς. προηγούμενα μὲν οὖν εἶναι, ἃ καὶ ἀξίαν ἔχειν· οἷον ἐπὶ μὲν τῶν ψυχικῶν εὐφυΐαν, τέχνην, προκοπὴν καὶ τὰ ὅμοια· ἐπὶ δὲ τῶν σωματικῶν ζωὴν, ὑγείαν, ῥώμην, εὐεξίαν, ἀρτιότητα, κάλλος· ἐπὶ δὲ τῶν ἐκτὸς πλοῦτον, δόξαν, εὐγένειαν καὶ τὰ ὅμοια. ἀποπροηγούμενα δὲ ἐπὶ μὲν τῶν ψυχικῶν ἀφυΐαν, ἀτεχνίαν καὶ τὰ ὅμοια· ἐπὶ δὲ τῶν σωματικῶν θάνατον, νόσον, ἀσθένειαν, καχεξίαν, πήρωσιν, αἶσχος καὶ τὰ ὅμοια ἐπὶ δὲ τῶν ἐκτὸς πενίαν, ἀδοξίαν, δυσμένειαν καὶ τὰ παραπλήσια· οὔτε δὲ προήχθη οὔτε ἀποπροήχθη τὰ μηδετέρως ἔχοντα. ἔτι τῶν προηγουμένων τὰ μὲν δι' αὑτὰ προῆκται, τὰ δὲ δι' ἕτερα, τὰ δὲ καὶ δι' αὑτὰ καὶ δι' ἕτερα. δι' αὑτὰ μὲν εὐφυΐα, προκοπὴ καὶ τὰ ὅμοια· δι' ἕτερα δὲ πλοῦτος, εὐγένεια καὶ τὰ ὅμοια· δι' ἕτερα δὲ καὶ δι' αὑτὰ ἰσχὺς, εὐαισθησία, ἀρτιότης. δι' αὑτὰ μὲν, ὅτι κατὰ φύσιν ἐστί· δι' ἕτερα δὲ, ὅτι περιποιεῖ χρείας οὐκ ὀλίγας. ὁμοίως δὲ ἔχει καὶ τὸ προηγούμενον κατὰ τὸν ἐναντίον λόγον.

479 Ἀδιαίτητος: ἀλλότριος, ἀήθης. Σ

480 Ἀδιεξίτητον: ἀδιεξέλευστον. Σ

481 Ἀδιή: λύπη. Δ

482 Ἀδιήγητον: τὸ μὴ δυνάμενον δι' ὑπερβολὴν κακοῦ διηγηθῆναι. ὥστ' ἀδιήγητον κακὸν γενέσθαι.

483 Ἀδικεῖν. αἰτιατικῇ. τὸ βλάπτειν ἑκόντα. τὸ δὲ μὴ ἀδικεῖσθαι θεὸν, ἔνδοξον καὶ ἐναργές· ὑπ' οὐδενὸς γὰρ θεὸς ἀδικηθήσεται.

484 Ἀδικία: παρὰ τῷ ἀποστόλῳ ἡ τῶν εἰδώλων ἀπάτη. ἐκεῖνοι οὖν τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατέχουσιν, ὅσοι τὸ σέβας τοῦ θεοῦ παρα-πέμπουσιν εἰδώλοις. τὸ δὲ κατεχόντων, ἀντὶ τοῦ φυλαττόντων.

485 Ἀδικία· Πλάτων φησὶ τὴν ἀδικίαν νόσον ψυχῆς εἶναι. μηδεμία δὲ νόσος ψυχῆς ὠφέλιμός ἐστι. καὶ οὕτως πᾶσα κακία βλαβερά ἐστι τῷ ἔχοντι αὐτήν· ἡ δὲ ἀδικία κακία· οὐκοῦν βλαβερόν. ἡ γὰρ ἀδικία καὶ τὴν φύσιν αὐτὴν ἀδικεῖ, παρ' ὅσον αὕτη σφετερίζεται. ἔστι δὲ καὶ φθαρτική, τοῦτο μὲν τῆς ἐν πόλει κοινωνίας, τοῦτο δὲ πάσης συναλλαγῆς· ἐναντία δὲ καὶ παρὰ φύσιν τοῖς ἀνθρώποις· οἱ γὰρ ἄνθρωποι φύσει κοινωνικοί. Phil.

486 Ἀδικίου: οἷον ἀδικήματος. ἔστι δὲ ὄνομα δίκης. ἀποτίννυται δὲ τοῦτο ἁπλοῦν, ἐὰν πρὸ τῆς ἑνάτης πρυτανείας ἀποδοθῇ· εἰ δὲ μὴ, διπλοῦν καταβάλλεται. Harp.

479 = P, Ba 27, 19 480 = P, Ba 27, 26 481 = Ambr. 477 482 αἰτιατικῇ = Synt. Gud. τὸ βλάπτειν ἑκόντα Aristot. Rhet. 1, 10 p. 1368b 6 τὸ δέ sq. fort. Damasc. 484 = Oecum. in Rom. 1, 18. PG 118, 340a 485 — vs. 28 κακία Alex. Aphr. 173, 27—174, 1; vs. 30 καὶ φθαρτική sq. l. l. 186, 5—7 486 Harp. = P, Ba 28, 4

484—5 Z 42 sq.

20 ὥστ'—γενέσθαι om. S 21 τό alt.—25 φυλαττόντων om. S 28 ἡ γάρ A(GITSM) —29 σφετερίζεται om. A 29 ἔστι—32 κοινωνικοί AGIT; praem. σχόλιον· ἀλλαχοῦ γράφεται mg. M ἡ δὲ ἀνθρώπων φύσις κοινωνική ἐστιν SM 33 Ἀδικίου] Ἀδικία A δέ] δὲ καί A

Δ 487 Ἀδικοδοξία: παράλογος λοιδορία. ὁ δὲ στρατηγὸς οὐ
Ε δυνάμενος ἐνεγκεῖν τὴν ἀδικοδοξίαν τῶν ταῦτα λεγόντων.
Δ 488 Ἀδινά: ἀντὶ τοῦ ἀθρόοι, πάντες. ἢ Ἀδινῶς, οἰκτρῶς. καὶ
Ἀδινὸν, τὸ ἀθρόον ἢ γοερόν.
Δ 489 Ἄδιον: τὸ πλάγιον.
Δ 490 Ἀδιόριστον: τὸ ἀδιαχώριστον.
Δ 491 Ἀδμήτης: ὁ ἀδάμαστος. Ἀδμῆτις δὲ γυνὴ, διὰ τοῦ ἰῶτα.
Δ 492 Ἄδμητος: ὄνομα κύριον.
Prov. 493 Ἀδμήτου μέλος καὶ Ἁρμοδίου: ἐπὶ τῶν ῥᾳδίων καὶ εὐκό-
λων· τοιαῦτα γὰρ καὶ τὰ σκολιὰ λεγόμενα.
494 Ἀδμισουνάλιος: ὁ τῶν Σιλεντιαρίων πρῶτος.
Call. 495 Ἀδμωλία: ἡ ἄγνοια παρὰ Καλλιμάχῳ. καὶ Ἀδμωλεί,
Δ χωρὶς δόλου. καὶ Ἀδμωλῶ, τὸ ἀκηδιῶ.
Σ 496 Ἄδμωνι τῷ Μιτυληναίῳ.
497 Ἀδνούμιον: ἀπογραφὴ ὀνομάτων παρὰ Ῥωμαίοις. οἱ δὲ
Suid. Ἀννουμῖνος, τὸ ἀδνούμιον.
498 Ἀδόκητον: διεψευσμένον. δεδιὼς μὴ ἀφυλάκτοις αὐτοῖς ἐπι-
Ε πέσοιεν· ὃ δὴ οὐκ ἀδόκητον ἐγεγόνει, ἐπεὶ καὶ ληστήριον αὐτῶν προέ-
Δ βαινε. καὶ Ἀδόκητος, ἀπροσδόκητος.
Harp. 499 Ἀδοκίμαστος: δοκιμασθῆναι λέγεται τὸ εἰς ἄνδρας ἐγγραφῆναι·
ἀδοκίμαστος δὲ ὁ μήπω ἐγγεγραμμένος. Λυσίας οὕτως.
Δ 500 Ἀδόκιμος: ἀδοκίμαστος.
Σ Ar. 501 Ἀδολεσχία: ἀκαιρία, φλυαρία, συνέχεια. Ἀττικοὶ ἐκτείνουσι
Thdr. τὸ α. Ἀδολεσχία δὲ παρὰ τῇ Γραφῇ, ἡ συνεχὴς μελέτη. καὶ
γενικῇ. Ἀδολεσχήσω, ἀντὶ τοῦ διηνεκῶς μελετήσω.
Σ 502 Ἀδόλως: ἁπλῶς, ἀληθῶς. τὸ δὲ ψεῦδος περιπεπλεγμένον καὶ
δόλου μεστόν.
Σ 503 Ἀδόνητον: ἀσάλευτον.

487 ὁ δέ sq. Polyb. fr. 95 488 ἀθρόοι = Ap. S. 8, 30; ἀδινόν sq. cf. Apion; γοερόν = Ambr. 485, H, Ap. S. 9, 3 489 = Ambr. 500. H 490 = Ambr. 486, H 491 — ἀδάμαστος = Ambr. 388 cf. H, sch. Ψ 266; ἀδμῆτις cf. Ambr. 459 492 = Ambr. 401 493 cf. Diogen. II 68 495 — ἄγνοια = Et. M. 17, 51 cf. H; Call. fr. 338 S. ἀδμωλεί—δόλου cf. Ambr. 524, Zon. 50; ἀδμωλῶ sq. cf. Ambr. 508, H v. ἀδημονεῖ 496 cf. P v. Ῥοδώπιδος ἀνάθημα 497 — ὀνομάτων = Lex. Rom. Barocc. 499 Harp. = P, Ba 28, 8; Lys. fr. 73 501 — συνέχεια = P, Ba 27, 25 Ἀττικοί—α sch. Ar. Nu 1480 ἀδολεσχία—μελέτη Thdr. in Ps. 54, 2, PG 80, 1269b cf. An. Ox. 2, 427, 19 γενικῇ cf. Synt. Gud. et Laur. 502 = P: — ἀληθῶς = Ba 28, 10 503 = P, Ba 28, 1, H

487 Z 44 493 cf. 3975 495 Z 45, 48 496 cf. v. Ῥοδώπιδος ἀνάθημα 497 cf. 2573; Z 47 498 Z 47, 41 499—500 Z 41 502 Z 47

A(GITSM) 1 ὁ—2 λεγόντων om. S 3 Ἀδινά] Ἀδινοί M^{ac} 6 τό om. S 491 om. A 7 διὰ τοῦ om. GIT 494 om. AS post 491 GIT 11 Σιλεντιαρίων GlT Σελεντιαρίων M πρῶτος GIT ἄρχων M 13 δόλου] δουλείας Ambr. Zon. 15 ἀπογραφή—16 ἀδνούμιον om. S ἀπογραφή] ἐπιγραφή A ἀναγραφή Barocc. οἱ—ἀδνούμιον mg. A om. Zon. 21 ἀδοκίμαστος δέ] ἀδόκιμος SM 25 γενικῇ ἀδολεσχήσω A ἀ. γενικῇ I γενικῇ om. rell. 26 τό—27 μεστόν om. S

504 Ἀδοξεῖται: οὐ τιμᾶται, οὐκ ἀπόδεκτόν ἐστι. τὸ νικᾶν παρὰ Ῥωμαίοις ἄνευ παραγγέλματος· ἀδοξεῖται γάρ. E

505 Ἀδοξότατα: τὰ παράδοξα, τὰ ἀδύνατα παρὰ Ἀριστοτέλει· ἔστι δὲ παράδοξα τὰ τοῖς ἐνδόξοις ἐναντία, ἃ οὐ πάντως ἤδη καὶ ἀδύνατά ἐστιν. Phil.

506 Ἀδορατία: ἡ ἀστρατεία. κυρίως δὲ ἡ ἀργία. Δ

507 Ἀδωρότατος: ὁ μὴ δωρολήπτης ὤν.

508 Ἀδορεί: ἀνεκδαρτί. Δ

509 Ἄδορος: κώρυκος. καὶ Ἄδορον, τὸ ἀνέκδαρτον. καὶ Δ

Ἀδόροις, ἀνεκδάρτοις.

510 Ἄδου κυνῆν· ζήτει ἐν τῷ κυνῆ.

511 Ἀδδώ: ὄνομα κύριον. Ἄδω δὲ ῥῆμα, δοτικῇ. Δ Synt.

512 Ἀδωναῖ: Ἑβραϊστί. Δ

513 Ἀδωναῖος: ὑπὸ τὸν ᾅδην. Δ

514 Ἀδώνειοι καρποί: λέγονται οἱ μετέωροι κῆποι. Δ

515 Ἀδωνία: συνεσταλμένως. Ἀδωνίαν ἄγομεν καὶ τὸν Ἄδωνιν κλάομεν. Φερεκράτης. καλοῦσι δὲ καὶ τὸ εἴδωλον τοῦ Ἀδώνιδος οὕτως Ἀδώνιον. καὶ Ἀδωνίδειος καρπός, τοῦ Ἀδώνιδος. Σ Δ

516 Ἄδωνις, Ἀδώνιδος: ὄνομα κύριον. καὶ πένθος ἦν ἱερόν, οἷον ἐν Λιβάνῳ τὸ ἐπ' Ἀδώνιδι καὶ Βύβλῳ. Δ E?

517 Ἀδώνιδος κῆποι: ἐκ θριδάκων καὶ μαράθρων, ἅπερ κατέσπειρον ἐν ὀστράκοις. χρῶνται δ' ἐπὶ τῶν ἐπιπολαίων καὶ κούφων τῇ παροιμίᾳ. Ἀδώνιδος κῆποι: ἐπὶ τῶν ἀώρων καὶ ὀλιγοχρονίων καὶ μὴ ἐρριζωμένων. Σ Prov.

518 Ἄδων τὴν σπιθαμὴν τοῦ βίου πρὸς ἄνηθον: ἐπὶ τῶν γλίσχρων καὶ μικροψύχων. Prov.

519 Ἄδωρα: κακόδωρα, τὰ ἐπὶ κακῷ διδόμενα. Σοφοκλῆς· ἐχθρῶν ἄδωρα δῶρα κοὐκ ὀνήσιμα. ὁ δὲ νοῦς, ὅτι μηδὲ τὰ μέγιστα τῶν ἐχθρῶν ἐφίεσο ἔχειν, τῶν δὲ φίλων καὶ τὰ ἐλάχιστα. καὶ Αἰλιανός· λαβόντες ἑκάτερος τῆς κόρης τὴν ἄδωρον μοῖραν τῷ ἑαυτῶν λάχει, τραγικὸς ἂν εἶπε ποιητής, ἑαυτοὺς κατέσφαξαν. Soph. E

504 τό sq. Jos. Bell. 5, 125 505 Alex. Aphr. 548, 4—6 506 cf. Ambr. 470 507 cf. sch Thuc. 2, 65, 8 508 = Ambr. 529 509 — κώρυκος = Ambr. 386 cf. Et. M. 18, 43, H; ἄδορον—ἀνέκδαρτον cf. Ambr. 487, H 511 — κύριον = Ambr. 400 ᾅδω sq. cf. Synt. Gud. et Laur. 512 = Ambr. 419 513 cf. Ambr. 406 514 cf. Ambr. 443 515 — Ἀδώνιον = P; Pherecr. fr. 170 516 — κύριον = Ambr. 402 καὶ πένθος sq. fort. Aelian. 517 — μαράθρων cf. H; χρῶνται—παροιμίᾳ = P vs. 23 Ἀδώνιδος sq. = sch. Pl. Phaedr. 276 b cf. Diogen. I 14 518 = Philol. Suppl. 6, 257, n. 29 519 — ἐλάχιστα Soph. Ai. 665 c. sch. λαβόντες sq. Aelian. fr. 122

504 = Z 49 506 Z 45 508 Z 49 509 Z 47 513—4 Z 41 515 Pherecr. Z 45 Ἀδωνίδειος—516 Z 42 516 καὶ πένθος sq. cf. v. πένθος 517 cf. 807 519 Soph. cf. v. ἐχθρῶν ἄδωρα

1 οὐκ—2 γάρ om. S 510 om. S mg. A, post 513 GIT, post 511 M A(GITSM) 11 ζήτει AM τουτέστιν GIT 12 ᾅδω—δοτικῇ om. S 14 ὁ] ὁ ὑπό SM 18 οὕτως om. SM Ἀδωνίδειος] Ἀδώνιδος SM τοῦ—20 Βύβλῳ om. S 18 τοῦ] ὁ τοῦ M 20 Βύβλῳ M Βίβλῳ rell.

Δ 520 Ἀδρεός: πόλις.

Thuc. + Δ 521 Ἀδραμύτειον· οὕτως Εὔπολις. καὶ Ἀδραμυτηνὸς δέ· καὶ Θουκυδίδης Ἀτραμύττειον.

ΣΔ 522 Ἀδρανές: ἀσθενές. καὶ Ἀδρανία, ἡ ἀδυναμία, ἀσθένεια.

Anth. ἐν Ἐπιγράμμασι· ἄνθετο δειμαίνων γήραος ἀδρανίην. καὶ αὖθις· ἐπεὶ Δ παρενήξατο τὸ πλεῦν ἥβης, ἐκ γήρως δ' ἀδρανίῃ δέδεται. σημαίνει δὲ καὶ ὄνομα ποταμοῦ. Ἀδρανεία δὲ δίφθογγον ἀπὸ τοῦ ἀδρανὴς ἀρσενικοῦ.

Σ 523 Ἀδράστεια Νέμεσις: ἢν οὐκ ἄν τις ἀποδράσειεν. Ἀδραστείας Ε αὐτῷ Νέμεσις τιμωρὸς ὑπερόγκων καὶ ἀχαλίνων λόγων ἠκολούθησεν.

Prov. Ἀδράστεια οὖν Νέμεσις, ἀπὸ Ἀδράστου. ἐπὶ τῶν πρότερον μὲν εὐδαιμονησάντων, ὕστερον δὲ δυστυχησάντων· τῶν γὰρ ἀπογόνων Θηβαίοις ἐπιστρατευσάντων, μόνος Αἰγιαλεὺς ἀπώλετο Ἀδράστου παῖς.

Harp. 524 Ἀδράστεια: οἱ μὲν ταὐτὸν τῇ Νεμέσει λέγουσι, λαβεῖν δὲ τοὔνομα παρὰ Ἀδράστου τινὸς βασιλέως. ἢ ἀπὸ Ἀδράστου τοῦ παλαιοῦ, νεμεσηθέντος ἐφ' οἷς τῶν Θηβαίων κατηλαζονεύσατο, ἱδρυσαμένων ἱερὸν Νεμέσεως, ὃ μετὰ ταῦτα προσηγορεύθη Ἀδραστεία. Δημήτριος δὲ ὁ Σκήψιος Ἄρτεμίν φησιν εἶναι τὴν Ἀδράστειαν ἀπὸ Ἀδράστου τινὸς ἱδρυμένην. ὁ δὲ Ἀντίμαχος λέγει· ἔστι τις Νέμεσις μεγάλη θεός, ἣ τάδε πάντα πρὸς μακάρων ἔλαχε, βωμὸν δὲ οἱ εἵσατο πρῶτος Ἄδρηστος ποταμοῖο παρὰ ῥόον. ἔνιοι μέντοι ὡς διαφέρουσαν συγκαταλέγουσιν αὐτῇ τῇ Νεμέσει, ὡς Μένανδρος καὶ Νικόστρατος.

Δ 525 Ἀδραστίδης: ὄνομα κύριον.

Hom. 526 Ἀδρηστίνη: ἡ τοῦ Ἀδράστου θυγάτηρ.

EV 527 Ἀδριανός· βασιλεὺς Ῥωμαίων. ἦν δὲ τὸ γένος βουλευτοῦ πατρὸς ἐστρατηγηκότος Ἄφρου· οὕτω γὰρ ὠνομάζετο· φύσιν δὲ φιλόλογος ἐν ἑκατέρᾳ τῇ γλώσσῃ· καί τινα πεζὰ καὶ ἐν ἔπεσι ποιήματα παντοδαπὰ κατέλιπε. φιλοτιμίᾳ τε γὰρ ἁπλήστως ἐχρῆτο καὶ κατὰ τοῦτο καὶ τἄλλα πάντα καὶ τὰ βραχύτατα ἐπετήδευε· καὶ γὰρ ἔπλασσε καὶ ἔγραφε καὶ οὐδὲν ὅ τι οὐ καὶ εἰρηνικὸν καὶ πολεμικὸν καὶ βασιλικὸν καὶ ἰδιωτικὸν εἰδέναι ἔλεγε. καὶ τοῦτο μὲν οὐδέν που τοὺς

520 = Ambr. 461 521 — Εὔπολις (fr. 391) + καὶ Θουκυδίδης sq. sch. Thuc. 5, 1; Ἀδραμυτηνός cf. Ambr. 446; Ἀτραμύττειον cf. Ambr. 3678 522 — ἀσθενές = P, Ba 28, 11, H ἀσθένεια = Et. M. 18, 51, Et. Gud., An. Ox. 2, 331, 12 ἄνθετο—ἀδρανίην Anth. 6, 29, 2 ἐπεί—δέδεται Anth. 6, 296, 5—6 ὄνομα ποταμοῦ cf. Ambr. 466 523 — ἀποδράσειεν = P, H, Σ^c Ἀδραστείας—ἠκολούθησεν Aelian. fr. 228 vs. 10 Ἀδράστεια οὖν sq cf. Zen. I 30 524 Harp. = P, Ba 28, 15; Antim. fr. 43, Men. com. fr. 321, Nicostr. fr. 37 (2, 229 K.) 525 = Ambr 405 cf. Et. M. 18, 46 526 sch. E 412 cf. Ambr. 456 527 — p. 55, 11 πολλά Cass. D. 69, 2—3 = EV 2, 367, 7—21

521 hinc 4379 525 Z 42

A(GITSM) 4 ἡ om. M 5 ἀδρανίην] ἀδρανίκην A 7 καί om. A ποταμοῦ A mg. GITPSM^{ec} τόπου A textu I^{ac}TM^{ac} ἡ ἄδου Ambr. Ἀδρανεία—ἀρσενικοῦ ex GIT 8 Ἀδραστείας] Ἀδράστεια M^{ac} 14 παρά AS ἀπό GITM 17 φησιν] φασιν A ἀπό] ὑπό M^{ec} 20 ποταμοῖο GITM ποταμοῖος A ποταμοῦ S^{ec} ὡς ASM Harp. ὡς μή GITMYP 21 αὐτῇ A Harp. Phot Ba αὐτήν rell. 23 Ἀδρηστίνη] Ἀδραστίνη S^{ac} 25 φύσιν AS Exc. φύσει GITM Xiphilin. 29 ὅτι οὐ] γρ. ὅτι οὖν ss. M

ἀνθρώπους ἔβλαπτεν· ὁ δὲ δὴ φθόνος αὐτῷ δεινότατος ἐς πάντας τούς τινι προέχοντας ὧν πολλοὺς μὲν καθεῖλε, συχνοὺς δὲ ἀπώλεσε. βουλόμενος γὰρ πάντων ἐν πᾶσι περιεῖναι ἐμίσει τοὺς ἔν τινι ὑπεραίροντας. κἀκ τούτου καὶ τὸν Φαβωρῖνον Γαλάτην τόν τε Διονύσιον τὸν Μιλήσιον τοὺς σοφιστὰς καταλύειν ἐπεχείρει τοῖς τε ἄλλοις καὶ μάλιστα τῷ τοὺς ἀνταγωνιστὰς σφῶν ἐξαίρειν, τοὺς μὲν μηδενὸς, τοὺς δὲ βραχυτάτου τινὸς ἀξίους ὄντας. οὗτος ἐν ἐπιστολῇ ἔγραψε τά τε ἄλλα μεγαλοφρονησάμενος, καὶ ἐπομόσας μήτε τι τῶν δημοσίῳ συμφερόντων ποιήσειν μήτε βουλευτήν τινα ἀποσφάξειν, καὶ ἐξώλειαν ἑαυτῷ, ἂν καὶ ὁτιοῦν αὐτῶν ἐκβῇ, προσεπαρασάμενος· ἀλλ' ὅμως διεβλήθη εἰς πολλά. οὗτος ἦν ἡδὺς μὲν ἐντυχεῖν καὶ ἐπήνθει τις αὐτῷ χάρις, EV τῇ τε Λατίνων καὶ Ἑλλήνων γλώττῃ ἄριστα χρώμενος· οὐ μὴν ἐπὶ πραότητι τρόπων ἄγαν ἐθαυμάζετο, περί τε τὴν τῶν δημοσίων χρημάτων ἐσπουδακὼς ἄθροισιν. οὗτος φύσει τοιοῦτος ἦν ὥστε μὴ μόνον EV τοῖς ζῶσιν ἀλλὰ καὶ τοῖς τετελευτηκόσι φθονεῖν· τὸν γοῦν Ὅμηρον καταλύων Ἀντίμαχον ἀντ' αὐτοῦ ἐσῆγεν, οὗ μηδὲ τὸ ὄνομα πολλοὶ πρότερον ἠπίσταντο. ἠτιῶντο μὲν δὴ ταῦτά τε αὐτοῦ καὶ τὸ πάνυ ἀκριβὲς τό τε περίεργον καὶ πολύπραγμον· ἐθεράπευε δὲ αὐτὰ καὶ ἀνελάμβανε τῇ τε ἄλλῃ ἐπιμελείᾳ καὶ προνοίᾳ καὶ μεγαλοπρεπείᾳ καὶ δεξιότητι, καὶ τῷ μήτε τινὰ πόλεμον ταράξαι καὶ τοὺς ὄντας παῦσαι, μήτε τινὰ χρήματα ἀδίκως ἀφελέσθαι, καὶ πολλοῖς πολλὰ καὶ δήμοις καὶ ἰδιώταις χαρίσασθαι. ἦν δὲ περιεργότατος καὶ μαντείαις καὶ μαγγανείαις παντοδαπαῖς ἐχρῆτο. παιδικά τε αὐτοῦ ἐγεγόνει Ἀντίνοός τις· ἔκτισε δὲ πόλιν καὶ συνῴκισεν ἀπ' αὐτοῦ τε ὠνόμασε. καί τινα ὀρῶντα Ἀντίνοον λέγειν. οὗτος ἐς Παννονίαν ἀφίκετο καὶ τὸν Ἴστρον E μετὰ τῶν ὅπλων διενήξατο. καὶ τοῦτο οἱ παρόντες βάρβαροι ἐξεπλάγησαν.

528 Ἀδριανός, σοφιστὴς, μαθητὴς Ἡρώδου, ἀκμάσας δὲ ἐπὶ Μάρκου Hesy. Ἀντωνίνου, ἀντισχολαστὴς Ἀριστείδου τοῦ ῥήτορος ἐν Ἀθήναις γενόμενος· ἐσοφίστευσε δὲ καὶ κατὰ τὴν Ῥώμην καὶ ἀντιγραφεὺς τῶν ἐπιστολῶν ὑπὸ Κομόδου ἐγένετο. Μελέτας, καὶ Μεταμορφώσεις ἐν βιβλίοις ζ', Περὶ ἰδεῶν λόγου ἐν βιβλίοις ε', Περὶ τῶν ἐν ταῖς στάσεσιν ἰδιωμάτων ἐν βιβλίοις τρισὶν, ἐπιστολὰς καὶ λόγους ἐπιδεικτικοὺς, Φάλαριν, Παραμυθητικὸν εἰς Κέλερα.

529 Ἀδριανοί: πόλις Μυσίας, τῆς νῦν Βιθυνίας.

530 Ἀδριάς: πέλαγος. καὶ ζήτει ἐν τῷ Ἀρέθουσα.

527 vs. 11 οὗτος—ἄθροισιν Io. Antioch. fr. 113, FHG 4, 581 = EV 1, 187, 9—12 cf. Eutrop. 141 vs. 14 οὗτος—25 λέγειν Cass. D. 69, 4, 6—5, 1; 11, 3 = EV 2, 367, 22—368, 17 vs. 25 οὗτος sq. Cass. D. 69, 9, 6

2 προέχοντας A Exc. προσέχοντας rell. 4 Φαβωρῖνον Γαλάτην AS cf. Exc. A(GITSM) Γ. Φ. GITM 8 δημοσίῳ AGIT δημοσίων M δημοσίων οὐ S 9 ἀποσφάξειν GTM ἀποσφάζειν AIS ἐξώλειαν] ἀπώλειαν mg. S 14 ὥστε] ὡς GIT 23 αὐτοῦ AS Exc. αὐτῷ GITM 28 δέ om. SM 31 Μελέτας] ἔγραψε Μελέτας M 32 τῶν ἐν] τῶν A 33 ἐν] καὶ ἐν A 529—532 om. S 530 ante 529 AGIT 36 πέλαγος] θάλασσα πέλαγος A καί A om rell.

531 Ἀδρίας: πέλαγος· Ἀδριατικὸν πέλαγος.
532 Ἀδρίας: Σικελικὸν πέλαγος, ὃ διαδύνων ὁ Ἀλφειὸς ἀπὸ Ἀρκαδίας τῇ Σικελικῇ πηγῇ Ἀρεθούσῃ μίγνυται εἰλικρινέστατος.
ΔΣ 533 Ἀδρόν: πολύ. μέγα, δαψιλές, πλούσιον. καὶ Ἀδρότης, ἡ ὑψη-
E λότης. ἁδροῖς μισθοῖς προαγαγὼν εἰς τὸ τόλμημα, τοῦτον ἀναιρεῖ.
E καὶ Αἰλιανός· τινὰς παραλαβὼν ἁδροῦ μισθοῦ ἐς Βυζάντιον ἐλθεῖν
E πείθει. καὶ αὖθις· ἑκάστου τὴν τέχνην ἐπιδεικνυμένου ἐπὶ μισθοῖς ἁδροῖς.
Δ 534 Ἄδρησις: ἡ ἁδρόασις, ἡ ἀπραξία.
Σ 535 Ἀδρύνοιτο: αὐξάνοιτο.
536 Ἀδύ: τὸ ἡδύ. Θεόκριτος· ἀδύ τι τὸ ψιθύρισμα καὶ ἁ πίτυς, αἰπόλε, τήνα.
Σ 537 Ἀδύνατα εἶναι: ἀντὶ τοῦ ἀδύνατον. πολλάκις γὰρ κέχρηται Θουκυδίδης τοῖς πληθυντικοῖς ἀντὶ ἑνικῶν, μάλιστα δ' ἐπὶ ταύτης τῆς
Phil. λέξεως. ἀδύνατον δέ ἐστιν, ὃ μή ἐστιν ἐπιδεκτικὸν τοῦ ἀληθὲς
E εἶναι· οἷον ἡ γῆ ἵπταται. ἀδύνατα ἔχοντος τοῦ στρατηγοῦ κύβον ἀναρρίψαι πολέμου τοσοῦτον.
Prov. 538 Ἀδύνατα θηρᾷς: ἐπὶ τῶν ἐγχειρούντων μείζοσιν ἢ καθ' ἑαυτούς.
Δ 539 Ἀδυναστί: ἀδυνάτως.
Harp. 540 Ἀδύνατοι: οἱ πεπηρωμένοι τὸ σῶμα· ἐλάμβανον δὲ οὗτοι δο-
κιμασθέντες ὑπὸ τῆς βουλῆς, οἱ μέν φασιν, ἑκάστης ἡμέρας ὀβολοὺς δύο, οἱ δὲ ὀβολόν. Φιλόχορος δέ φησιν ἐννέα δραχμὰς κατὰ μῆνα.
Σ 541 Ἀδυσώπητον: ἀπροσωπόληπτον.
Σ 542 Ἄδυτον: σπήλαιον, ἢ τὸ ἀπόκρυφον μέρος τοῦ ἱεροῦ.
Etym. 543 Ἀεκήλια: οὐχ ἥσυχα, οὐδ' εἰρηναῖα, ἀλλὰ ταραχώδη. πρὸς τὴν
Hom. συναλοιφὴν ἐκληπτέον κατὰ ἀπόφασιν τοῦ ἑκήλου· ἐφ' οἷς οὐχ οἷόν τε ἡσυχάζειν, ἀλλὰ τοὐναντίον ταράσσεσθαι· ἢ ἀεκούσια, ἃ οὐκ ἄν τις ἑκὼν πάθοι. ἢ ἀεικέλια, οἷον ἀπεοικότα. Ὅμηρος· ἀεκήλια ἔργα.
Hom. 544 Ἀέκητι: τῇ ἀβουλίᾳ.
Σ 545 Ἄελλα: ἀνέμων συστροφή.
Σ 546 Ἀελλάδες ἵπποι: αἱ ταχεῖαι. καὶ τοῦτο τραγικόν.

533 — πολύ cf. H μέγα—ὑψηλότης = P, Ba 28, 13 cf. H ἁδροῖς—ἀναιρεῖ Aelian. fr. 193 τινάς—πείθει Aelian. fr. 71 ἑκάστου—ἁδροῖς Aelian. fr. 194 534 cf. Ambr. 452 535 = P, Ba 28, 12 cf. Ambr. 511—512 536 Theocr. 1, 1 c. sch. 537 — λέξεως = P, Ba 29, 1; Thuc. 1, 59, 2 ἀδύνατον —ἵπτανται Laert. 7, 75 538 = Zen. I 29 540 Harp.; Philoch. fr. 67 FHG 1, 395 541 = Σ^c, P, Ba 32, 21 542 = P, Ba 32, 23, H 543 — ταραχώδη = Et. M. 19, 37 πρός—πάθοι sch. A in Σ 77 = Et. M. 19, 37; ἃ—πάθοι = Ap. S. 10, 1, H; Σ 77 544 sch. γ 28 cf. H 545 = P, Ba 34, 6 546 = P, Ba 34, 1 cf. H

534 Z 45 536 cf. 3220, v. τήνα, v. ψιθυρίζει 537 Z 47; vs. 15 ἀδύνατα sq. cf. v. κύβον 539 Z 49 540 Z 42 544 Z 51

A(GITSM) 531 ex A mg. 532 ex GIT (post 533) 9 Ἄδρησις] Ἄδροσις S ἄπραξία] ἀπροσεξία A 10 Ἀδρύνοιτο] Ἀδρύνατο A 536 om. S mg. A 19 ἀδυνάτως nov. gl. AS 21 φασιν Harp. Bast. φAGIT πεντακόσιοι M ἐφ' Zon. 25 οὐχ—ταραχώδη om. AS πρός—26 ἐκληπτέον om. GITM

547 Ἀελλόπους: ταχεῖα τοὺς πόδας. Σ
548 Ἀελπέων: οὐκ ἐλπίζων. Δ
549 Ἀελπτέοντες: ἀνελπιστοῦντες. Ἡρόδοτος· ἀελπτέοντες E
τοὺς Ἕλληνας ὑπερβαλέσθαι.
550 Ἄελπτον· Σοφοκλῆς· οὐκ ἔστ' ἄελπτον οὐδὲν, ἀλλ' ἁλίσκεται Soph.
χὠ δεινὸς ὅρκος καὶ περισκελεῖς φρένες. Αἴας λέγει. Ἄελπτον
δὲ ἀνέλπιστον. ἢ σκληρὸν, δυσχερές.
551 Ἄελπτα: ἀνέλπιστα, ἀπροσδόκητα. Ἀριστοφάνης· ἢ πόλλ' ἄελπτ' Δ + Ar.
ἐστὶν ἐν τῷ μακρῷ βίῳ.
552 Ἀέννaον: τὸ ἄπαυστον. Δ
553 Ἀέννaος: ὁ ἀεὶ νάων, ὅ ἐστι ῥέων. ὁ δὲ Ἰουστινιανὸς, Δ
ὥσπερ ποταμὸς ἀέννaος, ἐς ἡμέραν ἑκάστην ἐδήου τε καὶ ἐληΐζετο E
τοὺς ὑπηκόους.
554 Ἀέρα δαίρειν. Suid.
555 Ἀέξετο: ἠυξάνετο. Δ
556 Ἀερέθονται: λίαν παροξύνονται. Δ
557 Ἀεργηλή: ἀργὴ, ἄπρακτος. ἐν Ἐπιγράμμαι· τρομερῷ γήραϊ Δ
κάμνων χειρὸς ἀεργηλᾶς ἀνέθηκε κορύναν. Anth.
558 Ἀεργός: ὁ ἀργός.
559 Ἀέριον ὕδωρ: τὸ ἐν τῷ ἀέρι. καὶ Ἀέριος, ὁ ἐν τῷ ἀέρι. Δ
560 Ἀέρκτον: ἀντὶ τοῦ ἄφρακτον καὶ πανταχόθεν ὁρώμενον. Λυσίας. Harp.
561 Ἀεροβατεῖν: εἰς τὸν ἀέρα περιπατεῖν. τῷ ἀέρι ἐπιβαίνειν. Σ Ar.
καὶ ὁ Σωκράτης ἔφη· ἀεροβατῶ καὶ περιφρονῶ τὸν ἥλιον, ἵνα μὴ ἕλκῃ τὴν ἰκμάδ' Suid.
ἐς τὰ κάρδαμα.
562 Ἀερόεν: τὸ μέγα. Δ
563 Ἀερονηχεῖς: τὰς ἐν τῷ ἀέρι νηχομένας νεφέλας. Ἀριστο- Ar.
φάνης.
564 Ἀερόπη: ὄνομα κύριον. Δ

547 = P cf. Ba 34, 5, H 548 = Ambr. 605 549 — ἀνελπιστοῦντες = Et. M. 20, 22 Ἡρόδοτος sq. 7, 168, 2 550 — φρένες Soph. Ai. 648—9 ἄελπτον—ἀνέλπιστον = Ap. S. 10, 27 cf. H 551 — ἀπροσδόκητα cf. H, Et. M. 20, 23 Ἀριστοφάνης sq. Lys. 256 552 = Ambr. 593 553 — ῥέων cf. Et. M. 20, 33; l. = Ambr. 556; ῥέων cf. sch. ν 109 ὁ δέ sq. Proc. h. a. 19, 10 555 = H cf. Ap. S. 11, 7, Ambr. 610—611 556 = Ambr. 606 557 — ἀργή cf. H τρομερῷ sq. Anth. 6, 73, 1—3 558 = sch. I 320, H 559 Ἀέριος sq. = Ambr. 549 et 573 560 Harp. = P, Ba 34, 10; Lys. 7, 28 561 — περιπατεῖν = P, Ba 34, 12 cf. Ambr. 620 = Zon. 53 τῷ—ἐπιβαίνειν sch. Ar. Nu. 225 562 = Ambr. 592 cf. H 563 sch. Ar. Nu. 337 564 = Ambr. 579

548 Z 53 553 Z 54 556 Z 53 557 Z 51 558 cf. Z 50 561 καὶ ὁ Σωκράτης sq. ex v. διαλεπτολογοῦμαι cf. v. περιφρονεῖν 562 cf. Z 52 563 Z 51

1 ταχεῖα ASM^{ac} Phot. ταχεῖς GIT ταχύς M^{oc} 3 Ἀελπτέοντες] Ἀελπέον- A(GITSM)
τες SM 4 ὑπερβαλέσθαι] ὑπερβάλλεσθαι G cf. Hdt. 550 om. S 5 ἔστ' M
ἔτ' AGIT 6 ἄελπτον—7 δυσχερές hic A, ante Σοφοκλῆς (δέ om.) GITM
8 Ἄελπτα nov. gl. ATS καὶ ἄελπτα GIM 9 βίῳ] βίων A 11 Ἀέννaος—
ῥέων AS cf. Zon. καὶ ἀέννaος ὁ ἀεὶ ῥέων, ἀπὸ τοῦ νάω, ὅ ἐστι ῥέω GITM
554 om. AS post 556 (ss. ζήτει) M 558 om. AS 22 τῷ—24 κάρδαμα
om. S 23 καὶ ὁ—24 κάρδαμα mg. A καί pr. om. M

Δ 565 Ἀέροψ, Ἀέροπος κλίνεται.
Δ 566 Ἀερσίπους: ὁ εἰς ὕψος αἴρων τοὺς πόδας.
Δ 567 Ἄεσις: πόνος τις.
Δ 568 Ἀετασία: λύπη.
Δ 569 Ἀέτειον πτερὸν καὶ κρέας.
Δ 570 Ἀετιδεῖς: οἱ ἀετοῦ παῖδες. Αἰλιανός. καὶ πελαργιδεῖς,
Δ πελαργῶν παῖδες.
E 571 Ἀέτιος· ἐξ Ἀντιοχείας τῆς Συρίας, διδάσκαλος Εὐνομίου, ἀπὸ πενιχρῶν καὶ εὐτελῶν γονέων τυγχάνων. ὁ δὲ πατὴρ αὐτῷ τῶν ἐν στρατιᾷ δυσπραγέστερον ἐνηνεγμένων γενόμενος, ἐτεθνήκει κομιδῇ παῖδα τοῦτον ἀφείς. αὐτὸς δὲ εἰς ἔσχατον ἀπορίας ἦκων, ἐπὶ χρυσοχοΐαν ἐχώρησεν ἀκρότατός τε ἐγένετο. ἐπεὶ δὲ ἡ φύσις αὐτῷ μειζόνων ὠρέγετο μαθημάτων, πρὸς λογικὰς θεωρίας ἐτράπετο. καὶ δῆτα συγγίνεται Παυλίνῳ ἀρτίως ἀπὸ τῆς Τύρου εἰς Ἀντιόχειαν ἀφικομένῳ· ἔτι κατὰ τοὺς Κωνσταντίνου χρόνους τούτου ἠκροᾶτο, πολλὴν ἐπιεικῶς φαίνων τῆς ἀσεβείας τὴν ῥώμην εἰς τὰς πρὸς τοὺς διαφερομένους ζητήσεις· καὶ οὐχ ὑπόστατος ἤδη τοῖς πολλοῖς ἦν. ἐπεὶ δὲ Παυλῖνος ἐτεθνήκει, Εὐλαλίου τρίτου καὶ εἰκοστοῦ ἀπὸ τῶν ἀποστόλων ἔχοντος τὸν θρόνον, πολλοὶ τῶν ὑπὸ τοῦ Ἀετίου ἐλεγχομένων δεινὸν ποιησάμενοι πρὸς ἀνδρὸς δημιουργοῦ καὶ νέου κατὰ κράτος ἐλαύνεσθαι, συστάντες ἐξήλασαν αὐτὸν τῆς Ἀντιοχείας. ἐξελαθεὶς δὲ εἰς τὴν Ἀνάζαρβον ἀφικνεῖται. ὁ δὲ ἤδη τάχιστα δυνάμεως πάσης πιμπλάμενος μείζους ἀεὶ τῶν δεδομένων ἀφορμῶν εἰσέφερε τοὺς καρπούς. ὁ δὲ οὐδὲν ἐπαύετο τοὺς μὲν διελέγχων, φαύλως δὲ ἀμπισχόμενος καὶ ὡς
E ἔτυχε ζῶν. οὗτος αἱρεσιάρχης ἦν, ὃς καὶ ἄθεος ἐπεκλήθη ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου. τὰ αὐτὰ μὲν οὖν ἐφρόνει Ἀρείῳ καὶ τὴν αὐτὴν συνεκρότει δόξαν· πρὸς δὲ ἀρειανίζοντας διεκρίνετο. ἦν δὲ καὶ πρότερον αἱρετικὸς ἄνθρωπος Ἀέτιος καὶ τῷ Ἀρείου δόγματι διαπύρως συνηγορεῖν ἔσπευδεν· ἐν γὰρ τῇ Ἀλεξανδρείᾳ μικρὰ παιδευθεὶς ἀναζεύγνυσι. καὶ καταλαβὼν τὴν ἐν Συρίᾳ Ἀντιόχειαν, ἐντεῦθεν γὰρ ἦν,

565 = Ambr. 574 566 = Ambr. 538 cf. sch. Γ 327, Et. M. 20, 44 567 = Ambr. 577 cf. H, Et. M. 20, 48 568 = Ambr. 586 569 — πτερόν = Ambr. 602 570 — ἀετοῦ παῖδες = Ambr. 551 Αἰλιανός fr. 128 et 170(?) 571 — ζῶν Philostorg. p. 44—47 cf. Excerpta Photii vs. 25 οὗτος sq. Socr. h. e. 2, 35

566 Z 50 567—8 Z 51 569 Z 52 570 hinc v. πελαργιδεῖς; cf. Z 50 571 Z 50

HITSM) 1 κλίνεται ex A 6 ἀετοῦ] ἀετῶν TM, v. πελαργιδεῖς Αἰλανός—7 παῖδες om. GIT Αἰλιανός SM Αἰῶν A 7 πελαργῶν A, v. πελαργιδεῖς, οἱ τῶν πελαργῶν SM παῖδες AS om M 9 αὐτῷ AM αὐτοῦ IT Phot. cp G 10 ἐνηνεγμένων A Phot ἐνειλεγμένων GIM ἐνειλεγμένος T 14 τῆς om. M. 15 Κωνσταντίνου] Κωνσταντίου A 18 Εὐλαλίου Gsf. cf. Phot. Εὐλάλου omnes 19 ἐλεγχομένων] ἐλεγχόμενοι A 21 τήν om. M 22 ὁ δέ] ὁ δή A ἤδη om. GIT 24 διελέγχων] τοὺς δὲ παντοίως θεραπεύων add. T δέ om. A

ὑπὸ Λεοντίου τοῦ τότε τῆς Ἀντιοχείας ἐπισκόπου χειροτονεῖται διάκονος. εὐθὺς οὖν συνεξεφώνει τοὺς ἐντυγχάνοντας ἐκ τῶν Ἀριστοτέλους κατηγοριῶν διαλεγόμενος, τοὺς ἐριστικοὺς κατωρθωκὼς λόγους. ἐπιστολάς τε συνεκάττυε πρὸς βασιλέα Κωνστάντιον. ἀλλ' εἰ τὰ αὐτὰ τοῖς ἀρειανίζουσιν ἔλεγεν, ὅμως ὑπὸ τῶν οἰκείων οὐ δυναμένων συνιέναι τὸ περισκελὲς τῶν λογισμῶν ὡς αἱρετικὸς ὁ ὁμόφρων αὐτοῖς ἐνομίζετο. καὶ διὰ τοῦτο ἐκδιωχθεὶς τῆς αὐτῶν ἐκκλησίας ἔδοξεν αὐτὸς μὴ βούλεσθαι κοινωνεῖν αὐτοῖς. καὶ νῦν εἰσιν ἐξ ἐκείνου οἱ τότε μὲν Ἀετιανοὶ νῦν δὲ Εὐνομιανοὶ λεγόμενοι. Εὐνόμιος γὰρ ταχυγράφος ὢν ἐκείνου καὶ ὑπ' αὐτῷ παιδευθεὶς τὴν αἱρετικὴν λέξιν τοῦ στίφους τούτου προέστη.

572 Ἀετίτης καὶ ἀχάτης καὶ λυχνίτης: εἶδος λίθου. Δ

573 Ἀετὸν ἵπτασθαι διδάσκεις: ἐπὶ τῶν ἐγχειρούντων διδάσκειν Σ τινὰς ἃ ἐπίστανται μᾶλλον τῶν θελόντων διδάσκειν.

574 Ἀετὸν κάνθαρος μαιεύσομαι: ἐπὶ τῶν τιμωρουμένων τοὺς Prov. μείζονας προκατάρξαντας κακοῦ. λέγεται γὰρ τὰ ὠὰ τοῦ ἀετοῦ ἀφανίζειν ὁ κάνθαρος.

575 Ἀετὸς ἐν νεφέλαις: ἐπὶ τῶν δυσαλώτων· παρόσον ἀετὸς ἐν Prov. νεφέλαις ὢν οὐχ ἁλίσκεται.

576 Ἀετός τῶν οἰκοδομημάτων: τὸ κατὰ τὸν ὄροφον, ὅ τινες Harp. ἀέτωμα καλοῦσιν.

577 Ἀετοῦ γῆρας, κορύδου νεότης: παρόσον καὶ γηράσκων ὁ Prov. ἀετὸς ἀμείνων ἐστὶ παντὸς ὄρνιθος.

578 Ἀετώματα· τὰ τῶν ἱερῶν στεγάσματα πτέρυγας καὶ ἀετοὺς Ar. καλοῦσιν. Ἀριστοφάνης· τὰς οἰκίας ἐρέψομεν πρὸς ἀετόν. ἀντὶ τοῦ στεγάσομεν.

579 Ἀζαλέας δρῦς: πρὸς τὸ σημαινόμενον. πότερον ὅτι φυλλορροεῖ Hom. κατ' αὐτὴν τὴν ὥραν ξηραινόμενα τὰ δένδρα ἐκ ῥιζῶν ἀναβαλλόμενα ὑπὸ τῶν χειμάρρων, ἢ ὅτι δρυτόμοι εἰς τὰς ποταμίους ἐμβάλλουσι διώρυγας κόπτοντες, ἵνα συγκαταφέρηται τῷ ὄμβρῳ· ὅπερ ὑγιές.

580 Ἀζαλέη: ξηρά. Δ

581 Ἀζαρίας: ὄνομα κύριον. Δ

582 Ἀζαίνεσθαι: ξηραίνεσθαι. Δ

583 Ἀζέμιλκος: ὄνομα κύριον. Δ

572 cf. Nicet. p. 660; Ambr. 564 573 = P, Zen. II 49 574 cf. Macar. I 36, Philol. Suppl. 6, 257, n. 38 575 = Zen. II 50 576 Harp. = An Ox. 2, 488, 17 cf. P, Ba 35, 10 577 = Zen. II 38 578 Ar. Av. 1110 c. sch. 579 sch. A in Λ 494 580 = Ambr. 652 cf. sch. H 239 = H, Et. M. 22, 51 581 = Ambr. 639 582 = Ambr. 664 583 = Ambr. 637

572 hinc 4676, cf. v. λυχνίτης; Z 50 575 cf. v. αἰετὸς ἐν νεφέλαις 582 Z 55

12 καὶ ἀχάτης—λίθου AGIT εἶδος λίθου ὡς καὶ ἀχάτης καὶ λυχνίτης M A(GITSM) λίθος S εἶδος] εἴδη IT 13 διδάσκεις] διδάσκει A ἐγχειρούντων AGIT ἐπιχειρούντων SM 23 ἀμείνων] μείζων S 24 στεγάσματα] στεγασμάτων AM^{ac}

Δ 584 Ἀζειάδης: παρ' Ὁμήρῳ. ὄνομα κύριον. καὶ πατρωνυμικῶς Ἀζείδαο.

Δ 585 Ἀζείδης: ὄνομα κύριον.

Δ 586 Ἀζειῶται: Τρωϊκὸν ἔθνος.

Suid. 587 Ἀζείρει: τὸ ζέει. Ἀζηρεῖ δὲ τὸ ξηραίνει.

Δ 588 Ἀζήϊος: ὄνομα κύριον.

Δ 589 Ἀζηλόεν: τὸ μέλαν.

Soph. 590 Ἄζηλον: ὃ οὐκ ἄν τις ζηλώσει. ἄζηλον οὕτως ἔργον ἐργάσθαι με φής. καὶ Ἄζηλος βίος, ὁ εὐτελής. ἐξ ὀλβίων ἄζηλον εὑροῦσαι βίον, χωροῦσι πρὸς σέ.

Δ 591 Ἀζήμιθρον: ἀζήμιον.

Ar. 592 Ἀζήμιος: ἀβλαβής. κυρίως δὲ ζημία ἡ τῆς ζωῆς μείωσις, ἢ τὸ ἐν ζωῇ μιαρόν. Ἀριστοφάνης Πλούτῳ· μῶν ἀξιοῖς φενακίσας ἡμᾶς

Soph. ἀπαλλαγῆναι ἀζήμιος; ἢ ὁ ἀληθὴς ἀζήμιος, ὁ μὴ ὑπέχων ζημίαν τοῦ πάθους.

Δ 593 Ἀζηνᾶς: ὄνομα κύριον. καὶ Ἀζηνεύς.

Harp. 594 Ἀζηνιεύς· Ἀζηνία δῆμος ἐστὶ φυλῆς τῆς Ἱπποθοωντίδος, ἀφ'

Σ ἧς ὁ φυλέτης Ἀζηνιεύς. καὶ Ἀζηνιεῖς καὶ Ἐρχιεῖς καὶ Ἁλιεῖς καὶ πάντα τὰ ὅμοια δασέως φασὶ φθέγγεσθαι τοὺς Ἀττικοὺς τοὺς παλαιοὺς Πολέμων ἐν τοῖς πρὸς Ἀδαῖον καὶ Ἀντίγονον.

Δ 595 Ἄζηρος: ὁ μὴ ξηρός.

Δ 596 Ἀζηρεῖ: τὸ ξηραίνει. Ἀζείρει δὲ τὸ ζέει.

Prov. 597 Ἀζηςία: ἡ κόρη, Ἀμαία δὲ ἡ Δημήτηρ. καὶ παροιμία· ἡ Ἀμαία τὴν Ἀζηςίαν μετῆλθεν. ἐπὶ τῶν πολυχρονίως ζητήσεσι χρωμένων.

Harp. 598 Ἀζήτητον: τὸ ζήτησιν καὶ κατηγορίαν ἔχειν κεκωλυμένον. οὕτως Αἰσχίνης.

Δ 599 Ἀζητός: ὁ σεβαστός.

Δ 600 Ἀζηχές: ἀδιαλείπτως.

584 πατρωνυμικῶς cf. Et. M. 22, 55, Ambr. 635, H = sch. B 513 585 = Ambr. 635 586 cf. H; l. = Ambr. 649 588 = Ambr. 643 589 = Ambr. 657 590 — φής Soph. Tr. 745 c. sch. (= sch. 284); ἐξ sq. Soph. Tr. 284—5 591 = Ambr. 658 592 — ἀζήμιος sec. Ar. Pl. 272 c. sch. ἢ ὁ sq. sch. Soph. El. 1102 593 — κύριον = Ambr. 636; Ἀζηνεύς cf. Ambr. 651 594 — vs. 18 Ἀζηνιεύς Harp. = Ba 35, 19 cf. An. Ox. 2, 488, 19, P, H Ἀζηνιεῖς sq. = P; Polem. fr. 65 Preller 595 = Ambr. 628 596 — ξηραίνει = Ambr. 660 cf. H v. ἀζείρει; ἀζείρει sq. cf. Ambr. 661 597 = Zen. IV 20 598 Harp. = P; Aeschin. 3, 22 599 = Ambr. 626 600 = Ambr. 666 cf. sch. Δ 435, Et. M. 22, 46, H

584—6 Z 55 587 ex 596 588—9 Z 55 591 Z 55 593—6 Z 55 596 hinc 587 597 cf. 1541 598—9 Z 55

A(GITSM) 1 παρ' Ὁμήρῳ om. AS ss. M πατρωνυμικῶς] πατρωνυμικόν GIT 2 Ἀζείδαο] Ἀζείδας A, Et. M. Ἀζειάδα Zon. Αζήδαο Ambr. 4 Τρωϊκόν] πατρικόν A 8 ζηλώσει GITS ζηλώσοι A ζηλώσῃ M ζηλώσειεν sch. ἐργάσθαι AGIT εἰργάσθαι M 12 ἀβλαβής] ὁ ἀβλαβής S 13 μιαρόν] μικρόν T 18 Ἐρχιεῖς] Ἀρχιεῖς A 24 πολυχρονίως] πολυχρονίαις S, pr. 28 ἀδιαλείπτως] οἷον ἀδιεχές ἀδιαλείπτως I

601 Ἀζμώθ: ὄνομα κύριον. Δ
602 Ἀζούρωστις. Δ
603 Ἄζωρος: ὄνομα κύριον. σημαίνει δὲ καὶ τὸν εὔκρατον οἶνον. Δ
604 Ἄζυξ: ὁ μὴ συνεζευγμένος γάμῳ. καὶ ὁ κέλης ἵππος. Σ|
605 Ἄει: πνέει. Ἀεὶ δὲ ἀντὶ τοῦ ἕως καὶ ἀντὶ τοῦ μέχρι. ΔΣ
606 Ἀεί· εἰώθασι τὸ ἀεὶ καὶ ἐπ' ὀλίγου χρόνου τάττειν, ὡς καὶ Soph.
Ὅμηρος· ἔχων κότον ἐμμενὲς αἰεί. καὶ Σοφοκλῆς· ὡς λελοιπότα
κεῖνον τὸν ἀεὶ βίοτον ἐξεπίσταco. τουτέστι τὸ μακρὸν γῆρας, τὴν
ζωήν.
607 Ἀεί· τούτου ια′ φωναί. ἀεὶ δὲ χρὴ τὸν σοφὸν εἶναι ὅμοιον,
ἐν ἀληδόσιν ὀξείαις, ἐν ἀποβολῇ τέκνου, ἐν μακραῖς νόσοις. οἷος ἦν
Ἀπολλώνιος ὁ Τυανεύς. καὶ παροιμία· ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς Prov.
κύβοι. ὁμοία ἀξίως τῇ Ἀεὶ ἓξ πίπτουσιν οἱ Διὸς κύβοι. ἐπὶ τῶν ἀξίως Prov.
καὶ εἰς πάντα εὐδαιμονούντων. οἱ δὲ ἐπὶ τῶν ἀξίως τιμωρουμένων.
608 Ἀεὶ γεωργὸς ἐς νέωτα πλούσιος: ἐπὶ τῶν ἐλπίδι μὲν ἀεὶ Σ
τρεφομένων ἀπαλλάττεσθαι τῶν δεινῶν, τοῖς αὐτοῖς δὲ πάλιν περι-
πιπτόντων.
609 Ἀειγλήνῃσιν. Δ
610 Ἀειγυβένς: τουτέστιν ἀκούσατε Ῥωμαϊστί. τὸ ἀεί σημαίνει
ἀκούσατε, τὸ δὲ βένς πάντες.
611 Ἀειδάμνα: ὄνομα κύριον. Δ
612 Ἄειδε: ᾄδε, λέγε. Hom.
613 Ἀείδελον: ἀόρατον. καὶ Ἀειδὲς, λυπηρόν. καὶ Ἀειδέ- ΔΣ
στερον, ἄμορφον. τὸν χαλκὸν ἄμορφον παραλαβόντες καὶ ἀειδέστερον εἰς Δ Suid.
μορφὴν ἐντείνουσι καὶ κατασχηματίζουσι.
614 Ἀειδὴς ψυχή. καὶ Ἀειδία, ἡ ἀμορφία. Δ
615 Ἀειδής: ὁ ἀφανής. Δ

601 cf. Ambr. 638, Ms. A in Paralip. 1, 8, 36; 9, 42 602 = Ambr. 641
603 — κύριον = Ambr. 634; εὔκρατον sq. = Ambr. 627, H 604 — γάμῳ = P,
Ba 35, 17 605 — πνέει cf. H v. ἄειν; ἀεί sq. = P cf. Harp., H 606 Soph.
OC 1584 c. sch.; N 517 607 — φωναί cf. Et. M. 31, 24 vs. 10 ἀεὶ δέ—νό-
σοις Marc. 1, 8, 3 vs. 12 ἀεί—κύβοι + ἐπί sq. = Zen. II 44, P; Soph. fr. 809
608 = P, Zen. II 43 610 cf. Rom. lex. ms. Vatic. 867 611 cf. Ambr. 584
612 sch. A 1 = Hes. cf. Ambr. 608 613 — ἀόρατον cf. Et. M. 21, 19, Ambr. 594
ἀειδές, λυπηρόν = P cf. Ba 36, 12, H v. ἀηδές, Ambr. 687 615 = Ambr. 563

601 Z 55 603 Z 55 604 cf. v. σειροφόρος 608 hinc v. νέωτα
609 cf Z 51 613 τὸν χαλκόν sq. ex v. δημιουργός

2 Ἀζούρωστις] Ἀζούρος τίς S Ἀζούροστις Ambr. om. G 5 μέχρι SM A(GITSM)
Phot. μέχρις AGIT 13 ὁμοία—κύβοι om. A (plura om. S) 19 Ἀειγυβένς]
διαλαλία add. M Ῥωμαϊστί] πάντες M om. S τὸ α ί—20 πάντες mg. A
20 τό—πάντες] ὕβενς διαλαλία δὲ πάντες A πάντες] Ῥωμαϊστί add.
ISM 23 ἀόρατον—26 ἀμορφία] ἀόρατον. Ἀειδὴς ψυχὴ καὶ ἀειδία καὶ ἀειδές
ἡ ἀμορφία· λυπηρόν καὶ ἀειδέστερον, ἄμορφον. τόν—κατασχηματίζουσι A
ἀειδές] ἀηδές M cf. Phot Ba λυπηρόν om., post ἄμορφον add. ἀηδὲς τὸ
λυπηρόν S 24 τόν—25 κατασχηματίζουσι om. GTS mg. I παραλαβόντες
IM, v. δημιουργός, παραλαμβάνοντες A 614 om. S post 615 M; de A v. ad
vs. 23 27 ὁ om. S

Δ 616 Ἀειδίνητος: ὁ πάντοτε στρεφόμενος.

Δ 617 Ἀειδώνιος: ὄνομα κύριον.

Harp. +Σ 618 Ἀεὶ ἔστω: Ἀντιφῶν τὴν ἀϊδιότητα καὶ τὸ ἐπὶ τῶν αὐτῶν ἀεὶ ἑστάναι. ὥσπερ καὶ εὐεστὼ ἡ εὐδαιμονία καλεῖται. ἡ λέξις Διογενιανὸς ἐν Ἀληθείᾳ δευτέρῳ.

Σ 619 Ἀειθαλής: ἀεὶ θάλλων.

Hom. 620 Ἀεικέλιος: ὁ εὐκαταφρόνητος.

Δ 621 Ἄεικες: τὸ ἀνόμοιον· Ἀεικὲς δὲ τὸ ἀπρεπές. ἐν Ἐπιγράμ-

Soph. μασι· οὔ τοι ἀεικές. καὶ αὖθις· εἰς ἄτας ἐμπίπτεις οὕτως ἀεικῶς.

Δ 622 Ἀεικέστερος: ἀπρεπέστερος.

Δ 623 Ἀείκεια: ἡ ἀπρέπεια.

Δ 624 Ἀεικήλιον: τὸ ἀπρεπές.

Δ 625 Ἀεικίας: τὰς ὕβρεις. σημαίνει καὶ ὄνομα κύριον.

Hom. 626 Ἀεικίςουςιν: ὑβρίςουςιν.

Δ 627 Ἀεικῶς: ἀπρεπῶς, ἀςυνήθως. οὕτως ἀεικῶς οἰκτρῶς τε

Soph. θανόντος. οἰκτρῶς μὲν διὰ τὸ βίᾳ καὶ ἐπιβουλευθέντα, ἀεικῶς δὲ διότι πελέκει αὐτὸν μεθ' ὕβρεως ἐτίςαντο.

Δ 628 Ἀειλογεῖς: ἀεὶ λαλεῖς. καὶ Ἀειλογία, πολυλογία ἢ ταυτο-

Σ λογία ἢ τὸ διὰ παντὸς ἐξεῖναι λέγειν. Ἀειλογία: τὸ ἀεὶ λόγον

Harp. καὶ εὐθύνας ὑπέχειν. οὕτως Δημοσθένης καὶ Ἰςαῖος.

Prov. 629 Ἀεί με τοιοῦτοι πολέμιοι διώκοιεν: ἐπὶ τῶν ἀνάνδρων καὶ μηδενὸς λόγου ἀξίων.

Δ 630 Ἀείμνηστος.

Σ 631 Ἀεινόν: τὸ ἀένναον.

Soph. 632 Ἀεὶ παρθένους: τὰς Ἐριννῦς. μυθικὸν δέ ἐστι τοῦτο. ὑπο-

νοεῖν δὲ χρὴ τὰς ἀδωροδοκήτους καὶ οὐχὶ χρανθῆναι δώροις δυναμένας ὑπὸ τῶν ἀδικούντων. Σοφοκλῆς· καλῶ δ' ἀρωγοὺς τὰς ἀεί τε παρθένους ςεμνὰς Ἐριννῦς τανύποδας.

Call. 633 Ἀείπλανα: πεπλανημένα, φλύαρα, πλήρη φλυαρίας. ἀείπλανα χείλεα γρηός.

616 = Ambr. 543 617 = Ambr. 565 618 — καλεῖται Harp. cf. P; ἀϊδιότητα = H ἡ λέξις sq. = P; ἐν sq Antiph. fr. 116 619 = P, Ba 34, 2 cf. H, Ambr. 554, 601 620 sch Ξ 84 cf. H v. αἰκελίου 621 — ἀπρεπές = Ambr. 591, cf H οὔ τοι ἀεικές I 70 cf. Aeschin. 3, 185 = Plut Cim. 7 (Weil, Revue de philol. 1877, 197) εἰς sq. Soph. El 215—6 622 = Ambr. 548 623 = Ambr. 582 624 = Ambr. 603 625 — ὕβρεις = Et. M. 22, 8 cf. H 626 sch. Π 545 627 — ἀπρεπῶς = H οὕτως sq. Soph. El. 101—2 c. sch. 628 — λαλεῖς = Ambr. 612, H ἀειλογία—λέγειν = P cf. Ba 34, 4 vs. 19 ἀειλογία sq. Harp. = An. Ox. 2, 488, 15, P; Dem. 19, 2; Isae. fr. 141 629 = Zen. II 52 630 = Ambr. 553 631 = P, Ba 35, 8, Ambr. 597 632 Soph. Ai. 835—7 c. sch. 633 Call. fr. 6 K., an. 2 S. c. sch. (cf. Babr. p. 215)

618 cf. v. αἰειεστώ, hinc v. εὐεστώ 626 Z 53 628 Harp. Z 52 629 cf. v. αἰεί

A (GITSM) 4 Διογενιανός] Διογενιανοῦ M^{ac} Phot. 8 ἐν—9 ἀεικῶς om. S 9 τοι] τι M 14 ὑβρίςουςιν] ὑβρίζουςιν GIT 21 πολέμιοι] πόλεμοι SM Zen. cf. v. αἰεί 23 Ἀείμνηστος S Ambr. Ἀείμνητος rell.

634 Ἀείρακος: ἡ ἔλαφος παρὰ Κρήταις. Δ
635 Ἄειρε: πρόσφερε. Ὅμηρος· μή μοι οἶνον ἄειρε μελίφρονα. Hom.
636 Ἄειρεν: ἔβαλε. καὶ ἴπνια λύματ' ἄειρεν. Call.
637 Ἄειρος: ὁ ἄπειρος. Δ
638 Ἀείρω: τὸ ἐπαίρω καὶ κουφίζω. Δ
639 Ἀείρων: ἀθώπευτος. Δ
640 Ἀείρρυτος: ὁ ἀεὶ ῥέων. Δ
641 Ἀείτης: ὁ ἑταῖρος. Δ
642 Ἀεί τις ἐν Κύδωνος: ἐπὶ τῶν φιλοξένων καὶ πρὸς ὑποδοχὴν Prov.
ἑτοίμων· παρόσον Κύδων Κορίνθιος φιλοξενότατος ἐγένετο.
643 Ἀεὶ τοῖς ἐρῶσιν σύνεσμεν· Ἀριστοφάνης περὶ ὀρνίθων. διὰ Ar.
τὸ τοὺς ἐραστὰς ὄρνιθας εὐγενεῖς χαρίζεσθαι τοῖς ἐρωμένοις. καὶ ἡ
ἰττη δὲ καὶ εἴ τι τοιοῦτον ὄρνεον δεξιὰ πρὸς τοὺς ἔρωτας φαίνεται.
ἐγὼ μέν, ὦ Λευκίππη, δεξιὰ ἰττη. ἡ νῦν οἶμαι λεγομένη ἰτάριος.
644 Ἀείϋπνος: ὁ ἀεὶ κοιμώμενος. Suid.
645 Ἀείφρουρος. Δ
646 Ἀειφυγία: ἡ εἰς ἀεὶ φυγή. χωρήσειν δ' αὐτοῖς ἅπαντα Σ
κατὰ νοῦν, εἰ τὸν αὐτόχειρα ἐλάσουσι τοῦ στρατοῦ ἀειφυγίᾳ. τουτέστιν E
ἐξορίᾳ.
647 Ἀηδής: ὁ ἀνεύφραντος, ὁ δυσειδής. καὶ Ἀηδὲς, τὸ ἀνέραστον. Δ
648 Ἀηδία: ἡ ἀνορεξία. Ἀειδία δὲ ἡ ἀμορφία. Δ Suid.
649 Ἀηδίζομαι: οὐκ εὐφραίνομαι. Δ
650 Ἀηδόνειος ᾠδή καὶ Ἀηδόνειον μέλος. Δ
651 Ἀηδών. καὶ ἀηδοῦς· ὡς Σαπφὼ κατὰ Μιτυληναίους. Σο- Δ
φοκλῆς· οὐδ' οἰκτρᾶς γόον ὄρνιθος ἀηδοῦς ἄξει δύσμορος· ἀλλ' ὀξυτόνους Soph.
ᾠδὰς θρηνήσει, χερόπληκτοι δὲ στέρνοις πεσοῦνται δοῦποι. καὶ αὖθις·
Οὐδ' ὅσον ἀηδόνες ὑπνώουσιν. ἐπὶ τῶν ἀγρυπνούντων. Prov.
καὶ αὖθις· ἀλλ' ἐμέ γ' ἃ στονόεσσ' ἄραρε φρένας ἃ Ἴτυν αἰὲν ὀλο- Soph.
φύρεται ὄρνις ἀτυζομένα Διὸς ἄγγελος. Ἀττικῶς ἄραρέ με. αὕτη
ἴση μοι ταῖς φρεσίν, ἀντὶ τοῦ σύμφωνα πράσσομεν ἐγώ τε καὶ ἡ
ἀηδὼν ἕνεκα τοῦ θρηνεῖν. οἷον ἥρμοσταί μου ταῖς φρεσί, τουτέστιν

634 = Ambr. 550 635 Z 264 c. sch. = H 636 Call. fr. 18 K., 216 S. c. sch. 637 = Ambr. 540 cf. H v. ἀείροις 638 κουφίζω = Ambr. 609 639 = Ambr. 541 cf. H v. ἄϊρρον 640 = Ambr. 539 641 = Ambr. 546 cf. P, Ba 35, 9, H v. ἄϊταν 642 = Zen. II 42 643 — ἰττη Ar. Av. 704 c. sch.; ἐγώ—ιττή PLG 3, 695 645 = Ambr. 552 646 — φυγή = P, Ba 34, 3; l. = Ambr. 587 647 — ἀνεύφραντος = Ambr. 671, cf. 675; ἀηδές sq. = Ambr. 687 648 — ἀνορεξία = Ambr. 683 649 = Ambr. 699 650 — ᾠδή = Ambr. 679 651 ἀηδοῦς pr.—δοῦποι Soph. Ai. 629—634 c sch. vs. 27 οὐδ' —ἀγρυπνούντων = Paroem. App. IV 41 vs. 28 ἀλλ'—p. 64, 5 ἀηδών Soph. El. 147—9 c. sch.; τ 518, Sapph. fr. 39

635 cf. v. αἶρε 636 cf. v. ἴπνια 641 Z 50 642 cf. v. τίς 644 ex v. αἰένυπνος 646 Z 52 651 Prov. cf. v. οὐδ' ὅσον. Soph. El. cf. 3735, 4397

2 πρόσφερε] πρόσφορε A 4 ὁ om. A 13 τοὺς ἔρωτας] ἔρωτα SM A(GITSM)
14 ἡ—ιτάριος ex GIT 644 om. GIT mg. A post 645 S 20 ὁ δυσειδὴς
om. S 21 Ἀειδία—ἀμορφία om. GITS mg. A 27 ὑπνώουσιν] ὑπνώττουσιν GIT

ἐκείνην ζηλῶ τὴν ἀξίως τὸν Ἴτυν στενάζουcαν. Διὸc δὲ ἄγγελος ἡ ἀηδών, ὅτι τὸ ἔαρ cημαίνει ἢ ὅτι τὴν ἡμέραν. καὶ Ὅμηροc· χλωρῆϊc ἀηδών. ἢ ὅτι τὰ ἑαυτῆc ἀγγέλλει κακὰ καὶ τὴν θρυλουμένην ἀγγελίαν καὶ τὸ πάθοc. ἢ ἄγγελοc οἷον τέραc τὸ παρ' αὐτοῦ γινόμενον εἰc τερατείαν τῆc φύcεωc. καὶ Cαπφώ· ἦροc ἄγγελοc ἡμερόφωνοc ἀηδών.

Δ Ἀηδὼν δὲ ἀηδόνοc, cυcτέλλει.

652 Ἀηδῶc: ἀνωφελῶc.

Δ 653 Ἀήθεccον: ἀήθειc ἦcαν. καὶ Ἀηθέccουcιν, ἀcυνήθειc εἰcίν. Ἀηθέccω ὁ ἐνεcτὼc, ἀηδίζομαι, ἀΐω, ἄω, οὐ τρέπουcι τὸ α εἰc η κατὰ τὸν παρατατικόν. καὶ τὸ μὲν ἀήθεccον καὶ ἀηδιζόμην, ἵνα μὴ εὑρεθῇ ἀλλεπάλληλον τὸ η. τὸ δὲ ἄω, τὸ πνέω, καὶ ἀΐω, τὸ ἀκούω, ἵνα μὴ cυνεμπέcωcιν ἑτέρῳ cημαινομένῳ. τὸ γὰρ ἀΐω cυνέπεται τῷ ἤϊε, τῷ ἐπορεύετο· τὸ δὲ ἄω, τῷ ἦε, τῷ ὑπῆρχεν.

Δ 654 Ἄηκεc: τὸ ἠκονημένον ξίφοc.

Δ 655 Ἄημα: ἡ πνοὴ τοῦ ἀνέμου. δεινόν τ' ἄημα πνευμάτων ἐκοί-
Soph. μιcε cτένοντα πόντον· ὁ δὲ παγκρατὴc ὕπνοc λύει πεδήcαc, οὐδ' ἀεὶ λαχὼν ἔχει. ἡμεῖc δὲ πῶc οὐ γνωcόμεθα cωφρονεῖν; ἐγὼ δ' ἐπίcταμαι γὰρ ἀρτίωc, ὅτι ὅτ' ἐχθρὸc ἦμην ἐc τοcόνδ' ἐχθραντέοc ὡc καὶ φιλήcων αὖθιc, ἕc τε τὸν φίλον τοcαῦθ' ὑπουργῶν ὠφελεῖν βουλήcομαι, ὡc αἰὲν οὐ μενοῦντα. τοῖc πολλοῖcι γὰρ βροτῶν ἄπιcτόc ἐcθ' ἑταιρείαc λιμήν.

Anth. 656 Ἄημαι· ἐν Ἐπιγράμμαcιν· ἀcπὶc ἀπὸ βροτέων ὤμων Τιμάνωροc ἄημαι νηῷ ὑπορροφίαc Παλλάδοc. ἀντὶ τοῦ ἀνάκειμαι.

Δ 657 Ἀήμεναι: πνεῦcαι.

Δ 658 Ἀηνέc: τὸ ἀΐδιον, τὸ λαμπρόν.

Δ 659 Ἀηνόβαρβοc: ὁ χαλκοπώγων.

Δ 660 Ἀήπιον: τὸ μὴ πρᾶον.

Anth. 661 Ἀέccατοc: ἀήττητοc. ἔμμι δ' ἀήccατοc πάμπαν ἀφ' οὗ γενόμαν.

Δ 662 Ἀήcυλον: τὸ ἄδικον.

Call. + Δ 663 Ἀήcυρον: τὸ λεπτὸν, τὸ μετέωρον καὶ κοῦφον, τὸ ἐλαφρόν, παρὰ τὸ ἀέρι cύρεcθαι. ἐπὶ ὀρνέων. ἀήcυρον γόνυ κάμψοι.

651 vs. 6 ἀηδών sq. = Ambr. 678 653 ἀήθειc cf. Et. M. 23, 54; ἀηθέccουcιν —εἰcίν = Ambr. 697 cf. sch. K 493, H v. ἀήθεcκον ἀηθέccω sq. cf. Et. M. 24, 1 654 cf. Ambr. 689 655 — πνοή = Ambr. 690 δεινόν sq. Soph. Ai. 674—683 656 — Παλλάδοc Anth. 6, 124, 1—2 657 = Ambr. 694, H 658 = H cf. Ambr. 685 659 = Ambr. 668 660 = Ambr. 692 661 ἔμμι sq. Anth. 6, 264, 6 663 κοῦφον—ἐλαφρόν = H; κοῦφον—cύρεcθαι cf. Ap. S. 12, 6; κοῦφον = Et. M. 23, 21; ἐλαφρόν = Ambr. 688 vs. 31 ἀήcυρον sq. Call. fr. 68 K., an. 3 S.

653 Ambr. Z 58 654 Z 57 655 cf. v. ἐχθραντέοc et v. λιμήν 656 cf. 1281 et v. Τιμάνωρ 657—9 Z 57

A(GITSM) 4 αὐτοῦ] αὐτῆc M^{cc} 11 η] ι AS 12 τῷ pr.] τό A τῷ alt. M τό S τοῦ AGIT 13 τῷ alt. M τό S τοῦ AGIT 15 ἐκοίμιcε GTM ἐκοίμηcε AIS 17 λαχών] λαβών M^{cc} 18 ἐχθραντέοc] ἐχθραντέτοc A 21 ἑταιρείαc] ἀϊδέc add. M ἀϊδὴc ss. I 22 Τιμάνωροc AGIT Τιμάνοροc SM cf. Anth. 23 ὑπορροφίαc AIM^{ac} 1283, ὑπωρροφίαc GT ὑπωροφίαc M^{cc} ὑπερροφίαc S cf. Anth.

664 Ἀήτης: ὁ ἄνεμος. καὶ ὥσπερ ἠγήσω, ἠγητής· ποιήσω, ποιητής· οὕτως ἔδει ἄω, ἀήσω, ἀητής. ἀλλ' ἡμάρτηται. Καρπαθίην ὅτε νυκτὸς ἄλα στρέψαντος ἀήτου. Δ Ecl. Anth.

665 Ἀήττητος: ὁ ἀκαταπόνητος. Δ

666 Ἄητον: τὸ καταπνεόμενον. Δ

667 Ἄητος: ὁ ἀκόρεστος. Δ

668 Ἀϊδάᾶς: ὁ δεσπότης. Δ

669 Ἀΐδας: ὁ τάφος. Δ

670 Ἀϊδές: τὸ ἀκατάληπτον. Δ

671 Ἀΐδηλον πῦρ: τὸ ἀφανιστικόν. καὶ Ἀϊδήλως, ἀφανιστικῶς. Hom.

672 Ἀΐδης: ὁ Ἅδης, κατὰ διάλυσιν. καὶ Ἀϊδωνεῖ, καὶ Ἀϊδωνῆϊ, τῷ Ἅδῃ. Δ

673 Ἀΐδιος: ὁ αἰώνιος. Δ

674 Ἀϊδνής: ὁ μὴ βλεπόμενος. Δ

675 Ἄϊδος κυνῆ: παροιμία πρὸς τοὺς ἐπικρύπτοντας ἑαυτοὺς διά τινων μηχανημάτων. τοιαύτη γὰρ ἡ τοῦ Ἅδου κυνῆ, ᾗ Περσεὺς χρησάμενος τὴν Γοργόνα ἐδειροτόμησεν. Prov.

676 Ἄϊδος κυνῆ· Ἀριστοφάνης· λάβε δ' ἐμοῦ γ' ἕνεκα παρ' Ἱερωνύμου σκοτοδασυπυκνότριχα τὴν Ἄϊδος κυνῆν. ἐπὶ τῶν ἀφανῶν εἴρηται ἡ παροιμία. νῦν δὲ ἐπὶ τῶν ἄγαν κομώντων. οὗτος γὰρ ὁ Ἱερώνυμος μελῶν ἦν ποιητὴς καὶ τραγῳδὸς ἀνώμαλος καὶ ἀνοικονόμητος, διὰ τὸ ἄγαν ἐμπαθεῖς γράφειν ὑποθέσεις καὶ φοβεροῖς προσωπείοις χρῆσθαι· ἐδόκει κροτεῖσθαι. ἐκωμῳδεῖτο δὲ ὡς πάνυ κομῶν· διόπερ Ἄϊδος κυνῆν ἔφη αὐτὸν κωμῳδικῶς, ὡς κουρειῶντα. Ar.

677 Ἀϊδρείη: ἡ ἀπειρία. Δ

678 Ἄϊδρις: ἀμαθής, ἄπειρος. ἐγὼ δ' ὁ πάντα κωφὸς, ὁ πάντ' ἄϊδρις, κατημέλησα. ἀντὶ τοῦ ὁ ἀναίσθητος. ἴδρις γὰρ ὁ ἔμπειρος. ὁ Θεολόγος· γέρων μέν εἰμι καὶ πολλῶν κακῶν ἴδρις. Σ Soph.

679 Ἀϊδρόν: τὸ διαφανές. Δ

680 Ἀΐδυλος: ὁ θρασύς. Δ

681 Ἄϊεν: ἐξέπνεεν. Δ

682 Ἀΐειν: ἀκούειν, αἰσθάνεσθαι. Σ

664 — ἡμάρτηται cf. Et. M. 23, 29; — ἄνεμος = Ambr. 670, H cf. sch. ι 139 Καρπαθίην sq. Anth. 6, 245, 1 665 = Ambr. 672 666 cf. Ambr. 674 et 695 667 = Ambr. 669 cf. H v. ἀκόρεστοι, Et. M. 23, 19 668 = Ambr. 797, H 669 = Ambr. 802, H 670 = Ambr. 823 671 — ἀφανιστικόν sch. B 455; ἀϊδήλως sq. sch. Φ 220 cf. Ambr. 836 672 — Ἅδης = H; Ἀϊδωνεῖ sq. = Ambr 801 cf. H = sch. Ε 190 673 = Ambr. 798 674 l. = Ambr 806 675 = Zen. I 41 676 Ar. Ach. 388—390 c. sch. 677 = Ambr. 819—820, Et. M. 42, 44 cf. sch. H 198 = H, Ap. S. 17, 3 678 — ἄπειρος = Σ^{e}, P cf. Ba 52, 17, sch. κ 282, Ambr. 791 ἐγὼ—ἀναίσθητος Soph. Ai. 911 c. sch. γέρων sq Greg. Naz. carm. PG 37, 1245a 679 = Ambr. 822 (αϊδνόν) 680 = Ambr. 794, H, Et. M. 30, 19 681 cf. Ambr. 829 682 = Ba 52, 19, P, Apion cf. H v. ἄϊει

666 Z 57 674 cf. 689 678 Soph. cf. v. ἐγὼ δ' ὁ πάντα 680 cf. Z 66

19 σκοτοδασυ-] σκυτοδασυ- G cf. Ar. A(GITSM)

Δ 683 Ἄϊθες: ἐθνικόν.
Δ 684 Ἄϊκες: αἱ ὁρμαί.
Δ 685 Ἄϊνες: ἐθνικόν.
Δ 686 Ἀΐω: ἀκούω.
Δ 687 Ἀΐξας: ὁρμήσας. αἴξας ἔντοσθε νεοσσοκόμοιο καλιῆς νόσφισεν
Anth. ὠδίνων τετραέλικτος ὄφις.
Δ 688 Ἄϊρος: ὄνομα κύριον.
Δ 689 Ἄϊς: ὁ μὴ βλεπόμενος.
Δ 690 Ἀΐσθων: ἐκπνέων.
Hom. 691 Ἀΐσσουσιν: ὁρμῶσι, φοιτῶσι. Πολύβιος· ἐν γὰρ τῇ Ῥώμῃ
E Μάρκον Πόρκιον ἀκούσαντα τὰς ἀριστείας Σκιπίωνος εἰπεῖν πάλιν
ἄλλον πρὸς ἐκεῖνον· τί ἀκήκοας; εἰπεῖν οἷος πέπνυται, τοὶ δὲ σκιαὶ
ἀΐσσουσιν.
Δ 692 Ἀϊστί: ἀφανῶς.
Hom. 693 Ἄϊστος: ἀνιστόρητος, ἀφανής.
Σ 694 Ἀϊστωθείη: ἀφανισθείη.
Σ 695 Ἀΐστωρ: ἄπειρος, ἀμαθής.
Δ 696 Ἀϊστῶσαι: ἀφανίσαι.
Δ 697 Ἀΐτης: ὁ ὁρμητικός.
Δ 698 Ἀϊτία: ἡ χορδή.
Δ 699 Ἄϊτος: ὄνομα κύριον.
Δ 700 Ἀϊχθήτην: ὡρμήθησαν.
Δ 701 Ἀθαμαντίδης: πατρωνυμικόν.
Δ 702 Ἀθάμας: ὄνομα κύριον. εἰσάγεται ὁ Ἀθάμας ἐστεφανωμένος
Ar. ὥσπερ ἱερεῖον σφαγιασθησόμενος διὰ Φρίξον, καὶ ῥύεται αὐτὸν Ἡρα-
κλῆς εἰπὼν ζῆν τὸν Φρίξον. παραδείγματι οὖν χρώμενος ὁ Ἀριστο-
φάνης δεδιέναι φησὶ τῷ Ἀθάμαντι παραπλήσια μέλλοντι θύεσθαι.
Σ 703 Ἀθαμβής: ἄφοβος.
704 Ἀθανάριχος· ὃς ἐβασάνισε τὸν ἅγιον Νικήταν καὶ μέγαν μάρ-
τυρα τοῦ Χριστοῦ πεποίηκεν.
Hom. 705 Ἀθάνατος: τὸ ἀθάνατος ἐπὶ ἐμψύχων, τὸ δὲ ἄφθιτος ἐπὶ ἀψύχων
Phil. φιλόσοφοι τάττουσιν. ὅτι ὁ Πλάτων ἀθάνατον εἶναι λέγων τὴν
ψυχὴν ἀθανάτοις ὁμώνυμον εἶναι ἐπιφέρει. διότι τὸ μὲν κυρίως ἀθά-

684 = H cf. Ambr. 817, sch. O 709 685 l. = Ambr. 816 686 = Ambr. 831
687 — ὁρμήσας = H cf. Ambr. 832 αἴξας alt. sq. Anth. 7, 210, 3
688 = Ambr. 808 689 = Ambr. 790 690 = Ambr. 830, sch. Π 468, Et. M. 43, 23 691 — ὁρμῶσι = sch. Λ 552, H cf. Ambr. 832 ἐν sq. Polyb. 36, 8, 7; οἷος sq. κ 495 692 = Ambr. 837 693 sch. α 242; ἀφανής = Ambr. 795
694 = P, Ba 52, 21 695 Tim. = Ba 52, 20 696 = Ambr. 834 697 = Ambr. 792 698 = Ambr. 821 700 Ambr. 833, H 701 = Ambr. 713 702 εἰσάγεται sq. sch. Ar. Nu. 257 703 = P, Ba 36, 24 704 cf. Synax. 45, 30
705 — τάττουσι sch. B 186 vs. 32 ὅτι—τόπον Philop. 24, 25—29

688, 685 Z 63 688—9 Z 63 689 cf. 674 690 Z 95 691 cf. v. Κάτων
697 Z 74 705 Hom. hinc 4628

A(GITSM) 684—5 om. GIT 5 νόσφισεν] νοσφίσας A 12 εἰπεῖν ex AG; εἰπεῖν, ζήτει σφάλμα mg. M τοί] τό A 29 Νικήταν] Νικήτα AI cp. M μέγαν μάρτυρα] μεγαλομάρτυρα S

νατον καὶ κατ᾽ οὐσίαν καὶ κατ᾽ ἐνέργειάν ἐστιν ἀμετάβλητον· τὴν δὲ ψυχὴν κατ᾽ οὐσίαν μὲν οἶδεν ἀθάνατον, οὐκέτι δὲ καὶ κατ᾽ ἐνέργειαν. οὕτως δ᾽ ἂν εἴποις καὶ τὰ οὐράνια ἀθανάτοις ὁμώνυμα· μεταβάλλει γὰρ καὶ αὐτὰ, εἰ καὶ μὴ κατ᾽ οὐσίαν ἀλλὰ κατὰ τόπον. ὅτι δὲ πάθος τῆς ζωῆς ἡ ἀθανασία καὶ σύμπτωμά τι· ἐπὶ ὑποθέσει γάρ τινι δείκνυται ἐκ θνητοῦ ἀθάνατον γίγνεσθαι, οὐ μεταλήψει ἄλλης ζωῆς τὸ θνητὸν ἀθάνατον γίγνεσθαι. ἐγράφη ἐν τῷ Πῖ στοιχείῳ περὶ πάθους. ὁ δὲ τὴν ἀθανασίαν ὁριζόμενος στέρησιν θανάτου ἁμαρτάνει. οὐ γὰρ στέρησις θανάτου ἡ ἀθανασία, ἀλλ᾽ ἐν ἕξει καὶ διαθέσει.

706 Ἀθᾶνες: ὄνομα ἔθνους. Δ

707 Ἀθάνατοι: μύριοι Περσῶν ἐπίλεκτοι. οὓς Ἀρδαβούριος ἐπὶ Θεοδοσίου βασιλέως διέφθειρε καὶ ἠφάνισεν. οὓς εἶχε Ξέρξης ὁ Δαρείου. E

708 Ἀθάρα: ἄλευρον ἠψημένον. κλίνεται δὲ παρὰ μὲν Ἀττικοῖς διὰ τοῦ η ἀθάρης, ἡ δὲ κοινὴ διὰ τοῦ α ἀθάρας. Ἀριστοφάνης Πλούτῳ· ἀλλά με ἀθάρης χύτρα τις ἐξέπληττε κειμένη ὀλίγον ἄπωθεν τῆς κεφαλῆς τοῦ γραδίου. Ἀθάρην, οὐκ ἀθαρὴν τὴν ἐρεικτὴν καλοῦσι. Κράτης Ἥρωσιν· οὐκοῦν ἔτνους χρὴ δεῦρο τρύβλιον φέρειν καὶ τῆς ἀθάρης. Ar. Σ

709 Ἀθαυμαστί: χωρὶς θαύματος. Δ

710 Ἄθε: εὐχῆς σημαντικόν, ἀντὶ τοῦ εἴθε.

711 Ἀθέατος: μὴ τεθεαμένος. ὧν γὰρ εἰς τέλος ἀθέατος τῆς Ἑλλάδος διὰ τοὺς ἐν Ἰβηρίᾳ πολέμους κατὰ τοὺς ἐν Λιγυστικοῖς, προῆγεν ἐπὶ τὴν Ἑλλάδα. E

712 Ἀθεεί: χωρὶς θεοῦ. Δ

713 Ἀθέλιμνος: ὁ κακός. Δ

714 Ἀθέμιστα: ἄδικα. καὶ Ἀθέμιστος, ἄνομος. λέγεται δὲ καὶ Σ
Ἄθεσμος, ὁ παράνομος. ἠράσθη Πίσσος Θετταλὸς Λαρίσσης τῆς Δ
ἑαυτοῦ θυγατρὸς ἔρωτα ἄθεσμόν τε καὶ δυστυχῆ. E

715 Ἀθέμιτον: τὸ ἄδικον. καὶ Ἀθεμιτότατον· διαφορεῖται. Δ

716 Ἄθεον· ἄθεόν ἐστι τὸ μὴ τὴν ἀθανασίαν τῆς ψυχῆς διασῴζειν καὶ ἀνάγειν εἰς τὸ θεοειδὲς καὶ συνάγειν αὐτὴν πρὸς τὸ θεῖον ἀρρήκτοις καὶ ἀλύτοις δεσμοῖς, ἢ τἀναντία τούτων, τὸ κατασπᾶν καὶ καθέλ-

705 vs. 4 ὅτι—7 γίγνεσθαι Alex. Aphr. 353, 13—14; vs. 8 ὁ δέ sq. Alex. Aphr. 472, 9—10 708 — γραδίου Ar. Pl. 672—4 c. sch. Ἀθάρην sq. = P cf. Ba 39, 28; Crates fr. 9 709 = Ambr. 786 712 = Ambr. 781 cf. H 713 = Ambr. 706 cf. H 714 — ἄνομος = P, Ba 36, 25 et 37, 1 ἄθεσμος—παράνομος cf. H ἠράσθη sq. Aelian. fr. 195 715 — ἄδικον = Ambr. 761 cf. Ambr. 709; ἀθεμιτότατον cf. Ambr. 732 716 fort. Damasc.

705 Alex. 353 cf. v. πάθος 3 707 cf. v. Ξέρξης 709 Z 63 711 hinc v. Λιγυστικοῖς 712 Z 63 714 Aelian. hinc v. Πίσσος 715 Z 61

16 ἄπωθεν $A^{ac}M$ ἄποθεν $A^{ac}GIT$ 17 ἐρεικτὴν M^{ac} ἐρικτὴν AM^{ac} Phot. A(GITSM) ἐριεικτὴν GIT 18 τρύβλιον M τρίβλιον AGIT 27 καί pr. om. A(S) 30 Ἀθεμιτότατον] Ἀθεμιτώτατον $IT^{ac}M^{ac}$ Ἀθεμιτώτατος S cf. Ambr.

κειν τὸ ἐν ἡμῖν θεῖον εἰς τὸ γηγενὲς καὶ ἀλιτήριον, καὶ γιγαντῶδες ἢ τιτανικὸν δεσμωτήριον.

Δ 717 Ἀθεωρητί: χωρὶς θεωρίας. καὶ Ἀθεώρητος, ἀθέατος.

Harp. 718 Ἀθεραπευσία: ἡ παντελὴς καταφρόνησις. τὸ δὲ στρατόπεδον ταῖς τῶν σωμάτων ἀθεραπευσίαις κακῶς ἀπήλλαττεν.

Δ 719 Ἀθέρες: εἶδος σπέρματος.

Δ 720 Ἀθέριον: ἀποδοκίμασον.

Δ 721 Ἀθερώσσει: ἀγρυπνεῖ.

Σ 722 Ἀθεσίαν: παραβασίαν. ἀγωνιῶν γὰρ τὴν ἀθεσίαν τῶν Κελτῶν, καὶ τὰς ἐπιβουλὰς τὰς καὶ ἐπισειομένας. οἱ δὲ Ῥωμαῖοι συλλογισάμενοι τὴν τῶν Γαλατῶν ἀθεσίαν. καὶ αὖθις Πολύβιος· ἐπικρύπτειν ἅπασι τὴν ἀθεσίαν αὐτῶν καὶ τὴν ἀβεβαιότητα.

Δ 723 Ἀθέσμιον: τὸ ἄδικον.

Δ 724 Ἀθέτησις: ἐκβολή. καὶ Ἀθετῶ αἰτιατικῇ. γενικῇ δὲ ὡς τὸ, κατάρχων μὲν καὶ ἀθετῶν τοῦ τολμήματος.

Synt.

Σ 725 Ἀθήλυντον: ἀδάμαστον, σκληρόν.

Σ 726 Ἀθηνᾷ τὸν αἴλουρον: ἐπὶ τῶν κακῶς συγκρινόντων τὰ κρείττονα τοῖς ἥττοσι διὰ μικρὰν ὁμοιότητα ἡ παροιμία εἴρηται· ὡς εἴ τις διὰ γλαυκότητα τὸν αἴλουρον τῇ Ἀθηνᾷ συμβάλλοι. ὅτι Ἀθηνᾶ καὶ Ποσειδῶν ἐφιλονείκησαν περὶ τῆς Ἀττικῆς· ζήτει ἐν τῷ γεραίτερος.

Suid.

727 Ἀθηνᾶς ἄγαλμα δόρυ κρατεῖ· διὰ τὸ σταθερὸν καὶ ἀνδρεῖον· ὁμοίως καὶ ἀσπίδα παρὰ τὸ πᾶσαν ἐπιβουλὴν διὰ τῆς σοφίας ἀπωθεῖσθαι· ἡ αὐτὴ γάρ ἐστι τῷ νῷ. καὶ περικεφαλαίαν διδόασιν αὐτῇ διὰ τὸ εἶναι τῆς σοφίας τὸ ἀκρότατον ἀθέατον· καὶ ἐλαίαν, ὡς καθαρωτάτης οὐσίας οὔσης· φωτὸς γὰρ ὕλη ἡ ἐλαία. καὶ γοργόνην διδόασιν ἐπὶ τοῦ στήθους αὐτῇ διὰ τὸ ταχὺ τοῦ νοῦ.

Σ 728 Ἀθηναία: ἡ θεά, ἡ δὲ γυνὴ ἀστή.

Σ 729 Ἀθηναίας· ὁ Μετακλείδης οὔ φησι καλεῖσθαι τὰς γυναῖκας ἀλλ' Ἀττικὰς ἐν τοῖς περὶ Ὁμήρου, ἅμα καὶ τὴν αἰτίαν ἀποδιδούς· μόνους γάρ, φησι, τοὺς ἐκεῖθεν ἄνδρας μὲν Ἀθηναίους ὀνομάζουσι, γυναῖκας δὲ Ἀττικάς, ἵνα μὴ τὴν ἄγαμον αἱ γαμούμεναι τῇ προσηγορίᾳ καταισχύνωσιν. ἀλλὰ ἰδοὺ Φερεκράτης ἐν Γραυσί φησιν· Ἀθη-

717 — θεωρίας = Ambr. 785 Ἀθεώρητος sq Harp. = An. Ox. 2, 488, 20, P, Ba 37, 14 718 τό sq. Polyb. 3, 60, 3 719 = Ambr. 703 720 = Ambr. 776 cf. sch. A 261, Ambr. 777 721 = Ambr. 771 ἀθρώσσει 722 — παραβασίαν = P, Ba 38, 5 ἀγωνιῶν—ἐπισειομένας Polyb. 3, 78, 2 οἱ δέ—vs. 11 ἀθεσίαν Polyb. 2, 32, 8 ἐπικρύπτειν Polyb. 15, 24, 6 (= fr. 1a; Byz. Zt. 21, 396, 1) 723 = Ambr. 760 724 Ἀθετῶ sq. = Synt. Gud. 725 = P, Ba 37, 2 726 = P, Zen. II 25 727 = Preger 152 728 = H, Et. M. 24, 53 729 = P; — vs. 32 καταισχύνωσιν = Ael. D. et Paus. fr. 81 ex Eust. I. 87, 17; Φερεκράτης—συμμάχοις etiam Eust. O. 1456, 47; p. 69, 10 ὁ μέντοι sq. = Steph. Byz. v. Ἀθῆναι (cf. Latte, Herm. 50, 373); Pherecr. fr. 34

717 Z 63 719 Z 59 720—1 Z 61 722 cf. 334 727 cf. 132

A(GITSM) 14 καί—15 τολμήματος om. S 19 συμβάλλοι] συμβάλλει M cf. Phot. ὅτι—20 γεραίτερος ex M, post vs. 10 ἐπισειομένας 21 ἄγαλμα] ἡ εὐθεῖα ἡ Αθηνᾶ add. GI 22 παρά] διά SM^{ac} 25 γοργόνην AGM^{ac} γοργόναν IT γοργόνα SM^{ec} 28 om. M 28 Μετακλείδης omnes Eust. Μεγακλ. Phot. cf. Hes. v. Ἀθηναία, sch. A in Π 140 32 Γραυσί] γράμματι GI

ναίαις αὐταῖς τε καὶ ταῖς συμμάχοις. καὶ Κάνθαρος Τηρεῖ· γυναῖκα Ἀθηναίαν καλήν τε καὶ ἀγαθήν. καὶ Φιλήμων Πτέρυγι· τὰς Ἱπποννίκας τάσδε καὶ Λυσιστράτας καὶ Ναυσινίκας τὰς Ἀθηναίας λέγω. οἱ δὲ μὴ δεῖν φάσκοντες Ἀθηναίας λέγεσθαι τὰς Ἀττικὰς καὶ τὴν ὁμωνυμίαν αἰτιῶνται, ἣν ἐπιδέχονται πρὸς τὴν θεόν· Ἀθηναία γὰρ καὶ ἡ θεὸς καλεῖται· ἀλλ' ἀντὶ τοῦ Ἀθηναίας αὐτάς φασι λέγεσθαι καὶ Ἀττικάς. πλὴν πολλή γε ἡ χρῆσις τῆς φωνῆς ἐπὶ τῶν γυναικῶν παρὰ τοῖς ἀρχαίοις, ὡς οἵ τε προειρημένοι ποιηταὶ μαρτυροῦσι καὶ Δίφιλος ἐν Ἀμάστριδι. καὶ γὰρ καὶ τὴν Θεμιστοκλέους θυγατέρα Ἀθηναίαν ξένην φησίν· καὶ Πίνδαρος ἐν σχολίοις. ὁ μέντοι Φρύνιχος ἀνάττικόν φησιν εἶναι τὴν φωνὴν ⟨καὶ⟩ θαυμάζει, πῶς ὁ Φερεκράτης ἀττικώτατος ὢν χρῆται τῇ λέξει.

730 Ἀθήναιον· ὅτι Ἀπολλώνιον βραχέως, τὸ ἱερὸν τοῦ Ἀπόλλωνος. οὕτως καὶ παρὰ Θουκυδίδῃ ἀναγνωστέον. καὶ Ποσειδώνιον, τὸ τοῦ Ποσειδῶνος, ὡς Ἀθήναιον, τὸ τῆς Ἀθηνᾶς, καὶ Διονύσιον καὶ Δημήτριον καὶ πάντα τὰ τοιαῦτα ὁμώνυμα τοῖς ἀνδρωνυμικοῖς· τὸ δὲ Ποσειδάνειον, δῆλον ὅτι Δωριαῖον. Suid.

731 Ἀθήναιος, Ναυκρατίτης, γραμματικὸς, γεγονὼς ἐπὶ τῶν χρόνων Μάρκου. ἔγραψε βιβλίον ὄνομα Δειπνοσοφισταί· ἐν ᾧ μνημονεύει, ὅσοι τῶν παλαιῶν μεγαλοψύχως ἔδοξαν ἑστιᾶν. ὁ μέγας Ἀλέξανδρος κἀκείνην νικήσας ναυμαχίαν Λακεδαιμονίους καὶ τειχίσας τὸν Πειραιᾶ καὶ ἑκατόμβην θύσας πάντας εἱστίασεν Ἀθηναίους. καὶ Ἀλκιβιάδης Ὀλύμπια νικήσας τὴν πανήγυριν ἅπασαν εἱστίασε. τὸ αὐτὸ καὶ Λεόφρων Ὀλυμπιάσι. καὶ Ἐμπεδοκλῆς ὁ Ἀκραγαντῖνος, Πυθαγορικὸς ὢν καὶ ἐμψύχων ἀπεχόμενος, Ὀλύμπια νικήσας, ἐκ λιβανωτοῦ καὶ σμύρνης καὶ τῶν πολυτελῶν ἀρωμάτων βοῦν ἀναπλάσας διένειμε τοῖς εἰς τὴν πανήγυριν ἀπαντήσασι. καὶ ὁ Χῖος Ἴων τραγῳδίαν νικήσας Ἀθήνησιν ἑκάστῳ τῶν Ἀθηναίων ἔδωκε Χῖον κεράμιον. καὶ ὁ Ἀκραγαντῖνος Τελλίας φιλόξενος ὢν καταλύσασί ποτε φ' ἱππεῦσιν ὥρᾳ χειμῶνος, ἔδωκεν ἑκάστῳ χιτῶνα καὶ ἱμάτιον. ὅτι Χάρμος ὁ Συρακούσιος εἰς ἕκαστον τῶν ἐν τοῖς δείπνοις παρατιθεμένων στιχίδια καὶ παροιμίας ἔλεγε. Κλέαρχος δὲ ὁ Σολεὺς δειπνολογίαν καλεῖ τὸ ποίημα, ἄλλοι ὀψολογίαν, Χρύσιππος γαστρονομίαν, ἄλλοι ἡδυπάθειαν. ὅτι ἐν τῷ συμποσίῳ Πλάτωνος κη' ἦσαν δαιτυμόνες. Suid. Hesy.

729 Canthar. fr. 5 (1, 765 K.); Philem. fr. 66 (2, 495 K.); Diphil. fr. 10 (2, 543 K.); Pind. fr. 124 (sed cf. Reitz. ad Phot.); Phryn. fr. 8 731 ὁ μέγας sq. Ath. 1, 3 d—4 a, e

730 ex 3418 cf. v. Δημήτρειος et v. Ποσειδώνιον 731 hinc v. συμπόσιον, 1128, 1280, v. Ἴων (fin.), v. Χῖον κεραμεῖον, v. Τελλίας, v. Χάρμος

5 τήν] τόν A 6 καί om. M 10 Ἀθηναίαν] Ἀθηναίας A σχολίοις A(GITSM) Phot. σχολ AGM σχολῇ IT σχολίῳ Hiller Herm. 21, 368, σκολίοις Kust. 11 ἀνάττικον Phot. Steph. Kust. ἀντὶ τοῦ ἀττικῷ A ἀντὶ τοῦ ἀττικῶν GITM ⟨καί⟩ ex Steph. om. mss., Phot. θαυμάζει] θαυμάζειν A 730 om. GTS mg. AI (delet.) 13 Ἀθήναιον IM om. A 14 καί alt. A om. M 15 ὁμώνυμα A, 3418, ὁμωνύμως M 16 Δωριαῖον A, 3418, Δωριέων ἐστίν M 22 Ὀλύμπια] Ὁ. δὲ S δὲ Ὁ. Ath. 24 Ὀλύμπια νικήσας om. GIT 31 δέ om. GIT 33 δαιτυμόνες om. A Ath.

Prov. 732 Ἀθηναίων δυςβουλία: ἐπὶ τῶν παρ' ἐλπίδας καὶ ἀναξίως
Ar. εὐτυχούντων. τὸ γὰρ κακῶς βουλεύεσθαι Ἀθηναίοις ἤςκητο· τὴν
δὲ Ἀθηνᾶν παρασχεῖν τὸ κακῶς βουλευθὲν ἀποκλῖναι καλῶς· καὶ ἦν
τοῦτο λεγόμενον ἐπιχώριον. καὶ Εὔπολις· ὡς εὐτυχεῖν μᾶλλον ἢ κα-
λῶς φρονεῖν. καὶ Ἀριστοφάνης Νεφέλαις· φασὶ γὰρ δυςβουλίαν τῇδε
τῇ πόλει προσεῖναι. ταῦτα μέντοι τοὺς θεοὺς ἄττ' ἂν ὑμεῖς ἐξαμάρ-
Suid. τητε, ἐπὶ τὸ βέλτιον τρέπειν. ὅτι αὐτόχθονες οἱ Ἀθηναῖοι ἐλέγοντο καὶ
Ἀρκάδες καὶ Αἰγινῆται καὶ Θηβαῖοι, ἢ ἐπεὶ τὴν χθόνα, ἤτοι τὴν γῆν, ἀργὴν
οὖσαν πρῶτοι εἰργάσαντο, ἢ διὰ τὸ μὴ εἶναι αὐτοὺς ἐπήλυδας.

Δ 733 Ἀθήνηςιν: ἐν ταῖς Ἀθήναις. Ἀθήνη γὰρ πόλις τῆς Λακωνικῆς.
Harp. 734. Ἀθηνόδωρος· οὗτος ἦν στρατιώτης Ἀθηναῖος. ἔστι δὲ καὶ
Hesy. ἕτερος, μαθητὴς Διονυσίου τοῦ Ἀρεοπαγίτου. ἔγραψε δὲ διάφορα.
καὶ ἕτερος σοφιστὴς, ἀδελφὸς Γρηγορίου τοῦ Θαυματουργοῦ.

Ε 735 Ἀθηνόδωρος· Στωϊκὸς φιλόσοφος, ἐπὶ Ὀκταουϊανοῦ βασιλέως
Ῥωμαίων· ἐφ' οὗ πᾶσα ἀνάγκη κοινὸν εἶναι δυστύχημα τὴν τοῦ κρά-
τους ἄλογον ἐξουσίαν, ἐξ οὗ δὴ μάλιστα ταῖς Ἀθηνοδώρου τούτου
συμβουλίαις ἐπείσθη. καὶ διαδέχεται Τιβέριος τὴν βασιλείαν. τότε γὰρ
οἱ κόλακες παρὰ τοῦ βασιλέως δωρεῶν καὶ τιμῶν ἀξιούμενοι μεγίστων
ἀρχῶν ἐπέβαινον, οἵ τε ἐπιεικεῖς καὶ ἀπράγμονες μὴ τὸν αὐτὸν ἐκεί-
νοις αἱρούμενοι βίον εἰκότως ἐςχετλίαζον, οὐ τῶν αὐτῶν ἀπολαύοντες.
ὥστε ἐκ τούτου τὰς μὲν πόλεις στάσεων πληροῦσθαι καὶ ταραχῶν· τὰ
δὲ πολιτικὰ κέρδους ἥττοσιν ἄρχουσιν ἐκδιδόμενα, τὸν μὲν ἐν εἰρήνῃ
βίον λυπηρὸν καὶ ὀδυνηρὸν τοῖς χαριεστέροις ἐποίουν, τὴν δὲ ἐν τοῖς
πολέμοις προθυμίαν ἐξέλυον. κατὰ δὲ τοὺς καιροὺς ἐκείνους καὶ ἡ
παντόμιμος ὄρχησις εἰςήχθη οὔπω πρότερον οὖσα· καὶ προσέτι γε
ἕτερα πολλῶν κακῶν αἴτια γεγονότα. ὅτι τῷ Ἀθηνοδώρῳ πάντα
παρεσκεύαστο πρὸς φιλοσοφίαν τά τε ἀπὸ τῆς φύσεως καὶ τὰ ἀπὸ
τῆς ἐπιεικοῦς προαιρέσεως, ὅτε Πρόκλος ἔζη. καὶ διαφανῶς ἐξηγεῖτο
τοῖς πλησιάζουσιν. ὃν ὁ Σαλούστιος θαυμάζων ἐπὶ σπουδῆς ἔλεγεν,
ὅτι πυρὶ ἄρα ἐῴκει ὁ ἄνθρωπος ἐξάπτοντι πάντα τὰ παρακείμενα.
ἀλλ' ὅμως ἔπεισεν Ἀθηνόδωρον μὴ φιλοσοφῆσαι.

736 Ἀθηρηλοιγός: τὸ πτύον τὸ τοὺς ἀθέρας ὀλοθρεῦον.

Δ 737 Ἄθηρον: τὸ ἀθήρατον.

Σ 738 Ἀθηςαύριστον: ἀνεπιτήδειον εἰς ἀπόθεσιν.

732 — εὐτυχούντων = Philol. Suppl. 6, 258, n. 69 τὸ γὰρ—τρέπειν Ar. Nu. 587—9 c. sch.; Eupol. fr. 205 733 — Ἀθήναις = H; Ἀθήνη—πόλις cf. Ambr. 751 734 — Ἀθηναῖος Harp. = P, Ba 37, 15 735 — vs. 26 γεγονότα Zos. 1, 5, 3—6, 2 ὅτι τῷ sq. Dam. fr. 88 736 cf. H, Ap. S. 12, 13, sch. λ 128 737 = Ambr. 762 cf. H 738 = Ba 37, 3

732 cf. v. Γ 195. ὅτι αὐτόχθονες sq. ex 4536 734 cf. v. Γ 451 et v. Ὠριγένης 735 Zos. cf. v. ὄρχησις

A(GITΣM) 5 καί—9 ἐπήλυδας om. S φασί om. A 7 ὅτι—9 ἐπήλυδας om. AT 10 ἐν ταῖς Ἀθήναις om. S γάρ] δέ M om. S τῆς om. S καὶ τῆς M 16 δή] δέ SM 17 συμβουλίαις AM^{oc} δυςβουλίαις rell. συμβουλαῖς Zos. 20 οὐ] μή GIT 31 Ἀθηνόδωρον] Ἀθηνοδώρῳ A

739 Ἀθιμών. Δ

740 Ἀθλητάς: ἀγωνιστάς, ἀσκητάς. Αἰλιανός· τοιγαροῦν οὐ μόνον ταῦτ' ἔχειν αὐτοὺς παρεσκεύαζεν, ἀλλὰ καὶ τῆς ἄλλης ἀδικίας καὶ βδελυρίας ἀθλητὰς παρεσκεύαζεν. τί γὰρ τῶν αἰσχρῶν καὶ δεινῶν αὐτοῖς οὐ προσῆν; ἢ τί τῶν καλῶν καὶ σπουδαίων οὐκ ἀπῆν; EV

741 Ἀθλητής: ὁ τοὺς ἄθλους ἐξησκηκώς. οἱ δὲ Ῥωμαῖοι ἄνδρα πολέμων ἀθλητὴν ὡς τὸν Ἀννίβαν ἐκπέμπουσιν. Δ E

742 Ἆθλον: ἀγώνισμα, ἡ τιμή, ὁ μισθός, τὸ τοῦ ἀγῶνος βραβεῖον. καὶ Ἄθλος ἀρσενικῶς, τὸ ἔργον καὶ τὸ ἀγώνισμα καὶ τὸ ἔπαθλον. διαφέρει δὲ τοῦτο τοῦ οὐδετέρου, ὅτι τὸ μὲν οὐδέτερον δηλοῖ κυρίως τὸ ἔπαθλον, τοῦτο δὲ τὸν ἀγῶνα. Σ

743 Ἀθμωνεύς: Ἀθμωνία δῆμός ἐστι φυλῆς τῆς Κεκροπίδος, ἀφ' οὗ ὁ δημότης Ἀθμωνεύς. καὶ Ἀθμωνίς, ὄνομα κύριον. τὸν Πειραῖα κάρηνα τὰ ἄκρα τρύβλιον. Harp. Δ

744 Ἀθόλωτος: ὁ ἀτάραχος. Δ

745 Ἄθων: τὸ ὄρος. σὺν τῷ ν λέγουσιν. Σ

746 Ἀθωνίς: πόλις. Δ

747 Ἀθῷος: ἀζήμιος. ἐνιψάμην ἐν ἀθῴοις τὰς χεῖράς μου. ἀντὶ τοῦ ἀθῷον ἐμαυτὸν ἐτήρησα, οὐκ ἐκοινώνησα τοῦ κακοῦ. Ἀθῷος οὖν ἀναίτιος. ἀντὶ τοῦ περιάγων, λάλος. Σ Ps.

748 Ἀθώπευτον: ἀκολάκευτον, ἄσπλαγχνον. θηρὸς ἀθωπεύτου Πανὶ καθῆψε δέρας. περὶ κάπρου φησί. τοιούτοις γὰρ κακοῖς ἐντυγχάνω. Σ Anth. Suid.

749 Ἄθως καλύπτει πλευρὰ Λημνίας βοός: παροιμία ἐπὶ τῶν τινας λυπούντων ἢ βλαπτόντων· ἐπειδὴ τὴν βοῦν τὴν ἐν Λήμνῳ λευκοῦ λίθου πεποιημένην ὁ Ἄθως τὸ ὄρος ἐπισκιάζει. Prov.

750 Ἄθραυστον: ἰσχυρόν, ἄκλαστον. Σ

751 Ἄθρει: ὅρα, βλέπε. καὶ Ἀθρείοντες, ἰδεῖν ἐπιθυμοῦντες. ΣΔ

752 Ἀθρεῖν: τὸ περισκοπεῖν καὶ μετ' ἐπιτάσεως ὁρᾶν. παραδειγμάτων δὲ πάντα μεστά. Σ

739 = Ambr. 712 740 Αἰλιανός cf. Byz. Zt. 21, 417 sq.; τοιγαροῦν sq. Polyb. 8, 9, 8—9 = EV 2, 109, 14—17 = Theopomp. FHG 1, 320; Ath. 6, 260e 741 οἱ δέ Polyb. attr. Valck. Diodoro Bhd. 742 = Ba 37, 5, P cf. sch. Thuc. 1, 6, 5; ἔργον—ἔπαθλον cf. H 743 — Ἀθμωνεύς Harp. = Ba 37, 16 Ἀθμωνίς cf. Ambr. 752 744 = Ambr. 707 745 — ὄρος cf. P, Ba 40, 9, Ambr. 736 746 = Ambr. 753 747 — ἀζήμιος = P, Ba 40, 10, Et. M. 26, 23; l. = Ambr. 722 ἐνιψάμην—μου Ps. 25, 6 vs. 19 ἀθῷος—ἀναίτιος = An. Ox. 2, 429, 10, Ambr. 722, H 748 — ἄσπλαγχνον = P cf. Ba 40, 8, H θηρός —δέρας Anth. 6, 168, 8 749 = Macar. I 46 cf. Philol. Suppl. 6, 258, n. 70 750 = P, Ba 37, 12 751 — βλέπε = P, Ba 37, 13, H; βλέπε = Ambr. 767 ἀθρείοντες sq. = Ambr. 773 752 = P, Ba 37, 18

740 cf. 4170 747 cf. v. θωή 748 τοιούτοις sq. ex v. δυστράπελος 749 cf. Z 58 751 ἀθρείοντες sq. Z 62

1 Ἀθιμών] Ἀθιμῶν A 4 παρεσκεύαζεν AGIT εἶναι M ἐποίησεν Exc. Ath. 13 καί om. SM, nov. gl. Ἀθμωνίς] Ἀθμανίς A τόν—14 τρύβλιον ex mg. SM τόν S om. M 14 τά S om. M 16 σύν—λέγουσιν om. S 18 ἀζήμιος] ὁ ἀ. GIT; nov. gl. A ἐνιψάμην—ἀναίτιος om GTS mg. M ante ἀζήμιος A post λάλος I 20 ἀντί—λάλος om. SM 21 ἀθωπεύτου] ἀθεραπεύτου G1T 22 τοιούτοις—ἐντυγχάνω om. SM 28 μετ'] ἐν S ἐπιτάσεως] ἐπιτάσεσιν SM A(GITSM)

Δ 753 Ἀθρήνη: εἶδος μελίσσης.
Δ 754 Ἀθρηνί: χωρὶς θρήνου.
Δ 755 Ἀθρήνιον: ὁ Μουσῶν τόπος.
Δ 756 Ἀθρήσειεν: ἀπίδοι.
Δ 757 Ἀθριβίς: πόλις Αἰγύπτου.
ΔΣ 758 Ἀθρόως: ταχέως. Ἀθρόους· καὶ Ἄθρους λέγουσι διευλλάβως.
Σ 759 Ἄθρους: εἰς ἅπαν συνηγμένους ὁμοῦ, ἢ ἀθρόως. τοιαῦτα
E μὲν ἐποίκιλλεν ἄθρους δεδισσόμενος.
Σ 760 Ἀθροίζει: συνάγει. τούτους ἀθροίζοντες ἀλλήλους παρεκρό-
E τουν. Ἰώσηπος.
Ecl. 761 Ἀθροίζω: ἀπὸ τοῦ θροῦς, θροὸς, θροΐζω, θροίζω, καὶ μετὰ τοῦ ἐπιτατικοῦ α ἀθροίζω.
Ar. 762 Ἄθροι καταρρέοντες: ἀντὶ τοῦ ὁμοῦ. προπαροξύνειν δὲ δεῖ τὸ ὄνομα καὶ δασύνειν τὴν πρώτην συλλαβὴν Ἀττικῶς. καταρρέοντες δὲ ἀντὶ τοῦ ἀθρόως κατερχόμενοι. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ποταμίων ῥευμάτων. Ὅμηρος· τὰ δ' ἐπέρρεεν ἔθνεα πεζῶν.
Δ 763 Ἄθροισμα: τὸ σώρευμα.
764 Ἄθρυπτος: ἀνδρώδης, μὴ βλακεύουσα, μηδὲ μαλακιζομένη, μηδὲ χαυνουμένη. Δαμάσκιος· τὴν δὲ τροφὴν ἐκληρώσαντο μετρίαν τινὰ καὶ ἄθρυπτον, οὔτε κακουργοῦσαν διὰ πενίαν, οὔτε διὰ πλοῦτον βλακεύουσαν, ἀλλὰ μέσην καὶ μουσικὴν καὶ τὸν Δώριον τρόπον ὡς ἀληθῶς ἡρμοσμένην.
Σ 765 Ἄθυμος: ἀντὶ τοῦ ἀθυμήτης. Πλάτων Πολιτείας ε'. ἤγουν ὁ
E λελυπημένος. οἱ δὲ στρατιῶται καίτοι ἄθυμοι δοκοῦντες καὶ τὰ σώματα πονηθέντες ἐν τῇ προτέρᾳ μάχῃ παρεβάλοντο καὶ ἐνίκησαν. ἀντὶ τοῦ τὴν ψυχὴν κακοί.
Δ 766 Ἀθυμότερος: ἀψυχότερος, κακοψυχότερος.
Σ 767 Ἄθυρμα: παίγνιον. Ἰώσηπος. ὃς ἦν τοῦ βασιλέως ἄθυρμα
E καὶ πρὸς τὰ σκώμματα καὶ τοὺς ἐν τοῖς πότοις γέλωτας ἐπεδείκνυτο. καὶ αὖθις· οὐκ ἔστιν ἀνδρῶν ἀθύρμασιν ἐμφιλοχωρεῖν παιδίων. καὶ
Anth. ἐν Ἐπιγράμμασι· Πανὶ δέ μιν ξέσσαντες ὁδῷ ἔπι καλὸν ἄθυρμα κάτ-

753 = Ambr. 744 754 = Ambr. 784 755 = Ambr. 764 756 = Ambr. 770, sch. K 11 757 = Ambr. 754, Et. M. 25, 46 758 — ταχέως = Ambr. 779 cf. H ἀθρόους sq. = P cf. Ba 37, 21 759 — ἀθρόως = P, Ba 37, 20 τοιαῦτα sq. Ios. bell. 4, 224 760 — συνάγει = P, Ba 37, 22 τούτοις sq. Ios. bell. 5, 75 761 = Et. M. 26, 1, Et. Gud. An. Ox. 2, 336, 22 762 sch. Ar. Ach. 26; Λ 724 764 Δαμάσκιος sq. fr. 50 cf. Phot. bibl. 338b 14 765 — λελυπημένος = P; Pl. Rep. 5, 456a 767 — παίγνιον = P, Ba 37, 23 ὃς—ἐπεδείκνυτο Ios. Ant. 12, 212 Πανί—κάτθεσαν Anth. 6, 37, 3

753 cf. 2524; Z 60 754 Z 62 755 Z 61 757 Z 60 759 Z 59 760 Ios. cf. v. παρεκρότουν 763 Z 61 764 Z 60; Dam. cf. v. Δώριος

A(GITSM) 6 Ἀθρόους nov. gl. GIT 10 τούτους S, v. παρεκρότουν, τούτοις M Ios. τούτων AGIT 13 α SM om. AGIT 17 ἐπέρρεεν] ἐπέρρεον GIT 30 πότοις] τόποις GIT 32 ξέσσαντες A ξέσαντες M Anth. ζέσαντες GIT

θεσαν. ἀντὶ τοῦ ἄγαλμα. Κρατῖνος Ὀδυσσεῦσι· νεοχμὸν παρῆχθαι Σ
ἄθυρμα.
768 Ἀθύρειν: τὸ παίζειν. Πλάτων Νόμοις· ἡ δ' αὖ παρ' ἡμῖν Σ
Κόρη καὶ Δέσποινα εὐφρανθεῖσα τῇ τῆς χορείας παιδιᾷ, κεναῖς χερσὶν
οὐκ ψήθη δεῖν ἀθῦραι. Ἀθύρω, ὁ ἐνεστώς. Δ
769 Ἀθύρμιον: παίγνιον. Δ
770 Ἀθυρογλωττία: ἡ ἀχαλίνωτος γλῶσσα. Δ
771 Ἄθυρος: ὄνομα κύριον. Δ
772 Ἀθύρωτον στόμα: οὕτως ἀθύρωτον, οὐκ ἀπύλωτον. Ἀριστο- Σ
φάνης ἐν Βατράχοις. καὶ Φρύνιχος. οἱ δὲ γράφοντες ἀπύλωτον Ar.
ἀντὶ τοῦ ἠνεῳγμένον καὶ πύλην μὴ ἔχον, τουτέστι μὴ χαλιναγωγούμενον μηδὲ κρατούμενον.
773 Ἀθύτους: ἄνευ θυσιῶν. καὶ γήμας ἀθύτους τε καὶ ἀγάμους Ε
γάμους ἐκεῖνος, ἐφ' οἷς οἶδα καὶ τὸν θεὸν σείσαντα, καὶ διοσημίας
ἄλλας κατενόησα ὧν ὑφ' ἡλίῳ ἔτι καὶ τυραννῶν. ἐδεῖτο μὲν οἱ τὸ
σῶμα κρεοφαγίας, ἀθύτου δὲ οὐκ ἠνέσχετο μεταλαβεῖν. Δαμάσκιός
φησιν.
774 Ἀκαδημία: γυμνάσιον ἐν Ἀθήναις, προάστειον ἀλσῶδες ἐν ᾧ
διέτριβε Πλάτων, ἀπὸ Ἑκαδήμου τινὸς ἥρωος ὀνομασθέν. πρότερον
δὲ διὰ τοῦ ε Ἑκαδημία ἐκαλεῖτο. Ἀριστοφάνης Νεφέλαις· ἀλλ' εἰς Ar.
Ἑκαδημίαν κατιὼν, ὑπὸ ταῖς μορίαις ἀποθρέξεις στεφανωσάμενος καλάμῳ λευκῷ μετὰ σώφρονος ἡλικιώτου, μίλακος ὄζων καὶ ἀπραγμοσύνης
καὶ λεύκης φυλλοβολούσης, ἦρος ἐν ὥρᾳ χαίρων, ὁπότ' ἂν πλάτανος
πτελέᾳ ψιθυρίζῃ.
775 Ἀκαδημία· τρία ὑπῆρχον γυμνάσια, Λύκειον, Κυνόσαργες, Ἀκα- Harp.
δημία. ἐκλήθη δὲ ἀπὸ τοῦ καθιερώσαντος αὐτὸ Ἀκαδήμου. καὶ
οὐδετέρως Ἀκαδήμεον. λέγεται δὲ Ἀκαδημία ἡ τῶν φίλων διατριβή. Δ
776 Ἀκάθαρτος: ἁμαρτητική. ἀκάθαρτος γὰρ τὴν ψυχὴν ὅ γε
κακός, καθαρὸς δὲ ὁ ἐναντίος.
777 Ἀκαθαίρετος: ἀκατάβλητος. πύργος ἀκαθαίρετος.
778 Ἀκάθεκτος: ἀκατάσχετος. ἦν γὰρ ἀκάθεκτος ὁρμὴ περὶ αὐτὸν διὰ Σ
τὰς τῶν πυρσῶν ἐπάρσεις.

767 Κρατῖνος (fr. 145) sq. = P 768 — ἀθῦραι = P, Ba 37, 23; Pl. Leg. 7, 796 c ἀθύρω sq. cf. Ambr. 769 769 = Ambr. 765 771 = Ambr. 711 772 Φρύνιχος (fr. 10 a) sq. sch. Ar. Ran. 838 773 καὶ γήμας—τυραννῶν Aelian. fr. 124 ἐδεῖτο sq. Dam. fr. 133 774 — ἐκαλεῖτο Laert. 3, 7—8 = sch. Dem. 24, 114 cf. sch. Pl. Lys. 203 a Ἀριστοφάνης sq. Nu. 1005—8 775 — Ἀκαδήμου Harp. = P, Ba 52. 26 vs. 27 Ἀκαδημία sq. = Ambr. 1024 b 778 — ἀκατάσχετος = P, Ba 46, 3 cf. H ἦν sq. fort. Metaphr.

768 Vind. 28 772 hinc 3720, cf. 358 773 Aelian. cf. v. διαξαίνειν; Dam. cf. v. σαρκοφαγία 774 Laert. hinc v. Ἑκαδημία; Ar. cf. 3682, v. μίλαξ, v. μορίαι 774—5 Z 102 775 cf. v. Γ 479 776—7 Z 98 778 Z 102

772 om. S 10 γράφοντες cp. M γράφουσιν sch. 11 ἔχον] ἔχων A 13 καί— A(GITSM)
17 φησιν om. S 15 ἡλίῳ M ἡλίων AGIT 16 κρεοφαγίας A κρεωφαγίας GITM σαρκοφαγίας s. v. 22 μετά M καὶ μετά GIT καί A 27 Ἀκαδήμεον] Ἀκαδήμιον S 31 ἦν—ἐπάρσεις om. S αὐτόν] αὐτῶν A 32 πυρσῶν] Περσῶν A^{ec} Zon.

Σ 779 **Ἀκαθοσίωτον**: ἄνομον, ἄκοσμον, ἀπόβλητον.

Δ 780 **Ἀκακήσιον**: ὄνομα ὄρους.

Δ 781 **Ἀκάκητος**: ὁ Ἑρμῆς.

Δ 782 **Ἀκακία**: ἡ ἀγαθωσύνη.

E 783 **Ἀκάκιος**· ὁ πατριάρχης Κωνσταντινουπόλεως, αἰδέσιμος ἦν ὡς οὐκ ἄλλος τις. ὀρφανοτρόφος γὰρ γεγονὼς καὶ καλῶς τὰ τῶν ὀρφανῶν διοικῶν πᾶσιν ἐφαίνετο καθ' ἡδονήν. καὶ δὴ καὶ τῷ βασιλεῖ Λέοντι συνήθης γεγονὼς ὑπερφυῶς ἤρεσκε καὶ τούτῳ πρώτῳ ἀεὶ πάντα ἀνεκοινοῦτο τά τε κοινὰ καὶ τὰ ἴδια. καὶ ὅτε τὴν βουλὴν ἤθροιζε, συνεκάλει καὶ τοῦτον καὶ τῆς σκέψεως ἀρχὴν ἐξ αὐτοῦ πάσης ἐτίθετο. ὃς Ἀκάκιος τὴν τοῦ Λέοντος τοῦ Μακέλλη ὠμότητα συνιδὼν πρὸς τούς τι λυπήσαντας καὶ τὸ ἦθος ἀκριβῶς τὸ ἐκείνου φωράσας, ὅτι τοῖς ἐπαινοῦσι μόνον ὑπάρχει εὐάλωτον, ἐπετήδευε πάντα τὰ ἐκείνου θαυμάζειν. τοιγαροῦν πειθήνιον αὐτὸν εἶχεν ἑτοίμως τόν τε θυμὸν αὐτοῦ ῥᾳδίως κατέστελλε καὶ πολλοῖς προσκεκρουκόσι τὴν σωτηρίαν ἐπραγματεύετο καὶ τοὺς ἐξορίαν ἀΐδιον ἔχοντας ἀνεκαλεῖτο πρὸς τὴν πατρίδα. οὗτος μετὰ θάνατον Γενναδίου, πατριάρχου Κωνσταντινουπόλεως, σπουδῇ Ζήνωνος ἱερᾶσθαι προεβλήθη. ὃς ὢν ἀρχικὸς καὶ πάσας τὰς ἐκκλησίας ὑφ' ἑαυτὸν ποιήσας πεφροντισμένως τῶν ἐν αὐταῖς κεκληρωμένων ἐποιεῖτο τὴν κηδεμονίαν, οἳ εὐχαριστοῦντες ἐν γραφαῖς ἀνέθηκαν αὐτὸν κατὰ τοὺς εὐκτηρίους οἴκους. ἐπείπερ οὖν ἀθρόον ἐν πάσαις ταῖς ἐκκλησίαις ἐδείχθησαν αὐτοῦ εἰκόνες, ᾠήθησάν τινες κενοδοξοῦντα τὴν ἀνάθεσιν προστεταχέναι οὐ μικρὰν ἔχοντες τῆς ὑπονοίας πίστωσιν, τὴν ἐκ ψηφίδων γραφὴν δημιουργηθεῖσαν ἐν τῇ πρὸς τῷ νεωρίῳ ἐκκλησίᾳ. τοῦ γὰρ ἔργου παντὸς ἐπὶ Γενναδίου τελεσθέντος εἰς τὸν ἐπιφανῆ τόπον ἐξετύπωσαν αὐτὸν τοῦ νεὼ καὶ μεταξὺ τοῦδε τὸν Σωτῆρα λέγοντα τῷ Γενναδίῳ, λῦσον τὸν ναὸν τοῦτον, καὶ ἐπὶ τοῦ, μετά σε ἐγερῶ αὐτόν. ἐκ τῶν τοιούτων οὖν εἰκόνων Ἀκάκιος, εἰ καὶ εὐμετάδοτος ἦν καὶ προστατικὸς, ἀλλὰ δοξομανὴς πᾶσιν ἔδοξεν ὑπάρχειν. ζήτει περὶ τοῦτον ἐν τῷ Βασιλίσκος.

E 784 **Ἀκάκιος**· ῥήτωρ δεινότατος, ἐπὶ Ἰουλιανοῦ καὶ Λιβανίου τοῦ σοφιστοῦ. ὃς ἐπεκάλει τὸν Ἰουλιανὸν καὶ διεμέμφετο τὰς κρίσεις αὐτοῦ σὺν Τουσκιανῷ τῷ ἐκ Φρυγίας, καὶ αὐτῷ ῥήτορι ὄντι δεινῷ.

Ar. 785 **Ἀκαλανθίς**: εἶδος ὀρνέου ἢ ὁ κύων, παρὰ τὸ αἰκάλλειν ἴσως τοὺς γνωρίμους, ὑλακτεῖν δὲ τοὺς ξένους.

Δ 786 **Ἀκαλαρρείτης**: ὁ ἡσύχως ῥέων. ἐξ ἀκαλαρρείταο βαθυρρόου Ὠκεανοῖο.

779 = P, Ba 46, 4 cf. H 781 = Ambr. 984, Studem.An. 268 783 Malcho attr. Vales. (ad Theodor. Lect. 167) vs. 27 λῦσον—28 αὐτόν Ioh. 2, 19 784 Eunap. fr. 25, FHG 4, 25 785 sch. Ar. Av. 873 786 — ῥέων = Ambr. 865 cf. Et. M. 44, 36 = sch. τ 434; ἐξ sq. H 422 = τ 434

780 Z 108 782 Z 102 784 cf. v. Λιβάνιος et v. Τουσκιανός 785 Z 102 786 cf. v. ἐξ ἀκαλαρρείταο; Z 98

A(GITSM) 779 om. GIT 5 Ἀκάκιος] ὄνομα κύριον add. S cf. Ambr. 911 16 τούς SM τοῖς AGIT ἔχοντας SM ἔχουσιν AGIT 31 καί om. A

787 Ἀκαλήφη: ἡ ἄκανθα, ἡ κνίδη. παυσάμενον τῆς δυσκολίας, Δ
ἀπὸ τῆς ὀργῆς τὴν ἀκαλήφην ἀφελέσθαι. Ar.
788 Ἀκαλήφη: κνίδη καὶ ἡ χερσαία καὶ ἡ θαλαττία, ἥτις ἐστὶ κογ- Σ
χυλίδιόν τι. Ἀριστοφάνης Φοινίσσαις· εἰκὸς δήπου πρῶτον ἁπάντων
φύα φῦναι καὶ τὰς κραναὰς ἀκαλήφας. Φερεκράτης Αὐτομόλοις· νὴ
τὴν Δήμητρ' ἀνιαρὸν ἦν τὸ κακῶς ᾄδοντος ἀκούειν. βουλοίμην γὰρ
κἂν ἀκαλήφαις τὸν ἴσον χρόνον ἐστεφανῶσθαι. τὰς δὲ θαλαττίας καὶ
Ἀριστοτέλης ἀκαλήφας ἐν τῷ πρώτῳ Περὶ ζῴων καὶ Θεόφραστος ἐν
ἑβδόμῳ Φυτικῶν.
789 Ἀκαλλιέρητον: θῦμα ἀκόσμητον. Δ
790 Ἀκάμαντα: ἀκαταπόνητον. βοτρύων ἀκάμαντα φυτῶν λωβή- Anth.
τορα κάπρον.
791 Ἀκαμαντίς καὶ Ἀκάμας: μία τῶν δέκα φυλῶν ἀπὸ Ἀκά- Harp.
μαντος τοῦ Θησέως.
792 Ἀκάματα: ἀντὶ τοῦ ἀκαμάτως καὶ ἀδιαλείπτως· ἢ οὐ κεκμη- Soph.
κότως. Σοφοκλῆς· ὃν ἔγωγ' ἀκάματα προσμένους' ἄτεκνος τάλαινα.
793 Ἀκαμάτιος· Ἡλιουπολίτης, ἐπιεικέστερος τῶν ἄλλων πολιτῶν·
οὕτω δὲ ἰδιωτικῶς εἶχεν, ὥστε οὐδὲν προμαθὼν οὐδὲ ἐπιμαθὼν τῶν
ἐς λόγους ἡκόντων οἱουσδήτινας ἠξίου καλεῖσθαι φιλόσοφος καὶ τῷ
ὀνόματι τούτῳ πρὸς ἅπαντας ἑαυτὸν κατεμήνυεν, οὐδὲ τῶν Ἡλιουπο-
λιτῶν ἄλλως οὐδεὶς αὐτὸν ἐπωνόμαζεν ἢ τὸν φιλόσοφον. τοῦτο μὲν
τοίνυν ὄνειδος ἔστω τῆς ἀνθρωπίνης ἀπαιδευσίας, παραγεγονότων δὲ
ἡμῶν εἰς Ἡλιούπολιν, ἀπέβη σχεδὸν τοῦτο τὸ πλάσμα τῆς Ἀκαματίου
φιλοσοφίας. ἠβούλετο δέ τις εἶναι καὶ τῶν ἱεροσκόπων. τοῦτο μέντοι
συγγνώμης ἄξιον, ὅτι καὶ ὅπωσοῦν ἠδύνατο τὰ τοιαῦτα περιλαβεῖν,
ἄλλως τε καὶ πρὸς ἰδιώτας.
794 Ἀκάματον πῦρ· Ὅμηρος· δαΐε οἱ ἐκ κόρυθός τε καὶ ἀσπίδος
ἀκάματον πῦρ.
795 Ἀκαμπίας: ὁ εὐθύδρομος. καὶ Ἀκάμπιος δρόμος, ὁ Δ
μακρὸς καὶ δι' εὐθείας περίπατος. Σ
796 Ἄκανθα: τὸ φυτόν, καὶ ἡ ῥάχις τοὺ κήτους. καὶ τὸ ἐξ οὗ τρίβο- Σ
λος. τὸ δὲ θηρίον ὁρμῇ βιαίᾳ προσπεσὸν διακόπτει τῇ ἀκάνθῃ τοὺς E
δεσμούς. καὶ ἐπὶ τῶν ἀφώνων καὶ ἀμούσων παροιμία, Ἀκάνθιος Prov.
τέττιξ.

787 — κνίδη = Ambr. 993 cf. Et. M. 44, 25, sch. Ar. Vsp. 884, H παυσάμενον sq. Ar. Vsp. 882—4 788 = P, Ba 60, 14 cf. Ath. 3, 90a; Ar. fr. 560; Pherecr. fr. 24; Aristot. h. a. 1, 487a 25; Theophr. hist. pl. 7, 7, 2 789 (÷ θῦμα) = Ambr. 1045 790 βοτρύων sq. Anth. 6, 168, 1 791 Harp. = Ba 53, 8 792 Soph. El. 164—5 c. sch. 793 Dam. fr. 203 794 E 4 795 — εὐθύδρομος = Et. Gud. cf. Ambr. 870, H Ἀκάμπιος sq. = Ba 52, 30, P, Paus. Att. fr. 26 ex Eust. I. 1328, 23 cf. Et. M. 45, 4 796 ῥάχις = Ba 53, 1 cf. H τὸ δέ–δεσμούς Aelian. cf. fr. 224 ἐπί sq. = Zen. I 51

788 Z 102 790 Anth. cf. v. λωβήτορα 792 Z 115 795 Z 98

4 Ἀριστοφάνης—9 Φυτικῶν om. S Φοινίσσαις—5 ἀκαλήφας om. A A(GITSM)
20 κατεμήνυεν GIT κατεμήνυσεν A κατεμήνυεν καί M 31 καὶ τό—τρίβολος ex A (post l) et I mg. οὗ Drachm. ἡ AI 32 προσπεσόν] προσπεσών A
33 Ἀκάνθιος] Ἀκάνθινος GI

Thdr. 797 Ἄκανθα: ἡ ἁμαρτία. Δαβίδ· ἐν τῷ ἐμπαγῆναι μοι ἄκανθαν. ὡς ἄχρηστον βλάστημα καὶ ὡς κεντεῖν πεφυκός.

Etym. 798 Ἀκανθίας: οὐκ εἶδος τέττιγος, ἀλλ' ἐπίθετον τέττιγος ἀπὸ τοῦ ἠχεῖν ἐν ἀκάνθαις, ὥσπερ καὶ ὁ ἀχέτας οὐκ εἶδος τέττιγος, ἀλλ' ἐπίθετον ἀπὸ τοῦ ἠχεῖν.

Σ 799 Ἀκαπήλευτον: ἄδολον, καθαρόν, ἀραδιούργητον.

Harp. 800 Ἄκαρ: ἀντὶ τοῦ μικρὸν ἢ οὐδέν. οὕτως Ἀντιφῶν.

Σ 801 Ἀκαρῆ: βραχύ, ὀξύ, ὃ οὐχ οἷόν τε κεῖραι. Ἀριστοφάνης· οὐκ

Ar. οἶδ' ὅπη ἐγκεκύκληαι, ὃς πολλῶν ἄρχων οὐκ ἀπολαύεις πλὴν τοῦθ' ὃ φέρεις ἀκαρῆ. καὶ τοῦτ' ἐρίῳ σοι ἐνστάζουσι κατὰ μικρὸν ἀεί, τοῦ ζῆν ἕνεχ' ὥσπερ ἔλαιον. βούλονται γάρ σε πένητ' εἶναι.

Δ 802 Ἀκαρῆ: ἀκαρῶς, ἐπίρρημα· ἐν βραχείᾳ ὥρᾳ, ἐν ἀτόμῳ. ἐν

Ar. ἀκαρεῖ δὲ Ἀριστοφάνης Πλούτῳ· γυμνὸς θύραζ' ἔπεσον ἐν ἀκαρεῖ χρόνῳ. τῷ ἐλαχίστῳ, ὃν οὐχ οἷόν τε διακεῖραι καὶ κόψαι διὰ τὸ βραχὺ τοῦ χρόνου. πεποίηται δὲ ἀπὸ τῶν μικρῶν τριχῶν, τῶν διὰ βραχύτητα μὴ δυναμένων καρῆναι. ἔστι δὲ ἐπίρρημα τὸ ἀκαρῶς. ἀφ' οὗ τὸ ἀκαρὲς ἐπιρρηματικὸν ὄνομα. καρὶ δὲ τῷ καρί, κάρ, καρός, καρί.

803 Ἀκαρίδιος: ὁ βραχύτατος. ἀκαρίδιος ὁ ἀνθρώπινος βίος καὶ μετ' ὀλίγον πάντες ἐξετάθημεν.

Σ 804 Ἀκαριαῖον: μικρόν, βραχύ, ῥοπή. καὶ Ἀκαριαῖος, ὁ βραχὺς

Δ καιρός. Ἀκαριαῖον· τὸ μὴ δυνάμενον καρῆναι ἢ τὸ οἷον ἀκέφαλον

Ecl. διὰ σμικρότητα ἢ ἀδιάστατον κατὰ μέγεθος καὶ οὐδ' ἀρχὴν ἔχον. ὅτι Καρία ἡ κεφαλὴ κατὰ γλῶσσαν, ὅθεν καὶ κέρατα.

805 Ἀκαρνᾶνα· ἐγὼ δὲ ἄγαμαι τοὺς ἄνδρας, τὸν δὲ Ἀκαρνᾶνα μέγιστον καὶ πρὸ τούτων. καὶ Ἀκαρνανάδες· ζήτει ἐν τῷ ἀπαλγοῦντες.

Prov. 806 Ἀκαρπότερος ἀγρίππου: ἐπὶ τῶν πάνυ πενομένων. Λάκωνες γὰρ τὴν ἀγρίαν ἐλαίαν ἄγριππον καλοῦσιν.

Prov. 807 Ἀκαρπότερος Ἀδώνιδος κήπου: ἐπὶ τῶν μηδὲν γενναῖον τεκεῖν δυναμένων. λέγονται δὲ τὰ εἰς τὰ ὄστρακα φυτευόμενα.

Ar.? 808 Ἄκας: ποιητὴς τραγῳδίας.

Suid. 809 Ἄκαστος· ὁ δὲ Ἄκαστος λόχον ὑφήκας ἐπεβούλευσε τῷ Πηλεῖ. καὶ ὃς αἰσθόμενος ἐς πόλεμον κατέστη. ζήτει ἐν τῷ Ἀταλάντῃ.

797 Thdr. in Ps. 31, 4, PG 80, 1088d—89a 798 cf. H, Et. M. 45, 11 799 = P, Ba 46, 8 800 Harp. = P, Ba 53, 10; Antiph. fr. 149 801 — κεῖραι = P, Ba 53, 2, sch. Pl. Ax. 366c οὐκ οἶδ' sq. Ar. Vsp. 699—703 802 — ἐπίρρημα = Ambr. 1095 ἐν ἀκαρεῖ—ὄνομα Ar. Pl. 244 c. sch.; βραχύ sq. cf. sch. Luc. 55, 29 803 ἀκαρίδιος alt. sq. Marc. 11, 18, 10 804 — ῥοπή = P, Ba 53, 7 Ἀκαριαῖος—καιρός = Ambr. 838 Ἀκαριαῖον—καρῆναι cf. Et. Gud.; ἀκέφαλον—ἔχον cf. Et. M. 45, 29, H 805 — τούτων Philostr. 4, 23 806 = Zen. I 60 807 — δυναμένων = Macar. I 63 808 fort. sch. Ar. Av. 31

797 Z 103 798 cf. 4687 800 Z 115 801 Ar. cf. v. ἐγκεκύκληαι 802 Z 115 803 Z 98 804 ὅτι καρία sq. hinc v. καρία, v. κερασοῦς, v. κατὰ γλῶσσαν 805 Philostr. cf. 138 806 cf. 364 807 cf. 517 808 cf. v. Σάκας 809 ex 4309

A(GITSM) 798 om. GTS mg A 4 ἀχέτας AI ἀχέτην M 11 ἐπίρρημα post ἀτόμῳ M ἐν—ἀτόμῳ om. S 16 καρί pr.—καρί tert. om. AGT post 803 I; περισσόν ss. M 24 καὶ Ἀκαρνανάδες—ἀπαλγοῦντες om. S 809 om. GTS mg. AM

810 Ἀκατάληπτον ἀπροσίτου διαφέρει· καὶ ζήτει ἐν τῷ ἀπρόσιτον. Suid.
811 Ἀκατάβλητον: ἀήττητον· παρὰ τὸ μὴ καταβάλλειν· τουτέστι τὸν μηδὲν καταβάλλοντα. Ἀριστοφάνης Νεφέλαις· οὐ γάρ πω τότ' ἐξηπίστατο Φειδιππίδης μοι τὸν ἀκατάβλητον λόγον. Ar.
812 Ἀκαταλήκτως: ἀκαταπαύστως. Σ
813 Ἀκαταλλήλως: ἀναρμοδίως. Σ
814 Ἀκαταμάχητος. Δ
815 Ἀκαταῖος: ἵππος ὠνομασμένος. Δ
816 Ἀκαταιτίατος: ὁ ἀναίτιος. Δ
817 Ἀκατεύναστος: ἀκοίμιστος. Σ
818 Ἀκάτειρα: ὄνομα πόλεως. Δ
819 Ἀκάτιον: εἶδος πλοίου ἁλιευτικοῦ. Δ
820 Ἀκατίροις: ἐθνικόν. ὥσπερ καὶ οἱ Σαράγουροι ἐλαθέντες κατὰ ζήτησιν πρὸς τοῖς Ἀκατίροις Οὔννοις ἐγίνοντο. Δ + EL
821 Ἀκατονόμαστος: ὁ μὴ ὠνομασμένος. Δ
822 Ἀκαχείατο: ἐλυποῦντο. καὶ Ἀκαχίζεο, λυποῦ. Hom.
823 Ἀκαχημένη: λυπουμένη. καὶ Ἀκαχήμενον, οὐδέτερον. Δ
824 Ἄκαψις: ὄνομα πόλεως. Δ
825 Ἀκαίη: ῥάβδος θαλαττία. Δ
826 Ἄκαινα: μέτρον δεκάπουν. ἔστι δὲ ῥάβδος, δι' ἧς κεντοῦσι τοὺς βόας, ὡς τῶν Πελασγῶν τοῦτο εὑρόντων. Σ
827 Ἄκαιρος: ὁ μὴ ἔχων καιρόν. καὶ, Ἄκαιρος εὔνοια οὐδὲν ἔχθρας διαφέρει· Ἱππόλυτον φασὶ ταύτην εἰπεῖν πρὸς Φαίδραν φάσκουσαν φιλεῖν τε καὶ στέργειν αὐτόν. Δ Prov.
828 Ἀκεανός: εἶδος ὀσπρίου. Δ
829 Ἀκελιμᾶς. Δ
830 Ἀκενόσπουδον· παρὰ Διογνήτου ἔμαθον τὸ ἀκενόσπουδον καὶ τὸ ἀπιστητικόν. φησὶ Μάρκος ὁ φιλόσοφος βασιλεύς.
831 Ἀκέων: ἡσυχάζων. παρ' Ὁμήρῳ κατὰ μεσότητα ἐξήνεκται ἀντὶ τοῦ ἐφ' ἡσυχίας. καὶ ἐν ἄλλοις· ἀλλ' ἀκέων δαίνυσθε καθήμενοι. Hom.

811 — ἀήττητον + τουτέστι sq. Ar. Nu. 1228—9 c. sch. 812 = P, Ba 53, 11 813 = P, Ba 53, 12 814 cf. Ambr. 868 815 cf. Ambr. 875 817 = P, Ba 53, 14, H 818 = Ambr. 1006 820 ὥσπερ sq. Prisc. fr. 30, FHG 4, 105 = EL 586, 11—12 821 = Ambr. 876 822 — ἐλυποῦντο sch. M 179 = H cf. Ambr. 1069; ἀκαχίζεο sq. sch. Z 486, λ 485 cf. H 823 — λυπουμένη = Ambr. 992, sch. Ε 364; ἀκαχήμενον sq. cf. Ambr. 1070 825 = Ambr. 988 ἀκαίνη 826 = P, Ba 46, 5 cf. sch. Ap. Rh. 3, 1323, Et. M. 43, 47, Ambr. 988—989 827 — καιρόν = Ambr. 886 ἄκαιρος εὔνοια sq. = Zen. I 50 828 = Ambr. 884, Et. M. 46, 14 830 Marc. 1, 6, 1—2 831 — ἡσυχάζων sch. A 512 = Ambr. 1067; μεσότητα ἐξήνεκται cf. sch. A in Δ 22, Et. M. 47, 1; ἀλλ' sq. φ 89

811 Z 98 812—3 Z 115 815—6 Z 98 818 Z 103 820 Z 98; Prisc. cf. 18; hinc v. Σαράγουροι 822—3 Z 112—3 824—6 Z 103 828 Z 98 830 Z 109 831 Z 113

810 om. GTS mg. AM 814 om. GS 10 ἀκοίμιστος] ἀκοίμητος G^{ec}S A(GITSM) 819 om S 18 Ἄκαψις] Ἄκαμψις S 29 ἡσυχάζων] ἡσύχως ss. M, antepos. S μεσότητα GS μεσότητος A μεσότατος M ἐξήνεκται] ἐξήνεγκται pr.

Σ 832 Ἀκερδὴς χάρις: ἡ μὴ δεόντως διδομένη. ἧς φαῦλον τὸ
Soph. κέρδος. μήδ' ἄλαστον ἀκερδῆ χάριν ἄντ' ἰδὼν μετάσχοιμί πως.

Σ 833 Ἀκέραιον: ἄκακον, ὁλόκληρον, καθαρόν. σημαίνει δὲ καὶ τὸν ἕξω κήρας.

834 Ἀκέραιον συνειδός: τὸ καθαρὸν καὶ εἰλικρινές. Δαμάσκιος φησίν· οὐδὲν γὰρ εἶναι τῶν ἀνθρωπίνων ἀκεραίου συνειδότος ἀντάξιον. δεῖ δὲ τὸν εὐσχήμονα τρόπον συνδιαιτᾶσθαι τοῖς πέλας· εἰ καὶ ἐναντίον εἴη τῷ φαινομένῳ τὸ ἀληθινὸν ἀγαθόν, μηδέποτε ἐκεῖνο τούτου ἐπίπροσθεν ἄγειν μηδὲ ἄλλο ὁτιοῦν περὶ πλείονος ποιεῖσθαι τῆς ἀληθείας, μήτε κίνδυνον ἀγῶνος ἐπιφερομένου μήτε ὄκνῳ ἀποστρεφόμενον ἔργον ἐπίπονον, μηδὲ κέρδος ἐπαίνου ἀδίκου, μηδὲ συνήθειαν φιλίας, μηδὲ συγγενείας τινὸς ἀνάγκην.

835 Ἀκέραιον· ἐκ τῆς Μάρκου Ἀντωνίνου συγγραφῆς· κἂν τρισχίλια ἔτη βιώσεσθαι μέλλῃς καὶ τοσαυτάκις μύρια, ὅμως μέμνησο, ὅτι οὐδεὶς ἄλλον ἀποβάλλει βίον ἢ τοῦτον ὃν ζῇ, ἢ ἄλλον ζῇ ἢ ὃν ἂν ἀποβάλλῃ. εἰς ταὐτὸν οὖν καθίσταται τὸ μήκιστον τῷ βραχυτάτῳ. τὸ γὰρ παρὸν πᾶσιν ἴσον καὶ τὸ ἀπολλύμενον οὐκ ἴσον. καὶ τὸ ἀποβαλλόμενον οὕτως ἀκαριαῖον ἀναφαίνεται. οὔτε γὰρ τὸ παρῳχηκὸς οὔτε τὸ μέλλον ἀποβάλλοι ἄν τις. ὃ γὰρ οὐκ ἔχει, πῶς ἂν τοῦτο τις αὐτοῦ ἀφέλοιτο;

Δ 836 Ἀκέραιος: ὁ ὁλόκληρος. ἀκεραίοις τε καὶ οὐ προσδεχομένοις
E ἐπιγενόμενοι τῆς γῆς ἐκράτουν. καὶ αὖθις· τὸ δὲ μέλι ἅτε οὐκ ἀκέ-
E ραιον οὔτε ἀπὸ ἀκάνθων ἀλλ' ἀπὸ ἑρπετῶν συμπεπορισμένον ἀνέστρεφε
E τὰ σπλάγχνα. Πολύβιος· τοὺς μὲν γὰρ ἀηττήτους ὄντας ἐξ ἀκεραίου
E διηγωνίσθαι πρὸς σφᾶς. ἀντὶ τοῦ ἐξ εὐκόλου. θέλων ἀκεραίοις
E χρήσασθαι ταῖς τῶν Κελτῶν ὁρμαῖς. ἐξ ὁλοκλήρου. καὶ αὖθις· οὐ
E δυνάμενος δὲ πείθειν ἐξ ἀκεραίου διὰ τὴν εὐλάβειαν καὶ ἀπραγίαν τοῦ προειρημένου βασιλέως ἠναγκάσθη φ' τάλαντα προτεῖναι. καὶ δὴ συγκατέθετο βοηθήσειν ὁ Σέλευκος. καὶ αὖθις· οὐ βουλομένοι ἀκέραιον ἀπενεγκεῖν τὴν φήμην αὐτοῦ ἤρξαντο διασύρειν αὐτόν.

Δ 837 Ἀκεραιοσύνη· ἀκερωσύνη δέ.

Δ 838 Ἄκερως βοῦς: ὁ μὴ ἔχων κέρατα. καὶ Ἄκερων, οὐδετέρως μονόπτωτον.

832 — διδομένη = P, Ba 53, 15, Phryn. fr. 144 ἧς sq. Soph. OC 1484 c. sch. 833 = P, Ba 53, 17; ἕξω κήρας Tim. 834 Δαμάσκιος sq. fr. 223 835 Marc. 2, 14, 1—4 836 — ὁλόκληρος = Ambr. 840 vs. 22 τό—σπλάγχνα Iambl. fr. 7 cf. Phot. bibl. p. 74 b 1 vs. 24 τούς—σφᾶς Polyb. 15, 11, 11 θέλων—ὁρμαῖς Polyb. 3, 70, 9 οὐ δυνάμενος—Σέλευκος Polyb. fr. 96 838 — κέρατα = Ambr. 887

832 Z 103 836 Polyb. fr. 96 cf. v. ἐξ ἀκεραίου

A GITSM) 10 ὄκνῳ Bas. ὄκνον omnes 835 ante 834 AG(S) sed signo adi. et post 834 ζήτει τὴν λοιπὴν ἀκολουθίαν ἄνω A; haec post l. 835 add. ἔνθα τὸ σημεῖον τοῦτο G 15 ἢ ὃν M ὃν AGIS 16 ἀποβάλλῃ] ἀποβάλλει A cf. Marc. 21 ἀκεραίοις] ἀκέραιοι Schweigh. Opusc. 2, 200, Iacobs Anim. ad Eurip. 138 22 ἐπιγενόμενοι M ἐπιγινόμενοι S ἐπιγενόμενος GI ἐπιγινόμενος AT 23 ἑρπετῶν] ἑ. τροφῆς sive νομῆς coni. Roscher Jahns Jb. 151, 332 post 838 Ἀκερσεκόμης ὁ Ναζιραῖος add. I

839 Ἀκερσεκόμης: τὴν κόμην μὴ κειρόμενος. Hom.

840 Ἄκεσσα: Ῥωμαϊκόν τι μηχάνημα ἐκ δενδροτομίου πρὸς ἐρυμνότητα μετασκευαζόμενον. οἱ δὲ Ῥωμαῖοι ξυνέθεσαν τὴν λεγομένην E
ἄκεσσαν τῇ Ῥωμαίων φωνῇ. δενδροτομήσαντες γὰρ ἀλλεπάλληλα
5 στελέχη τῇ ξυνθήκῃ κατασπορέσαντες ἀπετείχισαν ὡς ἐνῆν τὴν ἐνθένδε
πορείαν τῆς πόλεως.

841 Ἀκέσασθαι καὶ Ἀκέσαι: ἰάσασθαι. ὅθεν Ἀττικοὶ τὴν ἠπήτριαν Σ
ἀκέστριαν καλοῦσιν.

842 Ἀκεσίας ἰάσατο: ἐπὶ τῶν ἐπὶ τὸ χεῖρον ἰωμένων. ἔοικε δὲ Prov.
10 ὁ Ἀκεσίας πρὸς τὸ χεῖρόν τινα θεραπεῦσαι.

843 Ἀκέσιος· Ναυατιανῶν ἐπίσκοπος· ὃς παρῆν ἐπὶ τοῦ μεγάλου E
Κωνσταντίνου. καὶ ἠρώτα αὐτὸν, εἰ δέχεται τὰ τῆς συνόδου, τόν τε
ὅρον τῆς πίστεως καὶ τὸν ὁρισμὸν τῆς τοῦ Πάσχα ἑορτῆς· ὁ δὲ συγ-
κατέθετο. ἐπανερομένου δὲ τοῦ βασιλέως, διὰ τί οὖν χωρίζῃ; ἐκεῖνος
15 τὰ ἐπὶ Δεκίου γενόμενα κατὰ τὸν διωγμὸν ἐδίδασκε καὶ τὴν ἀκρίβειαν
τοῦ αὐστηροῦ κανόνος· ὡς ἄρα οὐ χρὴ τοὺς μετὰ τὸ βάπτισμα ἡμαρ-
τηκότας ἁμαρτίαν, ἣν πρὸς θάνατον καλοῦσιν αἱ θεῖαι γραφαὶ, τῆς
κοινωνίας τῶν θείων μυστηρίων ἀξιοῦσθαι, ἀλλ' ἐπὶ μετάνοιαν μὲν
αὐτοὺς προτρέπειν, ἐλπίδα δὲ τῆς ἀφέσεως μὴ παρὰ τῶν ἱερέων, ἀλλὰ
20 παρὰ τοῦ θεοῦ ἐκδέχεσθαι, τοῦ δυναμένου συγχωρεῖν ἁμαρτήματα.
ταῦτα εἰπόντος τοῦ Ἀκεσίου ἐπειπεῖν τὸν βασιλέα· θὲς, ὦ Ἀκέσιε, κλί-
μακα καὶ μόνος ἀνάβηθι εἰς τὸν οὐρανόν. τούτων οὔτε Εὐσέβιος ὁ
Παμφίλου οὔτε ἄλλος τις ἐμνημόνευσεν. ἐκεῖνοι γὰρ πολλὰ παραλεί-
πουσιν, ἢ προσπάσχοντές τισιν ἢ προσώποις χαριζόμενοι. οὕτω λέγει
25 Σωκράτης ἐν Ἐκκλησιαστικῇ ἱστορίᾳ.

844 Ἀκεσίλαος: ὄνομα κύριον. Δ

845 Ἀκέσιμον: θεραπευτικόν. Δ

846 Ἄκεσιν: ἴασιν. Σ

847 Ἀκεσίπονον: θεραπευτικόν. Σ

30 848 Ἀκέσματα: ὑγιάσματα, ἰάματα. ἡ δὲ λαθοῦσα τὰς φυλακὰς Σ
ἅμα τῇ θυγατρὶ ἀνέδραμεν, ἄκεσμα τῆς ἑσομένης ἐνδείας ἐπιφερομένη. E
ἀνὴρ ἦν ἐν τῇ Γαλεώτιδι, δεινὸς λύσεις τε νόσων εἰπεῖν καὶ ὥραν E
ἀκαιρίας ἀκέσασθαι, ἀγονίαις καὶ ἀκαρπίαις διά τινων ἱερουργιῶν ἐπι-
νοῆσαί τε καὶ δοῦναι μεταβολὰς, καί τινας εἰς εὐπορίαν ἀγαθὰς ὁδούς.

839 = Et. M. 46, 24, sch. Υ 39, H v. ἀκερσεκόμος cf. Ambr. 981 841 = P, Ba 53, 20 cf. H, Eust. O. 1647, 57 (Ael. D. fr. 29) 842 cf. Zen. I 52 843 Socr. h. e. 1, 10 844 = Ambr. 909 845 = Ambr. 1043 846 = P, Ba 53, 22, H 847 = P, Ba 53, 23 848 — ἰάματα = P, Ba 53, 24 cf. H = sch. O 394 ἀνὴρ—ἀνιχνεύσῃ Aelian. fr. 104

839 cf. 855 840 Z 103 841 cf. v. ἠπήτρια 843 Z 98

2 δενδροτομίου A δενδροτομίας rell. 3 ξυνέθεσαν] ξυνέσθωσαν A A(GITSM)
14 χωρίζῃ AG Socr. χωρίζει ISM 24 οὕτω—25 ἱστορίᾳ om. S 25 Σωκράτης om. GIT

τοῦτον ἐς Κρήτην ὁ Μίνως καλεῖ φασιν ἐπὶ δώροις, ἵνα τοῦ Γλαύκου
Σ τὴν ὑμνουμένην ἀπώλειαν ἀνιχνεύσῃ. καὶ Ἀκεσμόν, ἰατρείαν.
Δ 849 Ἀκεσώ: ὄνομα κύριον, θηλυκόν.
Δ 850 Ἀκεσώδυνον: θεραπευτικὸν τῶν ὀδυνῶν.
Σ+Δ 851 Ἀκέστας: ἰατρούς. καὶ Ἀκέστωρ, ἀκέστορος, ὁ ἰατρός.
852 Ἀκέφαλος: αἵρεσίς τις, ἧς ἦν Σευῆρος ἔξαρχος. καὶ ζήτει ἐν τῷ Εὐτυχῆς.
Δ 853 Ἀκέφαλος: ὁ ἄτιμος. καὶ παροιμία· Ἀκέφαλος μῦθος.
Prov. ἐπὶ τῶν ἀτελῆ λεγόντων εἴρηται ἡ παροιμία.
Δ 854 Ἀκειόμενος: θεραπευόμενος.
Σ 855 Ἀκειρεκόμης: τὴν κόμην μὴ κειρόμενος.
Σ 856 Ἀκεῖσθαι: θεραπεύειν. Ἀκεῖσθαι· λέγειν θεραπεύειν κωμῳδοῦντα.
Σ 857 Ἀκή: ἀκμὴ σιδήρου. καὶ Ἀκὴν, ἡσυχίαν.
Harp. 858 Ἀκή: πόλις ἐν Φοινίκῃ, ἣν οἱ μὲν τὴν νῦν Πτολεμαΐδα καλουμένην οὕτω πάλαι φησὶν ὀνομάζεσθαι, Δημήτριος δὲ οὐ τὴν πόλιν, ἀλλὰ τὴν ταύτης ἀκρόπολιν.
Σ 859 Ἀκήδεστοι: μηδεμιᾶς φροντίδος τυχόντες. ἢ Ἀκήδευτοι καὶ
Δ ἄταφοι. καὶ Ἀκήδιστοι ὁμοίως.
ΣΕ 860 Ἀκηδής: ἄταφος, ἀμελής. οἱ δὲ Ῥωμαῖοι τοὺς ἑαυτῶν πολεμίους
Δ ἀκηδεῖς οὐχ ὑπέμειναν παριδεῖν. καὶ Ἀκηδῶς, ἀντὶ τοῦ ἀτάφως.
Ε ἰδὼν ναυηγοῦ σῶμα ἐρριμμένον ἀκηδῶς καὶ ὀλιγώρως παρελθεῖν οὐκ ἐτόλμησεν, ἀλλὰ ἔθαψε τὸν τεθνεῶτα, θέαμα τῷ ἡλίῳ οὐδαμῇ φίλον ἀποκρύπτων ἀνθρωπίνῳ θεσμῷ. λέγεται καὶ Ἀκηδὴς ἐν Μυθικοῖς·
Ε πικρὴ μέν τε λύκοις, αὐτὰρ χιμάροισιν ἀκηδής. καὶ αὖθις· διαλύει τὸν τάφον ἀκηδῶς καὶ ἀνοίκτως καὶ ἀπὸ τῶνδε τῶν λίθων ἀνίστησι πύργον. ἐκεῖθεν ἑάλω ἡ πόλις.
Δ 861 Ἀκήδεσεν: οὐκ ἐφρόντισεν.
Δ 862 Ἀκηδία: ῥᾳθυμία, ἀχθηδών, λύπη. Δαβίδ· καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμα μου.

848 ἀκεσμόν sq. = P, Ba 53, 25 cf. H 850 — θεραπευτικόν cf. Ambr. 1040 851 (÷ ἀκέστορος) = Ba 53, 26, P; — ἰατρούς cf. sch. X 2, Et. M. 51, 7; ἀκέστωρ sq cf. H 853 — ἄτιμος cf. Artem. I 35 ἀκέφαλος μῦθος sq. = Macar. I 70 854 = Ambr. 1063 cf. sch. Π 29, Ξ 383 855 = P, Ba 53, 16 856 — θεραπεύειν = sch. Pl. Rep. 364 c; ἀκεῖσθαι alt. sq. = Ba 53, 19 cf. P, Phryn. 48, 13 857 = P, Ba 54, 1, H 858 Harp. = P, Ba 53, 29 859 — ἄταφοι = P, Ba 54, 3 Ἀκήδιστοι sq. cf. Ambr. 871, Et. M. 47, 31 860 — ἀμέλης cf. Ba 54, 2, H, P ἀκηδῶς—ἀτάφως cf. Ambr. 1108 v. ἀκηδεί ἰδὼν—θεσμῷ Aelian. fr. 242 πικρή—ἀκηδής Babr. p. 216, 11 διαλύει—πόλις Aelian. fr. 63 861 = Ambr. 1064 cf. sch. Ξ 427 862 — ῥᾳθυμία = Ambr. 1018 καί sq. Ps. 142, 4

852 cf. v. Ἰουλιανὸς Ἁλικαρνασσεύς 853 Z 98 855 cf. 839; Z 98 856 Z 113 857—8 Z 103 860 Z 99, 115 861 Z 113 862 Z 104

A(GITSM) 852 om. GTS mg. AI 6 τις om. M Σευῆρος] Σεβῆρος M καί A om. IM 11 Ἀκεῖσθαι θεραπεύειν om. S Ἀκεῖσθαι alt.—κωμῳδοῦντα S om. rell. Zon 15 φησιν AGI Phot φασιν TSM Ba 18 ἀκήδιστοι] ἀκήδεστοι S 19 ἑαυτῶν] ἑαυτοῖς A 21 ἐτόλμησεν] ἐτόλμησα M 23 ἀκηδής] ἀκηδές M 24 πικρή] πικροί I Lachmann λύκοις] λύκοισιν Kust. αὐτάρ] ἀτάρ GTM ἀκηδής] ἀκηδεῖς Lachmann 861 om. S

863 Ἀκήκοα· αἰτιατικῇ· ἠνωτίσθην. καὶ Εἰσακήκοα. Syn.
864 Ἀκήλητον: ἄθελκτον, ἀπηνῆ. ἐν Ἐπιγράμμασι περὶ Ὀρφέως· Anth.
ὃς καὶ ἀμειλίκτοιο βαρὺ Κλυμένοιο νόημα καὶ τὸν ἀκήλητον θυμὸν ἔθελξε λύρᾳ.
865 Ἀκηλίδωτον: ἄσπιλον, ἀκήρατον. Ἀκηλιδότερος δέ. ΣΔ
866 Ἀκήματα: ἰάματα. καὶ Ἄκη πόνων, τὰ λουτρά· καὶ κόπον Σ
μὲν θαλάττῃ λύουσιν, ἡ μάλιστα τοῖς νεύροις ἐστὶ πρόσφορος, ἀναχαλῶντες δὲ τὰς τῶν μυῶν συστάσεις, εἶτ' ἐπαλείφοντες λίπα πρὸς τῷ μὴ ῥανθέντος τοῦ ὕδατος ἀπεσκληρυμένα γίνεσθαι τὰ σώματα.
867 Ἀκήν: ἡσύχως. Δ
868 Ἀκηράσιον: ἀκέραιον. ἀθάνατον, ἄφθαρτον. καὶ Ὅμηρος· Σ
ἡδὺν ἀκηράσιον θεῖον ποτόν. Δ
869 Ἀκήρατος: ἄφθαρτος, ἀπαθὴς, ἀκέραιος. Ἀκήρωτος δὲ Σ
ὁ δίχα κηροῦ. Δ
870 Ἀκηρυκτεί: ἄνευ κήρυκος. οἱ δὲ Ῥωμαῖοι τοὺς αἰχμαλώ- EL
τους λαβόντες ἀκηρυκτεὶ πόλεμον αὐτοῖς ἐψηφίσαντο.
871 Ἀκηρύκτως ἐμίγνυντο: παρὰ Θουκυδίδῃ· τουτέστιν ἄνευ Thuc.
κηρυκείου, ὡς πρὸς φίλους δῆθεν. οἱ γὰρ πρὸς ἐχθροὺς ἀπιόντες ἀσφαλείας ἕνεκεν ὅσοι ἐβούλοντο μετὰ κηρυκείου ἀπῆσαν, οὓς ἀνόσιον ἡγοῦντο καὶ ἀσεβὲς κακουργεῖν.
872 Ἀκηχέδαται: λυποῦνται. Hom.
873 Ἀκίχητος: ἀκατάληπτος. Δ
874 Ἀκίβδηλον: καθαρόν. καὶ ἀκιβδήλους φασὶν εἶναι τοὺς σπου- Σ
δαίους, φυλακτικούς τε εἶναι τοὺς ἐπὶ τὸ βέλτιον τὰ περὶ αὑτοὺς παρι- Phil.
στάνειν διὰ παρασκευῆς δυναμένους τῆς τὰ φαῦλα μὲν ἀκοκρυπτούσης, τὰ δὲ ὑπάρχοντα ἀγαθὰ φαίνεσθαι ποιούσης ἁπλάστως. περιῃρηκέναι γὰρ ἐν τῇ φωνῇ τὸ πλάσμα καὶ τῷ εἴδει.
875 Ἀκιδαλία: ὄνομα κρήνης. Δ
876 Ἀκίδας: τῶν βελῶν τὰς ὀξύτητας. καὶ Ἀκιδωτόν, τὸ ἔχον Σ
ἀκίδας. Δ

863 — αἰτιατικῇ = An. Ox. 4, 276, 28 864 — ἄθελκτον cf. sch. κ 329 ὃς sq. Anth. 7, 9, 7—8 865 — ἀκήρατον = P, Ba 54, 5 cf. H ἀκηλιδότερος cf. Ambr. 960 866 — ἰάματα = P, Ba 54, 6, H, sch. O 394 cf. Ambr. 1044 Ἄκη πόνων sq. Ath. 1, 24 c 867 = Ambr. 1113, sch. Δ 429 868 — ἀκέραιον = Ba 54, 7 cf. sch. ι 205, H. Et. M. 47, 57 ἄφθαρτον cf. H; ἡδὺν sq. ι 205 869 — ἀκέραιος = P; — ἀπαθὴς = Ba 54, 8; — ἄφθαρτος = Ambr. 888, Et. M. 47, 49 ἀκήρωτος sq. = Ambr. 883 b 870 οἱ sq. Cass. D. fr. 36 = EL 410, 12—13 871 sch. Thuc. 1, 146 872 sch. P 637 = Ambr. 1068, Et. M. 48, 5 cf. Ap. S. 18, 29 873 = Ambr. 849 874 — καθαρόν = P, Ba 54, 9, H cf. Et. M. 48, 55 ἀκιβδήλους sq. Laert. 7, 118 875 = Ambr. 1014 b, Et. Gen., Et. M. 48, 22 876 — ὀξύτητας = P, Ba 54, 10, H ἀκιδωτόν cf. Ambr. 1038

864 Z 105, 109; Anth. cf. v. Κλύμενος 873 cf. 890 875 Z 104

863 om. GTS mg. I 1 ἠνωτίσθην IM ἠρωτίσθην A 7 ἀναχαλῶντες] A(GITFSM)
ἀνασχαλῶντες A 8 τῷ] τό M^{oc} 11 Ἀκηράσιον F Ba Ἀκήρασον AGIM Ἀκήρατον TS ἀθάνατον, ἄφθαρτον] ἄφθαρτον, ἀθάνατον SM 871 non nov. gl. SM

Δ 877 Ἀκιδνόν: τὸ ἀσθενές. καὶ Ἀκιδνότερος ὁμοίως. Ὅμηρος· οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο.

Σ 878 Ἀκκιζόμενος: προσποιούμενος, γυναικιζόμενος, ἢ μωραίνων, ἀπό τινος γυναικὸς μωρᾶς, ἥτις ἐκαλεῖτο Ἀκκώ. σημαίνει δὲ καὶ τὸν
Ε λέγοντά τι προσποιεῖσθαι μὴ ἐθέλειν. καὶ Αἰλιανός· οὐδενός τε τῶν ἐπ' ἄσμασι θαυμαζομένων ἐκρίθη δευτέρα, ἅτε δὴ οὐκ ἄπειρος ἐρωτικῆς περιεργίας ἀκκιζομένη σὺν καιρῷ καὶ πρὸς ζηλοτυπίαν εὐφυῶς
Prov. ἄγουσα τὸν ἄνδρα. καὶ παροιμία· Ἀκκιζόμενος Σκύθης τὸν ὄνον. ἐπὶ τῶν βδελυττομένων λόγῳ, ἔργῳ δὲ ἐφιεμένων. ἰδὼν γάρ τις νεκρὸν ὄνον ἔφη πρὸς Σκύθην παρόντα, δεῖπνόν τι, ὦ Σκύθα. ὁ
Σ δὲ ἐμυσάξατο μὲν, ὕστερον δὲ ἐπονεῖτο. καὶ Ἀκκισμούς, προς-
Δ ποιήσεις. Ἀκκισμὸς γὰρ καὶ ἡ μωρία.

Δ 879 Ἄκικυς: ὁ μὴ ὀξύς.

Δ 880 Ἄκιμον: ἀθεράπευτον.

Δ 881 Ἄκιμος: ὄνομα κύριον.

Σ 882 Ἀκινάκης: μικρὸν δόρυ Περσικόν.

Δ 883 Ἀκίνασις: ὄνομα τόπου.

Δ 884 Ἀκινδυνί: χωρὶς κινδύνου. καὶ Ἀκινδυνότατος.

Δ 885 Ἀκίναιδος: ὁ μὴ κινῶν τὰ αἰδοῖα, ὁ σώφρων. καὶ Ἀκίναιδα.

Δ 886 Ἀκινησία: ἡρεμία. καὶ τοὺς ἵππους ἐξελαύνειν προσέταξεν,
Ε ὡς διαλύοιτο αὐτοῖς τὸ ὑπὸ τοῦ παράπλου νεναρκηκὸς ὑπὸ ἀκινησίας.

Δ 887 Ἀκινητίζω: μὴ κινεῖσθαι ἐπιθυμῶ.

Prov. 888 Ἀκίνητα κινεῖν: ἐπὶ τῶν καθ' ὑπερβολήν. ὅτι μὴ δεῖ μηδὲ βωμοὺς κινεῖν, ἢ τάφους.

Suid. 889 Ἄκιτιν· ἐν Ἐπιγράμμασι· καὶ ψήκτραν ἄκιτιν ἀπέπτυσεν.

Hom. 890 Ἀκίχητα: ἀκατάληπτα.

Δ 891 Ἀκλαυστί: χωρὶς κλαυθμοῦ.

Δ 892 Ἀκλείδης: ὄνομα κύριον.

877 — ἀσθενές = H cf. Ambr. 1047, Et. M. 48, 14; ἀκιδνότερος sq. = Ambr. 956 878 — ἐθέλειν = Ba 54, 13, P cf. Et. M. 49, 3 οὐδενός—ἄνδρα Aelian. fr. 123 ἀκκιζόμενος Σκύθης—ἐπονεῖτο = Paroem. ed. Gsf. 103 n. 841 ἀκκισμούς, προσποιήσεις = P, Σ^{e} cf. Ba 54, 12, H, Et. M. 49, 8 ἀκκισμός sq. = Ambr. 879 879 = Ambr. 869 880 = Ambr. 1042 881 = Ambr. 897 882 = P, Ba 54, 11, sch. Pl. Rep. 553c cf. H, Et. M. 48, 27 883 cf. Ambr. 966 884 Ἀκινδυνί = Ambr. 1106; ἀκινδυνότατος = Ambr. 948 885 — αἰδοῖα = Ambr. 877 886 καί sq. = Arr. Parth. R. p. 50 887 l. = Ambr. 1085 888 = Zen. I 55, sch. Pl. Theaet. 181b 890 = Ap. S. 20, 6, H cf. Et. M. 48, 54, sch. P 75 891 = Ambr. 1098 892 cf. Ambr. 922 Ἀκείδης

878 Z 100, 114; Aelian. cf. v. ὑγρῶς. Prov. hinc v. δεῖπνον, cf. v. τὸν ἵππον 883 Z 104 884 Z 116 886 Z 104 887 Z 114 889 e v. φάσγανον, cf. v. συλόνυχας et v. ψῆκτραν 890 cf. 873 891 Z 116

A(GITSM) 1 ἀκιδνότερος] ἀκιδνότερον GT Ὅμηρος om. SM 2 οὐδέν om. S 5 ἐθέλειν] κακουργεῖν add. S 6 δή om. SM 10 τις om. SM 11 καί om. SM 12 γάρ] δέ M post 882 Συνέσιος· τὸν ἀκινάκην σπασάμενος add. T 17 τόπου] πόλεως S, fort. ποταμοῦ cf. Ambr. 19 ἀκίναιδα] θηλυκόν add. S 889 om. S mg. A post 891 GIT

893 Ἀκλειῶς: ἀδόξως. Hom.
894 Ἀκληρεῖ: οὐ μετέχει, οὐ κεκλήρωται. Σ
895 Ἀκληρήμασι: συμφοραῖς, δυστυχίαις. διὰ τοῦτο δοκεῖ μοι μάλιστα περιπεσεῖν τοῖς ἀκληρήμασι, διὰ τὸ πάντων βούλεσθαι στοχάζεσθαι καὶ μερίζεσθαι εἰς διάφορα. E?
896 Ἀκληρίας: δυστυχίας. ὁ δὲ ᾤετο πόρον ἐξευρεῖν τοῦ διώσασθαι τὰς ἀκληρίας.
897 Ἀκληρούντων: δυστυχούντων. τοὺς ἐν τῷ συνεδρίῳ ἀχανεῖς γενέσθαι καὶ παρεκστῆναι ταῖς διανοίαις, συμπάσχοντας τῇ τῶν ἀκληρούντων ὑπερωδυνίᾳ. E
898 Ἀκλητί: χωρὶς κλήσεως. καὶ παροιμία· Ἀκλητὶ κωμάζουσιν εἰς φίλους φίλοι. ὁμοία τῇ, αὐτόματοι ἀγαθοὶ ἀγαθῶν ἐπὶ δαῖτας ἴενται. Δ Prov.
899 Ἄκλητον: ἀνώνυμον. δέδωκας σεαυτὸν ἄκλητον τῷ δευτέρῳ. ἀντὶ τοῦ ἀνώνυμον. ἄκλητος ὁ θεὸς καὶ καλούμενος παρέσται· οὐ παρορᾷ γὰρ ὁ θεὸς τοὺς ἀρετῆς ἀντιποιουμένους. οὕτω γὰρ ἐδόθη χρησμὸς τοῖς Λακεδαιμονίοις· καλούμενός τε κἄκλητος θεὸς παρέσται ἔξω πάσης αἰσθήσεως. οὐ γὰρ φωνῆς δεῖται πρὸς τὸ διδάξαι τὰ δέοντα, οὐδὲ ἀκοῆς πρὸς τὸ μαθεῖν. Σ
900 Ἀκλόνητον: ἄσειστον, ἀδόνητον. Σ
901 Ἀκμάζει: νεάζει. Ἀκμάζεις, τὰ νέων πράττεις. οὕτως Ὑπερίδης καὶ Λυσίας. Σ Harp.
902 Ἀκμαῖος: νεανίσκος, σφριγῶν. ἀκμάζων, καίριος, κατὰ καιρὸν, παρὰ τὴν ἀκμὴν τοῦ καιροῦ. ποῦ Τεῦκρος; ὡς ἀκμαῖος, εἰ βαίη, μόλοι. τουτέστιν εὐκαιρότατος, ἐν ἀκμῇ καιροῦ, ἐν ἀκμῇ καὶ δεύτητι κινδύνου. καὶ Σ Soph.
Ἀκμαιότατος καιρὸς· ὁ πρωϊνός. καὶ Ἀκμαίων· ἰσχυρῶν, ἀνδρείων, γενναίων. Δ Suid.
903 Ἀκμαιωνίδαι: ὄνομα ἔθνους. Δ
904 Ἀκμή: ὀξύτης, αὐτὴ ἡ ῥοπὴ τῆς τοῦ πράγματος ἐπιτάσεως, καὶ ἡ δύναμις, καὶ ἡ νεότης. Ἀκμὴ δὲ καιροῦ, ἡ εὐτυχία. οὕτως Ἰσο- Σ

893 sch. α 241 = H v. ἀκλεῶς 894 = P, Ba 54, 17 895 διὰ τοῦτο sq. Polybio attr. Ursinus et Cassaub. 897 τοὺς sq. Polyb. fr. 192 898 — κλήσεως = Ambr. 1101 cf. P, Ba 54, 18 ἀκλητὶ κωμάζουσιν sq. = Diogen. I 60, Zen. II 46 899 — ἀνώνυμον = H cf. Ba 61, 21 = P (ἄκλυτον) δέδωκας—δευτέρῳ Iul. ep. 82 (p. 102, 1). ἄκλητος sq. Iul. or. 8, 250 b c, 249 c 900 = P, Ba 54, 19 901 — νεάζει = P, Ba 54, 21 cf. H ἀκμάζεις sq. Harp. = An. Ox. 2, 488, 28, P, Ba 54, 23; Hyper. fr. 122; Lys. fr. 188. 902 — σφριγῶν = P, Ba 54, 22 καίριος—μόλοι Soph. Ai. 921 c. sch. ἀκμαιότατος cf. Ambr. 961 903 = Ambr. 973 904 — Ὑπερίδης = P, Ba 54, 24; Isocr. 2, 33; Hyper. fr. 116

894 Z 114 895 Z 110 896 cf. Z 104 897 Z 114; cf. v. παρεκστῆναι et v. ὑπερωδυνίᾳ 898 — κλήσεως Z 116 899 ἄκλητος sq. cf. v. καλούμενος et v. κλητός 901 Z 114 902 ἀκμαίων sq. ex 1298

2 οὐ κεκλήρωται] οὐκ ἐκληρώσατο GIT 6 διώσασθαι GIM^{ac} δηώσασθαι ATSM^{ac} A(GITSM) 21 ἀκμάζει τὴν συναλειφὴν mg. add. A 25 τουτέστιν—κινδύνου ex GIT καί sec. om. S, nov. gl. 26 καὶ Ἀκμαίων—γενναίων om. S 27 γενναίων] καὶ γ. A 29 ἐπιτάσεως S Phot. Ba ἐπιστάσεως rell.

κράτης· τὸ μὲν τῆς ἀκμῆς τῶν καιρῶν τυγχάνειν. λαμβάνεται δὲ καὶ
Soph. ἀντὶ τοῦ ἔτι. οὕτως Ὑπερίδης. καὶ Σοφοκλῆς· ἀκμὴ γὰρ οὐ
μακρῶν ἡμῖν λόγων, μὴ καὶ μάθῃ μ' ἥκοντα, κἀκχέω τὸ πᾶν σόφισμα.
Σ ἀντὶ τοῦ ἔτι. καὶ ἐν Ἐπιγράμμασι· στρούθιον· ἀρρυτίδωτον, ἰσό-
Anth. χνοον ἀρτιγόνοισιν, ἀκμὴν εὐπετάλοις συμφυὲς ἀκρέμοσι. καὶ αὖθις·
ὅσσος ἐν ἡρώεσσι πότ' ἦν χόλος, οὗ μέρος ἀκμὴν ἐχθρὸν ἐν ἀψύχοις
Σ σῴζεται ἀκρέμοσιν. ἀντὶ τοῦ ἔτι.
Σ 905 Ἀκμὴ καλεῖ: καιρὸς καλεῖ. ἐπὶ οὖν τῆς ὀξύτητος Αἰλιανός
Ε φησιν· ἐν ἀκμῇ δὲ ὢν τῆς τε ὀδύνης καὶ ὧν ἤλγει, οὐκ ᾔδει τὴν
ὁδὸν τὴν πορεύουσαν εἰς αὐτοῦ. εἰ δέ τινι καὶ θοῦσαι ἐξ ἐνυπνίου
ἐκελεύετο, καὶ τούτων ὀλίγωρος ἦν φύσει τε ἀμαθὴς ὢν καὶ φιλοχρή-
Ε ματος. ἐν ἀκμῇ τοῦ κακοῦ μνήμη τις εἰσῆλθε τῶν Σαμοθρᾳκῶν·
καὶ γὰρ οὖν τετελεσμένων αὐτοῖς ἦστην. ἀντὶ τοῦ ὑπῆρχον δυϊκῶς.
καὶ αὖθις· ὑπὸ πολλῶν δακρύων τὴν ἀκμὴν τῶν ὀμμάτων ἀφῄρημαι.
Ε καὶ αὖθις Αἰλιανός· καὶ αὐτὸ τὸ κράτος ἐπὶ ξυροῦ ἀκμῆς ἦν.
Σ 906 Ἀκμήν: ἔτι. τὰς δὲ ἀκμὴν ἀνασειομένας πόλεις πρὸς τὴν τῶν
Ε Ῥωμαίων ἔχθραν τῷ φόβῳ κατασβεννύων. Προκόπιος· ὁ δὲ τοῦ
Ε καιροῦ τὴν ἀκμὴν ἐν τῷ παραυτίκα μεθῆκεν, ἧς γε οὐκ ἔτι ἀντιλα-
βέσθαι οἷός τε ἐγεγόνει. Ἀκμή· ἐν συλλήψει ἢ ἐν διαστάσει.
Hom. Call. 907 Ἄκμηνος: ἄγευστος. ἄκμηνον δόρποιο.
ΣΔ 908 Ἀκμῆτες: μὴ κάμνοντες. καὶ Ἀκμήτης, ὁ μὴ κοπιῶν.
Σ 909 Ἀκμητί: ἀκαμάτως. Ζήτει ἐν τῷ ἀπονητί.
Δ 910 Ἄκμονος.
Δ 911 Ἄκνηστις: ἡ ῥάχις. ἣν οὐ δύναταί τις εὐκόλως κνήθεσθαι.
912 Ἀκοή: τὸ μέρος τοῦ σώματος. ἔστι δὲ καὶ ἡ φήμη. οὐκ ἀγαθὴ
ἡ ἀκοή, ἣν ἀκούω περὶ ὑμῶν. ὁ Ἠλεῖ ὁ ἱερεύς φησι πρὸς τοὺς υἱοὺς
αὐτοῦ. Ζήτει περὶ ἀκοῆς ἐν τῷ αἰσθήσεις ε΄.
Δ 913 Ἀκολασία· καὶ Ἀκολασταίνω, τὸ μωραίνω.
Σ 914 Ἀκόλαστον: ἀκρατῆ, θρασύν.
Σ 915 Ἀκόλαστον καὶ ὑβριστὸν πρᾶγμα ἡ ἄνθρωπος· λέγοι
δ' ἄν τις καὶ ὑβριστικόν.

904 ἀκμήν—σόφισμα Soph. Phil. 12—14 vs. 2 et 4 ἀντὶ τοῦ ἔτι cf. Phryn. Ecl. 123, Bk. 77, 27 στρούθιον—ἀκρέμοσι Anth. 6, 252, 1, 3—4; ὅσσος—ἀκρέμοσιν Anth. 7, 141, 7—8 905 — καλεῖ = P, Ba 54, 29, H ἐν—φιλοχρήματος Aelian. fr. 41 vs. 12 ἐν ἀκμῇ—ἦστην Aelian. fr. 90 vs. 15 καὶ αὐτό sq. Aelian. fr. 129 906 — ἔτι cf. ad 904 ὁ—ἐγεγόνει Proc. bell. 8, 9, 3 907 — ἄγευστος sch. T 163 = Ambr. 859 cf. Apion, H, Et. M. 49, 38 ἄκμηνον sq. Call. fr. 112 K., an. 4 S. cf. Babr. p. 216 908 — κάμνοντες = P, Ba 54, 30 cf. H, Et. M. 49, 28 ἀκμήτης sq. = Ambr. 872 909 — ἀκαμάτως = P, Ba 54, 31 cf. H 910 = Ambr. 942 911 cf. Et. M. 50, 5, H = Ap. S. 18, 30; — ῥάχις = Ambr. 985 912 οὐκ—ὑμῶν 1 Sam. 2, 24 913 Ἀκολασία cf. Ambr. 1031; ἀκολασταίνω cf. Ambr. 1066 914 = P, Ba 55, 3 915 = P, Ba 55, 5

904 Anth. 6, 252 cf. 976, 4212, v. μῆλον 905 Aelian. fr. 129 cf. v. ἐπὶ ξυροῦ 907—8 Z 100 913 Z 114

A(GITSM) 6 ἐχθρόν A ἐχθρῶν rell. 10 εἰ] εἰς A 15 αὐτό] αὐτοῦ GIT 906 om. S 19 ἀκμή—διαστάσει ex A 910 ante 909 AGIT 22 ἀπονητί] ἀκινητί A 915 nov. gl. A

916 Ἀκόλαστος: κολάσεως ἄξιος. Ἀριστοφάνης Πλούτῳ· ὃς κἄλλ' ἀκόλαστός ἐστι τοὺς τρόπους. λέγεται καὶ ὁ τολμηρός. καὶ Ἰάμβλιχος· ἡ δὲ ἐγέλα νῦν μὲν ἰταμόν τε καὶ ἀκόλαστον γέλωτα, νῦν δὲ ἐφθέγγετο ῥήματα αὐθάδη. καὶ Αἰλιανός· ἀνὴρ Ἀρκὰς, Εὐτελίδας ὄνομα, ἀκολάστῳ τῇ γλώττῃ καὶ ἀκράτορι κακῶς πάντας ἀγορεύειν ἀρρώστημα ἔσχεν· ἐμίσει δὲ καὶ τοὺς εὖ πράττοντας. Ar. E E

917 Ἄκολος: ὁ μικρὸς ψωμός. καὶ Ἀκόλους, κλάσματα καὶ θραύσματα ἄρτων. παρὰ τὸ μὴ κολλᾶσθαι. αἰτίζων ἀκόλους, οὐκ ἄορας, οὐδὲ λέβητας. Ὅμηρος. καὶ αὖθις· τὸν κύνα δ' ὡς ζῶντα πάλιν ποτὶ ταῦλιον ἄξω, ξηρὰς εἰς ἀκόλους ξυνὸν ἔχειν ἕταρον. Δ Hom.? Anth.

918 Ἀκόλουθον: ὅμοιον. ἀκόλουθον ἀπέβη τὸ τέλος ταῖς προτέραις ἐνεργείαις. καὶ Ἀκολουθήσας, ὁμοίως διαπραξάμενος. ὁ δὲ Ῥωμαῖος, ἔτι μετεωρίζοντος τοῦ Κελτοῦ τὸ ὅπλον, ἀκολουθήσας κάτωθεν ὑποφέρει τὸ ξίφος, καὶ διακείρει πᾶσαν ἀπὸ τοῦ βουβῶνος ἕως ὀμφαλοῦ τὴν λαγόνα. καὶ Πολύβιος· τοὺς δὲ ἐτίμησε χρυσοῖς ὑφάσμασιν καὶ λόγχαις, βουλόμενος ἀκόλουθον εἶναι τοῖς ἔργοις τὴν διὰ τῶν λόγων ἐπαγγελίαν. ἀκόλουθόν ἐστιν, ὃ ἀναγκαῖον εἶναι τῷ ἑτέρῳ εἶναι· μαχόμενον δὲ ὃ ἀναγκαῖον μὴ εἶναι. E E E Phil.

919 Ἀκολουθῶ· δοτικῇ. Synt.

920 Ἀκόλῳ τὰ χείλη, οὐ σύκῳ βῦσαι: παρεγγυᾷ ὁ λόγος ἐρρωμένως χρῆσθαι τοῖς πράγμασιν.

921 Ἄκομψον: εὐτελὲς, ἀπάνουργον. ἄνδρα τῶν τοῦ πραίτωρος ἐπιβάντα βημάτων· ἀρχὴ δέ τις αὕτη παρὰ Ῥωμαίοις οὐκ ἄκομψος. Σ EL

922 Ἀκόνη: λίθος. καὶ παροιμία· Ἀκόνην σιτίζεις, ἐπὶ τῶν τροφῇ μὲν χρωμένων, μηδὲν δὲ εἰς τὸ σῶμα ἐπιδιδόντων. Δ Prov.

923 Ἀκονιτί: χωρὶς κόνεως. ἄνευ ἀγῶνος καὶ μάχης· ἢ εὐμαρῶς, ἀπὸ μεταφορᾶς τῶν ἀθλητῶν τῶν οὕτως εὐμαρῶς περιγινομένων ὥστε μηδὲ κονίσασθαι. Δ Σ

924 Ἀκόνιτον: εἶδος βοτάνης φαρμάκου. ἀλλὰ πιὼν ἀκόνιτον ὑπέκφυγε τοῦτ' ἀκονιτί. τουτέστι χωρὶς κόπου. Δ Anth.

916 — τρόπους Ar. Pl. 1049 c. sch. ἡ—αὐθαδῆ Iambl. fr. 21 ἀνὴρ sq. Aelian. fr. 60 917 — ψωμός = Ambr. 847, Et. M. 50, 14 cf. H = sch. ρ 222 αἰτίζων—λέβητας ρ 222 cf. Et. M τὸν κύνα sq. Anth. 6, 176 918 ἀκόλουθον ἀπέβη—ἐνεργείαις Polyb. fr. 97 ὁ δέ—λαγόνα Dionys. Hal. 15, 1, 3 τοὺς δέ—ἐπαγγελίαν Polyb. fr. 3 ἀκόλουθόν ἐστιν sq. Alex. Aphr. 93, 9—10 919 = Synt. Gud. et Laur., An. Ox. 4, 276, 22 920 = Paroem. ed. Gsf. 18, n. 186 921 — εὐτελές = Cyr. (Phot. ed. Reitz. p. XLI 1) ἀπάνουργον = Ba 55, 4, Bk. 213, 26, P, H ἄνδρα sq. Th. Simoc. 1, 4, 6 = EL 221, 15—18 922 — λίθος = Ambr. 987 ἀκόνην sq. = Zen. I 58, Diogen. II 8 923 — κόνεως = Ambr. 1110 cf. H ἄνευ sq. = P, Ba 55, 7, Bk. 213, 24 cf. Et. M. 50, 32 924 — βοτάνης = Ambr. 1039 ἀλλά—ἀκονιτί Laert. 5, 8 = Anth. 7, 107, 3

916 Iambl. cf. v. ἰταμός 920 cf. 949 921 Z 110 924 Z 110

2 λέγεται] λ. δέ S 7 καί pr. om. S, nov. gl. 18 τῷ GITM^{ac} Alex. τό A(GITSM) ASM^{ac} 919 ex mg. A Ἀκολουθῶ Gud. Ox. Ἀκολουθιῶ A 920 om. T mg. A, post vs. 29 φαρμάκου S 22 τῶν GTM Simoc. τόν AS om. I 25 ἐπιδιδόντων TSM ἐπιδόντων AGI Zen.

Δ 925 Ἀκοντί: ἀκουσίως.
Δ 926 Ἀκοντίζω: ἀκόντιον βάλλω.
Δ 927 Ἀκοντιστύς: ἡ ἀκόντισις.
Σ 928 Ἄκοπος ἀνήρ: ἀντὶ τοῦ οὐδέπω ἡνωχλημένος ὑπό τινος. οὕτως Ἀμειψίας.
Δ 929 Ἀκόρεστος: ἀπλήρωτος.
Ar.+Σ 930 Ἀκόρητος: ἀκαλλώπιστος, ἀκόσμητος· κορεῖν γὰρ τὸ καλλωπίζειν. οὗτος δέ ἐστιν ἀκόρητος, οἱονεὶ πολὺς καὶ μὴ κορούμενος, αὔξων καὶ πληθύνων καὶ τεθηλώς. ἀπὸ δὲ τοῦ συμβεβηκότος παρείληφε πάντα. παρ' οἷς γὰρ ἂν ᾖ στέμφυλα καὶ πρόβατα, ἐξ ἀνάγκης ἐστὶ πολλὰ πάντα.
931 Ἄκορον: ἰατρικὴ ῥίζα.
Σ 932 Ἄκος: ἴασις, θεραπεία. δέονται δὴ παρὰ θεοῦ ἄκους. καὶ Ε αὐτοῖς ἐκπίπτει χρησμὸς λέγων, δεῖν χοὰς τοῖς ἐκδίκως τῶν Αἰτωλῶν τεθνεῶσιν ἐπάγειν.
Σ 933 Ἄκοσμα: ἀπρεπῆ, ἄτακτα.
Etym. 934 Ἀκοστήσας. ἐκ τοῦ ἀκοσταὶ αἱ κριθαί. κριθιάσας· ἢ ἀκολα-
Hom. στήσας κατὰ συγκοπήν· ἢ ἐν ἄχει γενόμενος διὰ τὴν στάσιν· ἢ ἄκος τι
Anth. καὶ βοήθημα τῆς στάσεως ζητῶν. · καὶ ἐν Ἐπιγράμμασι· τὼς τρητὼς δόνακας, τὰν ἀκοστὰν σεῖο κορύναν, ὦ Πὰν δέχνυσο δῶρα τὰ Δάφνιδος.
935 Ἀκοστώσαις ἡμιόνοις δι' ἀργίαν καὶ πλησμονήν. οἱ μὲν
Hom.? γλωσσογράφοι κριθιώσαις· ἀκοστὰς γὰρ λέγειν τὰς κριθὰς ἀπὸ τοῦ ἄκος λαμβάνειν, τουτέστιν ἀνάπαυσιν λιμοῦ καὶ δίψης. ὁ δὲ Ἀριστόνικος ἐν ἄχει γενομέναις. εἴ γε ἐπιφέρει· δεσμὸν ἀπορρήξας θείῃ πεδίοιο κροαίνων. τινὲς δὲ ἄδην πληρωθείς.
Hom. 936 Ἀκουάζεσθε: παρ' Ὁμήρῳ ἀντὶ τοῦ αἰσθάνεσθε, ἐπεὶ ἡ ἀκοὴ ὁδός ἐστι τῆς αἰσθήσεως. ὡς τὸ, οἱ δὲ πληγῆς ἀΐοντες.
Σ 937 Ἀκούει καλῶς: ἀντὶ τοῦ εὐφημεῖται. οὕτως Ἡρόδοτος. ὅτι
Phil. τὸ ἀκούειν γίνεται οὐ κατ' εἴσοδον τοῦ ἐκτὸς ἀέρος εἰς τὸ οὖς, ἀλλὰ κατὰ ἀφὴν πρὸς τὸν ἐγκατῳκοδομημένον ἀέρα ἐν τοῖς ὠσί· τούτου δὲ τεκμήριον τὸ καὶ ἐν ὕδατι ἀκούειν ἡμᾶς, οὐκ εἰσιόντος τοῦ ὕδατος

925 = Ambr. 1096 926 l. = Ambr. 1089 927 = Ambr. 990 cf. H 928 = P, Ba 55, 12; Ameips. fr. 29 (1, 677 K.) 930 — ἀκαλλώπιστος + κορεῖν —καλλωπίζειν = sch. Ar. Nu. 44; ἀκόσμητος—τό = P, Ba 55, 10 932 — θεραπεία = P, Ba 55, 14 δέονται sq. Aelian. fr. 73 933 = P, Ba 55, 15, H 934 — κριθαι cf. Et. M. 51, 14 κριθιάσας—ζητῶν = sch. A in Z 506 cf. Et. M. 51, 10, Ap. S. 20, 14; — κριθιάσας = Ambr. 1062 τὼς sq. Anth. 6, 78, 1, 3 935 — πλησμονήν Iul. ep. 36 οἱ μέν sq. = H v. ἀκοστήσας; Z 507 936 = sch. A ad Δ 343 cf. ad Λ 532; αἰσθάνεσθε = H cf. Apion; Λ 532 937 — Ἡρόδοτος = P, Ba 55, 16, Bk. 77, 21; Ἡρόδοτος cf. Latte, Herm. 50, 377 ὅτι—ἐβλάβησαν Philop. 367, 7—13

925 Z 116 932 Aelian. cf. v. ἐκδίκως, v. χοάς, v. χρησμός 936 Z 114

A(GITSM) 2 ἀκόντιον] ἀντὶ τοῦ ἀ. S 931 om. GITS mg. AM 17 ἐκ—κριθαί om. AGT ss. M; ἀκοσταὶ αἱ κριθαὶ ἐξ οὗ καὶ ἀκοστήσας S 19 τρητὼς AG τρίτως ISM om. T ἀντὶ τοῦ τριτῶς add. mg. I; ἤγουν τοὺς τετρωπομένους ss. M 28 Ἀκούει] Ἀκούειν A

εἰς τὸ οὖς. εἰ γὰρ εἰσέλθοι, φθείρει μὲν καὶ ἐξωθεῖ τὸν ἐγκατῳκοδομημένον ἀέρα, ὃς ὑπηρετεῖ τῇ ἀκοῇ, ἀμέσως δὲ τῆς μήνιγγος ἁπτόμενον βλάπτει αὐτὴν τῇ πληγῇ· καὶ προσέτι ἐναπομένον ἐν ταῖς κοιλότησι φθείρει καὶ βλάπτει τὸ αἰσθητήριον. πολλοὶ οὖν ἐντεῦθεν ἐβλάβησαν. ζήτει ἐν τῷ μήνιγξ πλατύτερον περὶ τῆς ἀκοῆς.

938 Ἀκουΐλία: ὄνομα τόπου.

939 Ἀκούω· γενικῇ, αἰτιατικῇ δέ. πᾶς ὅστις ἀκούει μου τοὺς λόγους τούτους. καὶ, ὁ ἀκούων τὸν λόγον μου καὶ μὴ πιστεύων. τουτέστι διδασκόμενος. ὅτι τὸ ἀκούω, εἰ μὲν σημαίνει τὸ πυνθάνομαι καὶ μανθάνω, μετὰ αἰτιατικῆς συντάσσεται· εἰ δὲ τὸ ἐνωτίζομαι τοῖς ὠσὶ μόνοις, μετὰ γενικῆς. καὶ τοῦ μὲν μανθάνω παράδειγμα τὸ τοῦ θεολόγου Γρηγορίου· ἀκούσατε λόγον ἀνδρὸς οὐ μετρίως τὰ τοιαῦτα πεπαιδευμένου. καὶ ἐν τῷ Ἕστηκαι· τοῦτό με ἵστη κάτω, καὶ εἶναι βέλτιον ἔπειθε φωνὴν ἀκούειν αἰνέσεως ἢ ἐξηγητὴν εἶναι τῶν ὑπὲρ δύναμιν. τοῦ δὲ ἐνωτίζομαι παράδειγμα τοῦ αὐτοῦ θεολόγου. ὡς δὲ ἐγώ τινος ἤκουσα ἀνδρὸς οὐ μετρίως τὰ τοιαῦτα πεπαιδευμένου. καὶ ἄλλα πλεῖστα. Syn.

940 Ἄκουρον: μικόδημε, μοναρχίας ἐραστὰ, καὶ φορῶν κράσπεδα στεμμάτων, τὴν θ' ὑπήνην ἄκουρον τρέφων. Ἀριστοφάνης φησί. Ar.

941 Ἀκουσίθεον: τὸ εἰς θεοῦ ἀκοὰς ἐρχόμενον. ἦν δέ μ' ἀνάψας εὔχηται, λάμψω φέγγος ἀκουσίθεον. Anth.

942 Ἀκουσίλαος· Κάβα υἱὸς, Ἀργεῖος, ἀπὸ Κερκάδος πόλεως, οὔσης Αὐλίδος πλησίον· ἱστορικὸς πρεσβύτατος. ἔγραψε δὲ γενεαλογίας ἐκ δέλτων χαλκῶν, ἃς λόγος εὑρεῖν τὸν πατέρα αὐτοῦ ὀρύξαντά τινα τόπον τῆς οἰκίας αὐτοῦ. Hesy.

943 Ἀκουσίλαος· Ἀθηναῖος ὤν, Ἀγαθοκλείας. οὗτος ἠράσθη λόγων ἐν Ἀθήναις καὶ ἐλθὼν εἰς Ῥώμην ἐπὶ Γάλβα διέτριβεν ἐν λόγοις ῥητορικοῖς. καὶ χρηματισάμενος ἐν τῷ τελευτᾶν κατέλιπεν Ἀθηναίοις δώδεκα μυριάδας ἐκ τόκων. Hesy.

944 Ἀκουτίσαι: διδάξαι. δοτικῇ καὶ αἰτιατικῇ· καὶ ἐπὶ γενικὴν· ἀκουτισθῶμεν πάντες οἱ πιστοὶ συγκαλουμένης. Σ Syn.

945 Ἄκουφις: ὄνομα κύριον. Δ

946 Ἀκκώ: γυνὴ ἐπὶ μωρίᾳ διαβαλλομένη, ἣν φασιν ἐνοπτριζομένην τῇ ἰδίᾳ εἰκόνι ὡς ἑτέρᾳ διαλέγεσθαι. ὅθεν καὶ τὸ ἀκκίζεσθαι. ταύτην φασὶ καὶ σπόγγῳ πάτταλον κρούειν. Prov.

939 — τούτους = An. Ox. 4, 276, 17, Synt. Laur.; πᾶς—τούτους Matth. 7, 24; ὁ—πιστεύων cf. Ioh. 5, 24; vs. 11 ἀκούσατε—πεπαιδευμένου Greg. Naz. PG 35, 705c; τοῦτο—δύναμιν Greg. Naz. PG 35, 484a 940 Ar. Vsp. 474—6 941 ἦν sq. Anth 6, 249, 3—4 944 — διδάξαι = P, Ba 55, 18 945 = Ambr. 908 946 — ἀκκίζεσθαι = Zen. I 53

940 cf v. μικόδημε 941 Z 110 946 ταύτην sq. hinc v. σπόγγος

1 εἰσέλθοι AGIT εἰσέλθῃ SM cf. Philop. 4 οὖν] γοῦν SM 5 ζήτει— ἀκοῆς om. TS mg. post v. 8 διδασκόμενος A post διδασκόμενος GI post 939 M 938 ex M 939 om. TS mg. A (ὅτι sq. in mg. sup.) post 944 G 8 ὅτι] σημαίνει ὅτι A 12 με] μέν A 14 θεολόγου om. M 25 διέτριβεν A διέτριψεν rell. λόγοις] ὀλίγους SM 27 δώδεκα A δέκα rell. 28 δοτικῇ καὶ αἰτιατικῇ om. S post l. AGI ss. M καὶ ἐπί—συγκαλουμένης ex A mg. A(GITSM)

Ar. 947 Ἀκωδώνιστον: ἀντὶ τοῦ ἀπείραστον, ἀβασάνιστον· κωδωνίζαι γὰρ τὸ διαπειραθῆναι. μετῆκται δὲ ἀπὸ τῶν περιπολούντων καὶ κώδωσι διαπειρωμένων, εἰ ἐγρηγόρασιν οἱ ἐπὶ ταῖς φυλακαῖς τεταγμένοι. οἱ δὲ ὑπομνηματισταὶ ἀπὸ τῶν ὀρτύγων φασὶ μετῆχθαι τὴν λέξιν.

Δ 948 Ἀκωκή: ἡ ὀξύτης τοῦ δόρατος, τὸ ὀξὺ τῆς λόγχης. Ἀρρια-
Ε νός· λόγχας δὲ εἶχον παχείας ἐξαπήχεας· ἀκωκὴ δὲ οὐχ ὑπῆν ειδηρέη, ἀλλὰ τὸ ὀξὺ αὐταῖς πεπυρακτωμένον ταὐτὸ ἐποίησεν.

Suid. 949 Ακόλῳ τὰ χείλη οὐ σύκῳ βύσαι.

Δ 950 Ἄκρα: τελεία. ἦκε παρὰ βασιλέως παῖς Αὐγάρου καλὸς καὶ
Ε μέγας καὶ ἐν ὥρᾳ ἄκρᾳ.

Δ 951 Ἀκραγαλίς: ὄνομα ἔθνους.

Σ 952 Ἀκράδαντον: ἀσάλευτον, ἀκίνητον.

Σ 953 Ἄκρα κόρυμβα: τὰ ἀκροστόλια τῶν νεῶν, τὰ ἐξέχοντα κατὰ πρύμναν ἢ πρώραν. ἐν οἷς τὰ σεβόμενα ἐνέγραφον. κόρυμβοι οἱ ἐπὶ τῶν ἀκρεμόνων βοτρυδὸν μετέωροι κόκκοι, ὡς ἐπὶ τῶν κισσῶν ἔχει.

Soph. 954 Ἄκραν ἐπὶ γύαλον: ἐπ' ἄκραν πέτραν.

Hom. 955 Ἄκραντον: ἀπλήρωτον, ἀτελείωτον. τὸν δ' ἔτι μῦθον ἄκραν-
Anth. τον ἐνὶ στομάτεσσιν ἔχοντα πτηνὸς ἐς ἀθανάτους ἥρπασεν ὦκα δόναξ.

Σ 956 Ἀκρασίας: ἀνωμαλίας, παρὰ τὸ μὴ συγκεκρᾶσθαι. Ἰώσηπος·
Ε οἱ δὲ Ῥωμαῖοι διὰ χειρῶν ἀκρασίαν ἁλίσκονται. ἀκρασία καὶ ἀκολασία
Phil. διαφέρει. ἡ μὲν γὰρ κατὰ προαίρεσιν πράττει τὰ αἰσχρά, ἡ ἀκολασία·
Δ ἡ δὲ παρὰ προαίρεσιν. λέγεται δὲ καὶ Ἀκράσιος. οὕτω τε
Ε ἐς πᾶσαν ἀκράσιον ἐκπεπτωκυῖα τρίβον.

Soph. 957 Ἄκρας νυκτός: περὶ πρῶτον ὕπνον. κεῖνος γὰρ ἄκρας νυκτὸς, ἡνίχ' ἕσπεροι λαμπτῆρες οὐκέτ' ἦθον. ὅτε οὐκ ἔφαινον ἔτι οἱ ἑσπέριοι, ἢ ὅτε ἐσβέσθησαν οἱ λύχνοι. καιρὸς γὰρ ἐπιβουλῆς καὶ ἐπιθέσεως τότε.

Δ 958 Ἀκράτεια.

Ar. 959 Ἀκρατιεῖσθε· Ἀριστοφάνης Πλούτῳ· τράγοι δ' ἀκρατιεῖσθε. τουτέστιν ἀπεψωλημένοι ἀκρατιεῖσθε· ἀντὶ τοῦ ὡς τράγοι ἀκρατῆ πράξετε, ἐπεὶ μετὰ τὴν συνουσίαν οἱ τράγοι λείχουσι τὸ αἰδοῖον. τὸ ἄκρον λείξετε ὡς τράγοι.

947 sch. Ar. Lys. 485 948 — ὀξύτης = Ambr. 991 cf. Et. M. 55, 25, H λόγχας sq. Arr. Ind. 24 950 ἦκε sq. Arr. Parth. R. p. 41 951 = Ambr. 972 b 952 = P, Ba 55, 19 cf. H 953 — πρώραν = P, Ba 55, 21 cf. H, sch. I 241 954 Soph. OC 1493 c. sch. 955 — ἀτελείωτον sch. B 138 = Et. M. 52, 8, H v. ἀκράαντον τόν sq. Anth. 7, 92, 3—4 956 — συγκεκρᾶσθαι = P, Ba 55, 27, H οἱ—ἁλίσκονται Ios. Bell. 5, 122 ἀκρασία—προαίρεσιν Alex. Aphr. 121, 29—31 οὕτω sq. Proc. h. a. 15, 9 957 Soph. Ai. 285 c. sch. 958 = Ambr. 1007 959 Ar. Pl. 295 c. sch.

947 Z 112 949 ex 920 950 Z 105 953 Z 111 954 Z 105 956—7 Z 105 957 cf. v. λαμπτῆρας 959 hinc 3113

A(GITSM) 949 om. TM; εἴρηται ἄνω m. rec. in mg. A 8 Ἀκόλῳ τά] Ἀκώλατα S 9 βασιλέως] βασιλέα Gutschmid Αὐγάρου TSM Zon. cf. 3328, 4409, v. Ἑδέσσα, v. ἑλλόβια, v. φυλάρχης, Ἀγβάρου AI cf. 177, Ἀμηγάρου G 14 κόρυμβοι—ἔχει ex GIT; post κόρυμβοι add. γὰρ κυρίως T 19 μὴ om. A 20 ἀκρασία nov. gl. GITS 959 nov. gl. AG

960 Ἀκρατίζω: τὸ ἄκρατον πίνω. καὶ Ἀκρατισαμένη, ἀκράτου Δ
σπάσασα. ἡ δὲ Θεοδώρα ἀκρατισαμένη ἠσυχίαν ἦγεν. ὅτι δεῖπνον, τὸ Σ + E
πρωϊνὸν ἄριστον, ἀκρατισμὸς λέγεται. ζήτει ἐν τῷ δεῖπνον. Suid.
961 Ἀκράτιστα: ἔμβρωμα. Σ
962 Ἀκρατοπότης: ὁ μέθυσος, ὁ τὸν ἄκρατον οἶνον ἁπλήστως Δ
πίνων.
963 Ἄκρατον: διειδῆ, ἀκραιφνῆ. διαρρεῖ δὲ λόγος ἐκ Μακεδό- E
νων, ὃς λέγει, ἀετὸν ἐπιφοιτῶντα καὶ τὰς πτέρυγας ὑποτείνοντα ἀπο-
στέγειν αὐτοῦ καὶ τὴν ἄκρατον ἀκτῖνα ἑαυτὸν ἀπαιωροῦντα καὶ ὅτε
ὗοι, τὸν πολὺν ὑετόν.
964 Ἄκρατος· Ξενοφῶν· πάνυ δὲ ἦν ὁ οἶνος ἄκρατος, εἰ μή τις E
ὕδωρ ἐπιχέοι. καὶ αὖθις· ἡ τρὶς ἐφεξῆς εἰδυῖα ἀκρήτου χειλοποτεῖν Anth.
κύλικα.
965 Ἄκρατος ἡλίου ἀκτίς· τὸν δὲ ἀετὸν τὰς πτέρυγας ὑποτεί- E
νοντα καὶ ἑαυτὸν αἰωροῦντα, ὡς στέγειν τὴν ἄκρατον ἀκτῖνα τοῦ
ἡλίου.
966 Ἄκρατος οἶνος Ἀγαθοῦ Δαίμονος: αἰρομένης τῆς τραπέζης Ar.
μετὰ τὸ δεῖπνον, ἄκρατος οἶνος περιεφέρετο καὶ ἐκαλεῖτο Ἀγαθοῦ
Δαίμονος. οἱ δέ φασι τὸ πρῶτον ποτήριον οὕτω λέγεσθαι. καὶ Δ
Ἀκρατότερος. Δ
967 Ἀκράτου: ὑπερζεούσης. μήποτε ἀλόγιστος ὄχλος δι' ὀργῆς E
ἀκράτου λάβῃ τὴν ἀποτυχίαν.
968 Ἀκράτωρ: ὁ ἀκρατής. ἦν δὲ οἴνου τε ἀκράτωρ καὶ τῶν ΔE
ἄλλων ἡδονῶν. καὶ αὖθις· ἀκράτωρ ἑαυτοῦ ὢν ἐςήλατο ἐς τὸν E
νεών. φιλοχρημάτω τε ἦστην καὶ ἡδονῶν ἀκράτορε. Ἀκρά- E
τωρ, ἀκράτορος, συστέλλει. Δ
969 Ἀκρατῶς: ἐπιτεταμένως, συντόνως. ἱππεῖς ἤλαυνον ἀκρα- Δ
τῶς καὶ ἅμα ἀνεβόων. E
970 Ἀκραιβατηνή: ὄνομα πόλεως. Δ
971 Ἀκραιφνές: καθαρόν, ὑψηλόν, τέλειον. Φάβιος δὲ κατατι- Σ
θέμενος τὴν ἀρχὴν παρήνει τοῖς περὶ τὸν Αἰμίλιον τριβαῖς τοῦ πολέ- E

960 Ἀκρατίζω = Ambr. 1087 et 1093 ἡ—ἦγεν Proc. h. a. 15, 8 961 = Σ[a] cf. P, Ba 55, 28 v. ἀκρατίσμα 962 cf. Ambr. 841—842 963 διαρρεῖ sq. Aelian. fr. 285 964 — ἐπιχέοι Xen. An. 4, 5, 27 ἡ τρὶς sq. Anth. 7, 223, 3—4 965 Aelian. fr. 285 966 — λέγεσθαι sch. Ar. Eq. 85 ἀκρατότερος cf. Ambr. 958 967 μή sq. Dionys. Hal. 8, 54, 4 968 ἦν—ἡδονῶν Iambl.? (Rh. Mus. 45, 283) vs. 24 ἀκράτωρ—νεών Aelian. fr. 50 φιλοχρημάτω—ἀκράτορε Aelian. fr. 90 vs. 25. 26 ἀκράτωρ sq. cf. Ambr. 939 970 = Ambr. 1005 971 — τέλειον = P, Ba 55, 23 Φάβιος sq. Eutrop. 53; Cass. D. attr. Mai Exc. Vat. 2, 689

960 Z 114; ὅτι δεῖπνον sq. ex v. δεῖπνον 961 Z 111 962 Z 100 963 Aelian. cf. 965 et v. Λάγος 964 Xen. cf. v. μύζει 965 cf. 963 968 Aelian. fr. 50 cf. v. ἐςήλατο et v. κυμαίνει

2 ἡ GITM[ac] οὐ ASM[ac] 2 ὅτι—3 δεῖπνον om. T mg. A 4 Ἀκρά- A(GITSM)
τιστα om. A, lac.; κράτισμα ss. M 24 ἐςήλατο M, s. v., ἐςήλλατο AGIT
25 φιλοχρημάτω M φιλοχρημάτων AGIT

μου μακραῖς τὸ ἀκραιφνὲς καὶ ἀκάθεκτον τῆς τοῦ Ἀννίβου κατανα-
λίσκειν φύσεως.

Δ 972 Ἀκραιφνῆ: ἀκραιφνῶς. ἐπίρρημα.

E 973 Ἀκραιφνής· βοήθειά τις παραγίνεται, καὶ ἀκραιφνὴς γινομένη
πολλὴν ἐποίησε τὴν ῥοπήν, τοῖς μὲν Ῥωμαίοις ἐπὶ τὸ ἀθυμότερον,
Thuc. τοῖς δὲ βαρβάροις ἐπὶ τὸ εὐθυμότερον. τουτέστι δυνατή, ὁλό-
κληρος.

Σ 974 Ἀκραιφνοῦς: ἀκηροφανοῦς, οἱονεὶ ἀβλαβοῦς· κὴρ γὰρ ὁ θάνα-
Anth. τος. ἐκ πενίης (ὡς οἶσθα) ἀκραιφνέος, ἀλλὰ δικαίης, Κύπρι ταῦτα
δέχευ δῶρα. ἐν Ἐπιγράμμασιν.

Δ 975 Ἀκραίφνιον: ὄνομα πόλεως.

Σ Anth. 976 Ἀκρεμόνες: βλαστοί, κλάδοι. ἰσόχνοον, ἀκμὴν εὐπετάλοισι,
Δ συμφυὲς ἀκρεμόσιν. ὀξύνεται ἀκρεμὼν ὡς ἡγεμών.

Δ 977 Ἀκρήβης: ὁ νέος.

Δ 978 Ἀκρησία: ἡ ἀκρασία.

Phil. 979 Ἀκριβής· δοκεῖ ἀκριβὲς καὶ τὸ ἀναγκαῖον σημαίνειν. καὶ εἰ
κατασκευάσαι βουλόμεθα, ὅτι πᾶσα ὑπόληψις τοῦ σπουδαίου ἀκριβής.
ἀκριβὴς γὰρ δοκεῖ εἶναι ἡ δι' ἀναγκαίων γενομένη, καὶ ὧν πᾶσα σπου-
δαίου ὑπόληψις ἔχει· γίνονται γὰρ ὑπολήψεις τῷ σπουδαίῳ καὶ περὶ
τῶν ἐνδεχομένων. μεταλαμβάνοντες τὸ ἀκριβὲς εἰς τὸ σαφὲς ἢ εἰς τὸ
ἀληθὲς, εὐκολώτερον τὸ προκείμενον δείξομεν· πᾶσα γὰρ ἡ τοῦ σπου-
δαίου ὑπόληψις σαφής τε καὶ διηρθρωμένη, καὶ ἀληθής. ὁμοίως καὶ
πρὸς τὸν οἰκείαν τινα ὑπόληψιν περί τινος ἐκτιθέμενον, οἷον περὶ
ἡδονῆς, ὁποίαν αὐτῷ εἶναι δοκεῖ, ὁ μὲν λέγων ἀκριβῆ αὐτοῦ τὴν ὑπό-
ληψιν εἶναι οὐδέπω γνωρίμως λέγει· εἰ δὲ τὸ ἀκριβὲς εἰς τὸ σαφὲς
μεταλάβοι, γνώριμον ἂν ὃ λέγει ποιήσειεν. ἔστι δὲ τὸν μὲν σπουδαῖον
φιλοπράγμονα δεῖξαι, μεταλαβόντα τὴν φιλοπραγμοσύνην εἰς πολυ-
πραγμοσύνην· τὸ γὰρ καὶ περὶ τῶν οὐρανίων τε καὶ φύσει συνεστώ-
των ἐτάζειν τε καὶ ζητεῖν πολυπραγμονεῖν ἐστι· τοιοῦτος δὲ ὁ σπου-
δαῖος. τὴν δὲ τοῦ σπουδαίου ὑπόληψιν οὐ σαφῆ, μεταλαμβάνοντας
τὸ σαφὲς εἰς τὸ ἀκριβές· εἰ γὰρ τὸ μὲν ἀκριβὲς ἀναγκαῖον, οὐ πᾶσα
δὲ ὑπόληψις τοῦ σπουδαίου ἀκριβὴς εἴη, ὥστε οὐδὲ σαφής.

E? 980 Ἀκριβής: βέβαιος. ἐλέγετο γὰρ ἀκριβὴς ζηλωτὴς τῆς τοῦ
Σ + x Μάνεντος δόξης. καὶ Ἀκριβοῦς· ἐγνωκέναι τὸ ἀκριβὲς δυνα-

972 cf. Ambr. 1105 973 — εὐθυμότερον Polybio abiudicavit B.-W. 4, 528, 1 δυνατή sq. sch. Thuc. 1, 19 974 — θάνατος = Ba 55, 25, P ἐκ sq Anth. 6, 191, 1—2 975 = Ambr. 1056 976 — κλάδοι = P, Ba 55, 20, H cf. Ambr. 839a ἰσόχνοον ἀκρεμόσιν Anth. 6, 252, 3—4 ὀξύνεται sq. cf. Ambr. 839 977 = Ambr. 855 978 = Ambr. 1019 979 Alex. Aphr. 157, 1—17 980 ἀκριβοῦς—ὁμοίως cf. P, Ba 55, 29

976 Anth. cf. 904 et v. μῆλος 978 + 984 Z 106 977, 979, 980 Z 100

AGITSM) 4 γινομένη A γενομένη rell. 10 δέχευ] δεῦχε A δεύχευ I 12 εὐπετάλοισι] ἐν πετάλοισι S, v. μῆλον 19 τῷ σπουδαίῳ M Alex. τῶν σπουδαίων AGI 20 μεταλαμβάνοντες] μ. δέ M 32 εἴη] ἡ M

μένου. καὶ Ἀκριβοῦν ὁμοίως. καὶ Ἀκριβῶς. θροῦς ἦν, οἷα δὴ οὐκ ἀκριβῶς κοιμωμένων. ἀντὶ τοῦ ἀληθῶς. E?

981 Ἀκριβῶ· αἰτιατικῇ. Synt.

982 Ἀκριβωθήσεται: ἀκριβῶς μελετηθήσεται. Ἀριστοφάνης· οὐδ᾽ ἂν προβαίη τὸν πόδα τὸν ἕτερον, εἰ μὴ ταῦτ᾽ ἀκριβωθήσεται. Ar.

983 Ἀκρίζω: τὸ ἄκρον κόπτω. Δ

984 Ἀκρισία: ἡ ἀδιακρισία· ἡ κακὴ κρίσις. καὶ Λιβάνιος· οὐκοῦν ἀκρισία μὲν ἐν ἀμφοῖν· ἔχει δέ τινα τοὐμὸν φιλανθρωπίαν. καὶ ἄλλο κατὰ μετριασμόν. γυναικός τινος, Δανάης ὄνομα, δυσπειθῶς πρός τινα δίκην ἀπαντώσης, σοφός τις πρὸς αὐτὴν ἀπεφθέγξατο· κρίθητι καὶ σύ· οὐκ εἶ Δανάη ἡ Ἀκρισίου θυγάτηρ. Δ

985 Ἀκρίς: εἶδος ζωϋφίου. ἤσθιε δὲ ἀκρίδας ὁ Πρόδρομος καὶ μέλι ἄγριον, ὅπερ ἀπὸ τῶν δένδρων ἐπισυναγόμενον μάννα τοῖς πολλοῖς προσαγορεύεται. Δ

986 Ἀκρίσιος: ὄνομα κύριον. ὁ ἡμίθεος ἀνήρ. Δ

987 Ἀκρισιώνη: ὄνομα κύριον. Δ

988 Ἄκριτα: ἀχώριστα. Σ

989 Ἀκριτί: ἄνευ κρίσεως. Σ

990 Ἀκριτόμυθος: πολύλογος, ἀκρίτους ἔχων τοὺς λόγους. Σ

991 Ἄκριτος: ἀντὶ τοῦ ἀδιάκριτος. οὕτως Δημοσθένης. Harp.

992 Ἀκριτόφυλλον: σύμφυτον πολλοῖς δένδροις, ὥστε μὴ διακρῖναι αὐτῶν τὰ φύλλα ἃ φέρει. ἢ κατάσκιον. Σ

993 Ἀκροᾶσθαι· γενικῇ. ἀντὶ τοῦ ὑπακούειν. οὕτως Ἀντιφῶν. Harp.

994 Ἀκροατὴς καὶ Ἀκροᾶσθαι: ὁ μαθητὴς καὶ τὸ μανθάνειν. Δαμάσκιος· ὁ δὲ ἠκροᾶτο λόγων γεγηρακότων καὶ σοφίᾳ τινὶ κεκραμένων. καὶ Ἀκροαμάτων, τουτέστιν ἀκουσμάτων. καὶ διαμένει καὶ νῦν παρ᾽ αὐτοῖς πολιτευόμενον τὸ πρᾶγμα, ὥσπερ ἄλλο τι τῶν ἀκροαμάτων, αὐλὸς ἢ κιθάρα, τέρψεως ἕνεκα καὶ ψυχαγωγίας. Δ

995 Ἀκροβελίς: εἶδος ἀκοντίου. Δ

981 = Synt. Gud. cf. Laur. 982 Ar. Eccl. 162 c. sch. 983 = Ambr. 1088 984 ἡ κακὴ κρίσις = Ambr. 1020 οὐκοῦν—φιλανθρωπίαν Liban. ep. 19, 7 986 — κύριον = Ambr. 910 987 = Ambr. 1003 988 = P, Σ^a cf. Ba 55, 32 = sch. Γ 412, Ω 91 989 = P, Ba 55, 30 cf. Ambr. 1103 990 = P, Ba 56, 1 cf. H 991 Harp. = An Ox. 2, 488, 3 , P, Ba 55, 31; Dem. 18, 18 992 = P, Ba 56, 3 993 γενικῇ cf Synt. Gud. ἀντί sq. Harp. = An. Ox. 2, 489, 1, P cf Ba 56, 12; Antiph. fr. 64 994 Ἀκροᾶσθαι cf. Ambr. 1071 ὁ δέ—κεκραμένων Dam. fr. 28 cf. Phot. bibl. 337a 8 καὶ διαμένει sq. Iul. or. 7 p 206a 995 cf. Ambr. 999

982 Z 114 984 fin. cf. v. Δανάη 991 Z 100 993 Z 115 995 Z 100

3 Ἀκριβῶ] Ἀκριβῶς A 8 καὶ ἄλλο—11 θυγάτηρ post 986 S 9 ὄνομα] τοὔνομα S A(GITFSM)
985 post 984 AGIT ante 984 M post 993 S 17 ἀχώριστα] ἀδιαχώριστα F Ba 23 γενικῇ] αἰτιατικῇ A om. S 30 Ἀκροβελίς GITM^{ac} cf. Ba 62, 1 Ἀκρωβελίς AŞM^{ac} cf. Ambr. 998

Σ 996 Ἀκροβολίζεται: τὰ ἄκρα τοῦ σώματος βάλλεται. ἀκρωβελίζω δέ.

ΣΔ 997 Ἀκροβολισμός: ἐρεθισμός. καὶ τὸ ἄκρον βάλλειν. ὁ δὲ
Suid. τῶν βαρβάρων ἡγούμενος ἐγνωμάτευε ἐν τῷ ἀδελφῷ καὶ ἔλεξεν, ὡς ἐγὼ μὲν ἐνέδραν ποιήσομαι, σὺ δὲ χρῶ ἀκροβολισμοῖς καὶ τοξεύμασιν. ἀντὶ τοῦ βουλὰς ἐδίδου καὶ γνώμας.

Σ 998 Ἀκροβόλοι: ἀκοντισταὶ, τοξόται.

Δ 999 Ἀκρογωνιαῖος.

Δ 1000 Ἀκροβυστία: τὸ μὴ περιτετμῆσθαι. περιτομὴ δὲ τὸ περιτετμῆσθαι τὸ ἄκρον.

Σ 1001 Ἀκρόδρυα: καρποὶ δενδρικοὶ, πάντες οἱ τῶν δένδρων καρποί.

E ἐπέρριπτον δὲ αὐτοῖς ⟨ὁ⟩ μὲν κάνδυν, ὁ δὲ ἀκρόδρυα.

Σ 1002 Ἀκροθίνια: αἱ τῶν ἐνιαυσιαίων καρπῶν ἀπαρχαί. ἀκροθίνια δὲ κυρίως καλεῖσθαι τὰς ἀπαρχὰς, ἃς ἀνατιθέασιν οἱ ἐξ ἐμπορίας, παρὰ τὸ ἀπὸ τοῦ θινὸς, τουτέστι τοῦ αἰγιαλοῦ, κεσῶσθαι αὐτά. ἄλλοι δὲ τὰ ἀπὸ τῶν πολέμων, παρὰ τὸ σίνεσθαι ἐν τῷ πολέμῳ πολλοὺς,
Δ τουτέστι βλάπτεσθαι. ἢ τὰ ἄκρα τῶν σωρῶν. ἢ τὰ λάφυρα. ὅτι Ἡρακλείδης ὁ Λύκιος σοφιστὴς ἔφη, Νικήτης ὁ κεκαθαρμένος ἀγνοήσας ἀκροθίνια πυγμαίων κολοσσῷ ἐφαρμόζειν. παροιμία, ἀκροθίνια πυγμαίων κολοσσῷ ἐφαρμόζειν· ἐπὶ τῶν μάτην κοπιώντων.
1003 Ἀκροκορινθία ἔοικας χοιροπωλήσειν· ζήτει ἐν τῷ χοῖρος.

Δ 1004 Ἀκροκελαινιόων: τὸ ἄκρον τοῦ κύματος μελαίνων.

Σ 1005 Ἀκρόκομοι: μετρίως κομῶντες, ἢ λίαν, ἢ τὰ ἄκρα τῆς κεφαλῆς κομῶντες.

Δ 1006 Ἀκροκώλια.

Δ 1007 Ἀκρόλιον: ἀπαρχή· ὥσπερ πρωτόλιον. Πολυξένην κατα-
E? θῦσαι τοὺς Ἕλληνας ἀκρόλιον. καὶ αὖθις· ὅσα ἦν θεοῖς ἀναθήματα
E καὶ ἀκρόλια.

Δ 1008 Ἀκρολοφία: ἡ κορυφὴ τοῦ λόφου, τουτέστι τοῦ βουνοῦ.

Hom. 1009 Ἄκρον ἐπιλίγδην: μεσότητος ἐπίρρημα. ἀντὶ τοῦ ἐπιψαύδην, ὅσον ἐπιψαῦσαι μόνον. καὶ ὅτι ἐν Ἰλιάδι ἅπαξ καὶ ἐν Ὀδυσσείᾳ ἅπαξ.

996 — σώματος = Σ^a ἀκρωβελίζω = Ambr. 1082 **997** — ἐρεθισμός = P, Ba 56, 9 τό—βάλλειν cf. Ambr. 880 **998** = P, Ba 56, 10, H cf. Ambr. 874 **999** cf. Ambr. 889, 977 **1000** cf. Ambr. 1017 **1001** — δενδρικοί = P, Ba 56, 11; οἱ—καρποί = sch. Pl. Critiae 115b ἐπέρριπτον sq. Iambl. fr. 9 **1002** — σωρῶν = P, Σ^a, Ba 56, 14 cf. sch. Eur. Phoen. 203, H, Et. M. 53, 9 λάφυρα cf. H Ἡρακλείδης—ἐφαρμόζειν Philostr. vit. soph. 1, 19 (p. 217, 23—25) **1004** = Ambr. 1065 cf. Et. M. 54, 11, sch. Φ 249 **1005** = P, Ba 56, 26 cf. H **1006** cf. P, Ba 62, 6 **1007** Πολυξένην sq. fort. Aelian. **1009** = sch. A in P 599; χ 278

997—8 Z 100 **997** ὁ δὲ sq. ex v. ἐγνωμάτευε **1001** Iambl. cf. v. σκοταῖος et v. κάνδυλος **1002** Eust. O. 1862, 29. Philostr. hinc v. Νικήτης cf. v. Ἡρακλείδης 2 **1004** Z 115 **1005** Z 101 **1007** Z 111 **1008** Z 106 **1009** hinc v. ἐπιψαύδην; Z 111

A(GITSM) 1 Ἀκροβολίζεται] Ἀκροβελίζεται IT Ἀκροβαλίζεται G ἀκρωβελίζω δέ om. TS mg. A 3 ὁ—6 γνώμας om. TS mg. A post **996** GI 4 ὡς AI om. GM **999** om. S 12 ⟨ὁ⟩ ex v. σκοταῖος, om. omnes 19 κολοσσῷ] κολοσσῶν AS παροιμία - κοπιώντων om. GS mg. A ἀκροθίνια—ἐφαρμόζειν ex mg. A **1003** om. ITS mg. A 26 Ἀκρόλειον (et πρωτόλειον) SM, item 27, 28

1010 Ἀκρόνηον: τὸ τῆς νεὼς ἄκρον. Δ
1011 Ἄκρον λάβε καὶ μέσον ἕξεις: ἐπὶ τῶν δυσφράστων καὶ δυσνοήτων. Prov.
1012 Ἀκρόνυξ: τὸ ἄκρον τῆς νυκτός. καὶ Ἀκρονυχία ὁμοίως διὰ τοῦ ο μικροῦ. Ἀκρώνυξ δὲ καὶ Ἀκρωνυχία, τὸ ἄκρον τοῦ ὄνυχος καὶ τοῦ ὄρους, διὰ τοῦ ω μεγάλου. Δ
1013 Ἀκροῶ· γενικῇ. Synt.
1014 Ἀκροποδιτί: ἄκροις ποσίν.
1015 Ἀκρόπολις· Δαμάσκιος· τὰ γὰρ ἐπιφανέστατα τῶν ὀχυρωμάτων ὡς ἐπίπαν κοινὴν ἔχει τὴν φύσιν. γνοίη δ' ἄν τις τὸ λεγόμενον ἐκ τῶν περὶ τὰς ἀκροπόλεις συμβαινόντων. αὗται γὰρ δοκοῦσι μὲν μεγάλα συμβάλλεσθαι πρὸς ἀσφάλειαν τῶν πολεμίων, ἐν οἷς ἂν ὦσι, καὶ πρὸς τὴν τῆς ἐλευθερίας φυλακήν, γίνονται δὲ καὶ πολλάκις αἴτιαι δουλείας καὶ κακῶν ὁμολογουμένων, ὥς φησι Πολύβιος.
1016 Ἀκροπόλοισιν: ἀκρωρείαις. Σ
1017 Ἀκροστόλια: τὰ ἄκρα τῆς νηός. τὰ δὲ ἐμπρόσθια τῆς σχεδίας ἠρέμα πρὸς τὸ μετέωρον ἐς πρώρας τύπον περιαγαγόντες καὶ ὑποκάμψαντες, ὥσπερ ἀκροστόλια νηὸς καὶ προέμβολα ἐκμιμησάμενοι. καὶ Ἀρριανός· τά τε ἀκροστόλια τῆς βασιλίδος νηὸς χρυσᾶ. Δ E E
1018 Ἀκροσφαλεῖς: ἄκρως ἐσφαλμένους. ὁ δὲ ἐκέλευσε χωρεῖν ἐπὶ τοὺς ἄποδας καὶ ἀκροσφαλεῖς Οὔννους. ἄνευ γὰρ ἵππων οὐ ῥᾳδίως ἂν Οὔννος τὴν γῆν πατήσειεν. Σ E
1019 Ἀκροσφαλεῖς: ἐν τῷ βαδίζειν σφαλλόμενοι. τουτέστιν οἱ Οὔννοι. Φιλοκτήτῃ· ὡς πάντα δεινὰ κἀπικινδύνως βροτοῖς κεῖται· παθεῖν μὲν εὖ, παθεῖν δὲ θάτερα. χρὴ δ' ἐκτὸς ὄντα πημάτων τὰ δεῖν' ὁρᾶν· χὤταν τίς εὖ ζῇ, τηνικαῦτα τὸν βίον σκοπεῖν μάλιστα, μὴ διαφθαρεὶς λάθῃ. Soph.
1020 Ἀκροτελεύτιον ἔπος: κυρίως τὸ ἔσχατον κεφαλαίου τινὸς ποιητικοῦ. χρῶνται δὲ καὶ ἐπὶ τοῦ πεζοῦ. παρὰ δὲ Θουκυδίδῃ, τὸ ἄκρον τοῦ τέλους τοῦ στίχου. καλεῖται δὲ ἄκρον καὶ ἡ ἀρχὴ τοῦ στίχου. Σ Thuc.

1010 = Ambr. 1058 1011 = Zen. I 57 1012 — νυκτός = Ambr. 862, 1000; Ἀκρονυχία cf. Ambr. 1022; Ἀκρώνυξ sq. = Ambr. 861, 1021 1014 = sch. Luc. 263, 11 1015 Dam. fr. 308; Polyb. fr. 4 1016 = P, Ba 59, 24 1017 — νηός cf. Ambr. 1059 τὰ δέ—ἐκμιμησάμενοι Agath. 5, 21 p. 326, 9 Ἀρριανός sq. Parth. R. p. 52, n. 191 1018 — ἐσφαλμένους = P, Ba 57, 3, Σ^a, sch. Pl. Rep. 403 c 1019 ὡς sq. Soph. Phil. 502—6 1020 — ποιητικοῦ cf. P, Ba 59, 26 τὸ ἄκρον sq. sch. Thuc. 2, 17

1012 cf. 1027; Z 166 1014 Z 116 1017 Agath. cf. v. προέμβολα; Arr. cf. v. νοῦς 1018 hinc 3279 1019 Soph. cf. v. θατέρα

8 Ἀκροποδιτί] Ἀκροποδητί T sch. Luc. 12 πολεμίων] πόλεων Kust. Schweigh. οἷς] αἷς Kust. 20 ἐσφαλμένους] ἐσφαλισμένους GI cf. Phot. Ba, Σ^a 23. 24 οἱ Οὔννοι. Φιλοκτήτῃ Kust. φιλόκτητοι οἱ Οὔννοι omnes 27 διαφθαρείς] διαφθαρεῖν S cf. v. θάτερα 30 τέλους] τελευταίου I καί om. A A(GITSM)

Σ 1021 Ἀκρότομος: σκληρὸς, ὑψηλός. ἢ ὀξύτατος λίθος, ὁ τέμ-
Δ νων. καὶ Ἀκρότομος πέτρα, ἡ σκληρὰ καὶ ἄτμητος. Ἀκρό-
τομον δὲ ὄρος, τὸ δυνατὸν, παρὰ τῷ Ἰῶβ. ἐν Αὐρασίῳ τῷ
Ε ὄρει πέτρα ἀκρότομος ἦν κρημνῶν μέσον ἀνέχουσα· ὃ δὴ πύργον οἱ
πάλαι ἄνθρωποι βραχὺν κομιδῇ ποιησάμενοι καταφυγήν τινα ἰσχυρὰν 5
καὶ ἀμήχανον τῆς τοῦ χωρίου φύσεως σφίσι ξυλλαμβανούσης ἐδείμαντο.
1022 Ἀκροφυσίων λόγους· ζήτει ἀπ' ἀκροφυσίων λόγους ἐνδεικνύναι.
Σ 1023 Ἀκροχειρίζεσθαι: πυκτεύειν ἢ παγκρατιάζειν πρὸς ἕτερον
ἄνευ συμπλοκῆς, ἢ ὅλως ἄκραις ταῖς χερσὶ μετ' ἄλλου γυμνάζεσθαι.
Ε? καὶ Ἀκροχερσίτης οὕτω καλούμενος. λαμβανόμενος γὰρ ἄκρων τῶν 10
χειρῶν τοῦ ἀνταγωνιστοῦ ἔκλα καὶ οὐ πρότερον ἠφίει, πρὶν αἴσθοιτο
ἀπαγορεύσαντος. ἦν δὲ καὶ Λεοντίσκος, Μεσσήνιος ἐκ Σικελίας, παρα-
Δ πλησίως ἀγωνιζόμενος· οὗτος δὲ ἐπάλαιε. καὶ Ἀκροχειρὶς,
τὸ ἄκρον τῆς χειρός.
Δ 1024 Ἀκρόχολος: ὁ πρὸς ὀλίγον ὀργιζόμενος. Ἀκρόχωλος δὲ, 15
διὰ τοῦ ω μεγάλου, ὁ πρὸς ὀλίγον χωλεύων.
Δ 1025 Ἀκρωλένιον: τὸ ἄκρον τῆς χειρός.
Hesy. 1026 Ἄκρων· Ἀκραγαντῖνος, ἰατρὸς, υἱὸς Ξένωνος, ἐσοφίστευσεν ἐν
ταῖς Ἀθήναις ἅμα Ἐμπεδοκλεῖ· ἔστιν οὖν πρεσβύτερος Ἱπποκράτους.
ἔγραψε Περὶ ἰατρικῆς Δωρίδι διαλέκτῳ, Περὶ τροφῆς ὑγιεινῶν βιβλίον 20
α'. ἔστι δὲ καὶ οὗτος τῶν τινα πνεύματα σημειωσαμένων. εἰς τοῦ-
τον ἐποίησεν Ἐμπεδοκλῆς τωθαστικὸν ἐπίγραμμα· ἄκρον ἰατρὸν Ἄκρων',
Ἀκραγαντῖνον, πατρὸς ἄκρου, κρύπτει κρημνὸς ἄκρος πατρίδος ἀκρο-
τάτης. τινὲς δὲ τὸν δεύτερον στίχον οὕτω προφέρονται· ἀκρο-
τάτης κορυφῆς τύμβος ἄκρος κατέχει. τοῦτό τινες Σιμωνίδου φασὶν 25
εἶναι.
Δ 1027 Ἀκρώνυξ: τὸ ἄκρον τοῦ ὄνυχος καὶ τὸ ἄκρον τοῦ ὄρους. καὶ
Ε Ἀκρωνυχία ὁμοίως. ὁ δὲ φυλακῇ τινι ἐπὶ τῆς ἀκρωνυχίας
Δ ἐντυχὼν, ταύτῃ αἰφνιδίῳ προσβολῇ ἐτρέψατο. ἔστι δὲ καὶ
Ε Ἀκρωνυχία, ἡ ἀκρώρεια τοῦ ὄρους. καὶ Ξενοφῶν· ἐπεὶ δὲ 30
ἑώρα Χειρίσοφος προκατειλημμένην τὴν ἀκρωνυχίαν τοῦ ὄρους, ἀφ'
ἧς ἡ κατάβασις ἦν εἰς τὸ πεδίον. ἐνδοτέρω χωρούντων ἀκρωνυχία
Ε ὄρους ἐπανίστατο.

1021 — ὑψηλός = P, Ba 59, 25 ὀξύτατος—σκληρά cf. H Ἰῶβ 40, 15 ἐν Αὐρασίῳ sq. Proc. bell. 4, 20, 23 1023 — γυμνάζεσθαι Tim. = P, Ba 60, 1, sch. Pl. Alc 107e, sch. in Aristot. Eth. (An. Par. 1, 191) ἀκροχερσίτης—ἐπάλαιε Paus. Per. 6, 4, 1 ἀκροχειρίς = Ambr. 997 1025 cf. Poll. 2, 140 1026 εἰς τοῦτον sq. Laert. 8, 65 1027 cf. ad 1012 Ξενοφῶν—πεδίον Xen. An. 3, 4, 37

1021 Z 101 1023 Paus. cf. v. Σώστρατος et v. Λεοντίσκος 1025 Z 112 1027 cf. 1012

A(G)ITSMB) 1022 ex M 12 Σικελίας] Σικέων AS 16 διά—μεγάλου om. SM 22 ἄκρον S ἄκρων rell. Ἄκρων' Laert. Ἄκρον ASM ἀντὶ τοῦ Ἄκρωνα Ἄκρον GIT 23 Ἀκραγαντῖνον IT Ἀκραγαντίνων rell. 24 προφέρονται AM προφέροντες GI προφέρουσι T 28 ὁ—33 ἐπανίστατο om. SM 29 ταύτῃ AGI ταύτην B δὲ καὶ A δέ GITB 31 τοῦ—32 ἀκρωνυχία om. A

1028 Ἀκρώρεια: ἐξοχὴ, κορυφή. εἰς τρία γὰρ διήρητο τὸ ὄρος, Σ εἰς ἀκρώρειαν, εἰς ὑπώρειαν, εἰς τέρμα. ἀκρώρεια μέν ἐστιν ἡ κορυφή, ὑπώρεια δὲ τὰ πλευρὰ τοῦ ὄρους, τέρμα δὲ τὰ τελευταῖα. καὶ πόδες.

1029 Ἄκρος: ἀντὶ τοῦ τέλειος. εἰς ἄκρον ἐληλακώς. Ἄκρως Hesy. δὲ ἐπίρρημα. Δ

1030 Ἀκρωτηριάζω· αἰτιατικῇ. τέμνω τὰ ἄκρα. καὶ Ἀκρωτη- Δ ριασμός.

1031 Ἀκρωτήριον. Δ

1032 Ἀκταίη: ἡ παραθαλαssία. ἐν Ἐπιγράμμασι· δῶρα παρ' Δ ἀκταίης σοὶ τάδ' ἐπωφελίης. καὶ αὖθις· καὶ βατράχων ὅμιλον εἶδον Anth. ἀκταίων.

1033 Ἀκταίνειν: ἀκολασταίνειν. γαυριᾶν καὶ ἀτάκτως πηδᾶν, ἢ πρὸς συνουσίαν ὁρμᾶν. Σ

1034 Ἀκταίων: Ἀκταίωνος, ὄνομα κύριον. καὶ Ἀκταιονίδων. Δ τῶν Ἀκταιονίδων ἐσσὶ μία σκυλάκων. ἐν Ἐπιγράμμασι. Ἀκταιονίδων Anth. διὰ τὸ ο μικροῦ διὰ τὸ μέτρον.

1035 Ἀκτή: αἰγιαλὸς παραθαλάσσιος. Σ

1036 Ἀκτή: ἰδίως ἐπιθαλαττίδιός τις μοῖρα τῆς Ἀττικῆς, ὅθεν καὶ ὁ Harp. Ἀκτίτης λίθος. ἐκάλουν δὲ οὕτως καὶ τὴν Ἀττικὴν, οἱ μὲν ἀπό τινος Ἀκταίωνος βασιλέως, οἱ δὲ διὰ τὸ τὴν πλείω τῆς χώρας ἐπιθαλάττιον εἶναι.

1037 Ἄκτια: ἀγὼν παλαιὸς, ὡς Καλλίμαχος ἐν τῷ περὶ τῶν Ἀγώνων δῆλον ποιεῖ. Harp.

1038 Ἀκτίτης λίθος· ἄνω ἐν τῷ ἀκτή.

1039 Ἀκοινώνητος: ὁ ἀκριβής. Δ

1040 Ἀκοίτης: ἀρσενικῶς ὁ ἀνήρ. Ἀκοιτις δὲ θηλυκῶς, ἡ γυνή. Δ καὶ τὸ πληθυντικὸν τὰς ἀκοίτις.

1028 — τελευταῖα = Σ[a], Ba 59, 29, P cf. H **1029** ἄκρως sq. = Ambr. 1112 **1030** αἰτιατικῇ = Synt. Gud. cf. Laur. τέμνω τὰ ἄκρα cf. H v. ἀκρωτηριάσας ἀκρωτηριασμός cf. Ambr. 882 **1031** cf. Ambr. 1061 **1032** — παραθαλαssία cf. H δῶρα—ἐπωφελίης Anth. 6, 33, 2 καὶ βατράχων sq. Babr. 25, 6 **1033** γαυριᾶν sq. = P, Ba 60, 8 cf. sch. Pl. Leg. 672c; γαυριᾶν—πηδᾶν Tim. **1034** — κύριον = Ambr. 903, 929 τῶν—σκυλάκων Anth 7, 206, 2 **1035** = Σ[a], P cf. H, Ambr. 1001 **1036** Harp. = Ba 60, 4; ἀκτίτης λίθος Soph. fr. 65 **1037** Harp. = P, Ba 64, 11; Call. fr. 1 S. **1040** — γυνή = Ambr. 857, 996 cf. Et. M. 50, 7

1028 hinc v. τέρμα et v. ἐπώρεια; Eust. O. 1862, 21 **1029** Z 101; εἰς ἄκρον ἐληλακώς cf. v. B 150 init., v. Διονύσιος ὁ Ἀρεοπαγίτης init., Byz. Zt. 23, 13 **1030** Z 115 **1032** Z 107 **1033** Z 115 **1034** Anth. cf. **1292**, **2175** **1039—40** Z 101

1 διήρητο] διήρηται T διήρετο S 5 ἐληλακώς] ἐληλακός A[ec] Zon. A(G)ITSM 5. 6 ἄκρως δὲ ἐπίρρημα mg. A ἐπίρρημα] ἐπιρρηματικόν A ἐπιρρηματικῶς M 15 ὄνομα κύριον om. SM 16 Ἀκταιονίδων—μέτρον om G mg. AIM 20 ἐκάλουν] ἐκάλει A **1038** om. GITS mg. praem. Ἀκτίτι A 26 ἀκριβής] ἀτριβής Papabasil. Athena 1, 227 28 καί—ἀκοίτις om. S

Hesy. 1041 Ἀκύλας· φιλόσοφος. σχόλια λογικὰ γεγραφὼς περὶ συλλογισμῶν.

Hesy. 1042 Ἀκύλας· γραμματικὸς, μουσικός.

E? 1043 Ἀκυληῖα: πόλις Ἰταλίας πολυάνθρωπος, προκειμένη ἐν θα-
Δ λάττῃ. καὶ Ἀκυληῖσιοι, οἱ πολῖται.

Δ 1044 Ἀκύλλιος· ὄνομα κύριον.

Σ 1045 Ἄκυλος: τῆς πρίνου ὁ καρπός. Ἔκυλος δὲ εἶδος βο-
Δ τάνης.

Σ 1046 Ἀκύμονα: ἀτάραχον. καὶ Ἀκύμων, μὴ γεννῶσα, ὡς ἐγκύ-
Δ μων ἡ συνειληφυῖα. καὶ Ἀκυμότερος.

Σ 1047 Ἅλα: θάλασσαν.

1048 Ἀλλά: ἀντὶ τοῦ ὅταν δὲ καὶ ἀντὶ τοῦ γε.

Δ? 1049 Ἅλα: τὰ κόπρια. ἐν Ὀδυσσείᾳ· οὐ σύ γ' ἐξ οἴκου σῷ ἐπιστάτῃ οὐδ' ἄλα δοίης.

Harp. 1050 Ἀλαβαστοθήκας: τὰς θήκας τῶν ἀλαβάστων Δημοσθένης λέγει. ἐν τῇ συνηθείᾳ μυροθήκας καλοῦσιν. ἀλάβαστοι δέ εἰσι λήκυ-
Ar. θοι, ὧν οὐκ ἔστι λαβέσθαι διὰ λειότητα. Ἀριστοφάνης· ἐς τὸν ἀλάβαστον κύαθον εἰρήνης ἕνα. ὡσεὶ ἔλεγε κοχλιάριον ἕν.

Σ 1051 Ἀλάβαστρον: ἄγγος μύρου μὴ ἔχον λαβὰς λιθίνου ἢ λίθινος μυροθήκη.

Σ 1052 Ἀλλὰ γάρ: ἀντὶ τοῦ δέ. Εὔπολις. Ἀλλὰ γὰρ ἀθυ-
Prov. μοῦντες ἄνδρες οὔ ποτε τρόπαιον ἔστησαν: ἡ παροιμία ἐπὶ τῶν δι' ἀθυμίαν μηδὲν γενναῖον πράττειν δυναμένων.

Soph. 1053 Ἄλλα δ' ἀλλαχοῦ καλά: παρόσον τὰς Εὐμενίδας ἄλλοι ἄλλως καλοῦσιν. ἄλλα οὖν ὀνόματα παρ' ἄλλοις καλὰ νομίζονται, παρ' ἡμῖν δὲ ταῦτα, τὸ ὀνομάζειν αὐτὰς Εὐμενίδας κατ' εὐφημισμόν, τὰς Ἐριννύας.

1054 Ἄλλαγμα· ὁ προφήτης φησί· καὶ οὐκ ἦν πλῆθος ἐν τοῖς ἀλαλάγμασιν ἡμῶν.

Synt. 1055 Ἀλαζονεύεσθαι· γενικῇ.

Δ 1056 Ἀλαζονεία: ὑπερηφανία. Πολύβιος· τοῖς γὰρ πλείστοις
E ὑπεγεγόνει τις ζῆλος οὐκ εὐτυχὴς ἐκ τῆς τῶν ἄλλων ἀλαζονείας καὶ ἀκαι-

1043 — θαλάττῃ Herodian. hist. 8, 2, 3 (ɔ: Io. Antioch.) 1044 = Ambr. 898 1045 — καρπός = P, Ba 64, 6, Phryn. p. 36, 13, sch. κ 242, Ap. S. 19, 20, H 1046 — συνειληφυῖα = P; — ἀτάραχον = H, Ba 54, 32; ἀκύμων—συνειληφυῖα = Σ^a, Ba 64, 3 ἀκυμότεροι cf. Ambr. 959 1047 = Σ^a, P, H, Ba 64, 18 1048 — δέ cf. sch. Pl. Min. 316a, Ba 67, 23 1050 — λειότητα Harp. = Ba 65, 31, P; Dem. 19, 237 ἐς sq. Ar. Ach. 1053 c. sch. 1051 = Σ^a, Ba 64, 19 cf. H 1052 — Εὔπολις (fr. 68) = P, Ba 68, 1 ἀλλὰ γὰρ ἀθυμοῦντες sq. = Paroem. ed. Gsf. 18, n. 187; — ἔστησαν Pl. Critias 108c 1053 Soph. OC 43 c. sch. 1054 καί sq. Ps. 43, 13 1055 cf. Synt. Laur. 1056 — ὑπερηφανία = Ambr. 1347 τοῖς—ἀκαιρίαις Polyb. 11, 8, 4

1043 Z 107 1044 Z 101 1045 hinc v. ἔκυλος; Z 102 1048 Z 139 1049 Z 130 1053 hinc v. Εὐμενίδες 1056 Polyb. cf. v. Ζηλοτυπία

A(GITSM) 1 σχόλια] σκόλια A 12 γε] γάρ Drachm. 19 ἔχον GTM ἔχων AIS λιθίνου] λίθινον MBa 22 ἔστησαν S Pl. Paroem. ἐστήσαντο rell. 1054 om. GITS mg. A 28 προφήτης M ἀρτ A ἀλαλάγμασιν A ἀλλάγμασιν M

ρίας. παρὰ δὲ τῷ Ἀποστόλῳ τοὺς ἐφ' οἷς οὐκ ἔχουσιν αὐχοῦντας, ὡς ἔχοντας, ἀλαζόνας νοητέον. καὶ Ἰώσηπος· ἦν γὰρ αὐτοῖς ἀλα- E
ζονεία, ὡς ἐπ' ἀγαθοῖς καιομένης τῆς πόλεως.

1057 Ἀλαζών: πλάνος, ὑπερήφανος, ψευδής. παρὰ τὸ ἐν ἄλῃ ζῆν. Σ+Δ

καὶ Ἀλαζονοχαυνοφλύαρος, ὁ μέθυσος καὶ λῆρος. ἢ Ἀλα- Prov.
ζών, ἄλλως ζῶν; ὁ ἔστι ματαίως. ἰδίως δὲ ἀλαζόνας τοὺς ψεύστας ἐκάλουν, ἐπεὶ λέγειν ἐπαγγέλλονται περὶ ὧν μὴ ἴσασιν. Ar.

1058 Ἀλαζών: ὁ ἀλώμενος. οὕτως Ἀλκαῖος. Πλάτων δὲ ἀλαζόσιν, Σ
ἀντὶ τοῦ ψεύσταις. ἢ Ἀλαζών, ὁ μείζονα τῆς ἑαυτοῦ ἀξίας κομπάζων καὶ φρονῶν. ὁ δὲ πρὸς ἕκαστον τῶν προσιόντων ἠλα- Ar.
ζονεύετο, συμπλάττων ἀπὸ τῶν εἰκότων.

1059 Ἀλαλαγμός: ἐπινίκιος ὕμνος. ἢ φωνὴ ὑπὸ τῶν θαρραλεω- Σ
τέρων κατὰ τῶν δειλιώντων. Ἀλαλαγμὸς οὖν ὕψωμα φωνῆς. καὶ Thdr.
δοτικῇ Ἀλαλάξατε, κροτήσατε. Ps. + Synt.

1060 Ἀλαλαλαὶ ἰὴ παίων: ἐπιφώνημα χοροῦ. Ar.

1061 Ἀλάλημαι: τεθορύβημαι, πεπλάνημαι. καὶ Ἀλαλύκτημαι Δ
ὁμοίως.

1062 Ἀλαλητόν: θόρυβον. κατὰ πλεονασμὸν τοῦ ἐπιτατικοῦ α. Σ+Hom.

1063 Ἀλαλκεῖν: ἀποδιῶξαι, ἀποσοβῆσαι. τί φθιμένοις στοναχεῦ-
μεν ἐφ' υἱάσιν; ἡνίκ' ἀλαλκεῖν τῶν παίδων ἀΐδην οὐδὲ θεοῖς δύναμις. Anth.

1064 Ἄλλα μὲν ὁ Λεύκωνος ὄνος φέρει, ἄλλα δὲ Λεύκων. Prov.

1065 Ἀλανεία: ἡ ἀλαζονεία.

1066 Ἀλλ' ἀντέπεσε τὴν ἐπ' ἄγκυραν θεός: ἐπὶ τῶν παρ' ἐλπίδα Prov.
γενομένων. παρόσον οἱ ναῦται πολλάκις ἡγούμενοι ἄγκυραν βάλλειν ἢ προσορμιεῖσθαι εἰς τοὐπίσω ἔπλευσαν.

1067 Ἀλλαντοπώλης: ὁ εἴδη ἐντέρων πωλῶν, ἐντεροπώλης. ἀλλᾶς γὰρ Δ
τὸ ἔντερον, ἀλλᾶντος. ἀντὶ τροπαίου ἔστησαν τῷ στρατηγῷ σημεῖον. E
ἀλλᾶντάς τε αὐτοῦ ἀποκρεμάσαντες τοῖς πολεμίοις σὺν γέλωτι ἐπετώ-
θαζον. Ἀριστοφάνης· ἤρα φαγεῖν ἀλλᾶντας ἐξ Ἀπατουρίων. Ἀπατούρια Suid.
δὲ ἑορτὴ δημοτελὴς ἀγομένη παρ' Ἀθηναίοις.

1056 παρά—νοητέον = Oecum. in Rom. 1, 30, PG 118, 348d ἦν γάρ sq. Ios. bell. 6, 364 1057 — ζῆν cf. H; ὑπερήφανος = Σ^{a}, Ba 65, 3, P; παρά—ζῆν cf. Et. M. 55, 42, Eust. O. 1783, 37 (= Schwabe p. 227) ἀλαζονοχαυνοφλύαρος—λῆρος = Philol. Suppl. 6, 258, n. 92 ἄλλως ζῶν = Et. Gud. ἰδίως sq. sch. Ar. Nu. 102 1058 — ψεύσταις = Ba 65, 5; Alc. com. fr. 31 (1, 769 K.); Pl. Phaed. 92e ἀλάζων alt.—φρονῶν sch. Ar. Eq. 269 ὁ δέ sq. Dam. fr. 203 1059 — ὕμνος = P, Ba 64, 22, H φωνή—δειλιώντων Thdr. in Ps. 26, 6, PG 80, 1053a ἀλαλαγμός alt.—κροτήσατε = An. Ox. 2, 428, 26—27; δοτικῇ = Synt. Gud. cf. Laur. 1060 Ar. Av. 1763 c. sch. cf. Ar. Lys. 1291 1061 cf. Ap. S. 22, 32, Et. M. 56, 20 et 40, H, sch. K 94, Ambr. 1427 1062 sch. Δ 436 (ἀλαλητός) cf. Et. M. 55, 50; — θόρυβον = P, Ba 64, 23 1063 τί sq. Anth. 7, 8, 7—8 1064 = Diogen. II 21 1066 = Cohn Z. d. Paroem. p. 74 1067 ἀντί—ἐπετώθαζον Proc. bell. 2, 18, 26

1056 Oecum. Z 124 1058 Dam. cf. v. εἰκότων 1067 — ἀλλᾶντος cf. 1076; Ἀριστοφάνης sq. ex 2940

6 ἀλαζόνας—7 ἴσασιν om. A 1058 om. S, non nov. gl. A 13 ἀλαλαγμός— A(GITSM)
14 κροτήσατε om. S 14 δοτικῇ ex A 16 πεπλάνημαι om. M 18 ἐπιτατικοῦ α AGIT α ἐπιτατικοῦ SM sch. 1064 post 1066 SM 21 φέρει post Λεύκων M 1065 om. GIS mg. AM post 1067 T 22 Ἀλανεία] Ἀλαεία A 1066 non nov. gl. GITS 29 Ἀριστοφάνης—30 Ἀθηναίοις om. S

Soph. 1068 Ἀλλὰ νῦν· ὦ θεοὶ πατρῷοι συγγένεσθ' ἀλλὰ νῦν. ἀντὶ τοῦ διὰ τάχους ἡ τραγῳδία φησί.

E 1069 Ἀλλαξάμενος· Ἀππιανός· ὅτι πατρίδα καὶ γένος ἀλλαξάμενος ἥκοι τὸ μηδὲν ἡγησάμενος ἢ τὰ τῶν Οὐολούσκων ἀντὶ τῆς πατρίδος αἱρήσεσθαι βουληθείς.

1070 Ἀλλαξάμενος: προτιμήσας. ὑπὲρ τοῦ κέρδους ὁ κακοδαί-

E μων τὴν πήρωσιν ἀλλαξάμενος· καὶ ἦν παράδειγμα καὶ παίδευμα πᾶσιν ὥστε μὴ τολμᾶν μηδὲ κερδαίνειν παραπλήσια.

Hom. 1071 Ἀλαός: ὁ τυφλός. κατὰ στέρησιν τοῦ λάειν, ὅ ἐστι βλέπειν. καὶ Ἀλαοσκοπιήν. Ὅμηρος· οὐδ' ἀλαοσκοπιὴν εἶχε. παροιμιακῶς· ἀντὶ τοῦ οὐ τυφλῶς ἐσκοπίαζεν.

Δ 1072 Ἀλαοτόκος: ὁ τυφλὰ γεννῶν.

Ar. 1073 Ἀλλ' ἅπαν γένοιτ' ἂν ἤδη· τὴν παροιμίαν δ' ἐπαινῶ τὴν παλαιάν. ὑπὸ λίθῳ γὰρ παντί που χρὴ μὴ δάκῃ ῥήτωρ ἀθρεῖν. ἡ δὲ παροιμία· ὑπὸ παντὶ λίθῳ σκορπίος εὕδει· φυλάσσεο.

Σ 1074 Ἀλαπάξαι: πορθῆσαι, κενῶσαι, ὁμαλίσαι. ἀπὸ μεταφορᾶς λαπάθου βοτάνης, κενωτικῆς γαστρός.

1075 Ἀλλαρίοις: σιτηρεσίοις. ὁ δὲ Μακεδόνιος συνέταξεν ἐκκλησιαστικοῖς ἀλλαρίοις ἀποτρέφεσθαι.

Δ 1076 Ἀλλᾶς, ἀλλᾶντος: εἶδος ἐντέρου ἐσκευασμένου. καὶ Ἀλλαντοπώλης, ὁ ταῦτα πωλῶν.

Prov. (Σ) 1077 Ἅλας ἄγων καθεύδεις: ἐπὶ τῶν ἐν μεγάλῳ κινδύνῳ καθευδόντων καὶ ῥᾳστωνευομένων. ἐμπόρου γάρ τινος τὴν ναῦν ἁλῶν πληρώσαντος, τὴν ἀντλίαν ἐπαναβῆναι καὶ ἐκτῆξαι τοὺς ἅλας. ὅθεν καὶ ἡ παροιμία, ἁλῶν δὲ φόρτος, ἔνθεν ἦλθεν, ἔνθ' ἔβη.

Ar. 1078 Ἅλας θυμίτας: ἐκ θύμων κατασκευασθέντας. καὶ ἑτέρα

Prov. παροιμία· Ἅλασιν ὗει, ἐπὶ τῆς ἄγαν εὐθηνίας.

Hom. | 1079 Ἅλαστε: ἀνεπίληστε. τέκνον ἐμὸν ἄλαστον.

Δ 1080 Ἀλαστήσειεν: ἀνεπιλήστως δεινοπαθήσειεν.

Ar. 1081 Ἀλλ' ἔστιν ἡμῖν Μεγαρική τις μηχανή: ἀντὶ τοῦ πονηρά, πανοῦργος μηχανή. διεβάλλοντο γὰρ ἐπὶ πονηρίᾳ οἱ Μεγαρεῖς, ἄλλα μὲν λέγοντες, ἄλλα δὲ ποιοῦντες.

1068 Soph. El. 411 c. sch. 1069 App. It. fr. 4 1070 ὑπέρ sq. Aelian. fr. 62 1071 — βλέπειν = Et. M. 57, 7 cf. Ap. S. 21, 30; — τυφλός sch. θ 195 = Ambr. 1174, H; ἀλαοσκοπιήν sq. K 515 c. sch. A 1072 l. = Ambr. 1162a 1073 Ar. Th. 528—30 c. sch. 1074 = Ba 64, 25; — ὁμαλίσαι = P, Σ^{a} cf. H, Apion; λαπάθου sq. cf. Et. M. 57, 17 1077 = Zen. I 23 + II 20; — παροιμία = P 1078 — κατασκευασθέντας Ar. Ach. 1099 c. sch. ἅλασιν sq. = Philol. Suppl. 6, 258 n. 91, H 1079 — ἀνεπίληστε sch. X 261 cf. sch. α 342, Ap. S. 22, 29 τέκνον sq. cf. Call. h. Pall. 87 1080 cf. sch. M 163 = Ambr. 1433, H 1081 Ar. Ach. 738 c. sch.

1068 cf. v. συγγένεσθε 1070 Z 134 1071 hinc v. λάειν 1073 ὑπὸ παντί sq. cf. v. 1074 cf. v. λάπαθον 1075 Z 130 1076 cf. 1067; Z 117 1077 cf. 1881 1079 Z 116 1081 cf. v. Μεγαρικαὶ σφίγγες

A(GITSM) 1069 om. S ante 1068 M 12 ὁ—γεννῶν om. A 1073 om. S, non nov. gl. AT 22 ἐπὶ] παροιμία ἐπὶ SM 27 ἅλασιν] ἁλᾶσιν Schottus ὗει Bas. Paroem. Hes. ὕεια omnes 1079 om. M 1081 nov. gl. M

1082 'Αλάστωρ: πικρὸς καὶ φονικὸς δαίμων, τιμωρῶν, καὶ ἀνεπίληστα ἔργα ποιῶν. ὁ δὲ ἔγραφε πικρῶς καὶ παραστατικῶς ἀλάστορας ἀποκαλῶν καὶ παλαμναίους διὰ τῆς ἐπιστολῆς, εἰ οὕτως αἰσχρῶς προήσονται τοὺς τόπους, μηδὲν παθόντες ἢ ἰδόντες κακόν. ἢ 'Αλάστωρ, ὁ τοιαῦτα τολμήσας, ὧν μή ἐστιν ἐπιλαθέσθαι. Harp. Δ + Σ E

1083 'Αλᾶται: πλανᾶται, ῥέμβεται. Σ

1084 'Αλλὰ ταῦτα μὲν ῥείτω κατ' οὖρον σοὶ δ' ἐγὼ φράζω κακὸν πρὸς ἄλλον εἶναι, πρὸς δέ μ' ἀψευδεῖν ἀεί. Soph.

1085 'Αλλαχῆ: ἀλλαχοῦ. Δ

1086 'Αλλάχθητε: ἀντὶ τοῦ διαλλάχθητε. Σοφοκλῆς. Σ

1087 'Αλλὰ χρή: ἔστω. τοῦτο δηλοῖ συγκατάθεσιν· οἷον καὶ μάλα. Σ

1088 'Αλλαχοῖ καὶ 'Αλλαχόσε: τὸ εἰς τόπον, 'Αλλαχοῦ δὲ καὶ 'Αλλαχόθι τὸ ἐν τόπῳ. Σ

1089 Ἄλβα: οἱ μάργαροι. Δ

1090 'Αλβανοί: ὄνομα ἔθνους Γαλατῶν. τούτων φασὶ τὴν γῆν εὐδαίμονα καὶ καρποὺς ἐνεγκεῖν οὖσαν ἀγαθήν, οἶνον ἡδὺν καὶ πολὺν ἔχουσαν.

1091 Ἄλβιος: ὄνομα κύριον. Ἄλβιος ἐς τὴν ἱππάδα τελῶν, τὴν 'Αντωνίου θεραπεύων καὶ ὑπαικάλλων ἅμα φάτνην. Suid. Σ

1092 Ἄλγεα: κακά, λυπηρά. Δ

1093 'Αλγεινόεις: ὁ λυπηρός. καὶ 'Αλγεινός. Δ

1094 'Αλγεῖν τοῦ πονεῖν διαφέρει. ἀλγεῖν μὲν κατὰ σάρκα, πονεῖν δὲ τὸ ἐνεργεῖν.

1095 'Αλγηδόνες. Δ

1096 'Αλγηρά: τὰ λυπηρά. Δ

1097 Ἄλγησις: ἡ λύπη. 'Αριστοφάνης ἐν Θεσμοφοριαζούσαις· Δ
ὦ πρέσβυ, πρέσβυ, τοῦ φθόνου τὸν ψόγον ἤκουσα· τὴν δὲ ἄλγησιν οὐ παρεσχόμην. ἀντὶ τοῦ οὐκ ἐλυπήθην. Ar.

1098 Ἄλγητον καὶ 'Ανάλγητον. Δ

1099 'Αλγίστατον· τοῦτο δ' ἐς ἀλγίστατον ἡμῖν. Ar.?

1100 'Αλγύνω· δοτικῇ. 'Αλγῶ σοι καὶ τὸ 'Αλγῦνον. Synt.

1101 'Αλδήσκος: ὄνομα ποταμοῦ. Δ

1082 πικρὸς δαίμων = H; φονικός—ποιῶν = Σ^{a}, P cf. Ba 65, 7 ὁ δέ—κακόν [Polyb.] fr. 98 ἀλάστωρ ὁ sq. Harp. = Ba 65, 13, P 1083 = P, Ba 65, 18 cf. H 1084 Soph. Tr. 467—9 1085 cf. Ambr. 1488 1086 = P, Ba 67, 22; Soph. fr. 906 1087 = P, Ba 67, 21 + 69, 25 cf. H v. ἀλλ' ἄχρι (= Men. com. fr. 910) 1088 = P, Ba 69, 26 1092 = P, Ba 65, 19 1093 = Ambr. 1135 et 1116 1094 = Ammon. v. πονεῖν 1095 cf. Ambr. 1314 1096 = H cf. Ambr. 1117 1097 ὦ sq. Ar. Th. 146—7 c. sch. 1099 fort. Ar. Vsp. 1116 1100 — δοτικῇ = An. Ox. 4, 277, 1, Synt. Gud. 1101 = Ambr. 1258

1082 Z 116; Polyb. cf. v. παραστάται 1084 cf. v. οὖρον 1086 Z 134 1087 Z 135 1090 Z 117 1091 ex v. ὑπαικάλλων, cf. v. φάτνην 1093 Z 117 1096—7 cf. Z 124

5 ἐστιν] δέ GIT 1091 om. S mg. A post 1094 GIT 21 'Αλγεινόεις A(GITSM) AIT 'Αλγηνόεις GSM 29 καί om. S 31 ἀλγῶ—ἄλγῦνον om. TM ἀλγῶ σοι om. GIS

Δ 1102 Ἀλδήσκω: τὸ αὐξάνω.

Harp. 1103 Ἀλαιεύς: ὄνομα δήμου.

Δ 1104 Ἀλαινής: ὁ μαινόμενος.

Σ 1105 Ἀλέα: θέρμη, ἔλλαμψις. πυρὰ δὲ ἀνεκαίετο, ὡς ἅμα μὲν
Ε φῶς, ἅμα δὲ ἀλέα παριοῦσιν ᾖ. κρύος γὰρ ἦν.

Δ 1106 Ἀλεάζειν: ἐκκλίνειν.

Harp. 1107 Ἀλέας: πόλις Θεσσαλική. οἱ δὲ πολῖται Ἀλεῖς.

Anth. 1108 Ἀλέγοις: ἀρήγοις, βοηθοίης. ἀλέγοις δ' ἀνέρι καὶ πενίῃ.

Hom. Ἀλέγω· σημαίνει καὶ τὸ οὐ φροντίζω. καὶ Ὅμηρος· οὐκ ἀλέγω, ὡς
εἴ με γυνὴ βάλῃ.

Ar. 1109 Ἀλεαίνοιμι: θερμαινοίμην. ἔπειθ' ἵν' ἀλεαίνοιμι τοῦτ' ἠμπι-
Ecl. σχόμην. Ἀριστοφάνης. Ἀλεαίνειν· ἀπὸ τοῦ ἀολλίζεσθαι ἡμᾶς ἐν
ταῖς ἡμέραις. καὶ ἐν Ἀθήναις Ἡλιαία δικαστήριον ἦν, ἀπὸ τῆς συν-
αγωγῆς τῶν ἀνθρώπων. οἱ δὲ ἀπὸ τοῦ ἀλεαίνειν, ὅ ἐστι θερμαίνειν
καὶ διαχεῖν. τινὲς δὲ ἀπὸ τῆς γινομένης διαπνεύσεως ἐκ τοῦ στόματος
πρὸς τοὺς δακτύλους· ὃ λέγεται αὔειν καὶ ἄζειν κατὰ μίμησιν τῆς
φωνῆς, τῆς ἐκ τοῦ στόματος.

1110 Ἀλεαίνωσιν: ἀντὶ τοῦ θερμαίνοιντο. πῦρ ἀνέκαυσαν,
Ε ὅπως αὐτοί τε ἀλεαίνωσι καὶ τοῖς Ῥωμαίοις κατὰ χώραν μένειν δόξαν
παράσχωσιν.

Σ 1111 Ἀλεεινός: θερινός, θερμός. Ξενοφῶν· χιόνος δὲ ἐπι-
Ε πεπτωκυίας ὄκνος ἦν πολὺς ἀνίστασθαι. κατακειμένων δὲ ἀλεεινὸς
ἦν ὁ χειμών, ὅτῳ μὴ παραρρυείη.

Δ 1112 Ἀλεείνω: ἐκκλίνω.

Δ 1113 Ἀλεκινός: ὁ δυνατός.

Δ 1114 Ἀλεκτορίδες: αἱ θήλειαι ὄρνις. καὶ τὰς ἀλεκτορίδας δὲ
Ε αὐτὰς ἀπέκτειναν, τοῦ μὴ κελαδούσας καὶ ᾄδούσας ἐπὶ τοῖς ᾠοῖς
Δ μηνῦσαι τὸν μοιχόν. καὶ Ἀλεκτορίδης, ὁ τοῦ ἀλέκτορος. ὅτι
Suid. Περσικὸς ὄρνις ὁ ἀλέκτωρ λέγεται διὰ τὴν λοφίαν. καὶ ζήτει ἐν τῷ Περσι-
κὸς ὄρνις.

1115 Ἀλέκτωρ πίνει καὶ οὐκ οὐρεῖ. μυξὸς οὐ πίνει καὶ
οὐρεῖ: λέγεται ἡ ἐπῳδὴ αὕτη εἰς δυσουρίαν ὄνου.

1102 = Ambr. 1421 cf. sch. Ψ 599, H 1103 Harp. = P, Ba 66, 4 1104 = Ambr. 1146 1105 — ἔλλαμψις = Ba 65, 20, P cf. H 1106 = Ambr. 1435b 1107 Harp. = Ba 66, 5, P 1108 ἀλέγοις alt.—πενίῃ Anth. 6, 245, 6 ἀλέγω sq. Λ 389 c. sch. 1109 — Ἀριστοφάνης Ar. Eccl. 540 c. sch. cf. P, Ba 66, 21, H vs. 12 ἀπό sq. = An. Ox. 2, 444, 24 1111 — θερμός = P, Ba 65, 22 cf. Ambr. 1164 χιόνος sq. Xen. An. 4, 4, 11 1112 = Ambr. 1422 cf. H, sch. Λ 542 1113 cf. Ambr. 1169, H v. ἀλικίνος 1114 — ὄρνις cf. Et. M. 59, 24 καί—μοιχόν Aelian. fr. 196 cf. Eust. O. 1710, 64 Ἀλεκτορίδης—ἀλέκτορος = Ambr. 1185 1115 Incantamenta magica n. 103 (Jb. Suppl. 19)

1102 Z 135 1103—4 Z 117 1107 cf. 1159. Z 124 1108 Z 136 1109 Ar. cf. 1147, Z 135; ἀλεαίνειν sq. cf. v. ἥλιος 1111 Z 117 1113 Z 117 1115 cf. v. μύξος

A(GITSM) 7 Θεσσαλική] Θεσσαλονική A 8 βοηθοίης A βοηθείης rell. 22 ἀνίστασθαι] ἐπίστασθαι A 27 καὶ ᾄδούσας om. A 28 ὅτι—30 ὄρνις om. GT mg. A post 1115 S 28 ὅτι om. A 29 καὶ—30 ὄρνις om. S 1115 non nov. gl. SM

1116 Ἄλεκτρα καὶ ἄνυμφα: ἀντὶ τοῦ παράνομα καὶ οὐ νενομισμένα, διὰ τὴν μοιχείαν. τουτέστι δύσλεκτρα καὶ κακόνυμφα. Σοφοκλῆς· ἄλεκτρ' ἄνυμφα γὰρ ἐπέβη μιαιφόνων γάμων ἁμιλλήματα. Soph.

1117 Ἀλεκτρυόνα ἀθλητὴν Ταναγραῖον· ἄδονται δὲ εὐγενεῖς οὗτοι. ἀφίησι τῷ Ἀσκληπιῷ ἀνάθημά τε καὶ ἄθυρμα εἶναι, οἱονεὶ θεράποντα καὶ οἰκέτην περιπολοῦντα τῷ νεῷ τὸν ὄρνιν, ὁ Ἀσπένδιος ἐκεῖνος. καὶ παροιμία· ἀλεκτρυόνος μ' ἔφασκε κοιλίαν ἔχειν. ταχὺ γὰρ κατεψεῖς τ' ἀργύριον. ζήτει περὶ πλήκτρων αὐτῶν ἐν τῷ αἶρε πλῆκτρον. E Ar.

1118 Ἀλλ' ἐμός γ' οὐκ ἂν ἐκ τᾶς ἔλθῃ πόκα πορπησάμενος: ὁ ἐμός, φησίν, ἀνήρ, οἷον περονησάμενος. ἀντὶ τοῦ ἀποβαλὼν τὴν ἀσπίδα. ἅμα τῷ παρεῖναι ἄπειςιν εἰς τὸν πόλεμον, καὶ οὐκ ἂν ἀπέλθοι τῆς μάχης. Ar.

1119 Ἀλεξάνδρεια: ὄνομα πόλεως. καὶ ὁ πολίτης Ἀλεξανδρεύς· καὶ Ἀλεξάνδρειος. Δ

1120 Ἀλεξανδρέων φονοκτονία· ζήτει ἐν τῷ Ἀντωνῖνος.

1121 Ἀλέξανδρος, ὁ Φιλίππου καὶ Ὀλυμπιάδος, βασιλεύσας Μακεδόνων ἀπὸ ἐνιαυτῶν ιη', τελευτήσας δὲ ἐτῶν λγ'. οὗτος ἦν τό τε σῶμα κάλλιστος καὶ φιλοπονώτατος καὶ ὀξύτατος, τὴν γνώμην ἀνδρειότατος καὶ φιλοτιμότατος καὶ φιλοκινδυνότατος καὶ τοῦ θείου ἐπιμελέστατος, ἡδονῶν τε τῶν μὲν τοῦ σώματος ἐγκρατέστατος, τῶν δὲ τῆς γνώμης ἐπαινουμένων ἁπλούστατος· ξυνιδεῖν δὲ τὸ δέον, ἔτι ἐν τῷ ἀφανεῖ ὄν, δεινότατος καὶ ἐκ τῶν φαινομένων τὸ εἰκὸς ξυμβαλεῖν ἐπιτυχέστατος καὶ τάξαι στρατιὰν καὶ ὁπλίσαι δαημονέστατος. καὶ πρὸς πᾶν καλὸν ἐπιτηδειότατος. πρὸς τούτοις ἦν ἐπιεικὴς καὶ θεοσεβής. ὀργισθεὶς γάρ ποτε Θηβαίοις ἐπὶ τοσοῦτον, ὥστε τοὺς μὲν οἰκήτορας ἐξανδραποδίσασθαι, τὴν δὲ πόλιν ἐς ἔδαφος κατασκάψαι, τῆς γε πρὸς τοὺς θεοὺς εὐσεβείας οὐκ ὠλιγώρησε περὶ τὴν κατάληψιν τῆς πόλεως· ἀλλὰ πλείστην ἐποιήσατο πρόνοιαν ὑπὲρ τοῦ μὴ δ' ἀκούσιον ἁμάρτημα γενέσθαι περὶ τὰ ἱερὰ καὶ καθόλου τὰ τεμένη. ὅτι τὸ μεγαλήγορον τοῦ Ἀλεξάνδρου οὐχ ὑπέρογκον μᾶλλόν τι ἢ εὐθαρσὲς ἐν τοῖς κινδύνοις ἐφαίνετο. Ῥωξάνης δὲ ἡράσθη ὁ Ἀλέξανδρος τῆς Ὀξυάρτου τοῦ Βακτριανοῦ, ἣν δὴ καλλίστην τῶν Ἀσιανῶν γυναικῶν λέγουσιν ὀφθῆναι οἱ ξὺν Ἀλεξάνδρῳ στρατεύσαντες μετά γε τὴν Δαρείου γυναῖκα. καὶ ταύτην ἰδόντα Ἀλέξανδρον εἰς ἔρωτα ἐλθεῖν αὐτῆς· ἐρασθέντα δὲ οὐκ E E E

1116 Soph. El. 492 c. sch. 1117 — ἐκεῖνος Aelian. fr. 98 ἀλεκτρύονος—τ' ἀργύριον Ar. Vsp. 794—5 1118 Ar. Lys. 105—6 c. sch. 1119 — πόλεως = Ambr. 1346; Ἀλεξανδρείος cf. Ambr. 1255, 1407 1121 vs. 18 οὗτος—24 δαημονέστατος Arr. An. 7, 28, 1—2 vs. 30 τό—ἐφαίνετο Arr. An. 3, 10, 2 Ῥωξάνης—102 vs. 19 ἔργα Arr. An. 4, 19, 5—20, 3

1116 Z 130 1117 cf. v. πόρπαξ 1121 τάξαι—δαημονέστατος cf. v. δαημονέστατος

4 ἀθλητήν] καὶ ἀ. Bhd. 1118 om. TS 1120 om. S 21 ἐγκρατέστατος A (GITSM) SM Arr. ἐγκρατέστερος AGIT γνώμης] γνώσεως S 32 δέ om. S ὁ Ἀλέξανδρος om. SM ὁ A om. GIT Ὀξυάρτου] Ὀξυδάρτου A

ἐθελῆσαι ὑβρίσαι καθάπερ αἰχμάλωτον, ἀλλὰ γῆμαι γὰρ οὐκ ἀπαξιῶσαι. καὶ τοῦτο ἐγὼ Ἀλεξάνδρου ἐπαινῶ μᾶλλόν τι ἢ μέμφομαι. καίτοι τῆς γε Δαρείου γυναικός, ἣ καλλίστη δὴ ἐλέγετο τῶν ἐν τῇ Ἀσίᾳ γυναικῶν, ἣ οὐκ ἦλθεν ἐς ἐπιθυμίαν ἡ καρτερὸς αὐτοῦ ἐγένετο, νέος τε ὢν καὶ τὰ μάλιστα ἐν ἀκμῇ τῆς εὐτυχίας, ὁπότε ὑβρίζουσιν ἄνθρωποι. ὁ δὲ κατηδέσθη τε καὶ ἐφείσατο σωφροσύνῃ τε πολλῇ διαχρώμενος, καὶ δόξης ἅμα ἀγαθῆς οὐκ ἀτόπῳ ἐφέσει. καὶ τοίνυν καὶ λόγος κατέχει, ἀποδράντα ἐλθεῖν παρὰ Δαρεῖον τὸν εὐνοῦχον τὸν φύλακα αὐτῷ τῆς γυναικός. καὶ τοῦτον ὡς εἶδεν ὁ Δαρεῖος, πρῶτα μὲν πυθέσθαι, εἰ ζῶσιν αὐτῷ αἱ παῖδες καὶ οἱ υἱοὶ καὶ ἡ γυνὴ καὶ ἡ μήτηρ. ὡς δὲ ζώσας τε ἐπύθετο, καὶ βασίλισσαι ὅτι καλοῦνται, καὶ περὶ τῆς θεραπείας, καὶ ὡς σωφρονεῖ ἡ γυνὴ αὐτοῦ· ἐπὶ τούτοις ἀνατεῖναι τὸν Δαρεῖον ἐς τὸν οὐρανὸν τὰς χεῖρας καὶ εὔξασθαι ὧδε· ἀλλ' ὦ Ζεῦ βασιλεῦ, ὅτῳ ἐπιτέτραπται τὰ βασιλέων πράγματα νέμειν ἐν ἀνθρώποις, σὺ νῦν μάλιστα μὲν ἐμοῖ φύλαξον Περσῶν τε καὶ Μήδων τὴν ἀρχήν, ὥσπερ οὖν καὶ ἔδωκας· εἰ δὲ δὴ ἐγὼ οὐκ ἔτι σοι βασιλεὺς τῆς Ἀσίας, σὺ δὲ μηδενὶ ἄλλῳ ὅτι μὴ Ἀλεξάνδρῳ παραδοῦναι τὸ ἐμὸν κράτος. οὕτως οὐδὲ πρὸς τῶν πολεμίων ἄρα ἀμελεῖται ὅσα σώφρονα
E ἔργα. οὕτω φησὶν Ἀρριανός. Νέαρχος δέ φησιν, ὅτι χαλεποὶ αὐτῷ τῶν φίλων ἐγένοντο, ὅσοι ἐκόμιζον αὐτὸν ἀρρωστοῦντα, ὅτι αὐτὸς πρὸ τῆς στρατιᾶς κινδυνεύοι· οὐ γὰρ στρατηγοῦ ταῦτα, ἀλλὰ στρατιώτου εἶναι. καί μοι δοκεῖ ἄχθεσθαι Ἀλέξανδρος τοῖσδε τοῖς λόγοις, ὅτι ἀληθεῖς τε ὄντας ἐγίνωσκε καὶ αὐτὸν ὑπαίτιον τῇ ἐπιτιμήσει. καὶ ὅμως ὑπὸ μένους τε τοῦ ἐν ταῖς μάχαις καὶ τοῦ ἔρωτος τῆς δόξης, καθάπερ οἱ ἄλλης τινὸς ἡδονῆς ἐξηττώμενοι, οὐ καρτερὸς ἦν ἀπέχεσθαι
E τῶν κινδύνων. ὅτι Ἀλέξανδρος ὁ Μακεδὼν θαυμαστὸν βίον ἐβίωσε· πίστιν δὲ τοῖς εἰρημένοις ἐχέγγυον ἡ τῶν ἀγώνων παρέσχε πρᾶξις. οὐδὲ γάρ ἐστιν εὑρεῖν ἐν παντὶ τῷ τοῦ κόσμου κύκλῳ ἕνα ἄνδρα, τοσούτοις κατορθώμασι πλεονεκτοῦντα. τοῖς τε γὰρ ἀρίστοις συμφοιτήσας ἀνδράσιν, εἴς τε λόγους οὐ μείων τῶν εἰς ἄκρον ἐπαινουμένων εὑρέθη· πρός τε τὰ πολέμια διελθών, θαυμαστὰ μᾶλλον ἢ πειθοῦς ἄξια διεπράξατο. καὶ πρὸς Δαρεῖον τὸν Περσῶν βασιλέα συνάψας πόλεμον, τοῦτον κατακράτος νικᾷ. κἀκεῖνος αἰτεῖται εἰς διαλλαγὰς ἐλθεῖν, καὶ δοῦναι αὐτῷ καὶ τὴν θυγατέρα Ῥωξάνην πρὸς γάμου κοινωνίαν. ὁ αὐτὸς πάντα τὰ ἔθνη καταστρεψάμενος διεφθάρη τὸν νοῦν καὶ πρὸς τὰς τοῦ σώματος ἡδονὰς διωλίσθησε, Περσικήν τε στολὴν ἐνδυσάμενος,

1121 Νέαρχος—κινδύνων Arr. An. 6, 13, 4 vs. 26 ὅτι—διεφύλαξεν Io. Antioch. fr. 41, FHG 4, 555 cf. EV 168, 24—169, 4

1121 πρός—κοινωνίαν cf. v. Δαρεῖος

A(GITSM) 2 μᾶλλον—μέμφομαι om. S τι om. M 3 γε om. SM 10 αἱ Gsf. Arr. οἱ omnes καὶ οἱ υἱοί om. SM 13 ἀλλ' om. A 14 βασιλέων AMΥp Arr. βασίλεια GITSM 20 αὐτόν] αὐτῷ AS 25 καρτερός SM καρτερῶς AGIT 32 τόν] τῶν S 35 κατασταρεψάμενος AGIT κατατροπωσάμενος SM διεφθάρη] ἐφθάρη GIT

μυρίοις δὲ νέοις δορυφορούμενος, τ' τε παλλακαῖς χρώμενος, ὡς τὴν Μακεδονικὴν πᾶσαν τῶν βασιλέων συνήθειαν εἰς Πέρσας μεταρυθμίσαι, καὶ τῶν ἰδίων τινὰς διαβληθέντας ἀνελεῖν. ὕστερον δὲ εἰς Ἰνδίαν ἀφικόμενος ὑπὸ Κανδάκης τῆς βασιλίσσης συνελήφθη ἐν ἰδιώτου σχήματι. καὶ εἶπεν αὐτῷ, Ἀλέξανδρε βασιλεῦ, τὸν κόσμον παρέλαβες καὶ ὑπὸ γυναικὸς συνεσχέθης; καὶ εἰρήνην πρὸς αὐτὴν ἐποιήσατο καὶ τὴν χώραν αὐτῆς ἀβλαβῆ διεφύλαξεν. ὅτι ὁ αὐτὸς ἀνδράσιν ἐνέτυχεν E ὑπὸ Περσῶν πάλαι ἐν Ἑλλάδι ληφθεῖσιν, ἠκρωτηριασμένοις τὰς χεῖρας, οὓς μεγάλαις δωρεαῖς ἐφιλοφρονήσατο καὶ παρεμυθήσατο. εἰς δὲ τὴν λίμνην τὴν ἐν Ἀλεξανδρείᾳ ἀφικόμενος τὸ διάδημα ἀπέβαλεν, ὄμβρου πολλοῦ καταρραγέντος καὶ μόλις ἐπὶ τὴν γῆν διενήξατο. καὶ ὑπὸ Κασάνδρου τοῦ ἰδίου στρατηγοῦ φάρμακον δεξάμενος ἐσπαράχθη· καὶ οὕτως ἐπὶ τοσούτοις κατορθώμασι τὸν βίον μετήλλαξεν.

1122 Ὅτι Ἀλέξανδρος φιλήκοος ἦν, εἴπερ τις ἄλλος, τῶν μουσικῶν. Τιμόθεος Said.
γὰρ ὁ αὐλητὴς ἔτι πρόσθεν, ὃν ποτε αὐλοῦντα λέγουσι τῆς Ἀθηνᾶς τὸν ὄρθιον νόμον ἐπικαλούμενον, ἐς τοσόνδε ἐκπλῆξαι Ἀλέξανδρον τοῖς μέλεσιν, ὥστε μεταξὺ ἀκούσαντα ἀναΐξαι ἐπὶ τὰ ὅπλα· τὸν δὲ φάναι, ὅτι τοιαῦτα χρὴ εἶναι τὰ βασιλικὰ αὐλήματα. οὗτός τε δὴ ὁ Τιμόθεος ἀνεληλύθει πρὸς αὐτὸν σπουδῇ μετάπεμπτος γενόμενος.

1123 Ὅτι οὗτος ὁ μέγας Ἀλέξανδρος, νικήσας ναυμαχίαν Λακεδαιμονίους καὶ Said.
τειχίσας τὸν Πειραιᾶ καὶ ἑκατόμβην θύσας πάντας εἱστίασεν Ἀθηναίους.

1124 Ἀλέξανδρος ὁ Μαμαίας· σὺν τῇ μητρὶ ἄρξας ὑπ' ἐκείνῃ EV πάντα διῴκει, ἥτις πανταχόθεν ἐφρούρει τὴν ἀρχήν. δικάζειν τε οὖν αὐτὸν ἔπειθεν ἐπὶ πλεῖστον, ὡς ἂν ἐν τούτοις ἀσχολούμενος μὴ ἔχοι καιρὸν ἐς τὸ ἐπιτηδεύειν τι τῶν ἁμαρτημάτων. ὑπῆρχε δὲ αὐτῷ καὶ φυσικὸν ἦθος πρᾶον καὶ ἥμερον ἔς τε τὸ φιλάνθρωπον πάνυ ἐπιρρεπές. ἐς τεσσαρεσκαιδέκατον οὖν ἔτος ἄρξας τῆς βασιλείας, ἀναιμωτὶ ἦρξε, καίτοι τινῶν μεγίσταις αἰτίαις ὑποπεσόντων, ὡς μετὰ τὴν Μάρκου τελευτὴν τὴν βασιλείαν θαυμάζειν Ἀλεξάνδρου. ἠτιᾶτο δὲ καὶ τὴν μητέρα καὶ πάνυ ἤσχαλλεν ὁρῶν αὐτὴν οὖσαν φιλοχρήματον καὶ πολλὰ ἐξ ἐπηρειῶν θησαυρίζουσαν. πολλὰ δὲ ὑπ' αὐτῆς ἠναγκάζετο πράττειν· ἦρχε γὰρ αὐτοῦ ὑπερβαλλόντως ἡ μήτηρ. ἥτις ἀπῆγε τῶν αἰσχρῶν καὶ ἀπρεπῶν τοῖς βασιλεῦσιν ἔργων, διδασκάλους τε πάσης παιδείας λάθρα μετεπέμπετο· ὁ δὲ παλαίστραις τε καὶ γυμνασίοις ἔχαιρε καὶ τοὺς διδασκάλους ἀπεσόβει. ἐς τοσοῦτον δὲ ἐξώκειλεν, ὡς

1121 vs. 7 ὅτι—μετήλλαξεν Io. Antioch. fr. 42, FHG 4, 555 cf. EI 63, 2—3
1124 — vs. 32 μήτηρ Io. Antioch. fr. 140, FHG 4, 593 = EV 1, 193, 16—27; ἀπῆγε sq. Io. Antioch. fr. 138 = EV 1, 192, 28—193, 12 cf. Herodian. hist.

1122 ex v. Τιμόθεος Θερσάνδρου cf. v. ὀρθιασμάτων 1123 ex 731 1124 hinc v. Μαμαίας

1 τ'] τῷ A ταῖς S 2 μεταρυθμίσαι GM Exc. μεταρυθμῆσαι A μεταρριθ- A(GITSM)
μήσαι I μεταρριθμήσας S 13 οὕτως om. AGIT 1122 om. GT mg. A
14 ὅτι] ὅτι ὁ S 15 ὄρθιον ISM v. Τιμόθεος v. ὀρθιασμάτων, ὀρθρίον A
16 τοσόνδε AS^{ac} v. Τιμόθεος v. ὀρθιασμάτων, τοσοῦτον IS^{pc} ὥστε A v. Τιμόθεος, ὡς ISM cf. v. ὀρθιασμάτων 18 τε] δέ S 1123 om. GT mg. A post 1124 S 20 ναυμαχίαν AI, 731, ναυμαχίᾳ SM 24 ἔπειθεν] ἔπειθον A
ἔχοι] ἔχειν GIT

δὴ πάντα τὰ ἀπὸ τῆς σκηνῆς καὶ τῶν δημοσίων θεάτρων μεταγαγεῖν ἐπὶ τὰς ἀρχὰς τὰς μεγίστας. διὰ τοῦτο ἐμυσάττοντο αὐτόν.

Hesy. 1125 Ἀλέξανδρος, Ἱεραπόλεως ἐπίσκοπος, καὶ μάρτυς. ἔγραψε Τί καινὸν εἰσήνεγκε Χριστὸς εἰς τὸν κόσμον, κεφάλαια θ′, λόγος νοημάτων γέμων.

E 1126 Ἀλέξανδρος, Ἀντιοχείας ἐπίσκοπος· ἐπὶ Ἰωάννου τοῦ Χρυσοστόμου· ὃς συμβαίνουσαν εἶχε τῇ ἀρχιερωσύνῃ τὴν πολιτείαν. ἐν ἀσκητικῇ γὰρ παλαίστρᾳ τὸν πρὸ τῆς ἐπισκοπῆς διατελέσας χρόνον καὶ γυμνασάμενος ἐπὶ πλεῖστον ὤφθη γενναῖος ἀγωνιστής, καὶ λόγῳ παιδεύων καὶ βεβαιῶν τῷ βίῳ τὸν λόγον· ὃς Πορφύριον διεδέξατο. ἐκεῖνος μὲν οὖν τῇ πυκνότητι διέπρεπε τῶν φρενῶν· ὁ δὲ Ἀλέξανδρος ἀσκήσει καὶ φιλοσοφίᾳ καὶ ἀκτήμονι βίῳ καὶ τῷ ῥεύματι τῆς γλώττης καὶ μυρίοις ἑτέροις πλεονεκτήμασι χάριτος.

Hesy. 1127 Ἀλέξανδρος Αἰτωλός· ἐκ πόλεως Πλευρῶνος, υἱὸς Σατύρου καὶ Στρατοκλείας, γραμματικός. οὗτος καὶ τραγῳδίας ἔγραψεν, ὡς καὶ τῶν ἑπτὰ τραγικῶν ἕνα κριθῆναι, οἵπερ ἐπεκλήθησαν ἡ Πλειάς.

Hesy. 1128 Ἀλέξανδρος Αἰγαῖος· φιλόσοφος Περιπατητικός, διδάσκαλος Νέρωνος τοῦ βασιλέως, ἅμα Χαιρήμονι τῷ φιλοσόφῳ. υἱὸν δὲ ἔσχε Καίλινον ὄνομα. οὗτος ἐκάλει τὸν Νέρωνα πηλὸν αἵματι πεφυρμένον. κακῶν μαθητῶν, ὡς οἶμαι, κακίονες οἱ διδάσκαλοι· διδακτὴ γὰρ ἀρετὴ καὶ κακία ἀσκητή. ἔστι δὲ καὶ ἕτερος Ἀλέξανδρος Ἀφροδισιεύς, φιλόσοφος. καὶ ἄλλος, ὁ Νουμηνίου, σοφιστής. καὶ ἄλλος, Κλαύδιος χρηματίσας, σοφιστής. καὶ ἕτερος, ὁ Κασίλωνος, σοφιστής, ἀδελφὸς Εὐσεβίου τοῦ σοφιστοῦ, μαθητὴς δὲ Ἰουλιανοῦ. καὶ ἄλλος Ἀλέξανδρος, Ἀλεξάνδρου, δικηγόρου, Κίλιξ, Σελευκεύς, σοφιστής, ὃς ἐπεκλήθη Πηλοπλάτων.

Hesy. 1129 Ἀλέξανδρος ὁ Μιλήσιος· ὃς Πολυΐστωρ ἐπεκλήθη καὶ Κορνήλιος, διότι Κορνηλίῳ Λεντούλῳ αἰχμαλωτισθεὶς ἐπράθη καὶ αὐτῷ παιδαγωγὸς ἐγένετο, εἶτα ἠλευθερώθη. ἦν δὲ ἐν Ῥώμῃ ἐπὶ τῶν Σύλλα χρόνων καὶ ἐπὶ τάδε. ἀνῃρέθη δὲ ἐν Λαυρεντοῖς ὑπὸ πυρὸς τῆς οἰκίας φθαρείσης· καὶ ἡ γυνὴ αὐτοῦ Ἑλένη μαθοῦσα τὸ συμβὰν ἀπήγξατο. ἦν δὲ γραμματικὸς τῶν Κράτητος μαθητῶν. οὗτος συνέγραψε βίβλους ἀριθμοῦ κρείττους. καὶ Περὶ Ῥώμης βιβλία ε′. ἐν τούτοις λέγει, ὡς γυνὴ γέγονεν Ἑβραία Μωσώ, ἧς ἔστι σύγγραμμα ὁ παρ' Ἑβραίοις νόμος.

1125 — μάρτυς = Phot. bibl. 291b 26 1126 Thdr. h e. 5, 35, 1—3 1128 vs. 25 Ἀλέξανδρος sq. cf. Philostr. v. soph. 2, 5, p. 246

1129 hinc v. Μωσώ

A(GITSM) 9 γυμνασάμενος] γυμνωσάμενος A 10 τόν] τῶν A 19 Καίλινον] Κάλινον S Καίλιον pr. 20 κακῶν] σχόλιον ss. et mg. M 21 ἀσκητή] ἀσκητικὴ IM Ἀφροδισιεύς] Ἀφροδισεύς A cf. 3424 1129 om. T mg. ad 1124 A Ἀλέξανδρος Μιλήσιος· ζήτει σχόλιον ὀπίσω textu A; post 1123 add. καὶ ἕτερος Ἀλέξανδρος Μιλήσιος post 1128 S; post 1124 M cf. Wentzel TU 13, 61 27 ὃς om. GI 29 τῶν] τῷ A 32 Κράτητος] Κρατήτου A μαθητῶν] μαθημάτων GI βίβλους AGI βιβλία M ἀριθμοῦ AM ἀριθμῷ GIS 33 κρείττους AGI κρείττω SM περί] παρά A 34 παρ'] παρὰ τοῖς GI

1130 Ἀλέξασθαι: ἐπαμύνειν. Ξενοφῶν· πολὺ γὰρ διέφερεν ἐκ E
χώρας ὁρμωμένους ἀλέξασθαὶ ἢ προπορευομένους ἐπιοῦσι τοῖς πολε-
μίοις μάχεσθαι.
1131 Ἀλέξαι: βοηθῆσαι. Ἀλλέξαι δὲ ἐπιλέξαι. Δ
1132 Ἀλέξειν: ἀποτρέπειν. Σ
1133 Ἀλεξήσοντα: βοηθήσοντα. Σ
1134 Ἀλεξητῆρα: βοηθόν. Σ
1135 Ἀλεξιάρη γῆ: ἡ τοῖς ἀνδράσι βοηθοῦσα. Δ
1136 Ἀλεξιβέλεμνον: τὸν τὰ βέλη ἀπερύκοντα. ἐν Ἐπιγράμ-
μασι· καὶ τὸν ἀλεξιβέλεμνον ἀπὸ στέρνοιο χιτῶνα. Anth.
1137 Ἀλεξίκακον: ἀλεξιφάρμακον, ἀντιφάρμακον. κακίας καθ- Δ
αρτικὸν καὶ θεραπευτικόν. καὶ Ἀλεξίκακε, τουτέστιν ἀποτρόπαιε, Σ
ὁ τὰ δεινὰ ἀπείργων. Ar.
1138 Ἄλεξις, Θούριος, ὅστις πρότερον Σύβαρις ἐκαλεῖτο, κωμικός. Hesy.
ἐδίδαξε δράματα εμε'· γέγονε δὲ πάτρως Μενάνδρου τοῦ κωμικοῦ.
ἔσχε δὲ υἱὸν Στέφανον, καὶ αὐτὸν κωμικόν.
1139 Ἀλεξιφάρμακα: ἀλεξητήρια φαρμάκων. Μένανδρος Παιδίῳ· Σ
Ἐφεσία τοῖς γαμοῦσιν οὕτως περιπατεῖ, λέγων ἀλεξιφάρμακα.
1140 Ἀλεξόμενον: ἀμυνοῦντα. τὸν κακῶς ἄρξαντα κακῶσαι
θέλειν, καθάπερ ἐπὶ τῶν κατ' ἰδίαν ἀδικημάτων οἱ νομοθέται καὶ δικα-
σταὶ πάσας τὰς τῶν συμβαινόντων βλάβας οὐκ ἐπὶ τὸν ἀλεξόμενον,
ἀλλ' ἐπὶ τὸν ἄρχοντα χειρῶν ἀδίκων ἀναφέρουσι. καὶ Ἀλεξο- Hdt.
μένους παρὰ Ἡροδότῳ ἀντὶ τοῦ ἀμυνουμένους ἢ ἐπιβοηθοῦντας.
τριτημορὶς δὲ τῶν Μασσαγετῶν τοὺς περιλειφθέντας τῆς Κύρου στρατιᾶς E
ἀλεξομένους ἐφόνευε. καὶ Ἀλέξασθαι, κωλύειν, ἀπείργειν.
οἱ δὲ ἵπποι οὐκ ἦσαν αὐτῷ χρήσιμοι ἐς τὸ φεύγειν σὺν αὐτοῖς ἢ E
ἐπελαύνοντας ἀλέξασθαι τοὺς πολεμίους. καὶ αὖθις· εὔχετο δὲ ὁ E
Κῦρος τοσοῦτον ὑπερζῆν, ἕς τε νικῴη τοὺς εὖ καὶ κακῶς ποιοῦντας
ἀλεξόμενος.
1141 Ἀλεωρή: ἔκκλισις καὶ φυλακή. πολλοὶ δὲ ὑπὸ χιόνος ἀπέ- Hom. + E
θανον. καὶ οὐδ' ἡτισοῦν ἀλεωρὰ ἦν, ἑκάστων ἑαυτοὺς διασῴζειν ἱκα-
νὸν ἡγουμένων.

1130 πολύ sq. Xen. An. 3, 4, 33 1131 cf. H; — βοηθῆσαι = Ambr. 1428 1132 = P, Ba 65, 27 1133 = P, Ba 65, 29, sch. Z 109 1134 = P, Ba 65, 28 cf. sch. Υ 396 1136 καί sq. Anth. 6, 81, 3 1137 — ἀλεξιφάρμακον cf. Ambr. 1382 κακίας—θεραπευτικόν = P, Ba 65, 30 ἀλεξίκακε sq. sch. Ar. Nu. 1371 1139 = P; — φαρμάκων = Ba 66, 18; Men. com. fr. 371 1140 τόν— ἀναφέρουσι fort. Dam. ἀλεξομένους—ἀμυνομένους gl. Hdt. 1, 211, 2 τριτη-μορίς—ἐφόνευε Hdt. 1, 211, 2 εὔχετο sq. Xen. An. 1, 9, 11 cf. E V 2, 63, 26—7 1141 — φυλακή cf. sch. M 57, Ambr. 1295, H, Ap. S. 22, 19 πολλοί sq. Arr. Parth. R. p. 17

1130—32 Z 135 1135 Z 124 1136 Z 117

17 ἀλεξητήρια ASBa ἀλεξιτήρια GITM Phot. Παιδίῳ M Phot. Παιδίων A(GITSM) AGIT 18 οὕτως] οὗτος Mein. 27 ἐπελαύνοντας] ἀπελαύνοντας M 30 ἔκκλισις GTM ἔκκλησις AIS 31 ἑαυτούς] ἑαυτάς S ἱκανόν] ἱκανῶν SM

Prov. 1142 Ἀλλ' ἔπου χώρας τρόποις: ὅτι δεῖ χώρας ἑκάστης, ἐν ᾗ ἄν τις γένηται, μιμεῖσθαι τὰ ἔθη.

Ar. 1143 Ἀλλ' ἔσθι' ἐλθὼν τοὺς Μεγακλέους κίονας: ὡς ⟨εἰ⟩ εἶπε τὸν πλοῦτον. ἐμφαίνει διὰ τούτων, ὅτι οὐδὲν αὐτῷ κατελείφθη, εἰ μὴ ἡ αὐλή. ἀντὶ τοῦ τοὺς λίθους τῆς Μεγακλέους οἰκίας. οὗτοι γὰρ μόνοι κατελείφθησαν αὐτῷ πάντα φαγόντι. λέγει δὲ ὁ πρεσβύτης πρὸς τὸν υἱόν. Ἀριστοφάνης ἐν Νεφέλαις. ἐπὶ τῶν ἀνειμένως διαιτωμένων ὁ λόγος.

Suid. 1144 Ἀλλ' ἔστ' ἀληθὴς ἡ βροτῶν παροιμία· ἐχθρῶν ἄδωρα δῶρα, κοὐκ ὀνήσιμα. Αἴας φησίν. Ζήτει ἐν τῷ ἐχθρῶν ἄδωρα δῶρα, κοὐκ ὀνήσιμα.

Δ 1145 Ἀλετρεύουσιν: ἀλήθουσιν.

Ar. 1146 Ἀλετρίβανος: οἱ μέν δασέως παρὰ τὸ τοὺς ἄλας τρίβειν, οἱ δὲ ψιλῶς παρὰ τὸ ἀλεῖν. καὶ δοῖδυξ μὲν Ἀττικόν, ἀλετρίβανος δὲ

Δ Anth. Ἀσιανόν. λέγεται δὲ καὶ Ἀλότριψ. καὶ τοῦτον δικάρανον

Call. ἁλότριβα. καὶ Ἀλετρίς, ἡ μυλωθρὸς παρὰ Καλλιμάχῳ.

Σ 1147 Ἀλέοιμι: ἀντὶ τοῦ θερμαίνοιμι. Ἀριστοφάνης.

1148 Ἀλεύετο: ἐξέφευγεν.

Σ 1149 Ἄλευε: Ἴωνες τὸ φύλαξαι οὕτως λέγουσι. καὶ παροιμία·

Prov. ἄλευ' ἀπὸ μείζονος ἀνδρός.

Σ 1150 Ἀλευάδαι: οἱ ἐν Λαρίσσῃ τῆς Θεσσαλίας εὐγενέστατοι, ἀπὸ Ἀλεύου βασιλέως τὸ γένος ἔχοντες.

Δ 1151 Ἀλευρότησις: τὸ λεπτὸν τοῦ ἀλεύρου. ἡ παспάλη παρὰ πολλοῖς λεγομένη.

Δ 1152 Ἀλεία: ἡ ἄγρευσις.

Hom. 1153 Ἀλείατα: τὰ ἄλευρα.

Δ 1154 Ἄλειμμα: ἐκ τοῦ ἀλείφω. Ἄλιμα δὲ βοτάνη.

Δ 1155 Ἄλειον: τὸ τοῦ Ἡλίου ἱερὸν κατὰ Ῥοδίους. σημαίνει ὕδωρ. καὶ Ἄλειος ὁ Ζεύς.

Δ 1156 Ἀλείπης: πηγὴ ἐν Ἐφέσῳ.

1142 = Macar. I 89; fr. trag. ad. 435 1143 Ar. Nu. 815 c. sch. 1145 = H 1146 — Ἀσιανόν sch. Ar. Pac. 259 cf. Hellad. ap. Phot. bibl. 532b 30 καὶ τοῦτον—ἁλότριβα Anth. 6, 306, 7 ἁλέτρις sq. Call. fr. 26 K., 232 S. 1147 = P, Ba 66, 21; Ar. Eccl. 540 cf. sch. 1149 φύλαξαι = H ἄλευ' sq. = Diogen. II 56 1150 Tim. = P, Ba 66, 16, sch. Pl. Menon. 70c 1151 — ἀλεύρου = Ambr. 1303 1152 = Ambr. 1338 cf. 1285 1153 cf. sch. υ 108, Et. M. 62, 18, Ambr. 1393 1154 ἅλιμα sq. cf. Ambr. 1379 1155 — Ῥοδίους = Ambr. 1398 cf. Eust. O. 1562, 58; ὕδωρ cf. Ambr. 1406 = H; Ἄλειος sq. = Stud. An. 264 cf. Ambr. 1282; Call. fr. 99 S. 1156 = Et. M. 60, 47

1143 hinc v. Μεγακλέους κίονας 1144 ex v. ἐχθρῶν ἄδωρα cf. 519 1146 Call. cf. 3259 et v. εἰκαία 1147 cf. 1109 1148 cf. Z 136 1149 Z 135 1151 hinc v. παспάλη; Z 125 1152 Z 124 1153 Z 132 1154 cf. 1228 1155 Z 131

A(GITSM) 3 ⟨εἰ⟩ Kust. e sch. 5 τοῦ ex TM 6 πρεσβύτης AM πρεσβύτερος GITS 1144 om. SM 9 ἔστ' GIT ἀτ A 10 ζήτει—ὀνήσιμα om. GIT 11 ἀλήθουσιν GITS ἀληθούσιν A^{ac} ἀληθεύουσιν A^{cc}M 15 ἁλετρίς] ἁλεκτρίς IS 22 λεπτόν Zon. pr. Ambr. χαλεπόν omnes, v. παспάλη τοῦ] τῆς A 1156 post 1158 in AGIT, sed β' ante 1157 A 29 Ἀλείπης] Ἀλείπτης AG

1157 Ἀλεῖπται: οἱ πρὸς τοὺς ἀγῶνας ἐπασκοῦντες. ὁ Θεολόγος· ἀλεῖπται τῆς ἀρετῆς. καὶ Ἀλείπτης, ὁ ἀγωνοθέτης. Δ
1158 Ἀλειπτόν: ἐσκευασμένον θυμίαμα.
1159 Ἀλείς: ἀντὶ τοῦ συσταλείς. καὶ Ἅλεῖς, ἀντὶ τοῦ ἁλιεῖς. Hom.
ἁλεῖς σοφιστάς.
1160 Ἄλεισον: τὸ ποτήριον. Δ
1161 Ἀλεῖται: πηδήσει. καὶ χωλὸς ὡς ἔλαφος, ἁλεῖται. Σ
1162 Ἀλειτεία: ἡ ἁμαρτία. Δ
1163 Ἀλείτης: τὸ μὲν διὰ διφθόγγου σημαίνει τὸν ἁμαρτωλόν, τὸ Δ
δὲ διὰ τοῦ η σημαίνει τὸν πλανήτην. Ἁλιτρὸς δὲ διὰ τοῦ ι.
1164 Ἀλλ' εἴ τις ὑμῶν ἐν Σαμοθράκῃ μεμυημένος ἐστι, Ar.
νῦν εὔξασθαι καλόν, ἀποστραφῆναι τοῦ μετιόντος τὼ πόδε: ἐν Σαμοθράκῃ ἦσαν τελεταί τινες, ἃς ἐδόκουν τελεῖσθαι πρὸς ἀλεξιφάρμακον κινδύνων τινῶν. ἦν δὲ ἐκεῖσε καὶ τὰ τῶν Κορυβάντων μυστήρια καὶ τὰ τῆς Ἑκάτης καὶ τὸ Ζήρινθον ἄντρον, ᾗ κύνας ἔθυον. ἐδόκουν δὲ ταῦτα οἱ μεμυημένοι ἐκ τῶν δεινῶν σώζεσθαι καὶ ἐκ χειμώνων. ἀποστραφῆναι δὲ ἀντὶ τοῦ διαστραφῆναι καὶ κλασθῆναι τοῦ μετιόντος τὸν δοίδυκα. ἐναντίαν αὐτῷ τὴν εἰς τὸ δεύτερον γενέσθαι ὁδόν, ὥστε μηκέτι αὐτὸν ὑποστρέψαι.
1165 Ἀλείφατι: ἐλαίῳ, ἢ ἑτέρῳ ἀλείμματι. κανών· ὅτι τὰ παρὰ Σ
τὸ ἀλείφω, εἰ μὲν διὰ τοῦ π ἐκφέρονται καὶ διὰ διφθόγγου γράφονται, οἷον ἀλειπτὸν ἀλείπτης. εἰ δὲ διὰ τοῦ φ, εἰ μὲν ὦσι σύνθετα, διὰ τοῦ ι γράφονται, πισσαλιφής, ἀνηλιφής. εἰ δὲ ἁπλᾶ, διὰ τῆς ει διφθόγγου, οἷον ἄλειφαρ.
1166 Ἀλείψας. αἰτιατικῇ. διεγείρας. ἀπὸ μεταφορᾶς τῶν ἀθλη- Σ
τῶν. εἰς καρτερίαν ἀλείφων τοὺς ἀδικουμένους. καὶ Ἀριστοφάνης· ἀλείψασθ' ἀπ' αὐτῶν ταῖς νουμηνίαις. διὰ τὸ ταύτας εἶναι Ar.
τιμίας τῶν ἡμερῶν.
1167 Ἄλη: ἡ πλάνη. ὁ δὲ οὐδένα αὐτοῦ ᾤετο διοίσειν ἐπ' ἀν- Δ
δρείᾳ, καὶ τοσοῦτον αὐτοῦ ἥδε ἡ ἄλη ἐκράτει, ὡς σκευὴν ἀναλαβεῖν E

1157 l. = Σ^{a} ἀλεῖπται τῆς ἀρετῆς Greg. Naz. PG 36, 500c cf. Et. Sym. (ad Et. M. 61, 12) ἀλείπτης sq. = Ambr. 1114 1159 — συσταλείς sch. Π 403 1160 = Ambr. 1395 cf. sch. Λ 773, H 1161 — πηδήσει = P, Ba 65, 23, H cf. Ambr. 1430 καί sq. Ies. 35, 6 1162 = Ambr. 1341 1163 cf. Ambr. 1126, 1128, 1125; — πλανήτην = Et. M. 61, 41 + 54, Herodian. gr. 2, 472, 17 cf. P, Ba 65, 24, Σ^{a} v. ἀλήτης 1164 Ar. Pac. 277—9 c. sch. 1165 — ἀλείμματι = P, Ba 65, 25 cf. H, Ambr. 1380, Et. M. 60, 50 ἀλείφω sq. = Et. M. 61, 1 cf. Herodian. gr. 2, 472, 29, Eust. O. 1561, 7 1166 αἰτιατικῇ cf. Synt. Laur. et Gud. διεγείρας—ἀθλητῶν = P, Ba 65, 26 cf. Ambr. 1446 ἀλείψασθ' sq. Ar. Ach. 999 c. sch. 1167 — πλάνη = Ambr. 1308, sch. φ 284 cf. H, Et. M. 62, 13 ὁ—οἴκου Malch. fr. 8, FHG 4, 117

1157 Z 118 1159 cf. 1107. Z 135 1160 Z 131 1161 Z 135 1162 Z 124 1163 cf. 1201—2 1164 cf. v. Σαμοθράκη, hinc v. Ζηρυνθία 1166 Ar. cf. v. νουμηνία 1167 — πλάνη Z 125. Malch. cf. 3970

5 ἁλεῖς nov. gl. A σοφιστάς] σοφισταί pr. 9 Ἀλείτης $AI^{ac}TM^{ac}$ Ἀλήτης A(GITSM) $GI^{ac}SM^{1c}$ διά om. AGIT 1164 om. T post 1145 S 15 καί alt. om. AGI cf. v. Σαμοθράκη 21 π] πτ Et. 29 πλάνη] καὶ ἀλήτισμος add. S

Ἀχιλλέως, οὕτω τε περιβαίνειν εἰς ἵππον καὶ κατὰ τὸν ἱππόδρομον
Σ φρυάττεσθαι τοῦ οἴκου. καὶ Ἀλώμενος, ἀντὶ τοῦ πλανώμενος.
Anth. ἐν Ἐπιγράμμασι· ἁλὸς τύραννε, σοί, Πόσειδον, Ἀρχικλῆς ἔθηκε λήξας
Δ τῆς ἀπ' ἠόνων ἄλης. καὶ Ἀλήτης βίος, διὰ τοῦ η.
Σ 1168 Ἄλλη: ἀντὶ τοῦ ἄλλως ἢ κατ' ἄλλο. Θουκυδίδης. 5
Σ 1169 Ἀλλ' ἤ: ἀντὶ τοῦ εἰ μή. καὶ ἀντὶ τοῦ ἁπλοῦ τοῦ ἤ. τίθεται δὲ ἐνίοτε καὶ ἀντὶ τοῦ ἀλλὰ ἄρα καὶ ἀντὶ τοῦ ἁπλοῦ τοῦ ἄρα. Πλάτων· ἀλλ' ἢ κατόπιν ἑορτῆς ἥκομεν, ἀντὶ τοῦ ἄρα.
ΔΣ 1170 Ἀλληγορία: ἡ μεταφορά. ἄλλο λέγον τὸ γράμμα καὶ ἄλλο τὸ νόημα. καὶ Ἀλληγορικοὶ ὄνειροι, οἱ ἄλλα δι' 10
ἄλλων ἀγορεύοντες· θεωρηματικοὶ δέ, οἱ τῇ ἑαυτῶν θέᾳ προσεοικότες.
1171 Ἄλλη δόξα ἡλίου: ἥλιον λέγει τὴν νέαν διαθήκην, ὡς τέλειον φῶς ἔχουσαν τοῦ ἡλίου τῆς δικαιοσύνης.
Ar. 1172 Ἄληθες; ἀντὶ τοῦ ὄντως. ἀξιοῦσι δὲ ὀξύνειν τὴν πρώτην,
Σ ὅταν τοῦτο δηλοῖ τὸ ἐν ἐπερωτήσει λεγόμενον, οἷον ὄντως, ἀληθῶς. 15
Ar. ἄληθες ὦ παῖ τῆς ἀρουραίας θεοῦ; Αἰσχύλος φησὶ πρὸς Εὐριπίδην· σὺ δή με ταῦτ', ὦ στωμυλιοσυλεκτάδη, καὶ πτωχοποιέ, καὶ ῥακιοσυρραπτάδη. ἀληθὲς δὲ τὸ ἀντιδιαστελλόμενον τῷ ψεύδει. ἀλήθεια δέ ἐστι θείων τε καὶ ἀνθρωπίνων ἡγεμών.
Σ 1173 Ἀληθέστερα τῶν ἐπὶ Σάτρᾳ: παροιμία ἐπὶ τῶν ἀληθῶν 20
μέν, οὐ πιστευομένων δέ. Σάτρα γὰρ τόπος τῆς Λοκρίδος. μέμνηται τῆς παροιμίας Μένανδρος ἐν Ἀνατιθεμένῃ. Λοκροὺς δέ φασι τοὺς Ἐπιζεφυρίους, πόλεμον ἔχοντας πρὸς τοὺς πλησιοχώρους Κροτωνιάτας αἰτῆσαι συμμαχίαν τοὺς Λακεδαιμονίους. τῶν δὲ στρατὸν μὲν οὐκ ἔχειν φησάντων, διδόναι δὲ αὐτοῖς τοὺς Διοσκούρους· τοὺς Λοκροὺς οἰωνισαμέ- 25
νους τὸ κερτομηθὲν τήν τε ναῦν ἀποστρέψαι καὶ δεηθῆναι τῶν Διοσκούρων συμπλεῖν αὐτοῖς. νικησάντων δὲ αὐτῶν αὐθημερὸν καὶ τῆς φήμης διαγγελθείσης εἰς Σπάρτην τὸ μὲν πρῶτον ἀπιστηθῆναι, ἐπεὶ δὲ εὑρέθη ἀληθῆ, ἐπιλέγειν τοῖς ἀληθεστάτοις μέν, οὐ πιστευομένοις
Prov. δέ. ἀληθέστερα οὖν τῶν ἐπὶ Σάτρᾳ, ἐπὶ τῶν πάνυ ἀληθευόντων. 30
λέγεται γὰρ τὴν περὶ τῆς νίκης φήμην αὐθημερὸν ἀπὸ Ἰταλίας ἐλθεῖν

1167 ἁλώμενος—πλανώμενος = P, Ba 72, 22, H, Ambr. 1451, sch. B 667 ἁλός—ἅλης Anth. 6, 90, 7—8 1168 = P; — ἄλλως = Ba 68, 20 cf. sch. O 51; Thuc. 6, 96, 2 1169 = Ba 66, 29; Pl. Gorg. 447a 1170 — μεταφορά cf. Ambr. 1361 ἀλλό—νόημα cf. P, Ba 68, 18 ἀλληγορικοί sq. Artem. 1, 2 1171 1. Corinth. 15, 41 c. gl. 1172 — ὄντως sch. Ar. Ran. 840 ὀξύνειν—ἀληθῶς = P cf. Ba 66, 27, Ammon. ἄληθες ὦ—ῥακιοσυρραπτάδη Ar. Ran. 840—842 ἀληθεια sq. cf. Pl. Leg. 730b, fort. Dam. 1173 — πιστευομένοις δέ = P cf. Paus. Att. fr. 34 ex Eust. I. 278, 5; Men. com. fr. 34 ἀληθέστερα οὖν sq. cf. Zen. II 17

1167 ἁλώμενος—πλανώμενος cf. 1379 ἀλήτης βίος cf. 1202 1170 Artem. Eust. O. 1876, 41 1172 Z 131, 139

A(GITSM) 1 περιβαίνειν] παραβαίνειν AI 2 καί—4 η om. S 5 κατ'] κατὰ τό SM 9 λέγον] λέγων GSM 15 ἀληθῶς om. A 17 ταῦτ'] ταύτης A 25 Διοσκούρους] Διοσκόρους AS 26 Διοσκούρων] Διοσκόρων A

εἰς τὴν Σπάρτην. ὅθεν καὶ εἰς παροιμίαν ἐξενεχθῆναι τὸν λόγον ἐπὶ τῶν ἀληθινῶν πραγμάτων.

1174 Ἀληθεύω· δοτικῇ. Synt.

1175 Ἀλήθεια καὶ ἀληθής. Ἀληθῆ καὶ τὰς ἀληθείας Δ
πληθυντικῶς λέγουσι. Μένανδρος Ἀφροδισίῳ· εἰ τὰς ἀληθείας ἁς Σ
ἁπλῶς τίς σοι λέγει.

1176 Ἀλήθω τὸν σῖτον. Δ

1177 Ἀληθίζω: τὰ ἀληθῆ λέγω. καὶ Ἀληθινός, ὁ ἀληθής. Δ

1178 Ἀληθινὸς ἔρως: ὁ μὴ περὶ κάλλος σώματος ἐπτοημένος. ἀληθινὸς ἔρως ἐμφύεται αὐτῷ φιλοσοφίας, καὶ πάντα γηγενῆ δεσμὸν ἀπορρήξας ἐλπίδας τε πάσας τιμῶν τε καὶ χρημάτων καταπατήσας ἀφικνεῖται πρὸς Πρόκλον.

1179 Ἀλήϊον πεδίον. καὶ Ἀλήϊος, ὁ πλανητικός. Δ

1180 Ἀλλ' ἢ καλῶς ζῆν ἢ καλῶς τεθνηκέναι τὸν εὐγενῆ Soph.
χρή, πάντ' ἀκήκοας λόγον. Σοφοκλῆς.

1181 Ἄληκος: ποταμός. Δ

1182 Ἄληκτα: τὰ ἀμέριστα μέν, κοινὰ δὲ πρός τινα ὄντα, πρινὴ Rhet.
διανεμηθῆναι, ἄληκτα λέγεται.

1183 Ἀληλεσμένον· Θουκυδίδης· σῖτόν τε ἀληλεσμένον τὸν βου- E
λόμενον ἀργυρίου πολλοῦ ὠνήσασθαι. καὶ Ἀληλεσμένον βίον Σ
οἱ μὲν ἐπὶ τῶν βαλανίτῃ βίῳ χρωμένων ἐδέξαντο, οἱ δὲ ἐπὶ τῶν ἀταλαιπώρως βιούντων, οἷον κατειργασμένον, πρὸς τροφὴν ἕτοιμον. καὶ Prov.
Soph. + Σ 1428 Ἀλύειν: τὸ ἐν ἄλῃ δυσφορεῖν. σημαίνει δὲ ἐνίοτε καὶ τὸ γεγηθέναι, ἀπὸ τῆς ἀλέας καὶ διαχύσεως. Ὅμηρος· ἦ ἀλύεις, ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην; ὅθεν καὶ δακύνεται. Σοφοκλῆς· ἐᾶτέ μ' ὦδ' Ε ἀλύειν, ἐπὶ δὲ τοῦ δυσφορεῖν καὶ ψιλοῦται. Ἀγαθίας φησίν· ἀλύοντι δέ οἱ καὶ γνωματεύοντι ἕκαστα, ἔδοξε χρῆναι ἀποπειρᾶσθαι ἀμηΣ γέπη τοῦ φρουρίου. Δίδυμος δὲ ἀμφότερα ψιλῶς. τὸ μὲν γὰρ ἀπὸ τοῦ ἀλεαίνεσθαί φησιν, τὸ δὲ ἀπὸ τῆς ἄλης. Ἀττικώτερον δὲ τὸ ἀμφότερα δακύνειν. καὶ γὰρ τὸ ἀλεαίνεσθαι δακύνουσιν οἱ Ἀττικοὶ καὶ πάντα τὰ τοιαῦτα.

Call. 1429 Ἁλυκόν: δριμύ. ἁλυκὸν δέ οἱ ἔκπεσε δάκρυ.

Call. 1430 Ἀλυκρά: χλιαρά. γέντο δ' ἀλυκρά.

Σ | 1431 Ἀλυκτεῖν: δυσφορεῖν. ἀγανακτεῖν.

Δ 1432 Ἄλυκτον: τὸ ἄφυκτον.

Δ 1433 Ἀλυκτοπέδη: ἡ χαλεπὴ πέδη.

Δ 1434 Ἀλυκτοσύνη: ἡ ἔκκλισις.

Σ 1435 Ἀλύξαι: ἐκφυγεῖν· ἢ καταξύσαι.

1423 — πεδίου Nic. Dam. fr. 63 + 65, FGrHist = EV 1, 343, 21—24, 344, 5—13 1424 = Ambr. 1292b cf. Eust. in Dionys. 64 1425 = Ambr. 1119 1426 = Ambr. 1161 1427 — ἀπορεῖ = P, Σ^{e} ἀλύω sq. cf. ad 1417 1428 — ἀλήτην + ἐᾶτε—ἀλύειν Soph. El. 135 c. sch.; Ὅμηρος—δακύνεται + ἐπί—ψιλοῦται + Δίδυμος (p. 185 Schmidt) sq. cf. P, Ba 71, 30, Eust. O. 1636, 25 = Ael. D. (Reitz. ad Phot. cf. Schwabe p. 103 sq.); c 332 ἁλύοντι—φρουρίου Agath. 1, 10, p. 33 1429 Call. fr. 52 K., an. 5 S. c. sch. 1430 Call. fr. 22 K., an. 6 S. c. sch.; γέντο sq. = Et. M. 71, 31 1431 — δυσφορεῖν = P, Ba 77, 12, Eust. O. 1636, 29 cf. Ambr. 1466 1432 = Ambr. 1392 1433 l. = Ambr. 1318 1434 cf. Ambr. 1301 = Zon. 128 1435 = P, Ba 71, 29

1423 hinc 441, Z 123; cf. v. Κροῖσος 1424 Z 128 1425—6 Z 123 1428 Agath. cf. 1575 1429—30 Z 133 1431 Z 138

A(GITSM) 4 ἐς] εἰς S Exc. 5 δέ alt. om. SM στρατεύσας] στρατεύσας δέ M 11 Ἀλύδενος] Ἀλοίδαινος Ambr. 12 ὁ] ἡ A 13 ἀλύουσα nov. gl. AS 17 δακύνεται S δακύνειν G δακύνει T cp. AI Σοφοκλῆς] ὁ Σ. GIT 22 τὸ ἀμφότερα GITM Phot. Eust. τὰ ἀ. AS

1436 Ἀλύω: τὸ χαίρω καὶ ἀλύω τὸ λυποῦμαι. Suid.
1437 Ἀλυπότερος: ὁ μὴ λυπούμενος. Δ + Σ
1438 Ἀλυσείδιον· καὶ Ἀλυσειδωτὸς θώραξ. Δ
1439 Ἄλυσις, ἁλύσεως. Δ
1440 Ἀλύσιον: πλοκίου γένος περὶ τὸν τράχηλον. Μένανδρος Καρίνῃ· Σ
περὶ τὸν τράχηλον ἁλύσιόν τί σοι δότω.
1441 Ἀλυσιτελές: ἀσύμφορον. Σ
1442 Ἀλυσκάζειν: περιΐστασθαι, ἐκκλίνειν, φεύγειν. εἰ γὰρ φέγγος Σ + Hom.
ἔλιπον ἀλυσκάζουσαι ἰάμβων ἄγριον Ἀρχιλόχου φθέγμα Λυκαμβιάδες. Anth.
1443 Ἄλυτα: ὄνομα πόλεως. Δ
1444 Ἄλλυτος: δυσχερῶς λυομένη. ἐν Ἐπιγράμμασι· κακοῦ δ' ἐπὶ Anth.
γήραος ἡμῖν ἄλλυτος ἡβάσκει γυιοτακὴς πενίη.
1445 Ἄλφα· ὅτι τὰ ἄκλιτα, οἷον τὸ ἄλφα, χωρὶς ἄρθρου δίδωσιν
ὑπόνοιαν εὐθείας, εἰ δὲ σὺν ἄρθρῳ πλαγίας πτώσεως. ὅτι ἡ τοῦ Suid.
ἄλφα φωνή, τοῦ πρώτου στοιχείου καὶ ἄρχοντος, ἀπὸ τοῦ Ἄλεφ Ἑβραίου τὴν
ἐπίκλησιν ἔλαβεν· ὥστε τὰ ἱερὰ γράμματα εὑρήματα εἶναι τοῦ Ἀβραάμ, κἂν
ἄλλως καὶ ἄλλως ἑαυτοὺς διαπαίζοντες ἀναγράφωσιν Ἕλληνες.
1446 Ἀλφάνει: εὑρίσκει. Μένανδρος Ὁμοπατρίοις· ἦν δῆλον οὔτι Σ
νυμφίος τε ἀλφάνει. Ἀριστοφάνης Θεσμοφοριαζούσαις· οἶμοι κακο-
δαίμων τῆς τόθ' ἡμέρας, ὅτε εἶπέ μ' ὁ κήρυξ· οὗτος ἀλφάνει. Εὔπολις
Ταξιάρχαις· οὐ θᾶττον αὐτὴν δεῦρό μοι τῶν τοξοτῶν ἀποκηρύξει τις,
ἐὰν ἀλφάνῃ. καὶ ὁ Ποιητής· ἑκατόμβοιον ὅς τ' ἀλφάνει.
1447 Ἀλφεσίβοια: εὑρετικὴ βοῶν. Δ
1448 Ἀλφειός: ποταμός. Ὅμηρος· ὅς τ' εὐρὺ ῥέει Πυλίων διὰ Δ
γαίης. ὃς ἐκ τῆς πηγῆς εὐθέως κρύπτεται καὶ πολὺν ἐνεχθεὶς τόπον EV
ὑπὸ γῆς ἐκβάλλει περὶ Λυκόαν τῆς Ἀρκαδίας. ὁ δὲ ποταμὸς οὐ πολὺν
τόπον ἀποσχὼν τῆς πηγῆς καὶ κρυφθεὶς ἐπὶ δέκα σταδίους πάλιν ἐκ-
πίπτει, καὶ τὸ λοιπὸν φερόμενος διὰ τῆς Μεγαλοπολίτιδος τὰς μὲν
ἀρχὰς ἐλαφρός, εἶτα λαμβάνων αὔξησιν καὶ διανύσας ἐπιφανῶς πᾶσαν
τὴν προειρημένην χώραν ἐπὶ δέκα σταδίους, γίνεται πρὸς Λυκόαν, ἤδη
προσειληφὼς καὶ τὸ τοῦ Λουσίου ῥεῦμα, παντελῶς ἄβατος ὢν καὶ βαρύς.
ζήτει περὶ τούτου καὶ ἐν τῷ Ἀρέθουσα.

1437 cf. Ba 77, 13 v. ἄλυπος = P 1438 = Ambr. 1411 et 1138
1440 = P, Ba 72, 10; — τράχηλον = H; Men. com. fr. 258 1441 = Ba 72, 15,
P, H 1442 — ἐκκλίνειν = P; ἐκκλίνειν, φεύγειν cf. sch. Ε 253, Eust. O. 1636,
28, H εἰ sq. Anth. 7, 70, 3—4 1443 = Ambr. 1332 1444 κακοῦ sq.
Anth. 6, 30, 5—6 1446 = P, Ba 73, 24; Men. com. fr. 362; Ar. fr. 324; Eup.
fr. 258; Φ 79 1447 = Ambr. 1302 1448 — ποταμός = Ambr. 1259; ὅστ'—
γαίης Ε 545 ὃς ἐκ—βαρύς Polyb. 16, 17, 5—7 = EV 2, 147, 23—148, 2

1436 ex 1417 1442 hinc v. Λυκαμβιάδες 1445 vs. 14 ὅτι sq. ex 69
1446 Z 138 cf. v. τιμαλφέστερον 1447 Z 129 1448 Μεγαλοπολίτιδος hinc v.

1436 ex A mg. 4 Ἄλυσις om. A 5 Καρίνῃ Ba Kust. Καρίνῳ omnes A(GITSM)
11 Ἄλλυτος] Ἄλυτος GITS 12 ἡβάσκει I^{ac}T Anth. ἡβάσκοι rell.
14 ὅτι—17 Ἕλληνες om. AS post l. I post 1442 T 22 ἀλφάνῃ] ἀλφάνει
A Phot. καὶ ὁ Ποιητής] Εὔπολις A 30 γίνεται GIS Polyb. ἐκφανὴς
γίνεται M; γίνεται πρός om. cum rasura A 31 Λουσίου AGI Polyb. Λυσίου
SM Exc.

Greg. 1449 Ἀλφειός: ποταμὸς τῆς Ἀρκαδικῆς πόλεως, ἣ κεῖται κατὰ τὴν Πελοπόννησον. δυόμενος δὲ διὰ τῆς Ἀδριάδος θαλάσσης τὸ πέλαγος, μηδαμῶς τε τῇ ἁλμυρίδι μιγνύμενος, κατὰ τὴν νῆσον ἀναδίδοται Σικελίας περὶ τὴν πηγὴν τὴν λεγομένην Ἀρέθουσαν, ὡς ἂν ταύτης ἐρώ-
Ar. μενος. ἀλλ' οὗτοι τρέχει τις Ἀλφειὸν πνέων. οὕτω συντόμως τρέχει ὡσεὶ Ὀλυμπιακὸς σταδιοδρόμος, ἀπὸ τοῦ παραρρέοντος ποταμοῦ. περὶ τούτου οἶμαι τὸν Θεόλογον λέγειν· καὶ εἴ τις ποταμὸς πιστεύεται δι' ἅλμης ῥέων γλυκύς.

Δ 1450 Ἀλφηστής: εὑρετής.

Σ 1451 Ἄλφι: ἄλφιτον. τοῦτο δὲ καλεῖται ἀπότρωκτον, ὅ φασι πρῶτον εὑρεῖν Ἐπίχαρμον.

Δ 1452 Ἄλφιτα: τὰ ἀπὸ νέας κριθῆς ἄλευρα. πολλὰ μὲν ἄλφιτα
E ἀπέκειτο πεφυρμένα, πολλαὶ δὲ κριθαὶ ἀλεῖν· μύλη γάρ τις ἦν αὐτόθι.

Ar. 1453 Ἀλφιταμοιβούς· Ἀριστοφάνης· ἢν δ' ἀποκλίνῃ τὴν θύραν, τοὺς ἀλφιταμοιβοὺς τοῖς ἀπόροις τρεῖς χοίνικας δεῖπνον παρέχειν ἅπασιν ἢ κλαίειν μακρά.

Σ 1454 Ἀλφιτεῖς: οἱ τὰ ἄλφιτα ποιοῦντες. Ὑπερίδης.

Δ 1455 Ἀλφιτόπωλις: ἡ τὰ ἄλφιτα πωλοῦσα.

Δ 1456 Ἀλφιτοσιτῶ. καὶ γὰρ ὅστις ἀλφιτοσιτεῖ, ὕδατι μεμιγμένην
E ἀεὶ τὴν μάζαν ἐσθίει. Ξενοφῶν.

Σ 1457 Ἀλφούς: λευκοὺς ἢ λευκάς.

Rhet. 1458 Ἅμα· δοτικῇ. Δημοσθένης ἐπὶ τοῦ εὐθέως καὶ παραχρῆμα ἔταξε, καὶ ἐν τῷ ὑπὲρ τῶν ῥητόρων λόγῳ εἰπών· οὐ γὰρ ὁ θάνατος τοῖς εὖ φρονοῦσιν οἰκτρός· τοῦτο γὰρ ἅμα τῷ γενέσθαι πάντων κατέγνωσται. Αἰσχίνης δὲ ἐπὶ τοῦ κατὰ τὸν αὐτὸν καιρὸν ἐν τῷ κατὰ Κτησιφῶντος· ὡς ἀπέδοτο τριάκοντα μνῶν ἅμα τήν τε εἰς αὐτὸν ὕβριν καὶ τὴν τοῦ δήμου καταχειροτονίαν. καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου. καὶ παρὰ τῷ Ἀντιφῶντι δὲ τὸ ἅμα κεῖται ἐπὶ τὸ αὐτό. φησὶ γὰρ ἐν Προοιμίοις· ἀλλ' εἰ τότε πρᾶγμά μοι κρεῖττον φαίνεται, ἅμα τε μαρτυρία ἀρετῆς πράξομαι. καὶ παρὰ Δημοσθένει ἐν τῷ περὶ τοῦ στεφάνου· πάσαις δὲ λοιδορίαις καὶ βλασφημίαις ἅμα τούτου κεχρημένου.

1449 — ἐρώμενος sch. Greg. Cat. Bodl. p. 52 ἀλλ'—ποταμοῦ Ar. Av. 1121 c. sch. καί εἰ—γλυκύς Greg. Naz. PG 36, 524c 1450 = Ambr. 1121 cf. sch. v 261 = Et. M. 72, 46 1451 = P, Ba 72, 13 cf. H 1452 — ἄλευρα = H cf. Bk. 202, 19, Ambr. 1373 1453 Ar. Eccl. 420, 424—5 1454 = P, Ba 72, 19; Hyper. fr. 224 1456 Xen. Cyr. 6, 2, 28 1457 = P, Ba 72, 16 cf. H 1458 — δοτικῇ = Synt. Gud. et Laur. Δημοσθένης—ἔταξε + Αἰσχίνης —καιρόν = Bk. 216, 4 cf. 183, 7; οὐ γάρ—κατέγνωσται Dem. fr. 12; Aesch. 3, 52; Dem. 21, 122; Antiph. fr. 71; Dem. 18, 34

1449 sch. Greg. cf. 3821; Z 123; Ar. cf. 1362 1451 hinc 3618 1452 — ἄλευρα Z 133; μύλη sq. cf. v. B 545 extr. 1453 cf. v. τετραστατήρου 1454 Z 123 1456 cf. v. μάζα 1458 — ἔταξε Z 164

A(GITSMB) 2 τό] εἰς τό M 6 Ολυμπιακός SM Ὀλυμπικός AGI 7 περί—8 γλυκύς ex mg. M (lacerat.) et B 10 ἄλφιτον—11 εὑρεῖν bis, om. 12 Ἄλφιτα—12 ἄλφιτα A 13 πεφυρμένα] πεφυραμένα Cobet Coll. 163 18 Ἀλφιτόπωλις ἡ] Ἀμφιτόπολις οἱ A

1459 Ἄμμα: ἐπὶ τῶν σκολιῶν τοὺς τρόπους, ἀπὸ τῶν ἐν Κασίῳ Πηλουσιωτῶν, οἱ φυσικῇ τέχνῃ ἄμματα ἔπλεκον δοκοὺς ἐπὶ δοκοῖς συνάπτοντες. Prov.

1460 Ἄμα δίδου καὶ λάμβανε: παροιμία ἐπὶ τῶν ἀγνωμόνων καὶ ἀπίστων. Prov.

1461 Ἀμάδοκος· δύο γεγόναci, πατὴρ καὶ υἱός· ὃς καὶ Φιλίππῳ συμμαχήσων ἦλθεν εἰς τὸν κατὰ Κερσοβλέπτου πόλεμον. Harp

1462 Ἄμα ἔπος, ἅμα ἔργον: παροιμία ἐπὶ τῶν ταχέως καὶ ὀξέως ἀνυομένων. Prov.

1463 Ἀμάλη: ὁ καρπός. καὶ παροιμία· Αὐταῖς ἀμάλαις· ἐπὶ τῶν πανωλεθρίᾳ διαφθειρομένων, οἱονεὶ αὐτοῖς βάθροις. Δ Prov.

1464 Ἄμ' ἠλέηται καὶ τέθνηκεν ἡ χάρις: παροιμία ἐπὶ τῶν εὐεργετουμένων καὶ ταχὺ ἐπιλανθανομένων. Prov. Prov.

1465 Ἀμαζόνειον: ἱερόν, ὃ Ἀμαζόνες ἱδρύσαντο. οὕτως Ἰcαῖος. καὶ Ἀμαζόνειον κέρας. Harp. Δ

1466 Ἀμαθέσιν: ἀνηκόοις. ὁ δὲ ἤλαυνε νυκτὸς ἀμαθέσι τῶν ποιουμένων χρῆζων τοῖς πολεμίοις ἐπιπεσεῖν. E

1467 Ἀμαθέστερος. καὶ Ἀμαθής· ἀντὶ τοῦ ἀπαίδευτος καὶ ἀκόσμητος· Πλάτων. τάσσεται δὲ καὶ ἐπὶ τοῦ δυσμαθοῦς καὶ ἐπὶ τοῦ μὴ μαθόντος, φύσει δὲ ἐπισταμένου. Δ Σ

1468 Ἀμαθεί: ἀδιδάκτως. Ἀμαθὶ δὲ ὄνομα κύριον. Δ

1469 Ἀμαθής: ἀμύητος, ἀδίδακτος. ὁ δὲ ἀκούει ταῦτα καὶ μὴ ὢν ἀμαθὴς οἰωνῶν τὸν παῖδα ἐπανάγει καὶ ἐκτρέφει ὡς γνήσιον. E

1470 Ἀμάθητος: ἀδίδακτος. ὁ δὲ Ἰουστῖνος ἀμάθητος ἦν γραμμάτων ἁπάντων καὶ τὸ δὴ λεγόμενον ἀναλφάβητος. καὶ, ἀμαθὴς ἔφυς κοὐ πολυπράγμων οὐδὲ τὸν Αἴσωπον πεπάτηκας. ἐπὶ τῶν ἰδιωτῶν. τὸ δὲ πατῆσαι ἶσόν ἐστι τῷ ἐνδιατρίψαι· ὡς τὸ ἀφικέσθαι που λέγομεν. καὶ αὖθις Ἀριστοφάνης· ἀμαθέστερόν πως εἰπὲ καὶ σαφέστερον. παρὰ τὴν παροιμίαν, σαφέστερόν μοι κἀμαθέστερον φράσον. E Ar.

1471 Ἀμαθία: ἀντὶ τοῦ ἀναισθησία. Πλάτων. Σ

1472 Ἄμαθος: ἡ τῆς πεδιάδος κόνις. Ψάμαθος δὲ ἡ τῆς θαλάσσης. Hom.

1459 = Paroem. ed. Gsf. 62, n. 527 1460 = Macar. I 97 1461 Harp. = P 1462 = Zen. I 77 1463 αὐταῖς sq. = Philol. Suppl. 6, 260, n. 253 1464 = Zen. I 81 1465 — Ἰcαῖος (fr. 27) Harp. = P Ἀμαζόνειον κέρας = Ambr. 1736 1467 ἀμαθὴς sq. = P, Phryn. fr. 166; Pl. Ap. 22e 1468 l. = Ambr. 1800; ἀμαθί sq. = Ambr. 1567 1469 ὁ sq. Aelian. fr. 198 1470 ὁ—ἀναλφάβητος Proc. h. a. 6, 11 ἀμαθὴς ἔφυς—λέγομεν Ar. Av. 471 c. sch.; ἀμαθέστερον sq. Ar. Ran. 1445 c. sch. 1471 = P, Phryn. fr. 165; Pl. Leg. 689a cett. 1472 sch. Ε 587 cf. H, Ammon.; — κόνις = Orion 13, 3, Et. Gud.

1459 cf. 1510 1461 hinc v. Κερσοβλέπτης 1462 cf. v. ἰὸ' ἀφύη πῦρ 1463 cf. 4465 1467—70 Z 140 1470 Proc. cf. 1952 et v. Ἰουστῖνος. Ar. Av. cf. v. πατῆσαι; Ar. Ran. cf. v. σαφέστερον 1471 Z 146 1472 hinc v. ψάμαθος

6 υἱός] ὁ υἱός A 1463—4 extra ord. 12 ἠλέηται Paroem. ἠλέτηται MΥΡ A(GITSM) ἤλετε G^{ec} εἴλετε G^{ac}ITSM^{ac} εἴλε τε A 25 ἔφυς] ἔφας GIT

Suid. 1473 Ἀμαθοῦς: πόλις Κύπρου.

1474 Ἄμα κνέφᾳ: ὄρθρου. καὶ Κνεφαῖον λέγουσι τὸν ὄρθριον.

Ε 1475 Ἀμαλασούνθα· αὕτη μήτηρ Ἀταλαρίχου. ἥτις δικαιοσύνης ἐπὶ πλεῖστον ἐλθοῦσα, τῆς τε φύσεως ἐς ἄγαν τὸ ἀρρενωπὸν ἐνδεικνυμένη, ὅσον χρόνον τῆς πολιτείας προὔστη, οὐδένα τῶν πάντων Ῥωμαίων ἐς τὸ σῶμα ἐκόλασεν ἢ χρήμασιν ἐζημίωσεν. οὐ μὴν οὐδὲ Γότθοις ξυνεχώρησεν ἐς τὴν ἐς ἐκείνους ἀδικίαν ὀργῶσιν. ἐβούλετο δὲ καὶ τὸν παῖδα τοῖς Ῥωμαίων ἄρχουσι τὰ ἐς τὴν δίαιταν ὁμότροπον κατασταθῆναι καὶ φοιτᾶν ἐς γραμματιστοῦ ἤδη ἠνάγκαζε· τρεῖς τε ἀπολεξαμένη τῶν ἐν Γότθοις γερόντων, οὕσπερ ἠπίστατο μᾶλλον ἁπάντων ξυνετούς τε καὶ ἐπιεικεῖς εἶναι, ξυνδιαιτᾶσθαι Ἀταλαρίχῳ ἐκέλευσε. Γότθοις δὲ ταῦτα οὐδαμῇ ἤρεσκε. τῇ γὰρ ἐς τοὺς ὑπηκόους ἀδικίας ἐπιθυμίᾳ βαρβαρικώτερον πρὸς αὐτοῦ ἄρχεσθαι ἤθελον. καί ποτε ἡ μήτηρ ἁμαρτάνοντά τι ἐν τῷ κοινῷ τὸν παῖδα λαβοῦσα ἐρράπισε, καὶ ὃς δεδακρυμένος ἐς τὴν ἀνδρωνῖτιν ἐνθένδε ἀπῆλθε. Γότθοι δὲ αὐτῷ ἐντυχόντες δεινὰ ἐποιοῦντο καὶ τῇ Ἀμαλασούνθῃ λοιδορούμενοι ἰσχυρίζοντο βούλεσθαί τε αὐτὴν τὸν παῖδα ἐξ ἀνθρώπων ἀφανιεῖν ὅτι τάχιστα, ὅπως αὐτὴ ἑτέρῳ ἀνδρὶ ἐς κοίτην ἐλθοῦσα ξὺν αὐτῷ ἄρχοι. ξυλλεγέντες δὲ ἠτιῶντο οὐκ ὀρθῶς σφίσιν οὐδὲ οἱ τὸν βασιλέα παιδεύεσθαι. γράμματά τε γὰρ πολὺ κεχωρίσθαι ἀνδρίας καὶ διδασκαλίαν γερόντων ἀνθρώπων ἔς τε τὸ δειλὸν καὶ τὸ ταπεινὸν ἀποκρίνεσθαι ἐκ τοῦ ἐπὶ πλεῖστον. δεῖν τοίνυν τὸν ἔν τινι ἔργῳ τολμητήν τε καὶ δόξῃ μέγαν ἐσόμενον, φόβου τοῦ ἐκ διδασκάλων ἀπαλλαγέντα, τὰς ἐν τοῖς ὅπλοις μελέτας ποιεῖσθαι. ἔλεγον δὲ καὶ ὡς ἥνπερ αὐτοῖς τὸ ἀπὸ τοῦ σκύτους ἐπιγένηται δέος, οὐ μήποτε ξίφους ἢ δορατίου ὑπερφρονεῖν ἀξιώσουσιν. οὐκοῦν, ὦ δέσποινα, ἔφασαν, παιδαγωγοὺς μὲν τούτους χαίρειν ἔα, σὺ δὲ Ἀταλαρίχῳ παῖδας ὁμοδιαίτους ἡλικας δίδου, οἵπερ αὐτὸν τὰ ἐς τὴν ἡλικίαν ξυνακμάζοντες ἐς τὴν ἀρετὴν κατά γε τὸν βάρβαρον νόμον ὁρμήσουσιν. ἡ δὲ οὐκ ἐπήνεσε μέν, δείσασα δὲ τὴν ἐξ αὐτῶν ἐπιβουλὴν ξυνεχώρησε πάντα, ὅσα οἱ βάρβαροι ἤθελον.

Δ 1476 Ἀμαλήκ: ὄνομα κύριον. καὶ ἐξ αὐτοῦ Ἀμαληκίτης.

Σ 1477 Ἀμάλθακτον: ἀνένδοτον, ἑδραῖον.

1474 l. = Xen. Cyr. 4, 2, 15 1475 Proc. bell. 5, 2, 3—18 1476 — κύριον = Ambr. 1544; Ἀμαληκίτης cf. Ambr. 1631 1477 = P

1475 hinc 4311

A(GITFSM) 1473 om. GTS post 1474 I 2 κνέφᾳ Schweigh. κνέφε omnes κνέφαιον I cf. v., κνέφεον rell. 4 ἥτις] ἡ τῆς SM 5 ἄγαν] ἄγαν καί A 10 καὶ φοιτᾶν] ἐφοιτᾶν A 16 ἀνδρωνίτιν] ἀνδρωνίτην A cf. Proc. 18 τε] γε FM^{ac} 20 οἱ] εἰ ASF cf. Proc. 21 ἀνδρίας AFM^{oc} ἀνδρείας rell. cf. Proc. 25 καί om. S ἥνπερ AGIT Proc. εἵπερ S ἅνπερ FM αὐτοῖς] αὐτῷ FM 30 ὁρμήσουσιν FSM ὁρμήσωσιν AGIT cf. Proc. ἐπήνεσε] ἐπένευσε FM 34 Ἀμάλθακτον] Ἀμάλθατον A

1478 Ἀμαλθείας κέρας: ἐπὶ τῶν ἀφθόνως ζώντων καὶ εὐθυνούν- Prov.
των καὶ εὐπραγούντων. ἐν Μύθοις· ἔνθ' ἵνα μοι βίος ἐστὶν Ἀμαλ-
θείης κέρας αἰγός. Ἀμάλθεια γὰρ ἡ τροφὸς τοῦ Διὸς παρὰ τὸ Ecl.
μὴ μαλάσσεσθαι.
1479 Ἀμαλδυνθήσομαι: ἀφανισθήσομαι. καὶ Ἀμαλδύνεσθαι, Ar.
ἀφανίζεσθαι. Σ
1480 Ἀμαλκείδης. Suid.
1481 Ἀμαλλοδετήρ: ὁ τὰ δράγματα συλλέγων. Δ
1482 Ἀμάμυξις: σταφυλῆς γένος. οἱ δὲ τὴν ἀναδενδράδα οὕτως Σ?
καλεῖσθαι. ἔστι δὲ καὶ παρ' Ἐπιχάρμῳ καὶ παρὰ Σαπφοῖ τὸ ὄνομα.
1483 Ἀμάν· οὗτος προεστὼς τῶν βασιλικῶν πραγμάτων Δαρείου
ὑπέσχετο τῷ βασιλεῖ μύρια τάλαντα εἰσοίσειν, εἰ ἀπολέσαι Ἰουδαίους.
ὡς δὲ ἔπεισεν, ἐπεστάλη τοῖς ἔθνεσιν ἐν μιᾷ ἡμέρᾳ πάντας ἐξαφανίσαι.
πρὶν δὲ συντελεσθῆναι ταῦτα Μαρδοχαῖος τὴν κατ' αὐτῶν ἐπίθεσιν διὰ
τῆς Ἐσθὴρ ἐδήλωσε τῷ βασιλεῖ. ὁ δὲ τὰ ἐπισταλέντα ἀνεκαλεῖτο τόν
τε Ἀμὰν ἀνεσταύρωσε, μέλλοντα σταυροῦν τὸν Μαρδοχαῖον, πλεῖστοί
τε τῶν ἐχθρῶν ὑπὸ τῶν Ἰουδαίων ἀπώλλυντο· καὶ τὰς ἡμέρας ἐκείνας
ἑορτάζουσιν Ἰουδαῖοι. ζήτει ἐν τῷ Ἐσθήρ.
1484 Ἀμᾶν: θερίζειν, παρὰ τὸ ἅμα. Βάβριος· νῦν ἐστιν ὄντως, Σ
παῖδες, ἐκ τόπων φεύγειν, ὅτ' αὐτὸς ἀμᾷ κοὐ φίλοισι πιστεύει.
1485 Ἀμμανίται: ὄνομα ἔθνους. σημαίνει δὲ καὶ τοὺς μύκητας. Δ
1486 Ἄμαξα τὸν βοῦν ἕλκει. Σ
1487 Ἁμαξεία: ὁ τῶν ἁμαξῶν φόρτος. Δ
1488 Ἁμαξίς: εἶδος πλακοῦντος, ἣν νῦν κοπτὴν φαμέν. Σύμμαχος Ar.
δὲ καὶ τὸ μικρὸν ἁμάξιον. Ἀριστοφάνης Νεφέλαις· ὅτ' ἐπριάμην σοι
Διασίοις ἁμαξίδα.
1489 Ἀμαξιτόν: ὁδὸν δημοσίαν. Μάλχος· ἡ δὲ εἰσβολὴ τῆς Σ
Κιλικίας ἁμαξιτὸς ἦν ὁδός, ὀρθία ἰσχυρῶς καὶ ἀμήχανος εἰσελθεῖν στρα- E
τεύματι, εἴ τις ἐκώλυεν.

1478 — εὐπραγούντων cf. Philol. Suppl. 6, 258, n. 124; l. = Ambr. 1711 ἔνθ'—αἰγός Babr. p. 217 Ἀμάλθεια sq. = Et. M. 76, 32, Et. Gen. 1479 — ἀφανισθήσομαι sch. Ar. Pac. 380 ἁμαλδύνεσθαι sq. = P cf. H 1481 = Ambr. 1516 cf. sch. Σ 553, Et. M. 76, 44, H 1482 — καλεῖσθαι cf. sch. Ar. Vsp. 326, H v. ἀμάμυξ et ἄμαξις; ἀναδενδράδα sq. cf. Et. M. 77, 1 (= Et. Gen. Reitz. Gesch. p. 13); Epich. fr. 24; Sapph. fr. 150 1484 — ἅμα = Ba 78, 21, H cf. Et. M. 76, 49 (= Et. Gen. ex Orione 175, 29); — θερίζειν = Ambr. 1757 cf. 1762 νῦν sq. Babr. 88, 18—19 1485 — ἔθνους = Ambr. 1629 μύκηται cf. Nicand. ap. Ath. 2 p. 61a 1486 = P 1487 l. = Ambr. 1694 1488 Ar. Nu. 864 c. sch. 1489 — δημοσίαν = P, Ba 78, 22, H cf. Ambr. 1662 Μάλχος cf. Byz. Zt. 21, 418; ἡ sq. Xen. An. 1, 2, 21

1480 ex v. Τριτοπάτορες 1481 Z 141 1482 hinc 1846, Eust. O. 1524, 32 1488 Z 140 1485 Z 140 1487 Z 146 1488 Z 148; cf. v. Διάσια

1 εὐθυνούντων] εὐθηνούντων M 2 ἔνθ'] ἔλθ' Kidd. 3 Ἀμαλθείης A(GITFSM) AGI Ἀμαλθείας TS Ἀμαλθίας FM 1480 om. FS post 1478 A 1483 om. T mg. A 12 εἰ] καί G om. F 19 Ἀμάν] καὶ Ἀμᾶν A 27 Μάλχος om. TF

Δ 1490 Ἀμαξουργοί. ἁμαξουργοὺς λέγουσι τοὺς ἁγριοπηγούς. εἶδος
Ar. δὲ οἱ ἁγριοπηγοὶ τεκτόνων, οἳ τὰς ἁμάξας κατασκευάζουσι καὶ πάντων τῶν ἀγρίων ξύλων εἰσὶν ἐργάται.

Δ 1491 Ἀμάρη: ἡ ὑδρορρόα.

Δ 1492 Ἀμαρτάδας: ἀπὸ τῆς ἁμαρτὰς εὐθείας. Προκόπιος· αἱ τῶν
Ε γυναικῶν ἁμαρτάδες οὐκ ἐπὶ τοὺς ἄνδρας ἵενται μόνον, ἀλλὰ καὶ παίδων ἅπτονται μᾶλλον, οὕς γε καὶ δόξαν τινὰ φέρεσθαι ἐκ τοῦ ἐπιπλεῖστον τυμβήσεται, ὡς φύσει τρόπου ταῖς γειναμέναις ἐοίκασιν.

Σ Synt. 1493 Ἀμαρτεῖν: ἀποτυχεῖν. γενικῆ.

Synt. Δ 1494 Ἀμάρτη· γενικῇ καὶ δοτικῇ. αὐθυπότακτον· Ἀμαρτῇ δὲ ἐπίρ-
Synt. ρημα. Ἀμαρτάνω δὲ δοτικῇ.

1495 Ἀμαρτήσοι: οὐχ ὑποτάσσεται. ἐὰν ἁμαρτήσει. διὰ διφθόγγου.

Eol. 1496 Ἀμαρτία: ἡ τοῦ ἀγαθοῦ ἀποτυχία. παρὰ τὸ μάρπτω, τὸ καταλαμβάνω, ἀμαρπτία τις οὖσα.

Σ 1497 Ἀμαρτίαν οἱ Ἀττικοί, Ἀμαρτάδα Ἡρόδοτος καὶ ἄλλοι Ἴωνες.

Thdr. 1498 Ἀμαρτωλοί: οἱ παρανομίᾳ συζῆν προαιρούμενοι καὶ βίον διεφθαρμένον ἀσπαζόμενοι.

Σ 1499 Ἀμαρτοῖν εἴρηκε τὸ ἁμάρτοιμι Κρατῖνος Δραπέτισι· ποδαπὰς ὑμᾶς εἶναι φάσκων, ὦ μείρακες, οὐκ ἂν ἁμαρτοῖν. καὶ ὅλως σύνηθες αὐτοῖς τὸ τοιοῦτον.

Σ 1500 Ἀμαρτυρήτους: ἀντὶ τοῦ ἀμαρτύρους. οὕτως Ἀντιφάνης.

Σ 1501 Ἀμαρυγάς: ὄψεις. οἱ δὲ ἀκτῖνας ὄψεως. καὶ Ἀμαρυγή, λαμ-
Ar. πηδών. καὶ παρὰ Ἀριστοφάνει ἡ κίνησις. ὠκεῖα Μουσάων φάτις, οἵαπερ ἵππων ἀμαρυγά. τουτέστιν ἡ τῶν Μουσῶν φάτις ταχεῖά ἐστιν, ὡς ἵππος ὠκεῖα, ἐπεὶ πτερόεντες οἱ λόγοι.

Δ 1502 Ἀμαρυγκεύς: ὄνομα. καὶ Ἀμαρυγκείδης.

Σ 1503 Ἀμάρυγμα: φόρημα, εἴδωλον, κίνησιν, οἱ δὲ λαμπηδόνα.

Prov. 1504 Ἄμας ἀπήτουν, οἱ δ' ἀπηρνοῦντο σκάφας: ἐπὶ τῶν ἄλλα μὲν αἰτούντων, ἄλλα δὲ τῶν αἰτουμένων ἔχειν ἀπαρνουμένων.

1490 sch. Ar. Eq. 464 1491 = Ambr. 1655, Ap. S. 25, 23, P cf. H, sch. Φ 259, Et. M. 77, 14 1492 αἱ sq. Proc. h. a. 2, 10 1493 — ἀποτυχεῖν = P cf. Ambr. 1763, H γενικῇ = Synt. Laur. 1494 αὐθυπότακτον = Ambr. 1772: ἁμαρτῇ sq. cf. Ambr. 1791 1496 = Et. Gud. cf. Et. Gen. 1497 = P cf. H; Hdt. 1, 91, 1 cf. Latte, Herm. 50, 347 1498 Thdr. in Ps. 1, 1, PG 80, 868d 1499 ποδαπάς—ἁμαρτοῖν Cratin. fr. 55 1500 cf. P v. ἀμαρτυρήτως; Antiphan. fr. 311 (2, 131 K.) 1501 — λαμπηδών = P, Ba 78, 23—4 cf. H; — ὄψεως = Et. M. 77, 25 ὠκεῖα sq. Ar. Av. 924 c. sch. 1502 = Ambr. 1547—48 1503 = Σ^{a}, Ba 78, 25, P, Et. M. 77, 26 1504 = Zen. I 83

1492 — εὐθείας Z 146 1500 Z 141 1504 cf. 1574

A(GITFSM) 4 ὑδρορρόα GM cf. Hes. ὑδρορόα rell. cf. Ambr. Phot. 10 αὐθυπότακτον TS αὐθυποτάκτως GI αὐθυπαρκτικόν A δέ om. S 11 ἁμαρτάνω δὲ δοτικῇ om. GTFS; mg. et textu A 1495 om. T 12 Ἀμαρτήσοι] ἁμαρτήσει SM ὑποτάσσεται] ὑποτάσσει AF διὰ διφθόγγου om. S 13 καταλαμβάνω] λαμβάνω FSM 15 Ἀττικοί] Ἀττικῶς A ἁμαρτάδα Phot. Hdt. ἁμαρτίδα omnes 19 Ἁμαρτοῖν] δυϊκόν add. GIT 20 ἁμαρτοῖν] ἁμαρτεῖν ITS^{ac} 22 Ἀντιφάνης] Ἀντιφῶν Phot. 24 ὠκεῖα] ὡς ὠ. SM

1505 Ἄμαcιc: ὄνομα κύριον. καὶ Ἄμαcτος, ὁ ἀμάςητος, ὡς ἄπαστος ὁ ἄγευστος. Suid.

1506 Ἀμαceία: ὄνομα πόλεως· Ἄμαcιc δὲ ὄνομα κύριον. δς εἶλε Κύπρον πρῶτος ἀνθρώπων καὶ κατεστρέψατο ἐς φόρου ἀπαγωγήν. ἔστι δὲ καὶ Ἄμαcιc ὄνομα πόλεως. Δ E Δ

1507 Ἀμάστης· πείθουcιν ἄνδρα γενναῖόν τε καὶ ἀμάστην εἰcελθόντα ἀποπνίξαι τὸν Κόμοδον, ὄνομα Νάρκιccον. E

1508 Ἄμαcτος: ὁ ἀμάςητος. ὡς ἄπαστος ὁ ἄγευστος. Suid.

1509 Ἀματροχία: ἡ ἁρματοτροχία. Suid.

1510 Ἄμματα: ἐπὶ τῶν cκολιῶν τοὺc τρόπους. ἀπὸ τῶν ἐν Καcίῳ Πηλουcιωτῶν, οἱ φυcικῇ τέχνῃ ἅμματα ἔπλεκον δοκοὺc ἐπὶ δοκοῖc cυνάπτοντεc. Καcιώτῃ ἴcον. Prov. Ἄμματα, δecμά. ἐν Ἐπιγράμμαcι· χρύceoc ἀψαύcτοιο διέτμαγεν ἅμμα κορείας Ζεύc, διαδὺc Δανάας χαλκελάτους θαλάμους. καὶ αὖθιc· ἁβρῶν τε cτρεπτῶν ἅμματι κεκρυφάλων. καὶ Πιcίδης περὶ Χοcρόου· ἐπεὶ δὲ λοιπὸν ἐντὸc ἦν τῶν ἁμμάτων, δecμοῦcιν αὐτὸν ἀcφαλecτέρᾳ δέcει. Σ Anth. Σ

1511 Ἀμαυρά: cκοτεινά. ὅθεν καὶ ἀμαυρόν, τὸ μὴ διαφανές. καὶ Ἀρριανόc· ἐξ ὧν καὶ τὰ ὑπόλοιπα δι' ἐλπίδοc ἔχω οὐκ ἀμαυρᾶc, ὅτι καλῶc μοι ἕξει. Σ E

1512 Ἀμαχεί: ἀμάχωc. Δ

1513 Ἀμάχιοc· οὗτοc ἐπὶ Ἰουλιανοῦ τοῦ παραβάτου ἄρχων ἦν μικρᾶc πόλεωc Φρυγίας, Ἕλλην γοργόc. τῶν ἱερῶν ἀνοιγομένων, Μακεδόνιός τιc καὶ Θεόδουλοc καὶ Τατιανὸc ζήλῳ τοῦ Χριcτιανιcμοῦ νυκτὸc ἐcπηδήcαντεc cυντρίβουcι τὰ ἀγάλματα. οἳ πολλὰc αἰκίαc καὶ τιμωρίαc διὰ τοῦτο ὑπομείναντεc ἐcχάραιc τε ἐπιτεθέντεc καὶ πυρὶ ἐτιμωροῦντο. τὴν δὲ ἀνδρίαν ὑπέδειξαν τηνικαῦτα εἰπόντεc· εἰ ἐπεθύμηcαc, ὦ Ἀμάχιε, ὀπτῶν κρεῶν ἀπογεύcαcθαι, cτρέψον ἡμᾶc καὶ εἰc τὰc ἑτέραc πλευράc, ἵνα μὴ εἰc τὴν γεῦcιν ἡμίοπτοι ὀφθῶμέν coι. καὶ οὕτωc ἐτελειώθηcαν.

1514 Ἄμαχον: δυcκαταμάχητον. Πίνδαροc· ἄμαχον δὲ κρύψαι τὸ cυγγενὲc ἦθοc. Αἰλιανόc· ἰχθύων δὲ ἀπηνέγκαντο πλῆθοc ἄμαχον Σ E

1506 — πόλεωc = Ambr. 1691; Ἄμαcιc—κύριον = Ambr. 1541 εἶλε—ἀπαγωγήν sq. Hdt. 2, 182, 2 1507 Herodian. hist. 1, 17, 11 (Io. Antioch.?) 1510 — cυνάπτοντεc cf. ad 1459 ἅμματα, δecμά = P, Ba 78, 26, Σ^a cf. H χρύceoc—θαλαμούc Anth. 5, 216, 1—2 ἁβρῶν—κεκρυφάλων Anth. 6, 219, 4 ἐπεί sq. Pisid. fr. 56 1511 — διαφανές = P, Ba 78, 27 cf. H ἐξ sq. Arr. R. p. 77 1512 cf. Ambr. 1806 1513 cf. Socr. h. e. 3, 15, Synax. 40, 47 sq. 1514 — ἦθοc = Ba 78, 28, Σ^a, P; Pind. O. 13, 16 ἰχθύων—ὦρθωcαν Aelian. fr. 132

1505 — κύριον ex 1506; ἅμαcτος sq. ex 2935 cf. 1508 1506 Z 141 1508 ex 2935 cf. 1505 1509 ex 3971 1510 Z 153; — cυνάπτοντεc cf. 1459; hinc v. Πηλουcίων; — θαλάμους hinc v. Κάcιον. Anth. 5, 216 cf. v. κορείας 1513 hinc v. Θεόδουλος, v. Μακεδόνιος, v. Τατιανός; cf. v. Γ 395 1514 — ἦθοc Z 153

1505 om. IFSM 1 ὄνομα A δὲ δ. GT ἀμάςητος G, 1508, 2917, ἀμάcιτος A A(GITFSM) 3 ὄνομα πόλεως] πόλιc GI δέ om. S, nov. gl. 4 ἀπαγωγήν FSM Hdt. ἐπαγωγήν AGI 5 ὄνομα πόλεως mg. A 7 Νάρκιccον] Νάρκιccoc AFM^{ac} 1508 om. AGT post 1511 S post 1507 l. I 1509 om. GTFS mg. A 9 Ἀματροχία M λέγεται καὶ Ἀ. A 11 φυcικῇ] φύcει A 26 ἀνδρίαν A ἀνδρείαν rell.

E? καὶ ἀνέστηcαν τρόπαιον καὶ βωμοὺc ὤρθωcαν. καὶ αὖθιc· ἐτίθετο ἕκαcτος τὸ ἔργον ἑαυτοῦ ἀποδεῖξαι. ἑώρων γὰρ τὸν βαcιλέα cπεύ-
E δοντα τοῦτο ἀμάχωc. καὶ αὖθιc· ἦν δὲ ἱέρεια τῷ θεῷ κάλλοc
E ἄμαχοc. καὶ αὖθιc· ἀδοκήτου χειμῶνοc καταρραγέντοc κατήνεχθη
Suid. πλῆθοc χιόνοc ἄμαχον. καὶ αὖθιc· οὐ δυναcτεία ἄμαχοc. καὶ
E αὖθιc· ἐc ὑπεροψίαν δὲ ἐξαφθεὶc ἄμαχον, τοῦ μὲν ἔτι ἄνθρωποc εἶναι κατεφρόνει.

Σ 1515 Ἄμαχοc: ἀντὶ τοῦ μὴ μαχόμενοc. Ξενοφῶν. καὶ Ἀμάχητοι, οἱ μήπω μεμαχημένοι.

1516 Ἀμβακούμ· ζήτει ἐν τῷ Ἀββακοὺμ εἰc τὴν ἀρχὴν τοῦ βιβλίου.

Call. 1517 Ἄμβαcιc: ἀνάβαcιc. καὶ ἄμβαcιc οὗ νύ τιc ἦεν.

Δ+E 1518 Ἀμβάταc: ἀναβάταc. οἱ δὲ ἵπποι θνήcκοντεc οὐκ ἐλύπουν τοὺc
E ἀμβάταc· ἤcθιον γὰρ αὐτούc. καὶ αὖθιc· οἱ δὲ καὶ τοὺc ἀμβάταc δι' ἔκπληξιν ἀποceicάμενοι.

Δ 1519 Ἄμβεναι: ὄνομα πόλεωc.

Δ 1520 Ἀμβλήδην: μεγάλωc βοῶca.

Δ 1521 Ἀμβλίζω· ῥῆμα.

Δ 1522 Ἀμβλίcιον: τὸ μάννα.

Σ 1523 Ἀμβλίcκουcιν: ἀποβάλλουcιν. ὃ cυμβαίνει ταῖc διαφθειρούcαιc καὶ προβαλλούcαιc τὰ κυήματα. Πλάτων Θεαιτήτῳ. καὶ

Δ Ἀμβλίcκειν καὶ Ἐξαμβλοῦν, τὸ διαφθείρειν καὶ ἀφανίζειν.

Σ 1524 Ἀμβλωθρίδια: ἐκτρώματα. τὰ ἐξημβλωμένα ἔμβρυα. καὶ Ἀμβλωθρίδιον, αὐτό τε τὸ φθόριον φάρμακον καὶ δὴ καὶ τὸ διαφθαρέν.

Σ+Δ 1525 Ἀμβλώcκειν καὶ Ἀμβλῶcαι καὶ Ἐξαμβλῶcαι, τὸ ἀτελὲc γεννῆcαι, τὸ φθεῖραι βρέφοc.

Anth. 1526 Ἀμβλύ· ἐν Ἐπιγράμμαcι· ἀλλὰ καὶ αὖτιc ἐκ καλαμητομίηc ἀμβλὺ φέροι δρέπανον.

Δ 1527 Ἀμβλυωπίαc: ὁ ἀμυδρῶc ὁρῶν.

1514 ἦν δέ—κάλλοc ἄμαχοc Aelian. fr. 50 ἀδοκήτου—ἄμαχον Aelian. fr. 65 ἐc sq. Aelian. fr. 86 1515 = P; Xen. Hell. 4, 4, 9; Cyr. 4, 1, 16 1517 Call. fr. 111 K., an. 7 S. c. sch. cf. Babr. p. 219 1518 — ἀναβάταc cf. H οἱ δὲ ἵπποι—αὐτούc Arr. Parth. R. p. 15 1519 = Ambr. 1687 1520 cf. Ambr. 1787, 1794 1521 = Ambr. 1770 1522 = Ambr. 1742 1523 — ἀποβάλλουcιν = P, Ba 78, 30; Pl. Theaet. 149 d ἀφανίζειν cf. Ambr. 1758 1524 — ἔμβρυα = P, Ba 79, 2 cf. H, Et. M. 80, 17; ἀμβλωθρίδιον sq. = P cf. Et. M. 80, 7 1525 Ἀμβλώcκειν cf. Ambr. 1751 ἀμβλῶcαι καὶ ἐξαμβλῶcαι + τὸ φθεῖραι βρέφοc = P 1526 Anth. 6, 36, 3—4 1527 cf. Ambr. 1535

1514 οὐ δυναcτεία ἄμαχοc ex v. ἐναγεῖc; Aelian. fr. 86 cf. v. Κλέαρχοc 1515 Z 141 1517 Z 148; cf. 3508 1520 Z 165 1522 hinc v. μάννα; Z 154 1524 hinc v. ἐξήμβλωcεν 1525 Z 158 1526 hinc v. καλαμητομίηc 1527 Z 141

A(GITFSM) 4 καταρραγέντοc κατηνέχθη πλῆθοc χιόνοc S καταρρήγνυται πλῆθοc rell. 5 καί pr.—6 ἄμαχοc om. S 10 ζήτει M ἐcτι A 15 Ἄμβεναι] Ἄμβενα GIT Ambr. 17 Ἀμβλίcιον] Ἀμβλήcιον AS 19 cυμβαίνει] cημαίνει FS 27 αὖτιc] αὖθιc ISM v. καλατομίηc cf. Anth.

1528 Ἀμβλύνω. αἰτιατικῇ. τὸ ἐκλύω. ὁ δὲ ἐπὶ πολὺ διῆγε τὸν Δ
πόλεμον, ἀμβλύνων τὴν τοῦ πολέμου ὀξύτητα χρονίαις τε καὶ μακραῖς E
τοῦ ἔργου τριβαῖς. καὶ Ἀμβλύνεσθαι· μήθ' ὑπὸ νεότητος EV
θρασύνεσθαι, μήθ' ὑπὸ γήρως ἀμβλύνεσθαι.
1529 Ἀμβλυώττει: τυφλώττει. καὶ Ἀμβλυωπέστερον. ΣΔ
1530 Ἀμβλύς: ὁ μὴ ὀξύς, σκοτεινός. Ἀννίβας. ΣE
1531 Ἀμβολάδην: ἀναβάλλων. Ἡρόδοτος καθ' ὑπερβολήν. Hom. Hdt.
1532 Ἀμβολὰς γῆ: ἡ ὑπὸ τοῦ ὀρύγματος ὑψωθεῖσα. Ξενοφῶν· Δ
ὁ δὲ Κῦρος πύργους ἐποίει ἐπὶ τῆς ἀμβολάδος γῆς, ὅπως ὅτι πλεῖστα E
φυλακτήρια εἴη. Ζήτει ἐν τῷ δακνόμενος, ὅτι τὸ οἰκοδομεῖν καὶ ἵππους Suid.
τρέφειν καὶ ἀμβολὰς ποιεῖν ἐδόκει τοῖς Λάκωσι δαπανηρὰ εἶναι.
1533 Ἀμβολία: ἡ ὑπέρθεσις. ἐν Ἐπιγράμμασι· ἡθάδος ἀμβολίης Δ
αἰὲν ἀεξομένης. καὶ Ἀμβολιεργὸς ἀνήρ, ὁ τὸ ἔργον ἀναβαλλό- Anth.
μενος. Δ
1534 Ἀμβούλιος: ὄνομα κύριον. Δ
1535 Ἀμβωμοῖσι: περὶ τῶν βωμῶν. Hom.
1536 Ἀμβρακία: πόλις ἐστὶν ἐν τῷ Ἀμβρακικῷ κόλπῳ, ἄποικος Κο- Harp.
ρινθίων.
1537 Ἀμβροσία: ξηρὰ τροφή. ἀλλὰ τό γ' ἀμβροσίης καὶ νέκταρός Δ?
ἐστιν ἀπορρώξ. νέκταρ δὲ τουτέστι νεόκταρ, τὸ νέους ποιοῦν τοὺς
πίνοντας.
1538 Ἀμβρόσιαι: ἃς οὐδεὶς βροτῶν δύναται ἔχειν. Ὅμηρος· ἀμ-
βρόσιαι δ' ἄρα χαῖται ἐπερρώσαντο ἄνακτος κρατὸς ἀπ' ἀθανάτ
1539 Ἀμβρόσιον: θεῖον ἢ ἀθάνατον ἢ θαυμαστόν. ἢ ἀκήρατον, Σ |
ἄφθαρτον. ἦν γὰρ Ἐρώτων καὶ Χαρίτων ἡ παῖς ἀμβρόσιόν τι Anth.
θάλος.
1540 Ἄμβροτα: θεῖα, ἄφθαρτα. Σ

1528 — αἰτιατικῇ = An. Ox. 4, 277, 26 cf. Synt. Laur. ὁ δέ—τριβαῖς Io. Antioch. fr. 52, FHG 4, 557 cf. Eutrop. 53 μήθ' sq. Cass. D. 68, 6, 3 = EV 2, 364, 20—365, 1 1529 — τυφλώττει = Ba 79, 1, Σ^a, P cf. Ambr. 1749, H, Et. Gud. 1530 — σκοτεινός = Σ^a, P cf. Ba 78, 31, Et. M, 79, 51, Et. Gen. Ἀννίβας Bhd. ad 1528 (Io. Antioch.) rettulit 1531 — ἀναβάλλων sch. Φ 364 = Et. M. 80, 21, Et. Gen. Reitz. p. 22, H cf. Ambr. 1786 καθ' sq. Gl. Hdt. 4, 181, 4 1532 ὁ sq. Xen. Cyr. 7, 5, 12 1533 ἡθάδος—ἀεξομένης Anth. 5, 232, 2 ἀμβολιεργός sq. = Et. M. 80, 25; Hesiod. op. 413 1535 sch. Θ 441 = Et. M. 81, 15, Et. Gen. 1536 Harp. = P 1537 τροφή cf. Eust. I. 607, 4; ἀλλά—ἀπορρώξ ι 359; νέκταρ sq. cf. Et. M. 600, 13 1538 Ὅμηρος sq. A 529—30 1539 — θαυμαστόν = P, Ba 79, 3 ἄφθαρτον cf. ad 1540 ἦν sq. Anth. 6, 292, 3—4 1540 = P, Ba 79, 4 cf. H, Ambr. 1727

1528 Z 158. Io. Antioch. cf. v. διῆγε; Cass. D. cf. v. ἤκμαζεν; hinc v. μήθ' ὑπό 1532 Z 148; οἰκοδομεῖν sq. ex v. δακνόμενος cf. v. ἵππος 1537 cf. v. νεκταρέου 1539 Anth. cf. v. θαλέεσσι

2 πολέμου] πολεμίου Kust. Ἀννίβου v. διῆγε 4 μηθ'] μήτε omnes A(GITFSM)
5 ἀμβλυωπέστερον] ἀμβλώτερον A 6 Ἀννίβας] ζήτει ss. M cf. ad v. 2
10 ζήτει—11 εἶναι om. TF mg. A 10 ζήτει—δακνόμενοι om. GIS 11 εἶναι] γῆς S 16 τῶν βωμῶν] τοὺς βωμούς Et. Gen. ms. A τοῖς βωμοῖς sch. Θ, Et. Gen. ms. B, Et. M 26 θάλος] θ. καὶ ἅμαχον κάλλος S cf. 136, 3

Prov. 1541 Ἀμαία: ἡ Δημήτηρ, Ἀζηςία δὲ ἡ Κόρη. καὶ παροιμία· Ἡ Ἀμαία τὴν Ἀζηςίαν μετῆλθεν· ἐπὶ τῶν πολυχρονίοις ζητήςεςι χρωμένων.

Δ+Anth. 1542 Ἀμαιμακέτου: ἀκαταπονήτου. ἐν Ἐπιγράμμαςι· οὐ δίχα βύρcας θῆκεν ἀμαιμακέτου κρατὸς ἔρειcμα κέρα.

Δ 1543 Ἀμεβώνη: ὄνομα κύριον.

Ar. 1544 Ἀμέλγειν. αἰτιατικῇ. ἰδίως λέγεται ἀμέλγειν, τὸ παρὰ τὸν προςήκοντα καιρὸν ἀώρους τοὺς καρποὺς ἀποςπᾶν, ὅπερ οἱ κλέπτοντες ποιοῦcιν. Ἀριστοφάνης· ἀμέλγεις τῶν ξένων τοὺς καρπίμους.

Δ 1545 Ἀμελεϊcτί: χωρὶς βραδυτῆτος. Διαμελεϊcτὶ δὲ μεληδόν, κατὰ μέλος.

ΣΔ 1546 Ἀμέλει: τοιγαροῦν. ἀντὶ τοῦ μή coι μελέτω διὰ τοῦτο.

Σ 1547 Ἀμέλεια καὶ Ἀμελία: ἀμφότερα Ἑλληνικά. καὶ γὰρ καὶ διὰ διφθόγγου καὶ διὰ τοῦ ι γράφεται.

ΣΔ 1548 Ἀμελλητί: ἀνυπερθέτως, ταχέως. καὶ Ἀμελητέα γενικῇ.

Hesy. 1549 Ἀμέλιος· Ἀπαμεύς, φιλόcοφος, μαθητὴς Πλωτίνου, διδάcκαλος Πορφυρίου, cυγχρονίcας Ἀμμωνίῳ καὶ Ὡριγένει.

Synt. 1550 Ἀμελῶ coῦ.

Δ 1551 Ἀμενηνός: ἀcθενής. Ὅμηρος· ἀμενηνῶν ὀνείρων. καὶ ὁ καπνὸς ἀμενηνός. καὶ παροιμία· Καπνὸν εἶναι ἡγούμην.

Ar.? ἐπὶ τῶν οὐδαμινῶν καὶ οὐδενὸς ἀξίων.

Δ 1552 Ἀμενήνωcεν: ἀcθενῆ ἐποίηcεν.

Δ 1553 Ἀμενητί: χωρὶς τοῦ ἐπιμεῖναι.

1554 Ἀμερτῆ cώματα· ζήτει ἐν τῷ ἄτομα.

Δ 1555 Ἀμεριμνία: ἡ ἄνεcις.

Δ 1556 Ἀμερμηρεί: χωρὶc φροντίδος.

EV 1557 Ἀμετάκλητον· ἀμετάκλητον τὴν ὁρμὴν ἔcχε τὸ πλῆθος εἰc τὸ μὴ μόνον ἀλλότρια φρονεῖν τοῦ βαcιλέως, ἀλλὰ καὶ τιμωρίαν βούλεcθαι παρ' αὐτοῦ λαμβάνειν.

1541 = Zen. IV 20 1542 — ἀκαταπονήτου cf. Ambr. 1498, 1660, H; οὐ sq. Anth. 6, 115, 5—6 1543 cf. Ambr. 1676 1544 αἰτιατικῇ = Synt. Gud. cf. Laur. ἰδίως sq. Ar. Eq. 326 c. sch. 1545 — χωρίc = Ambr. 1796 διαμελεϊcτί sq. cf. sch. c 338 1546 — τοιγαροῦν = Ba 79, 14, Σ^a, P, Et. M. 81, 21, Bk. 214, 22, H, sch. Pl. Hipp. m. 295 b διὰ τοῦτο = Ambr. 1803 cf. Ba 79, 11 1547 = P 1548 — ταχέως = P, Σ^a, Ba 79, 15 cf. H ἀμελητέα sq. = Bk. 129, 26 1549 cf. Porphyr. vit. Plotin. 3 1550 = Synt. Laur. 1551 — ἀcθενής = Ambr. 1511, sch. Ε 887, Et. M. 81, 55 cf. H; ἀμενηνῶν ὀνείρων τ 562 καπνόν—ἡγούμην Ar. Nu. 330 1552 = Ambr. 1754, Et. M. 81, 57 cf. sch. N 562 1555 l. = Ambr. 1706 1557 Polyb. 36, 15, 7 = EV 2, 202, 7—9

1541 cf. 597 1542 — ἀκαταπονήτου Z 141 1545—6 Z 163 1549 cf. v. Πλωτῖνοc et v. Πορφύριοc 1551 hinc v. καπνοῦ cκιά 1552 Z 159 1553 Z 164 1556 Z 163 1557 cf. v. Προυcίαc

A(GITFSM) 2 πολυχρονίοις] πολυχρονίως I, 597, πολυχρονίαις pr. 6 Ἀμεβώνη] Ἀμεβών IT Ἀαμωcβών G Ἀμβώνη Ambr. 13 Ἀμέλεια] Ἀμελεί GIT 15 γενικῇ AM γυνή GIT om. S 1550 ex M 1554 om. ATFS 24 ἄτομα M ἄτιμα GI

1558 Ἀμετάπτωτον: κυρίως ἐπὶ σωμάτων λέγεται, τῶν δι' ἰσχὺν μὴ τρεπομένων ἢ διὰ ἰδιότητα μὴ μεταβαλλόντων. κατὰ μεταφορὰν δὲ λέγεται ἡ ἐπιστήμη ἀμετάπτωτος. Phil.

1559 Ἀμεταποίητον: ἀμετάθετον. Σ

1560 Ἀμεταστρεπτί: ἀμελλητί, μὴ ἐπιστρεφόμενον εἰς τοὐπίσω. Σ
ζήτει ἐν τῷ ἀπονητί.

1561 Ἀμετρί: χωρὶς μέτρου. καὶ παροιμία· Ἀμετρὶ μάζαν ἔδοντες. ΔΣ (Prov.)

1562 Ἀμετροκάκου: πλεῖστον πληθυούσης περὶ κακίαν. ἐς τοσοῦτον δὲ ἐχώρησεν ἀμετροκάκου πλεονεξίας ὥστε καὶ ἀνδράποδα δημοσία ἀπημπόλει. E

1563 Ἀμείβεσθαι: αἰτιατικῇ. ἀποκρίνεσθαι, καταβάλλεσθαι. Λεόντιος μὲν τοσαῦτα εἶπε. Θευδίβαλδος δὲ ἀμείβεται ὧδε. ἀντὶ τοῦ ἀνταποκρίνεται. Σ EL

1564 Ἀμείβομαί σε τοῦδε. τούτους ὥσπερ τῆς εὐσεβείας ὁ θεὸς ἀμειβόμενος.

1565 Ἀμείβων: ἀλλάσσων. καὶ Ἀμοιβή, ἡ ἀντέκτισις. ΣΔ

1566 Ἀμειβοιδής: ὁ ἀντικαταλλάσσων. Δ

1567 Ἀμειδές: στυγνόν, σκυθρωπόν. καὶ Ἀμειδής, σκοτεινός. ΣΔ

καὶ κλίνεται εἰς ους. ὀργὴν οὖν πρήυνον ἀμειδέα, μήδ' ἐπιτείνειν κακόν. Suid.

1568 Ἀμείδητος: σκυθρωπός. καὶ Ἀμειδήτων, σκυθρωπῶν, ἀγελάστων. ἐν Ἐπιγράμμασι· εἰ καὶ ἀμειδήτων νεκύων ὑπὸ γαῖαν ἀνάσσεις, Περσεφόνη. Δ Anth. + Δ

1569 Ἀμείλικτον: ἀπηνῆ, ἀκαμπῆ. καὶ Ἀμείλικτος, ἀπάνθρωπος. Εὐνάπιος· οὕτως ἀμείλικτοι ἦσαν ἄμφω κατὰ τὴν ἀλήθειαν, καὶ τὸ ἔργον ἐχώρει περιφανέστερον. Σ + Δ Σ E

1570 Ἀμείλιχος: σκληρός, ἀκολάκευτος. Σ

1558 Alex. Aphr. 427, 19—20, 14 1559 = Ba 79, 16, Σ^a, H 1560 — ἐπιστρεφόμενον = Ba 79, 18, Σ^a; εἰς τοὐπίσω Tim. 1561 — μέτρου = Ambr. 1790 ἀμετρί alt. sq. = P v. μέτρῳ cf. Zen. V 19 1562 ἐς sq. Eunap. fr. 63, FHG 4, 42 1563 αἰτιατικῇ cf. An. Ox. 4, 277, 21 — καταβάλλεσθαι = P, Ba 79, 5, Σ^a cf. Et. M. 81, 37 Λεόντιος—ὧδε Proc. bell. 8, 24, 25 = EL 120, 11 1564 — τοῦδε cf. Ba 2, 299, 21; τούτους sq. iniuria Aeliano (fr. 201) attr. Gsf. in Add. Metaphr. ego 1565 — ἀλλάσσων = P, Ba 79, 6, Σ^a, H, sch. Λ 546 ἀμοιβή sq. cf. Ap. S. 29, 29, sch. γ 58, H v. ἀμοιβαί 1567 — σκυθρωπόν = P, Ba 79, 7, Σ^a cf. H, Et. M. 82, 22 ἀμειδής—ους cf. Ambr. 1492, 1726 1568 — σκυθρωπός = Ambr. 1501 cf. H ἀγελάστων cf. H; εἰ sq. Anth. 7, 58, 1 1569 — ἀπηνῆ = Ba 79, 9, Σ^a cf. sch. Φ 98, P; ἀκαμπῆ cf. Ambr. 1493 ἀμείλικτος, ἀπάνθρωπος = Ba 79, 8, Σ^a, P cf. H οὕτως sq. Eunap. fr. 64, FHG 4, 43 1570 = P, Ba 79, 10 cf. sch. A interl. ad I 572

1561 Z 164; cf. v. μέτρῳ ὕδωρ 1562 Eunap. cf. v. Ῥουφῖνος 1563 Proc. cf. v. Θευδίβαλδος 1565 cf. 1661 1566 cf. 1662 1567 ὀργήν sq. ex v. Διογένης 5

9 πληθυούσης AGIF πληθυϊούσης M πληθυνούσης TS 14 ἀνταποκρίνεται] A(GITFSM) ἀποκρίνετε ὧδε· ἀντὶ τοῦ ἀνταμίβετε S 1564 om. TFS mg. A 18 Ἀμειβοιδής l^{ac}S Ἀμειβηδής AM^{ac} Ἀμειβηδίς F Ἀμοιβηδής G^{ac}l^{ac}TM^{ac} Ἀμοιβοιδής G^{ac} 20 ὀργήν—21 κακόν om. FS mg. AI

Δ 1571 Ἀμεινίας: ὄνομα κύριον.
Hesy. 1572 Ἀμειψίας· Ἀθηναῖος, κωμικός.
Σ 1573 Ἀμειψόμεθα: ἀνταποδώσομεν.
Rhet. 1574 Ἄμη: τεκτονικὸν ἐργαλεῖον, ὃ ἡμεῖς πυράμην λέγομεν οὐκ
Prov. ὀρθῶς. καὶ παροιμία· Ἄμας ἀπήτουν, οἱ δ' ἀπηρνοῦντο
σκάφας. ἐπὶ τῶν ἄλλα μὲν ἀπαιτουμένων, ἕτερα δὲ μὴ ἔχειν ἰσχυριζομένων.
Σ 1575 Ἀμηγέπη: ὁπωσδήποτε, καθ' ὁτιοῦν. λέγεται δὲ καὶ Ἀμωσγέπως καὶ Ἀμόθεν καὶ Ἀμουγέπου καὶ Ἀμηγέποι καὶ Ἀμωσγέ-
Ar. ποι. Ἀριστοφάνης· ὑμᾶς μὲν ἀεὶ μισθοφορεῖν ἀμηγέποι. ἀντὶ
τοῦ ἁπανταχοῦ, ὅπως ἂν τύχοι, καθ' οἷον δήποτε τρόπον. καὶ
E αὖθις· ἀλλ' ἀμηγέπη τῶν παρατεθέντων ἀπογευσάμενος ἀωρὶ νύκτωρ
E περιήρχετο τὴν βασιλικὴν αὐλήν. καὶ Ἀμηγέπη Ἀγαθίας φησίν·
ἀλύοντι δὲ καὶ ἕκαστα γνωματεύοντι, ἔδοξέν οἱ ἀμηγέπη ἀποπειρᾶσθαι
τοῦ φρουρίου.
Δ 1576 Ἀμήν: πεπιστωμένως, ἀληθῶς.
Σ 1577 Ἀμήρυτον: πολύ, ἐκτεταμένον, ἀτέλεστον, τουτέστι διηνεκῶς ἐπιμένον, ἀπέραντον.
E 1578 Ἀμησάμενος: ἀνορύξας. ὁ δὲ τὸ χῶμα σείσας καὶ τὴν
γῆν ἀμησάμενος ἐζήτει τὸν νεκρόν. καὶ ἀντὶ τοῦ ταῖς χερσὶ
Anth. σωρεύσας. πολλὰ τιθηνητὴρ ὀλοφύρατο, χερσὶν ἀμήσας ἀνδρομάχοιο δνοφερὰν κρατὸς ὕπερθε κόνιν.
Σ 1579 Ἀμήσαντες: ἀντὶ τοῦ μὴ ἀποτεμόντες. καὶ Ἀμήσαντι,
Σ+ Anth. θερίσαντι. ἐν Ἐπιγράμμασι· οὐδέ ποτ' ἀμήσαντι Κορινθικόν, οὔποτε
Anth. πικρᾶς γευσαμένῳ πενίης.
Suid. 1580 Ἀμησὸς καὶ Ἀμησηνός. Ἀμινσὸς δὲ καὶ Ἀμινσηνός.
Σ+ Ar. 1581 Ἄμητα: ἄμης, εἶδος πλακοῦντος γαλακτώδους. Ἀριστοφάνης Πλούτῳ· ἄμητα προσέπεμψας ἡμῖν τουτονί. οὐ μόνον ὅτι οὐκ ἐδέ-

1571 = Ambr. 1534 1573 = Σ^a, H 1574 — πυράμην cf. sch. Ar. Pac. 299, Bk. 206, 18 ἄμας sq. cf. Zen. I 83 1575 — ἀμωσγέποι = P, Σ^a, Ba 79, 19, sch. Pl. Soph. 259d cf. Ambr. 1784—85 ὑμᾶς—τρόπον Ar. Ach. 608 c. sch. ἀλλ'—αὐλήν fort. Aelian. ἀλύοντι sq. Agath. 1, 10, p. 33 1576 — πεπιστωμένως = Lagarde 176, 41; ἀληθῶς = Ambr. 1779 cf. Lagarde 173, 73; 185, 83 1577 = P, Ba 79, 21, Σ^a cf. sch. Apoll. Rh. 2, 221 1578 ὁ—νεκρόν fort. Aelian. πολλά sq. Anth. 7, 241, 3—4 1579 — ἀποτεμόντες = Ba 79, 23, Σ^a cf. P, H ἀμήσαντι, θερίσαντι cf. P, sch. Ω 451, H οὐδέ sq. Anth. 6, 40, 7—8 1581 ἄμης—πλακοῦντος cf. P v. ἄμης; εἶδος—με Ar. Pl. 999 c. sch.; p. 141, 2 ἄμης sq. cf. P v. ἀμίδας

1574 — ὀρθῶς hinc v. πυραμίς; ἄμας sq. cf. 1504 1575 Agath. cf. 1428 1576 Z 164 1578 Anth. cf. v. τιθηνάς et v. δνοφερόν 1579 Anth. cf. v. Κορινθικόν 1580 ex 1599 et 1603 1581 hinc v. προντούλων

A(GITFSM) 9 ἀμουγέπου AFM ἀμαγέπου S ἀμωγέπου GIT 12 παρατεθέντων] παρατιθέντων GIT 20 ταῖς om. ISM 21 τιθηνητήρ] add. mg. τεθηνήτειρα δέ A, τιθηνήτειρα δέ M τιθηνήτερα δέ S ὀλοφύρατο] ὠλοφύρατο FSM ἀνδρομάχοιο] ἀνδρομάχοις Anth., v. τιθηνάς, Kust. 23 μή om. T Phot. Hes., del. S 1580 om. GTF mg. AIM 26 Ἀμινσός A Ἀμινδός S Ἀμιντός M δέ om. S 28 προσέπεμψας] προσέπεμψεν S

ξατο τὰ δῶρα, ἀλλὰ καὶ οἴκοθεν ἔπεμψέ μοι ἄλλο πλακούντιον προντούλων. ὡς ἂν λέγων, μηκέτι πατῆσαι ἐκεῖ με. ἄμης οὖν ὁ πλακοῦς, οὐχ ὁ ἰπνός.

1582 Ἀμητῆρες: θερισταί. Σ

1583 Ἀμητός: αὐτὰ τὰ τεθερισμένα ὀξυτόνως. οἷον ὁ στάχυς. καὶ Τρυγητὸς βότρυς, ὃ τρυγώμενος. προπαροξυτόνως δὲ Ἄμητος, ὁ καιρὸς τοῦ θέρους, ἐν ᾧ δεῖ ἀμᾶν. ὡς καὶ Τρύγητος, ὁ καιρὸς τοῦ τρυγᾶν. Σ

1584 Ὅτι Φρονίμη, ἡ θυγάτηρ Ἐτεάρχου, ἀμήτωρ ἐλέγετο. καὶ ζήτει ἐν τῷ Βάττος. Suid.

1585 Ἀμήχανα· οἱ δέ, ἐπεὶ τὰ ἀμήχανα τῷ λιμῷ ἔπασχον, ἐκεχειρίαν ὀλίγων τινῶν ἡμερῶν ᾔτουν διαπράξασθαι. E

1586 Ἀμηχάνητοι: ἀντὶ τοῦ πολλοί. Ξενοφῶν. Σ

1587 Ἀμηχανία: ἀπορία. Σ

1588 Ἀμήχανον: ὑπὲρ λόγον. ἢ ἀνεπιχείρητον, ἀδύνατον. τοῖς δὲ Ῥωμαίοις ἀμήχανος ἡ χαρὰ παρέστη πρὸς τὸ πάθος. καὶ Ἀμήχανος, πρὸς ἣν οὐκ ἔστι μηχανήσασθαι. οὐκ αὐτὸς μὴ δυνάμενος μηχανήσασθαι. Δαμάσκιος· πόθῳ τε ἀμηχάνῳ τῆς περὶ τὸ θεῖον βακχείας, οἷον ἀπομαντευομένῳ ἐψκει τὴν τῆς ἀληθείας εὕρεσιν. Σ Hom. E Hom.

1589 Ἄμμιγα: ἀναμεμιγμένως. εἵνεκεν εὐμαθίης πινυτόφρονος, ἣν ὁ μελιχρὸς ἤσκησε, Μουσῶν ἄμμιγα καὶ Χαρίτων. Anth.

1590 Ἀμίδα: οὐρητρίδα, οὐρηρὸν ἀγγεῖον. καὶ Ἀμίδας, τὰ ὑπηρέσια. σοφόν γε τουτί καὶ γέροντι πρόσφορον ἐξεῦρες ἀτεχνῶς φάρμακον στραγγουρίας. Ἀριστοφάνης· ἀμὶς μὲν ἦν οὐρητιάσης, αὐτῇ παρὰ σοὶ ἠρεμήσεται ἐγγὺς ἐπὶ τοῦ παττάλου. Ar.Σ Ar.

1591 Ἀμίδης: ὄνομα κύριον. Δ

1592 Ἀμιθρῆσαι: μετρῆσαι, ἀριθμῆσαι, παρὰ Καλλιμάχῳ. Call.

1582 = P, Ba 79, 24, Σ^{a}, H, sch. Λ 67, Et. M. 83, 1, Et. Gen. cf. Ambr. 1522 1583 — ὀξυτόνως + προπαροξυτόνως sq. = P, Ba 79, 25 (cf. 2, 376, 15), Σ^{a} cf. sch. T 223, An. Ox. 2, 331, 25, Et. M. 83, 9, Et. Gud., Ambr. 1496—97, Philop. diff. 1585 Proc. bell. 7, 16, 7 = EL 112, 14—16 1586 Phryn. fr. 173; Ξενοφῶν ad Cyr. 7, 5, 38, ubi mss. ἀμήχανοι, rettulit Port. 1587 = P, Ba 79, 28, Σ^{a}, sch. ι 295, Ap. S. 29, 23, Et. M. 83, 31 cf. Ambr. 1708 1588 — λόγον = P, Ba 79, 29, Σ^{a}, Et. Gud. ἀδύνατον = sch. Ξ 262 vs. 17 ἀμήχανος—μηχανήσασθαι pr. = sch. A ad O 14, Et. M. 83, 30, Et. Gen. πόθῳ sq. Dam. fr. 40 = Phot. bibl. 338a 16—18 1589 εἵνεκεν sq. Anth. 7, 22, 5—6 1590 — ἀγγεῖον sch. Ar. Vsp. 807 cf. Et. M. 83, 33, Ba 79, 30 ἄμιδας, τὰ ὑπηρέσια = P, Σ^{a}, Ba 79, 30 σοφόν sq. Ar. Vsp. 809—10, 807—8 1591 = Ambr. 1550 cf. 1565 1592 ἀριθμῆσαι = Et. M. 83, 44, Et. Gen. Reitz. Gesch. 25; Call. fr. 114 K., 339 S.

1583 cf. v. τρυγητός 1584 ex v. B 185 1586 Z 142 1588 Z 154 1589 Z 164; Anth. cf. v. πινυτός 1590 hinc v. οὐρητρίδα et 4471 1592 Z 161; cf. Eust. O. 1801, 28

1 προντούλων] πρὸ τούτων F πρὸς τούτῳ pr., om. sch. 6 τρυγώμενος] παροξυτόνως add. GI A(GITFSM) 1584 om. T mg. AS 9 καί—Βάττος om. S 17 ἥν S, sch. ὅν rell. Et. οὐκ alt.—18 μηχανήσασθαι om. SM 18 Δαμάσκιος] δαμάσθαι A τῆς] τῆς τε M

Δ 1593 Ἄμικτος: ὁ μὴ μιγνύμενος.

Σ 1594 Ἅμιλλα: ἀνταγώνισμα, φιλονεικία, ἐξίσωσις. καί ποτε
Ε ἀγῶνα ἐπιτελοῦντες τούτῳ τῷ μειρακίῳ, ἐς ἅμιλλαν ἀκοντίσεως ἀποδυσαμένω, εἶτα μέντοι τῆς σπουδῆς θερμότερον ὑπεπλήσθησαν· καί πως ὁ Ἀργέου υἱὸς ἀλλαχόσε βουλόμενος βαλεῖν τἀδελφοῦ δυστυχῶς τῶν στέρνων τυγχάνει καὶ ἀναιρεῖ αὐτόν.

Δ 1595 Ἀμιλλητήριον: τόπος ἐν ᾧ ἁμιλλῶνται.

Ε 1596 Ἀμίλκας, ὁ καὶ Φαβέας, Καρχηδονίων στρατηγός, ὃς ὑπῆρχε κατὰ μὲν τὴν ἡλικίαν ἀκμάζων καὶ κατὰ τὴν ἕξιν ἐρρωμένος, τὸ δὲ μέγιστον ἐφόδιον πρὸς πολεμικὴν χρείαν, ἱππεὺς ἄγαν ἀγαθὸς καὶ
Ε τολμηρός. ὅτι τούτου τοῦ Ἀμίλκου παῖδα γεγενῆσθαι φασὶν Ἀννίβαν, τὸν χρόνοις ὕστερον μακρῷ πολέμῳ τὴν Ἰταλίαν κακώσαντα Ῥωμαίοις τε φοβερὸν ἐς τὰ μάλιστα γενόμενον.

Δ 1597 Ἀμιλλῶμαί σοι: ἀνταγωνίζομαί σοι.

Δ 1598 Ἀμιναδάμ: ὄνομα κύριον.

Δ 1599 Ἀμινσός: ὄνομα πόλεως. οἱ δὲ Ἀμησὸς διὰ τοῦ η. καὶ Ἀμησηνός.

Σ 1600 Ἅμιπποι: ξυνωρίς, φησί, κατὰ τὸ παλαιὸν ἐλέγετο δύο ἵπποι συνεζευγμένοι τῶν τραχήλων. ἦν δ' ἐπὶ μὲν τοῦ ἑτέρου ἡνίοχος, ἐπὶ δὲ τοῦ ἑτέρου ὁπλίτης. καὶ νῦν δὲ χρῶνται περὶ ἀρχῆς Ἀλίβυες, οἱ προσαγορευόμενοι Ζευγῖται. τὸ δὲ αὐτὸ καὶ ἅμιππον καλεῖται. οὕτως Θουκυδίδης.

Harp. 1601 Ἅμιπποι: κατὰ μὲν Ἰκαῖον οἱ σὺν ἵπποις στρατευόμενοι. οἱ δέ φασιν ὅτι ζεύγνυνται μέν τινες ἵπποι, καὶ ὁ ἐπελαύνων αὐτούς, τοῦ μὲν ἐποχεῖται, τὸν δὲ παρέλκεται· καὶ καλοῦνται οὗτοι ἅμιπποι. πεζοὺς δὲ τοὺς ἁμίππους Θουκυδίδης καὶ Ξενοφῶν ὑποδηλοῦσι. καὶ μήποτε πρόδρομοί τινές εἰσιν οἱ ἅμα τοῖς ἱππεῦσι τεταγμένοι.

1602 Ἀμίς: τὸ κλωκίον.

Δ 1603 Ἀμινσηνός: ἀπὸ τόπου.

1593 = Ambr. 1521 1594 — ἐξίσωσις = P, Ba 79, 31, Σ[a] cf. H καί ποτε sq. Aelian. fr. 199 1595 = Ambr. 1745 1596 — τολμηρός Polyb. 36, 8, 1 1597 l. = Synt. Laur. cf. Ambr. 1761 1598 = Ambr. 1574 1599 — πόλεως cf. Ambr. 1683; Ἀμησηνός cf. Ambr. 1630 1600 — ὁπλίτης + τό—καλεῖται = P, Paus. Att. fr. 45 ex Eust. O. 1539, 26 cf. H; Thuc. 5, 57, 2 1601 Harp. = An. Ox. 2, 489, 4 cf. P; Isae. fr. 125; Thuc. 5, 57, 2; Xen. Hell. 7, 5, 23 1602 = Ambr. 1495 1603 cf. Ambr. 1636

1594 Aelian. hinc 3764 1596 Polyb. hinc v. Φαβέας 1599 hinc 1580 1600 hinc 1213 1603 hinc 1580; Z 142

A(GITSM) 3 ἀκοντίσεως] ἀκοντίσθως A 4 πως] που S Ἀργέου] Ἀργαίου AG 8 Φαβέας] Βαφέας GT Φαμέας Schweigh. Toup. cf. 2235 11 γεγενῆσθαι] γεγεννῆσθαι A 12 κακώσαντα AM κακώσας S παραστησάμενον T om. GI 1597 etiam post 1595 I 14 Ἀμιλλῶμαι σοι om. M 16 οἱ—17 Ἀμησηνός om. S 17 Ἀμήσηνος] Ἀμίσηνος G cf. Ambr. 18 Ἅμιπποι] Ἅμιππος IT φησι AS φασι GITM 21 Ἅμιππον] Ἅμιπποι A 23 μέν] τόν TM 24 ὁ om. A 25 οὗτοι om. A 1602 ex M; mg. ad 1590 I 29 Ἀμινσηνός] Ἀμισηνός M Ambr.

1604 Ἀμισθί: χωρὶς μισθοῦ. Δ
1605 Ἀμισώδαρος: ὄνομα κύριον. Δ
1606 Ἀμιτροχίτων: ὁ μὴ χρώμενος μίτρᾳ. Hom.
1607 Ἄμναμος: ἀπόγονος· κυρίως ἐπὶ τῶν προβάτων. παρὰ τὸ Ecl.? ἀμνός.
1608 Ἀμνειός: ὁ ποταμός· καί ὁ ἀμνός. Δ
1609 Ἀμνημονῶ σου· γενικῇ. Δ
1610 Ἀμνησός: ὄνομα ὄρους. Δ
1611 Ἀμνηστεῖ: ἀμνημονεῖ. Σοφοκλῆς· οὐ γάρ ποτ' ἀμνηστεῖ γ' ὁ Soph. φύσας, Ἑλλήνων ἄναξ.
1612 Ἀμνηστία: ἡ λήθη. καὶ ὄνομα κύριον. Δ
1613 Ἀμνοκῶν: προβατώδης, μωρός, εὐήθης· τοιαῦτα γὰρ καὶ τὰ Ar. πρόβατα. Ἀριστοφάνης· καὶ σκοπεῖς γε τῶν πολιτῶν ὅστις ἐστὶν ἀμνοκῶν, πλούσιος καὶ μὴ πονηρὸς καὶ τρέμων τὰ πράγματα. τουτέστιν εὐλαβούμενος καὶ φοβούμενος κατασταῖναι εἰς πράγματα· πολλοὶ γὰρ διὰ δειλίαν καὶ τρόπων ἐπιείκειαν αἱροῦνται ζημιωθῆναι μᾶλλον ἢ χωρῆσαι διὰ δίκης. καὶ τοὺς τοιούτους, φησί, συνεπιλεγόμενος ὁ Κλέων, κατασταίσας εἰς φόβον τοῦ παρέξειν πράγματα ἐπηρέαζε ῥᾳδίως.
1614 Ἀμνόν: τὸν ἐνιαύσιον ἄρνα. Ἴστρος ἐν ταῖς Ἀττικαῖς· ἄρνα, Σ εἶτα ἀμνόν, εἶτα ἀρνειόν, εἶτα λιπογνώμονα, μοσχίων δὲ τὸν πρῶτον. καὶ Ἀμνὸς ἀρσενικῶς πρόβατον τὸ μέσον τὴν ἡλικίαν. καὶ Ἀμνὴ τὸ θῆλυ. τρεῖς γὰρ ἡλικίαι· ἀρνός, ἀμνός, ἀρνειός. καὶ Ἀμνώς, Δ Ἀμνώ, Ἀττικῶς, ὄνομα κύριον.
1615 Ἀμνοὶ τοὺς τρόπους: ἀντὶ τοῦ πραεῖς, εὐήθεις, ἁπλοῖ, ὡς Ar. οἱ κριοί, ἢ μαλακοί. τὸ γὰρ ἄρρεν πρόβατον, ὅταν ἔχῃ τὴν μέσην ἡλικίαν, ἀμνὸς καλεῖται. οἱ δὲ τὸν ἐνιαύσιον ἄρνα ἀμνὸν καλοῦσιν.
1616 Ἀμμοάτιν: εἶδος ὄφεως. Greg.
1617 Ἀμογητί: ἀκόπως. Σ
1618 Ἀμόγητοι: ἀμνοὶ πρᾶοι.

1604 = Ambr. 1801 1605 = Ambr. 1558 1606 cf. sch. Π 419 = Et. M. 83, 52, Et. Gen. 1607 = Et. M. 84, 43, Et. Gen. 1608 — ποταμός = Ambr. 1628 cf. Et. Gen. Ἄμνιος, Et. M. 84, 38; ὁ ἀμνός = Ambr. 1505 1609 = Ambr. 1748, Synt. Laur. cf. Bk. 119, 25 1610 cf. Ambr. 1627 1611 Soph. El. 484 c. sch. 1612 — λήθη = Ambr. 1700 1613 Ar. Eq. 264—5 c. sch. 1614 — ἀρνειός = P, Eust. O. 1627, 10 (Paus. Att. sec. Reitz.); Istr. fr. 53, FHG 1, 426 Ἀμνώς sq. cf. Ambr. 1540 1615 sch. Ar. Pac. 935 cf. H 1617 = P, Ba 80, 1, Σ[a] cf. Ambr. 1798

1604 Z 164 1605 Z 146 1606 Z 142 1607 Z 143; — ἀπόγονος cf. v. Θείας 1608 Z 143 1610 Z 143 1612 Z 149 1613—4 Z 143 1616 cf. v. διψάς; Z 143

2 Ἀμισώδαρος] Ἀμισώγαρος GIT 7 σου om. S γενικῇ om. G A(GITSM)
8 Ἀμνησός] Ἀμνής S Ἀμνός M Ambr. 16 χωρῆσαι AS sch. συγχωρῆσαι GITM 18 κατασταίσας] κατασταίσασθαι S 20 μοσχίων] μοσχίωνα GIT μοσχίον coll. Poll. 7, 184 Gsf. 22 Ἀμνώ] Ἀμνώς I Ἀμέρ G om. T 29 ἀμνοί πρᾶοι om. M

Hom. 1619 Ἀμόθεν: ποθέν.

Etym. 1620 Ἀμολγός: τὸ μεσονύκτιον, ἤτοι καθ' ἣν ὥραν ζῷα οὐκ ἀμέλγονται. ἢ ἀφαιρέσει τοῦ γ, καθ' ἣν οὐδεὶς μολεῖ. ἢ ἀφαιρέσει τοῦ λ, καθ' ἣν οὐδεὶς μογεῖ.

1621 Ἄμμον μετρεῖν: ἐπὶ τῶν ἀδυνάτων καὶ ἀνηνύτων.

Ecl. 1622 Ἀμορβός: ὁ ἅμα τινὶ ὁρμῶν· ἀμορμὸς καὶ ἀμορβός.

Ar. 1623 Ἀμόργεια: χρώματος εἶδος, ἀπὸ νήσου Ἀμοργοῦντος, ὡς Θήρεια ἀπὸ Θήρας νήσου.

Δ 1624 Ἀμόργη: ἡ τρυγία.

Σ 1625 Ἀμόργινον: ὅμοιον βύσσῳ καὶ πολυτελές. λέγεται καὶ

Δ Ἀμοργίνα θηλυκῶς.

Σ 1626 Ἀμοργίς: κυρίως ἡ λινοκαλάμη, ἐξ ἧς γίνεται ἐνδύματα ἀμόργινα λεγόμενα. ἢ ἡ τοῦ ἐλαίου ὑποστάθμη καὶ ἡ τρὺξ τοῦ οἴνου.

Ar. ἔστι δὲ ἡ ἀμοργὶς ὅμοιον ἀλεπίστῳ λίνῳ. περιλεπίζουσι δὲ αὐτὸ καὶ ἐργάζονται. ἔστι δὲ σφόδρα λεπτὸν ὑπὸ τὴν βύσσον ἢ τὴν κάρπασον.

Σ 1627 Ἀμοργοί πόλεως ὄλεθρος· Κρατῖνος Σεριφίοις. καλοῦσι δὲ καὶ μοργούς, τὸ α ἀφαιροῦντες, ὥσπερ καὶ ἐπ' ἄλλων· μαῦρον γὰρ τὸ ἀμαυρὸν καὶ σφόδελον τὸν ἀσφόδελον καλοῦσιν.

Δ 1628 Ἀμορραῖος. τὸν Σηὼν βασιλέα τῶν Ἀμορραίων. Ἀμωραῖος δὲ καὶ Ἀμώριον διὰ τοῦ ω μεγάλου.

Etym.

Δ 1629 Ἀμμορῖτις: θηλυκόν· ὄνομα πόλεως.

Δ 1630 Ἄμμορος: ὁ κακόμορος.

Hom. 1631 Ἄμοτον: ἀμότως, ἀκορέστως.

Ε 1632 Ἀμοῦς· Αἰγύπτιος· οὗτος νέος ὢν παρῃτεῖτο τὸν γάμον. ὡς δέ τινες τῶν προσηκόντων παρῄνουν μὴ καθυβρίζειν τὸν γάμον, ἀλλὰ γυναῖκα ἄγεσθαι, πείθεται καὶ ἔρχεται ἐπὶ γάμον. καὶ πολλὰ παραινέσας τὴν παρθένον πείθει αὐτὴν πρὸ τοῦ συνελθεῖν ἀποτάξασθαι τῷ βίῳ τῷ κοσμικῷ. καὶ ἀποταξάμενοι ἄμφω ἐπὶ τὸ ὄρος τῆς Νιτρίας χωροῦσι καὶ βραχὺν χρόνον συνασκοῦντες ἰδίᾳ τὴν ἄσκησιν ἐποιήσαντο. τούτου τοῦ Ἀμοῦν τὴν ψυχὴν ἀναλαμβανομένην ὁ Ἀντώνιος ἐθεάσατο. οὗτός ποτε ἑαυτὸν γυμνὸν οὐκ ἐθεάσατο λέγων, ἀπρεπὲς εἶναι τῷ

1619 sch. α 10 = Ambr. 1793b cf. H 1620 cf. Et. M. 84, 52, Et. Gen. 1621 = Zen. I 80 cf. Boisson. Anecd. 1, 396 1622 = Et. M. 85, 23, Et. Gen. 1623 sch. Ar. Lys. 150 cf. Et. M. 85, 15 1624 = Ambr. 1664 cf. Eust. in Dion. 525 1625 — πολυτελές = Et. M. 85, 17, Et. Gen.; — βύσσῳ Paus. Att. fr. 47 ex Eust. in Dion. 525 cf. Harp., P, Bk. 210, 30 1626 — οἴνου = P, sch. Pl. Ep. 363a, Paus. Att. fr. 47 ἔστι δέ sq. sch. Ar. Lys. 735 1627 = P; — μόργους = Eust. O. 1608, 57 cf. Paus. Att. fr. 46; Cratin. fr. 214 1628 l. = Ambr. 1638; τόν—Ἀμορραίων Iosv. 12, 2 Ἀμώριον sq. cf. Et. M. 86, 5, Et. Gud. 1630 = Ambr. 1503 cf. sch. Z 408, H, Apion 1631 — ἀμότως sch. Δ 440 = sch. Apoll. Rh. 1, 513 1632 Socr. h. e. 4, 23

1619 Z 165 1620 Eust. I. 838, 51 1622 Z 143 1623—4 Z 149 1625 Z 155 1626 Z 149 1627 hinc v. μοργούς 1628 cf. v. Σηών et 1644

A(GITSM) 1620 om. AT post 1625 S 1621 om. GTS post 1618 I 9 Ἀμόργινον] Ἀμόργιον IS 16 ἐπ'] ἐξ GIT 18 Σηών] Σιών AI τῶν] τόν A 19 Ἀμωραῖος—μεγάλου ex GI (post 1629 I), Ἀμώριον δέ post l. S Ἀμώριον δὲ καὶ ὁ ἐκεῖθεν Ἀμωραῖος M 23 Ἀμοῦς] Ἀμοῦν GTM^{ac} 24 προσηκόντων] προσηκότων A 26 τὴν παρθένον] τῇ παρθένῳ M

μοναχῷ καὶ τὸ ἑαυτοῦ σῶμα γυμνὸν θεάσασθαι. ἐγένετο δὲ καὶ Δίδυμος ἄλλος μοναχός, ὃς ἐννενήκοντα ἔτη βιοὺς οὐδενὶ ἀνθρώπων συνέμεινεν ἄχρι τῆς τελευτῆς.

1633 Ἄμουσα: ἀτερπῆ, ἀηδῆ, ἀπαίδευτα. Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις· ἄλλως τ' ἄμουσόν ἐστι ποιητὴν ἰδεῖν ἀγρεῖον ὄντα καὶ δασύν· σκέψαι δ' ὅτι Ἴβυκος ἐκεῖνος κ' Ἀνακρέων ὁ Τήϊος. καὶ τὰ ἑξῆς. Σ Ar.

1634 Ἀμοχθεί: χωρὶς κόπου. Δ

1635 Ἀμώμενοι: θερίζοντες. καὶ Ἀμῶσιν ὁμοίως. Ἀριστοφάνης· τοὺς ἀλλοτρίους ἀμῶν στάχυας τούτους, ἐν ξύλῳ δήσας ἀφαύει κἀποδόσθαι λέγεται. τουτέστιν ὁ Κλέων, τοὺς ἀλλοτρίους καμάτους αὐτὸς καρπούμενος. Σ Ar.

1636 Ἄμωμον. Ἀρριανός· πέμπει παρὰ βασιλέα ἵππον χρυσοχάλινον καὶ ψέλια καὶ ἀκινάκας καὶ ἄμωμον. E

1637 Ἄμωμος: ὁ καθαρός. καὶ ἀναίτιος. Δαβίδ· τοῦ κατατοξεῦσαι ἐν ἀποκρύφοις ἄμωμον. Δ Thdr.

1638 Ἄμμων: ὄνομα θεοῦ Ἑλληνικοῦ. Ἀριστοφάνης Ὄρνισιν· ἐσμὲν δ' ὑμῖν Ἄμμων, Δελφοί, Δωδώνη, Φοῖβος Ἀπόλλων· ἐλθόντες γὰρ πρῶτον ἐς ὄρνις οὕτω πρὸς ἔργα τράπεσθε. Δ Ar.

1639 Ἀμμωνιανός, γραμματικός, κοσμούμενος τῇ συγγενείᾳ Συριανοῦ καὶ ἅμα τῇ συμφύτῳ ὁμοιότητι τῶν τε ἠθῶν καὶ τοῦ σώματος, κατὰ τὸν Ὅμηρον εἶδός τε μέγεθός τε φυήν τ' ἄγχιστα ἐῴκει. τό τε γὰρ σῶμα καλός τε καὶ μέγας ἦν ἑκάτερος. καὶ ἔτι προσῆν ὑγεία καὶ ἰσχὺς οὐδὲν ἀποδέουσα τῆς ἄλλης εὐφυΐας τοῦ τε ὅλου καὶ τῶν μερῶν· ᾗ τε ψυχὴ ἔρρωτο πρὸς τὸ βέλτιστον αὐτοῖς τὸ ὁμοιότροπον. ἀλλ' ὁ μὲν θεοφιλέστερος ἦν ὁ Συριανὸς καὶ τῷ ὄντι φιλόσοφος· ὁ δὲ ἠγάπα τὴν ἐπὶ ποιητῶν ἐξηγήσει καὶ διορθώσει τῆς Ἑλληνικῆς λέξεως καθημένην τέχνην. οὗτος ἦν Ἀμμωνιανός, ᾧ κεκτῆσθαι συμβέβηκεν ὄνον σοφίας ἀκροατήν. Hesy.

1640 Ἀμμώνιος, φιλόσοφος, Ἀλεξανδρεύς, ὁ ἐπικληθεὶς Σακκᾶς. οὗτος ἀπὸ Χριστιανῶν γέγονεν Ἕλλην, ὥς φησι Πορφύριος. Hesy.

1641 Ἀμμώνιος, Ἀμμωνίου, Ἀλεξανδρεύς, Ἀλεξάνδρου γνώριμος, ὃς καὶ διεδέξατο τὴν σχολὴν Ἀριστάρχου πρὸ τοῦ μοναρχῆσαι τὸν Αὔγουστον. Hesy.

1633 — ἀπαίδευτα = P, Ba 80, 6, Σ^{a} cf. H ἄλλως sq Ar. Th. 159—161 1634 = Ambr. 1783 1635 — θερίζοντες = Ba 82, 4, Σ^{a} cf. Ambr. 1762; ἀμῶσιν cf. P, Ba 82, 7, Σ^{a} τούς sq. Ar. Eq. 392 c. sch. 1636 Arr. Parth.(?) R. p. 61 1637 — καθαρός = Ambr. 1509 ἀναίτιος sq. = Thdr. in Ps. 63, 5, PG 80, 1341c 1638 ἐσμέν sq. Ar. Av. 716—7 1639 Dam. fr. 60; ὁ δὲ ἠγαπᾶ sq. = Phot. bibl. 339a 31—34; εἶδος—ἐῴκει B 58 1640 cf. Hieron. vir. ill. ξδ' 1641 διεδέξατο—Ἀριστάρχου = sch. A ad K 397

1633 Ar. hinc 350 1635 Ar. cf. 4565 1637 Z 146 1638 cf. v. Πᾶν 1 1639 l. Z 146; hinc v. ὄνος λύρας 1640 hinc v. Σάκας; Z 146

10 ἀφαύει SM ἀφαίει A ἀφάνει GI om. T 11 Κλέων] κλέπτων GIT 15 Δαβίδ om. S. M mg. A 19 τράπεσθε AM^{ac} τράπεσθαι S τρέπεσθε GTM^{ec} τρέπεσθαι I 21 ἠθῶν] τέχνων S 22 τ' ἄγχιστα AT τάχιστα rell. A(GITSM)

1642 Ἀμωντιανός· Ῥωμαῖος, συγκλητικὸς γεγονώς.
Harp. 1643 Ἀμωρίης· Πιταίου νόθος υἱός.
Δ 1644 Ἀμώριον, πόλις, καὶ Ἀμωραῖος· Ἀμορραῖος δέ.
Σ 1645 Ἀμωσγέπως: ὁπωσδήποτε, ἐν γέ τινι, καθ' ὁντιναοῦν τρόπον.
Σ 1646 Ἀμπαλίνωρος: ἀναστρέφων τὴν αὐτὴν ὁδόν. Φιλέταιρος Μελεάγρῳ· οὐ πρὸς γυναικὸς ὁ κόρος· οἴκαδ', ὦ κόρη, ἄπιθι ἀμπαλίνωρος.
1647 Ἀμπαύσας: ἀναπαύσας. ὁ δὲ ἀμπαύσας αὐτοὺς ὅσον τὴν
E πρώτην φυλακὴν τῆς νυκτὸς προελθεῖν.
Δ 1648 Ἀμπελεών: ἡ ἀμπελόφυτος γῆ. λιτός θ' ὁ σχεδὸν ἀμ-
Anth. πελεών.
1649 Ἀμπελών: ἡ οἰνόφυτος γῆ.
Suid. 1650 Ἄμπελος· ζήτει ἐν τῷ αἶγα· ἐχθρὸν γὰρ εἶναι δοκεῖ τουτὶ τὸ ζῷον τῇ ἀμπέλῳ.
Δ 1651 Ἀμπέλειος βότρυς· Ἀμπέλιος δὲ ὄνομα κύριον· καὶ θηλυκὸν Ἀμπελόεσσα γῆ. Ἀμπελόφυτος καὶ Ἀμπελουργεῖον.
Σ 1652 Ἀμπεχόμενος· δοτικῇ. περιβαλλόμενος. καὶ Ἀμπέχῃ,
Ar. ἀντὶ τοῦ περιβέβληται. ὦ κακόδαιμον, εἶτα λευκὸν ἀμπέχῃ; ἐπεί, φησί, τοὺς βόας ἀπώλεσας καὶ λευχειμονεῖς.
Σ 1653 Ἀμπεχόνη: ἀμφίον, ἱμάτιον. καὶ Ἀμπεχόνιον, λεπτὸν
Δ ἱμάτιον, παλλίον. καὶ Ἀμπίσχω, ἐνδύω.
ΔΣ 1654 Ἀμπλάκημα: ἁμάρτημα. καὶ Ἀμπλακίαις, ἁμαρτίαις.
Phil. ὅτι ἀρέσκει τοῖς Στωϊκοῖς ἴσα ἡγεῖσθαι τὰ ἁμαρτήματα. εἰ γὰρ ἀληθὲς ἄληθοῦς μᾶλλον οὐκ ἔστιν, οὐδὲ ψευδὲς ψευδοῦς· οὕτως οὐδὲ ἀπάτη ἀπάτης, οὐδὲ ἁμάρτημα ἁμαρτήματος. καὶ γὰρ ὁ ρ' σταδίους ἀπέχων Κανώβου καὶ ὁ ἕνα ἐπίσης οὐκ εἰσὶν ἐν Κανώβῳ· οὕτω καὶ πλέον καὶ ἔλαττον ἁμάρτημα ἐπίσης οὐκ εἰσὶν ἐν τῷ κατορθοῦν. οἱ δέ φασιν, ὧν καὶ Ἡρακλείδης ὁ Ταρσεύς, ἄνισα εἶναι τὰ ἁμαρτήματα. καὶ
Δ Ἀμπλακών, ἁμαρτήσας. ἀλλὰ τὸ Ἰβύκου ἔπος αὐτὸν ἐπήει· μήτι

1643 Harp. 1644 cf. Et. M. 86, 4; — πόλις cf. Ambr. 1741; Ἀμορραῖος cf. Ambr. 1635, 1644 1645 = Ba 82, 5, Σ[a], P, Et. Gen. (cf. Et. M. 95, 19), sch. Pl. Phaedr. 228c cf. H, Ambr. 1784, Harp. 1646 = P; Philetaer. fr. 11 (2, 233 K.) 1648 λιτός sq. Anth. 6, 226, 2 1651 — βότρυς = Ambr. 1622; Ἀμπέλιος—κύριον = Ambr. 1556; ἀμπελόεσσα cf. Ambr. 1656; ἀμπελουργεῖον cf. Ambr. 1735 1652 δοτικῇ = An. Ox. 4, 277, 14 περιβαλλόμενος = P, Ba 80, 7, Σ[a], H ὦ sq. Ar. Ach. 1024 c. sch. 1653 — παλλίον = Σ[a], Ba 80, 8, P cf. Et. Gen. (Reitz. Gesch. p. 39 sq.) H, Ambr. 1657 ἀμπίσχω cf. Ambr. 1747 = Zon. 159 1654 — ἁμάρτημα = Ambr. 1725, Et. M. 86, 25, Et. Gen. cf. H ἀμπλακίαις, ἁμαρτίαις = P, Ba 80, 10 ὅτι—vs. 28 ἁμαρτήματα Laert. 7, 120—21 ἀμπλακών, ἁμαρτήσας cf. H ἀλλὰ τό sq. Dam. fr. 150

1642 Z 146 1644 hinc 1628 1646 Z 146 1647 Z 159 1648 hinc v. λίτοι; Z 146 1651 Z 146 1654 Laert. hinc 2479 fin.; cf. v. Κάνωπος; Dam. hinc v. Ἰβύκειον ῥηςείδιον cf. v. μήτι 1

A(GITSM) 3 πόλις post Ἀμωραῖος ASM Ἀμωραῖος] Ἀμῶρος M Ἀμορραῖος] καὶ Ἀμοραῖος S 5 Ἀμπαλίνωρος] Ἀμπαλίνορος T[ac]M[ac] 1649 ex IT 1650 ex mg. IM 13 τουτί M τι I 1651 non nov. gl. AM 16 θηλυκόν] θηλυκῶς GIT 18 ἀμπέχῃ pr.] ἀμπέχειν A

παρὰ θεοῖς ἀμπλακιῶν τιμὰν πρὸς ἀνθρώπων ἀμείψειν. ἔστι δὲ πρὸς ἱερωσύνην συνᾴδον τὸ Ἰβύκειον τουτὶ ῥηςείδιον.

1655 Ἀμπνοὰς ἔχοντα: ζῶντα ἀναπνέοντα. Soph.

1656 Ἄμπωτις: λῆξις. ἢ ξηρασία ἢ πλημμύρα. ὅτι τὸν σπου- ΔΣ
δαῖον οὐ δεῖ θαυμάζειν τῶν δοκούντων τι παραδόξων, οἷον Χαρώνεια Phil.
καὶ ἀμπώτεις καὶ πηγὰς θερμῶν ὑδάτων καὶ πυρὸς ἀναφυσήματα. ἀλλὰ μὴν οὐδ' ἐν ἐρημίᾳ βιώσεται ὁ σπουδαῖος, κοινωνικὸς ὢν φύσει καὶ πρακτικός.

1657 Ἀμπρεύοντες: παρακομίζοντες. ἄμπρον γὰρ σχοῖνός τις, Call.
μεθ' οὗ εἰώθασιν ἕλκειν ἤτοι παρακομίζειν μεγάλα φορτία. ἀμπρεύειν δὲ κυρίως τὸ μετὰ ἁμάξης πορεύεσθαι, καταχρηστικῶς δὲ καὶ ἐπὶ τῶν νωτοφόρων ζώων λαμβάνεται. ἢ Ἀμπρεύειν, τὸ τῷ ἕλκοντι ζεύγει Ar. + Eol.
βοηθεῖν. καὶ Ἄμπρον, σχοινίον, ὅπερ διὰ τῶν ζυγῶν διατείνουσι καὶ φορτία ἐφ' ἁμάξης κομίζουσιν, ὥστε ὁμοτόνως ἀπὸ τῶν ζυγῶν ἕλκεσθαι· ἄμπερόν τι ὄν, τὸ διαπερῶν τὸν ζυγὸν δεδεμένον. καὶ Ἐξ- Ar.
αμπρεύσομεν ἄνευ κανθηλίου· ἀντὶ τοῦ ἕλξομεν τὸ ξύλον ἄνευ ὄνου.

1658 Ἄμπυκας: χαλινούς· Ἄμπυξ δὲ δεσμὸς τριχῶν ἢ κόσμος Σ
κεφαλῆς. οὕτως Ὅμηρος.

1659 Ἀμοιβαδόν: ἐξ ἀμοιβῆς. ἐφεξῆς. ΔΣ

1660 Ἀμοιβαία ἔκτισις: ἀνταπόδοσις· ἢ ἐκ διαδοχῆς ὁμοία. Σ
ὅρκοι δὲ ἐπὶ τῇ ἀμοιβαίᾳ σφῶν ἐδίδοντο πίστει, οὐ μόνον αὐτοῖς, ἀλλὰ E
καὶ τοῖς τῶν παραγινομένων ἐκ τῶν βασιλείων τῆς Ῥωμαίων τῆς διαλλαγῆς ἕνεκα τῶν ἀνδρῶν. Πρίσκος φησίν.

1661 Ἀμοίβη: ἀντέκτισις. ἀνταπόδοσις. ἀμοιβὴν τοῦ θεοει- ΔΣ
δεστάτου τρόπου θαυμαστὴν ἐφέρετο. ἔρρει γὰρ οἱ κατὰ πρύμναν τὰ E
ἐκ τῆς τύχης καὶ πᾶσιν οἷς ἐπέθετο, τούτων ἥμαρτεν οὐδενός.

1662 Ἀμοιβηδής: ὁ ἀντικαταλλάσσων. Ἀμοιβηδὶς δὲ κατὰ ἐν- Δ
αλλαγήν.

1663 Ἀμοιβόν: οὐδετερόν. ἀνταποδοτικήν. πρὶν κακῶν ἔργων Δ
ἀμοιβὸν τιμωρίαν ἐκτίσαι. E

1655 — ζῶντα sch. Soph. Ai. 417 1656 l. = Ambr. 1674 ξηρασία ἢ πλημμύρα = Ba 80, 13, Σ^a, P cf. H τὸν σπουδαῖον sq. Laert. 7, 123 1657 — λαμβάνεται fort. sch. ad Call. fr. 85 K. 234 S. vs. 12 ἀμπρεύειν—σχοινίον sch. Ar. Lys. 289; ἄμπρον, σχοινίον + ἄμπερον—δεδεμένον = Et. M. 86, 31, Et. Gen. ἐξαμπρεύσομεν sq. Ar. Lys. 290 c. sch. 1658 — κεφαλῆς = P, Ba 80, 11, Σ^a cf. H, sch. X 469, Ap. S. 25, 5; X 469 1659 ἐφεξῆς = H, P, Ba 80, 2, Σ^a 1660 — ὁμοία = P, Ba 80, 4, Σ^a ὅρκοι sq. Prisc. fr. 1 Niebuhr 1661 — ἀνταπόδοσις cf. H v. ἀμοιβαί et ad 1565; ἀνταπόδοσις = P, Ba 80, 3, Σ^a ἀμοιβήν sq. Aelian. fr. 354 (p. LXIX) 1662 ἀμοιβηδίς sq. = Ambr. 1792, sch. Σ 506 1663 l. = Ambr. 1661 πρίν sq. Aelian. fr. 218

1657 Z 160 1661 cf. 1565; Aelian. cf. v. ἔρρει 1662 cf. 1566

1 ἀμείψειν v. Ἰβύκειον, ἀμείψιν AS ἀμείψω GITM 4 πλημμύρα] πλυμ- A(GITFSM)
μύραι A 6 ἀμπώτεις M ἀμπώτις rell. 18 δέ] γὰρ GITM^{ac} 23 τοῖς AM om. GITF τῶν pr. om. M παραγινομένων] παραγινομένοις M τῆς alt. om. FM 28 ὁ—δέ om. FS ἀμοιβηδίς] ἀμοιβηδής TM 30 οὐδετερόν ex GI

ΣΔ 1664 Ἀμοιρῆσαι· γενικῇ. ἀποτυχεῖν. Ἀμοιρῶ γὰρ τὸ οὐ Σ μετέχω. καὶ Ἄμοιροι, ἀμέτοχοι ἢ κακόμοιροι. κακὸν κακῶς νιν Soph. ἄμοιρον ἐκτρίψαι βίον. ἀντὶ τοῦ κακόμοιρον ἢ μηδενὸς τῶν νενομισμένων μετειληφότα, ἀλλ' ἄταφον ἐκβληθῆναι.

Σ 1665 Ἀμυγδαλῆ: τὸ δένδρον. Ἀμυγδάλη δὲ ὁ καρπός. καὶ Anth. δειλαὶ δάκνεσθαι ἀμυγδάλαι.

Σ 1666 Ἀμυγνόν: τὸ μὴ μυσαρόν, ἀλλ' ἁγνὸν καὶ καθαρόν. οὕτως Σοφοκλῆς.

Δ 1667 Ἄμυδις: ὁμοῦ.

Σ 1668 Ἀμυδρά: ἀφανῆ, σκοτεινά. καὶ Ἀμυδρῶς, σκοτεινῶς, λεπτῶς, ἀσαφῶς.

1669 Ἀμύειν: τὸ σπεύδειν παρὰ Ἀττικοῖς. καὶ δασύνεται.

Σ 1670 Ἀμύητος: ἄπειρος, ἀτέλεστος.

1671 Ἀμύκλαι: κόσμιόν τι, ὅπερ ἐν ποσὶν εἶχεν Ἐμπεδοκλῆς. εἶχε γὰρ χρυσοῦν στέμμα ἐπὶ τῆς κεφαλῆς καὶ ἀμύκλας ἐν τοῖς ποσὶ χαλκᾶς καὶ στέμματα Δελφικὰ ἐν ταῖς χερσίν· καὶ οὕτως ἐπῄει τὰς πόλεις, δόξαν περὶ αὑτοῦ κατασχεῖν ὡς περὶ θεοῦ βουλόμενος. ὃς ἔρριψεν ἑαυτὸν νύκτωρ εἰς τοὺς κρατῆρας τοῦ Αἰτναίου πυρός, ὡς μὴ φανῆναι αὐτοῦ τὸ σῶμα· τοῦ σανδαλίου αὐτοῦ ἐκβρασθέντος. ἐκαλεῖτο δὲ Κωλυσανέμας, διὰ τὸ πολλοὺς ἀνέμους ἐπιθεμένους τῇ Ἀκράγαντι, ἐξελάσαι αὐτὸν δορὰς ὄνων περιθέντα τῇ πόλει.

Δ 1672 Ἀμυκλαῖος: ἀπὸ τόπου.

Σ 1673 Ἀμύμων: ἄψογος, ἄμεμπτος.

Δ 1674 Ἀμυμώνειος: ἐκ τοῦ Ἀμυμῶνος. καὶ Ἀμυμώνη, ὄνομα κύριον.

Σ 1675 Ἄμυνα: καὶ ἐπὶ ἀμοιβῆς καὶ ἐπὶ εἰσπράξεως δίκης.

Σ 1676 Ἀμύνασθαι: Θουκυδίδης μὲν ἀντὶ τοῦ ἀμείβεσθαι, Σιμωνίδης δὲ ἀντὶ τοῦ χάριτας ἀποδιδόναι, Σοφοκλῆς δὲ ἀντὶ τοῦ ἀπαλεξῆσαι.

1664 γενικῇ cf. Synt. Laur. ἀποτυχεῖν = P, Ba 80, 5, Σ^a, H ἀμοιρῶ—μετέχω cf. Ambr. 1764 ἄμοιροι—κακόμοιροι = P κακόν sq. Soph. OT 248 c. sch. 1665 — καρπός = P cf. Pamphil. ap. Ath. 2, 52 f; — δένδρον = H καί sq. Anth. 6, 232, 3 1666 cf. ad 1689; Soph. fr. 909 1667 = Ambr. 1808, sch. I 6, K 300, 524 cf. H, Ap. S. 25, 4 1668 = Σ^a, P; — σκοτεινά = Ba 80, 14 cf. H; ἀμυδρῶς sq. cf. gl. Dionys. PG 4, 24 1670 = P, Ba 80, 16 1672 cf. Ambr. 1637 1673 = P, Ba 80, 17, Σ^a; — ἄψογος = Ambr. 1520, sch. A 92, Et. M. 87, 33, Et. Gen.; ἄμεμπτος = H v. ἄμυμος 1674 Ἀμυμώνειος = Ambr. 1624; Ἀμυμώνη sq. = Ambr. 1677 1675 Tim. = P 1676 — ἀπαλεξῆσαι = P; Thuc. 1, 42, 1; Simon. fr. 229; Soph. OC 872

1665 Z 150 1666 cf. 1686, 1689 1668 Z 165 1671 Z 150; cf. v. Ἐμπεδοκλῆς 2 1672 Z 144 1675 Z 150 1676 Z 160 sq.

A(GITFSM) 2 ἀμετόχοι] οἱ ἀ. S κακόν] κακὸν γάρ S 4 ἐκβληθῆναι] ἐκβληθέντα GIM^{oc} 1669 om. FS post 1670 A 19 τοῦ AGIT v. Ἐμπεδοκλῆς, τοῦ δέ FSM 20 ἐπιθεμένους] ἐπιθεμένου GIT 21 αὐτόν] αὐτούς FSM^{ac} 27 μέν] δέ S

ἐπὶ τῶν προηδικηκότων τάσσουσιν οἱ ῥήτορες τὸ ἀμύνασθαι, ὅτε οἱ κακόν τι παθόντες ἀντιπράσσουσι τοὺς προδιαθέντας. καὶ Ἀμύναιντο, ἀμύναιεν. Κρατῖνος Πυλαίᾳ· αὐτοὺς παίδευσεν, ἔθρεψέ τε δημοσίοις χρήμασιν εἰς ἥβην, ἵνα οἵ ποτε λοιγὸν ἀμύναιντο. καὶ Ἀμύνειν παρὰ Θουκυδίδῃ τὸ βοηθεῖν· Ἀμύνεσθαι δὲ τὸ κολάζειν. Rhet Σ Thuc.

1677 Ἀμυνίας: ὄνομα κύριον. ἢ ὁ ἕτοιμος ἀμύνεσθαι. ἀλλ' Ἀμυνίας ὁ Σέλλου μᾶλλον, οὐκ τῶν κρωβύλων. Ἀριστοφάνης. οὗτος, ὃν ἐγώ ποτ' εἶδον ἀντὶ μήλου καὶ ῥοιᾶς δειπνοῦντα μετὰ Λεωγόρου. πεινῇ γάρ, ἥπερ Ἀντιφῶν. ἀλλὰ πρεσβεύων γὰρ ἐς Φάρσαλον ᾤχετ'· ἐκεῖ μόνος μόνοις τοῖς πενέσταισι ξυνὼν τοῖς Θετταλοῖς, αὐτὸς πενέστης ὢν ἐλάττων οὐδενός. ΔΣ Ar.

1678 Ἀμυνόμενοι: τοὺς κακόν τι πράξαντας ἀντιδιατιθέντες. οἱ δὲ Ῥωμαῖοι ἔθος εἶχον μὴ ἄρχοντες φαίνεσθαι χειρῶν ἀδίκων, ἀλλ' ἀεὶ δοκεῖν ἀμυνόμενοι κατ' ἀνάγκην ἐμβαίνειν εἰς τοὺς πολέμους. καὶ αὖθις· ὁρῶσι κἀμέ καὶ σέ· καὶ φρονοῦσ', ὅτι ἔργοις πεπονθώς ῥήμασιν ἀμύνομαι. Hom. E Soph.

1679 Ἀμύνω τὸ βοηθῶ δοτικῇ, ἀμύνω δὲ τὸ τιμωρῶ αἰτιατικῇ. καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς. Synt.

1680 Ἀμύνω σοι: βοηθῶ σοι. Ἀμύνομαί σε δέ, ἀντὶ τοῦ τιμωρῶ σε. Δ

1681 Ἀμύντης καὶ Ἀλκήστης, τραγικὰ καὶ Αἰσχυληρὰ τὰ ὀνόματα. Σ

1682 Ἀμύντωρ: βοηθός. Σ

1683 Ἀμύξεις: λυπήσεις, τρώσεις. πλήξεις. καὶ παροιμία· Μήδ' ἄκανθα ἀμύξῃ τοὺς ἀγαθούς. καὶ Ἄμυξις· ἀμυχή, σπάραξις, ξέσις. Ἀμύσσω γὰρ παρὰ τὸ αἷμα, αἱμύσσω, καὶ ἀμύσσω. Δ Hom. Prov. Σ + Δ Ecl.

1676 ἐπί—προδιαθέντας = Bk. 217, 12 ἀμύναιντο—Κρατῖνος (fr. 171) = P vs. 5 ἀμύνειν sq. sch. Thuc. 1, 40, 5 1677 ὁ—ἀμύνεσθαι = P, sch. Ar. Eq. 570 ἀλλ' sq. Ar. Vsp. 1267—74 1678 — ἀντιδιατιθέντες cf. Aristoph. Byz. ap. Eust. I. 546, 28 οἱ δέ—πολέμους Polyb. fr. 99 ὁρῶσι sq. Soph. OC 872—3 1679 — αἰτιατικῇ cf. Synt. Gud., Bk. 125, 16, Boisson. An. 2, 350, vs. 187–8; — δοτικῇ = Synt. Laur., Ambr. 1755 cf. An. Ox. 4, 277, 16; καὶ τῷ sq. Ps. 117, 11 cf. Ambr. 1756 1680 cf. Bk. 125, 16 et ad 1679 1681 = P, Phryn. fr. 175 1682 = P, Ba 80, 18, Σ^a, H, Et. M. 88, 17, Et. Gen., sch. N 384 1683 — λυπήσεις = Ambr. 1752 cf. sch. A interl. ad A 243 πλήξεις cf. sch. D ad A 243 μήδ'—ἀγαθούς = Diogen. VI 69 σπάραξις = P, Ba 80, 19, Σ^a ἀμύσσω—ἀμύσσω = Et. M. 88, 10, Et. Gen.

1677 cf. v. ἠρίθμησεν 1678 Z 161. Polyb. cf. 2202, v. ἔμβαινε, v. πέλας 1680 Z 161 1683 Z 161; Paroem. hinc v. μήδ' ἄκανθα

1 ἀμύνασθαι] ἀμύνεσθαι G Bk. 3 Πυλαίᾳ Bhd. Mein. Πυλαίοις omnes παίδευσεν] ἐπαίδευσεν pr. 4 ἀμύναιντο GITF ἀμύναιτο A ἀμύναινο M ἀμύναιν Bekk. 5 ἀμύνεσθαι] ἀμύνασθαι S 8 οὐκ A οὐκ ἐκ rell. 10 Φάρσαλον GIM^{ac} Φάρσαλιν AFSM^{ac} 11 ἐκεῖ] ευκεῖ M αὐτός] αὐτοί A 1679 om. TFS mg. ad 1677 A post 1676 GI 18 Ἀμύνω—αἰτιατικῇ om. M τό GI τῷ A καὶ τῷ—19 αὐτούς post 1680 M 22 τραγικά] τραγικαί A Αἰσχυληρά] Αἰσχυρηλά M σκληρά Reitz. τά om. T A(GITFSM)

Anth. + Σ ἧς ἔπι καλὸν ἄμυξε καταρρέθος Ἀφρογένεια. ἀντὶ τοῦ ἐσπάραξεν,
Anth. ἔξεσε. καὶ ἐν Ἐπιγράμμασι· ἵσταο καὶ σκοπίαζε, μάτην δὲ σὸν
ἦτορ ἀμύσσου.

Prov. 1684 Ἄμυρις μαίνεται: ἐπὶ τοῦ φρενήρους λέγεται ἡ παροιμία.

Σ θεωρὸς γὰρ ὑπὸ Συβαριτῶν πεμφθεὶς εἰς Δελφοὺς περὶ εὐδαιμονίας καὶ τοῦ θεοῦ χρήσαντος ἀπώλειαν Συβαριτῶν ἔσεσθαι τότε, ὅταν ἀνθρώπους θεῶν προτιμήσωσι, θεασάμενος δοῦλον πρὸς ἱερῷ μαστιγούμενον καὶ προσφυγόντα τῷ ἱερῷ καὶ μὴ ἀπολυόμενον, ὕστερον δὲ εἰς τὸ τοῦ μαστιγοῦντος πατρὸς μνῆμα καταφυγόντα ἀπολυθῆναι, συνεὶς τὸ λόγιον, ἐξαργυρισάμενος τὰ ἴδια, ἀπῆρεν εἰς Πελοπόννησον. ὃ οὖν λογισμῷ πεποίηκεν Ἄμυρις, τοῦτ' εἰς μανίαν Συβαρῖται μετέστρεψαν. ὁ δὲ τῷ χρόνῳ διὰ τὴν προσποίητον μανίαν ἐθαυμάσθη.

Hdt. + Σ 1685 Ἀμύσσειν: ταράσσειν, ἑλκοῦν, ξέειν, σπαράσσειν. ποτὲ μὲν
E τοῖς ὄνυξιν ἀμύττων τὰς παρειάς, ὁτὲ δὲ τῷ ῥύγχει τοὺς ὀφθαλμοὺς
E ἔκοπτεν. ἐπεὶ δὲ προῆλθε τοῦ οἰκείου τάγματος, κόραξ ἐφιζάνει τῷ δεξιῷ τοῦ ἀνδρὸς βραχίονι, ἀντιπρόσωπος τῷ Κελτῷ κατὰ τὸν ἀγῶνα φερόμενος καὶ τοῖς τε ὄνυξιν ἀμύττων τὸ πρόσωπον καὶ ταῖς πτέρυξιν ἐπικαλύπτων τοὺς ὀφθαλμούς, ἀφύλακτον τῷ Βαλερίῳ τὸν πόλεμον παραδέδωκε, ὁμοῦ τήν τε νίκην καὶ τὴν ἐπωνυμίαν χαρισάμενος. Κόρβιος γὰρ ἐντεῦθεν ἐκλήθη. λέγεται καὶ Κορβῖνος.

Δ 1686 Ἀμύσκαρον: τὸ ἀγνόν.

Σ 1687 Ἀμυστὶ πιεῖν: ἐπίρρημα. λέγεται δὲ ἐπὶ τῶν ἀπνευστὶ καὶ ἄνευ τοῦ ἀναπαύεσθαι πινόντων, οἱονεὶ μηδὲ μυσάντων. τοῦ αὐτοῦ ἔχεται καὶ τὸ ἐξαμυστίσαι. λέγεται δὲ καὶ ἀμυστίζειν καὶ τὰ ἐξ αὐτοῦ.

EV καὶ ἀμυστὶ Φερεκράτης εἶπεν. ὅτι Κόμοδος ὁ βασιλεὺς Ῥωμαίων ἔπιεν ἐν τῇ ἀγωνίᾳ καμὼν, κύλικι ῥοπαλωτῇ παρὰ γυναικὸς γλυκὺν οἶνον ἐψυγμένον λαβὼν ἀμυστί· ἐφ' ᾧ παραχρῆμα πάντες τοῦτο δὴ τὸ ἐν τοῖς συμποσίοις εἰωθὸς λέγεσθαι ἐξεβόησαν ζήσειας. τὸ Ζήσειας ἐπὶ τοῦ τελειώσειας τὴν ζωήν φασιν οἱ γραμματικοί. κινδυνεύει οὖν ὁ τοῦτο
Ar. λέγων ἀντὶ τοῦ εὔχεσθαι, καταρᾶσθαι. καὶ Ἀριστοφάνης· ἄμυστιν ἐξέλαψα.

1683 ἧς—Ἀφρογένεια Anth. 7, 218, 11; ἐσπάραξεν, ἔξεσε cf. P v. ἀμύσσει, Ba 80, 20, Σ[a], H, Ambr. 1759 ἵσταο sq. Anth. 5, 261, 5 1684 — παροιμία cf. Philol. Suppl. 6, 258 n. 137 θεωρὸς sq. = P, Paus. Att. fr. 201 ex Eust. I. 298, 4 1685 — ξέειν = gl. Hdt. 3, 76; ξέειν—σπαράσσειν = H cf. P v. ἀμύσσει = Ba 80, 20, Σ[a] ποτε—ἔκοπτεν Dionys. Hal. 15, 1, 2 ἐπεί sq. Io. Antioch. fr. 49, FHG 4, 557 1686 = Ambr. 1718 ἀμύσκρον 1687 — εἶπεν = P cf. Ath. 11, 25, 783 d; Pherecr. fr. 202; ἐπίρρημα cf. Ambr. 1809 ὅτι—ζησείας pr. Cass. D. 72, 18, 2 = EV 2, 378, 23—379, 3 ἄμυστιν—p. 151, 2 φιαλώδους Ar. Ach. 1229 c. sch.

1683 Anth. hinc v. κατὰ ῥέθος; ἔξεσε cf. v. ἐμύξατο 1684 hinc v. Συβαρῖται μαίνονται; cf. v. Θάμυρις μαίνεται 1685 Io. Antioch. cf. v. Κελτοί; hinc v. Κορβῖνος 1686 cf. 1666 et 1689; Z 155 1687 hinc v. ἐξαμυστίσαι; Z 165. Cass. D. cf. v. κύλιξ ῥοπαλωτή; hinc v. ζήσειας

A(GITFSM) 5 Συβαριτῶν] Σαμαριτῶν A πεμφθείς—6 Συβαριτῶν om. A 10 οὖν] γοῦν SM 11 μετέστρεψαν] μετέτρεψαν M Phot. 12 ὁ] ὁμοῦ ὁ M cf. vs. 19 17 τε] μέν A 19 πόλεμον] πολέμιον M cf. v. Κελτοί ὁμοῦ om. M cum lac. cf. vs. 12 20 λέγεται καὶ Κορβῖνος ex mg. AM 28 τό alt.—30 καταρᾶσθαι om. GT mg. AM post gl. S 30 ἐξέλαψα] ἐξέλαμψα SM

οἷον ὁμοῦ καὶ ἀθρόως ἔπιον. ἢ παρὰ τὸ ἀπνευστὶ ἐκπιεῖν ἢ παρὰ τὸ μὴ μύειν. ἔστι δὲ καὶ εἶδος ποτηρίου φιαλώδους. Ἄμυστις γὰρ Δ
ἡ ἀπνευστὶ πόσις.
1688 Ἀμυχή: ἐπιπόλαιον ἕλκος. Σ
1689 Ἀμυχνόν: τὸ μὴ μυσαρόν, ἀλλ' ἁγνὸν καὶ καθαρόν. οὕτως Σ
Σοφοκλῆς. γράφεται δὲ καὶ Ἀμυχρόν.
1690 Ἀμφάρης: ὄνομα κύριον. Δ
1691 Ἀμφασία: ἀφωνία, ἀλαλία. Hom.
1692 Ἀμφ' αὐτούς: περὶ αὐτούς. Σ
1693 Ἀμφέχανε: καταπέπωκε. τοὺς δ' ὁ μέλας ἀμφέχανε θάνατος. Hom.? Anth.
1694 Ἄμφηκες: ἀμφοτέρωθεν ἠκονημένον. ἀπὸ τῆς ἀμφήκης Σ
εὐθείας. οἷος ἐμοὶ τρέφεται παῖς ἀμφήκει γλώττῃ λάμπων. Ἀριστο- Ar.
φάνης Νεφέλαις.
1695 Ἀμφήμερον: τὸν ἀμφημερινὸν πυρετόν. Σοφοκλῆς Ποιμέσι· Σ
κρυμὸν φέρων γνάθοισιν ἐξ ἀμφημέρου.
1696 Ἀμφηρεφές: ἀμφοτέρωθεν ἐστεγασμένον ἢ κατάσκιον. Σ
1697 Ἀμφηρικόν· πέμπει δὲ σκαφίδιον ἀμφηρικόν. καὶ Θουκυ- E
δίδης· ἀκάτιον ἀμφηρικὸν ὡς λησταί, ἐκ πολλοῦ τεθεραπευκότες τὴν E
ἄνοιξιν τῶν πυλῶν ἐκόμιζον τὸ πλοῖον ἁμάξῃ.
1698 Ἀμφήριστον: ἄνισον, ἀμφίβολον, ἐπιφιλόνεικον. πολίτης Σ + Δ
ἀμφήριστος Εὐρυβάτῃ, τῷ προεμένῳ Κροῖσον ἐπὶ πονηρίᾳ. καὶ αὖθις·
ἤτοι τὸ νικᾶν ἢ τὸ μὴ λειφθῆναι, ἀλλ' ἀμφήριστον ἀπολιπεῖν τὸ κράτος
ἀφαιρεθέντες. ἀμφήριστος ἰσχὺν καὶ μέγεθος, φρονήσει δὲ καὶ ἀν-
δρείᾳ λίαν ὑπερφέρων.
1699 Ἀμφί: περί, ἐξ ἑκατέρου μέρους. Σ
1700 Ἀμφιανακτίζειν: τὸ προοιμιάζειν. διὰ τὸ οὕτω προοιμιά- Ar.
ζεσθαι. Περίανδρος· ἀμφί μοι αὖτις ἄνακτα. καὶ Ἀριστοφάνης Νεφέ-
λαις· ἀμφί μοι αὖτε Φοῖβε ἄναξ Δήλιε. Ἀμφιάνακτας ἔλεγον καὶ τοὺς
διθυραμβοποιούς· συνεχῶς γὰρ ἐκεῖνοι ταύτῃ ἐχρῶντο τῇ λέξει.
1701 Ἀμφιανακτίζειν: ᾄδειν τὸν Τερπάνδρου νόμον, τὸν καλού- Σ
μενον Ὄρθιον, ὃ αὐτῷ προοίμιον ταύτην τὴν ἀρχὴν εἶχεν· ἀμφί μοι

1687 ἄμυστις sq. = Ambr. 1658 cf. P, H 1688 = P, Ba 80, 21, Σ^a, H
1689 cf. P v. ἀμυχρόν = H; Soph. fr. 909 1690 = Ambr. 1572
1691 — ἀφωνία = sch. A interl. et D in P 695, Ap. S. 29, 8, H, Et. M. 88, 39, Et. Gen. 1692 = P, Ba 80, 22, Σ^a, H 1693 — καταπέπωκε cf. sch. Ψ 79
τούς sq. Anth. 6, 131, 4 1694 — ἠκονήμενον = P, Ba 80, 23, Σ^a, sch. K 256, Et. M. 88, 50, Et. Gen. cf. Ambr. 1724 ἀπό sq. Ar. Nu. 1158—60 c. sch.
1695 — πυρετόν cf. Phryn. p. 43, 3; Soph. fr. 466 1696 = P, Ba 80, 24, Σ^a
1697 ἀκάτιον sq. Thuc. 4, 67, 3 1698 — ἀμφίβολον = P, Ba 80, 25, Σ^a, Et. M. 89, 22 cf. Ambr. 1728; ἐπιφιλόνεικον cf. Ambr. 1510 1699 = P, Ba 80, 26, Σ^a
1700 Ar. Nu. 595 c. sch.; ἀμφί—ἄνακτα Terpandri fr. 2 1701 — Ὄρθιον = P

1689 cf. 1666 et 1686; Z 155 1693 Z 163 1695 hinc v. ἐφήμερος
1700 Z 163

1 ἄπνευστι] ἀνάπνευστι A 10 καταπέπωκε] καταπέπτωκε IS 14 Ἀμ- A(GITFSM)
φήμερον] Ἀμφήμενον A 16 Ἀμφηρεφές] Ἀμφιρεφές A 27 Περίανδρος] Τέρπανδρος sch. 31 ὃ αὐτῷ] ὅτι αὐτοῦ Wilam. Timoth. 92, 2, οὗ τό Kust.

αὐτὸν ἄνακτ' ἑκατηβόλον ἀοιδέτω φρήν. ἔστι δὲ καὶ ἐν Εὐναίᾳ καὶ ἐν Ἀναγύρῳ.

Δ 1702 Ἀμφιάρεων: Ἀττικῶς. Ἀμφιαρεῖον δέ.

1703 Ἀμφίας: μέτριος οἶνος. Νικόστρατος Οἰνοποιῷ καὶ Σωσικράτης.

Σ 1704 Ἀμφίβιον: ἐν ἀμφοτέραις δυνάμενον βιοῦν, θαλάσσῃ καὶ γῇ. καὶ Ἀμφίβια ζῷα, ὅσα καὶ ἐν τῷ ὑγρῷ καὶ ἐπὶ τῆς χέρσου βιοῖ, οἷον ἵππος ποτάμιος, κροκόδειλος. δύναται δὲ καὶ ἄνθρωπος. εἰσὶ γὰρ οἷα ἅμα καὶ ἐν τῷ ὑγρῷ καὶ ἐν τῷ ξηρῷ διαιτᾶσθαι, ὡς ἐν Αἰγύπτῳ καὶ ἄλλῃ πολλαχῇ.

Δ 1705 Ἀμφίβληστρον: τὸ δίκτυον.

Phil. 1706 Ἀμφιβολία: λέξις δύο ἢ καὶ πλείονα πράγματα σημαίνουσα λεκτικῶς καὶ κυρίως, ὥσθ' ἅμα πλείονα ἐκδέξασθαι κατὰ τὴν αὐτὴν λέξιν· οἷον αὐλητρὶς πέπτωκε. δηλοῦται γὰρ δι' αὐτῆς, καὶ ὅτι οἰκία τρὶς πέπτωκε καὶ ὅτι ἡ κιθαρῳδὸς ἡ αὐλοῦσα.

Σ 1707 Ἀμφίβολοι: πανταχόθεν βαλλόμενοι· ἢ ἀπορούμενοι, διαφόροις συνεχόμενοι λογισμοῖς ἀγνοίᾳ τοῦ αἱρετοῦ καὶ εἴτε τοῦτο εἴτε
E+Σ ἐκεῖνο ποιήσουσιν. Ἀρριανός· οἱ δὲ Μάρδοι ἑκατέρωθεν ἤδη ἀμφίβολοι γιγνόμενοι καὶ ὑπὸ τῶν ἀναβαινόντων παιόμενοι καὶ ὑπὸ τῶν κατὰ νώτου ἐπιθεμένων· ὠθούμενοι, ἀπέθνησκον. καὶ αὖθις· ὁ δὲ Παμπρέπιος τούτοις ἀμφίβολος ὀφθείς, βραχὺ παρεωρᾶτο.

1708 Ἀμφίβροχος: πανταχόθεν βεβρεγμένος, τουτέστι μεθύων.

Anth. ἡδὺ μέθυ βλύζων, ἀμφίβροχος εἵματα Βάκχῳ.

Σ 1709 Ἀμφιγνοεῖ: ἀμφιβάλλει. Ἀγαθίας· καὶ ὅτου δὴ ἕνεκα τοῦτο
E δράσειεν ἀμφιγνοούντων. ἀντὶ τοῦ ἀμφιβαλλόντων. Ἀμφιγνοεῖν
Harp. οὖν ἀγνοεῖν ἢ ἐνδοιάζειν.

Δ 1710 Ἀμφιγυήεις: ὁ Ἥφαιστος.

Σ 1711 Ἀμφιγύοισιν: τοῖς ἐξ ἑκατέρου μέρους πλῆξαι καὶ γυιῶσαι δυναμένοις.

Δ 1712 Ἀμφιδαής: ἡ ἀμφοτέρωθεν κόπτουσα μάχαιρα.

1701 Εὐναίᾳ Cratin. fr. 67(?); Ἀναγύρῳ Ar. fr. 59 1702 l. cf. Ambr. 1554—55 1703 cf. Ath. 1, 31e, H; Nicostr. fr. 18 (2, 224 K.); Sosicr. fr. 7 (3, 392 K.) 1704 — γῇ = P, Ba 80, 27, Σ^{a} ἀμφίβια sq. = Ar. Byz. Epit. p. 3, 3—7 1705 = Ambr. 1717 1706 Laert. 7, 62 1707 — ποιήσουσιν = P, Ba 80, 29, Σ^{a} cf. sch. Thuc. 4, 32, 3 οἱ—ἀπέθνησκον Arr. Parth. p. 20 R. ὁ sq. Dam. fr. 172 1708 ἡδὺ sq. Anth. 7, 27, 7 1709 — ἀμφιβάλλει = Σ^{a} cf. P καί—ἀμφιγνοούντων Agath. 1, 13, p. 42 ἀμφιγνοεῖν sq. Harp. = P 1710 = Ambr. 1650b, Et. M. 89, 13, Et. Gen., Studem. An. 268 et 283 1711 = P, Ba 81, 1, Σ^{a}

1705 Z 156 1706 hinc 4435 1707 Z 144; Arr. cf. Eust. O. 1406, 36 1708 Z 144

A(GITFSM) 1 αὖ τόν] αὐτόν IS ἀοιδέτω] ᾀδέτω GIT 2 Ἀναγύρῳ AS Ἀναργύρῳ M Ἀγύρῳ GITF 4 Οἰνοποιῷ] Οἰνοπίωνι Meurs. 6 ὑγρῷ IFM ἀγρῷ AGT 7 γάρ] δέ A 8 οἷα] οἷοι Bekk. ὑγρῷ FSM ἀγρῷ AGIT 13 et 14 πέπτωκε] πέπωκας GIT γάρ] γὰρ καί FS 18 γιγνόμενοι AGIM γινόμενοι T γενόμενοι FS παιόμεναι] παυόμεναι SM 24 ἀμφιγνοούντων] ἐναμφιγνοούντων A 27 γυιῶσαι AF γυῶσαι GISM

1713 Ἀμφίδεα: ψέλια. Σ
1714 Ἀμφιδέας: ἁλύσεις παρ' Ἡροδότῳ. οἱ δὲ ψέλια. Hdt.
1715 Ἀμφιδέας: περισκελίδες τινές εἰσιν. ἰδίως δὲ Λυσίας ἐν τῷ Harp.
κατ' Εὐθυδίκου φησίν· οὐ δυνάμενος ἐκβαλεῖν, διὰ τὸ ἀμφιδέαις δε-
δέσθαι τὰς θύρας.
1716 Ἀμφιδέδηεν: ἐξῆπτο, διεγήγερτο. Δ
1717 Ἀμφιδεές: περιδεές. Σ
1718 Ἀμφιδείκελον: ἀμφίδηλον δέ. Δ
1719 Ἀμφιδήριτον: ἀμφίδοξον, ἰσοστάσιον. συνέβη γενέσθαι E
τὴν μάχην ἀμφιδήριτον.
1720 Ἀμφίδοξον: ἀμφίβολον. οἱ δὲ οὐκ ᾤοντο δεῖν ἐς ἄμφι- E
δοξον ἀγῶνα συγκαταβαίνειν, δυναμένοις προδήλως νικᾶν. καὶ
Ἀμφιδοξούμενα βιβλία, τουτέστιν ἀμφιβαλλόμενα.
1721 Ἀμφίδορον: τὸ πανταχόθεν περιέχον. ἐν Ἐπιγράμμασι· Δ
καὶ σκύτος ἀμφιδόρου στικτὸν ἀχαϊνεω. τουτέστιν ἐλάφου δέρμα. Anth
ἀχαϊνη γὰρ ἡ ἔλαφος.
1722 Ἀμφιδρόμια: τὴν πέμπτην ἄγουσιν ἐπὶ τοῖς βρέφεσιν, ἐν ᾗ Σ
ἀποκαθαίρονται τὰς χεῖρας αἱ συναψάμεναι τῆς μαιώσεως· τὸ δὲ
βρέφος περιφέρουσι τὴν ἑστίαν τρέχοντες, καὶ δῶρα πέμπουσιν οἱ
προσήκοντες, ὡς ἐπὶ τὸ πλεῖστον πολύποδας καὶ σηπίας. τῇ δεκάτῃ
τοὔνομα τίθενται.
1723 Ἀμφίδρομον: ἑλικοειδές. ἴδεσθέ μ' οἷον ἄρτι κῦμα φοινίας Soph.
ὑπὸ ζάλης ἀμφίδρομον κυκλεῖται. ἑλικοειδὲς, ὃ βαπτίζει τὰς ναῦς.
1724 Ἀμφί ἑ γιγνώσκων ἑτάρους: ἴσον τῷ ἀναλεγόμενος καὶ Hom.
ἀναμιμνησκόμενος. καὶ κατ' ὀρθὸν τόνον προενεκτέον τὴν ἀμφί ἑ.
ἔστι γὰρ εἰς ἑκάτερον ἑαυτοῦ μέρος.
1725 Ἀμφιέννυμι· αἰτιατικῇ. Synt.
1726 Ἀμφιέτει: ἐν αὐτῷ τῷ ἔτει. Δ
1727 Ἀμφιετηρίς: ἑορτὴ κατ' ἔτος γινομένη. Δ
1728 Ἀμφιθαλής: ἑκατέρωθεν θάλλων. Σ

1713 = Σ^{a}, P, H, Et. M. 87, 51 cf. Ba 81, 3 1714 Gl. Hdt. 2, 69 1715 Harp. = P; Lys. fr. 100 1716 διεγήγερτο cf. Ambr. 1753 1717 = P, Ba 81, 4, Σ^{a}, H 1719 συνέβη sq. fort. Polyb. cf. 35, 2, 14 1720 οἱ—νικᾶν Polybio attr. Tittm. 1721 καί sq. Anth. 6, 165, 2 c. sch. 1722 = sch. Pl. Theaet. 160e cf. H, Harp. (= P) 1723 Soph. Ai. 352—3 c. sch. 1724 O 241 c. sch. A 1725 = Synt. Gud. 1726 = Ambr. 1788 1727 = Ambr. 1666 cf. P = Et. Sym. (Reitz. Gesch. 267), Zon. 151 1728 = Ba 81, 5, Σ^{a}, P

1714—5 Z 151 1719 Z 151 1720 Z 144 1721 Z 156; cf. 4679 1723 Z 156

3 Λυσίας mg. GΥΡT^{sc} Λύσις ἢ Λυσίας S Λύσις rell. Harp. ep., P 4 ἀμ- A(GITFSM)
φιδέαις] ἀμφιδέας GTM 9 ἰσοστάσιον—11 Ἀμφίδοξον om. F συνέβη—10 ἀμ-
φιδήριτον om. A 12 δυναμένοις] δυνάμενοι pr. 15 ἀχαϊνεω GI^{sc}T s. v.
ἀχαινέω AS Zon. ἀχαΐνεον M ἀχάϊνεν F 16 ἀχαϊνη] ἀχαΐνη AM 17 τήν]
ἥν M^{sc} τὴν ἥν GIT 20 δεκάτῃ] δεκάτῃ δέ M 26 μέρος T^{sc}FM μέρους
AGIT^{ac} 27 αἰτιατικῇ] ἀ. δοτικῇ A

Ar. 1729 Ἀμφιθαλὴς ἔρως: ὁ ἀμφοτέροις τοῖς γονεῦσι θάλλων, μηδενὸς ὠρφανισμένος.

1730 Ἀμφιθέατρον: τόπος πανταχόθεν περισκοπούμενος. Ἀγα-
E θίας· ὁ δὲ τῶν Φράγγων ἡγεμὼν ἐς ἀμφιθέατρόν τι, ἀνεῖτο δὲ τοῦτο ἀνδράσιν, οἷς ὁ βίος θεωμένου τοῦ δήμου πρὸς θηρία διαγωνίζεσθαι.

Σ 1731 Ἀμφίθετον φιάλην: κατὰ πᾶν μέρος αὐτῆς τιθεμένης,
Hom. ἀπύθμενον. οὐ τὸ παρ' ἡμῖν ποτήριον, ἀλλὰ γένος λέβητος, ἐκ παντὸς μέρους δυνάμενον ἕδραν ἔχειν.

Anth. 1732 Ἀμφίκλαστον: πάντοθεν κεκλασμένον. λείψανον ἀμφίκλαστον ἁλιπλανέος σκολοπένδρης.

Σ 1733 Ἀμφίκορος: ὁ μέσος τῶν τριῶν ἀδελφῶν. Ἀμφίκουρος δὲ, ἣν ἑκατέρωθεν ἄνδρες περιλάβωσιν.

Σ 1734 Ἀμφίκρημνος: περίκρημνος ἢ βραχυτάτη.

Σ 1735 Ἀμφικτυόνες: οἱ ἐκ πόλεων καὶ ἐθνῶν αἱρετοὶ δικασταί. οἷον ἀμφικτυόνες καὶ περίοικοι.

Harp. 1736 Ἀμφικτυόνες: συνέδριόν ἐστιν ὁ Ἀμφικτυὼν Ἑλληνικόν, συναγόμενον ἐν Θερμοπύλαις. ὠνομάσθησαν δὲ Ἀμφικτυόνες ἀπὸ Ἀμφικτυόνος τοῦ Δευκαλίωνος. αὐτὸς γὰρ συνήγαγε τὰ ἔθνη βασιλεύων. ταῦτα δ' ἦν ιβ'· Ἴωνες, Δωριεῖς, Περραιβοί, Βοιωτοί, Μάγνητες, Ἀχαιοί, Φθιῶται, Μολιεῖς, Δόλοπες, Αἰνιᾶνες, Δελφοί, Φωκεῖς. οἱ δὲ φασὶν ὠνομάσθαι ἀπὸ τοῦ περιοίκους εἶναι τῶν Δελφῶν τοὺς
Δ συναχθέντας. καὶ Ἀμφικτυώνειος χώρα· Ἀμφιτρυώνειος δὲ μάχη. Ἀμφικτύων δὲ Ἀμφικτύωνος φυλάττει. Ἀμφικτύων δὲ Ἀμφικτύονὸς συστέλλει.

Δ 1737 Ἀμφίκοιτος: ὁ τάπης.

Suid. 1738 Ἀμφίκοιλον ξύλον: ἀνάφορον, ἐν ᾧ τὰ φορτία ἐξαρτήσαντες οἱ ἐργάται βαστάζουσιν. ἀμφίκυρτον οὖν γραπτέον, ὅπερ καὶ ἀληθές.

1729 Ar. Av. 1737 c. sch. cf. sch. X 496 (= H), Ap. S. 26, 22 1730 ὁ sq. Agath. 1, 14, p. 44 1731 — ἀπύθμενον = P, Ba 81, 6, Σ^{a} οὐ sq. = sch. A in Ψ 270 1732 λείψανον sq. Anth. 6, 223, 1 1733 = P; — ἀδελφῶν = H 1734 = P, Ba 81, 8, Σ^{a} 1735 Tim. = P 1736 — συναχθέντας Harp. = P Ἀμφικτυώνειος cf. Ambr. 1618; Ἀμφιτρυώνειος = Ambr. 1616; Ἀμφικτύων cf Ambr. 1571; Ἀμφικτύονος = Ambr. 1603 1737 = Ambr. 1506

1730 Z 156 1731 Z 151 1732 Z 156 1735 hinc v. αἱρετοί 1737 Z 144 1738 ex 2126

A(GITFSM) 2 ὠρφανισμένος] ὀρφανισμένος AIF 7 τιθεμένης] τεθεμένης S τιθεμένην M 10 πάντοθεν] παντάχοθεν TS Zon. cf. 157, 1 12 ἀμφίκουρος] ἀμφίκορος S Phot. 13 περιλάβωσιν] παρελαύνουσιν S 21 Μολιεῖς] Μηλιεῖς Harp. Αἰνιᾶνες GITFM^{ac} Phot. Harp. ms. E Αἰνειᾶνες M^{ac} cf. Harp. Αἰνιειᾶνες S; ad haec ex v. Αἰνειάδες petita: Αἰνιᾶνες ὄνομα ἐθνους, Αἰνειάδες δὲ οἱ ἐκ τοῦ Αἰνείου καταγόμενοι mg. IM post Δελφοί S; ζήτει τι καὶ Αἰνιεῖς πολ⟨ις⟩ add. M 23 Ἀμφικτυώνειος A Ἀμφικτυώνιος FS Ἀμφικτυόνειός ITM Ἀμφικτυάνειος G Ἀμφιτρυώνειος AG Ἀμφικτρυώνιος F Ἀμφικτυώνειος S Ἀμφικτυώνιος T Ἀμφιπρυώνειος I 24 μάχη] χάχη A Ἀμφικτύων δὲ Ἀμφικτύωνος om. IS sed v. infra φυλάττει om. GITF Ἀμφικτύων alt.—25 συστέλλει ex S; Ἀμφικτύων, Ἀμφικτύονος· Ἀμφικτύων δὲ Ἀμφικτύωνος mg. ad 1733 A, post 1735 I 1738 om. ATFS

1739 Ἀμφιλαφές: κατάσκιον, ἀμφοτέρωθεν βοηθούμενον. καὶ θη- Σ
λυκῶς Ἀμφιλάφεια, ἀμφοτέρωθεν βοήθεια.
1740 Ἀμφιλαφῆ: διπλοῦν, τεχνικόν τε καὶ σοφιστικόν. ἐμοὶ δὲ
ἐξηγεῖτο λόγους Ἰσοκρατείους· ὅτε καὶ εἶδον ἄνθρωπον εὔρρουν τε
ἅμα καὶ ἀμφιλαφῆ τὴν διάνοιαν πρὸς τὰς πολιτικὰς ἐξηγήσεις.
καὶ Ἀμφιλαφής, μεγάλη· οἷον ἀμφιλαβής, ὅτι ἀμφοτέραις χερσὶ Σ
λαμβάνεσθαι αὐτῆς ἐστιν. οὐχ ἡμάρτανε δὲ οὐδὲ ἀμφιλαφοῦς περι-
ουσίας. ἐν Ἐπιγράμμασι· ἰτέαι, ἥ θ' ἱερὰ κἀμφιλαφὴς πλάτανος. Anth.
1741 Ἀμφιλεξάντων: ἀντὶ τοῦ ἀμφισβητησάντων καὶ διενεχθέντων. Σ
οὕτως Ξενοφῶν. ἀμφιλεξάντων δέ τι ἐνταῦθα τῶν τε τοῦ Μένωνος E
στρατιωτῶν καί τοῦ Κλεάρχου.
1742 Ἀμφίλογον: ἀμφιβαλλόμενον, ἐνδοιάζοντα. Ἀρριανός· E
Ἀξιδάρην δὲ ὅτι ἄρχειν χρὴ Ἀρμενίας, οὗ μοι δοκεῖ εἶναί σε ἀμφί-
λογον.
1743 Ἀμφιλύκη: ἡ νύξ. ἐν Ἐπιγράμμασι· ἀμάθυνε δὲ χαίτην, ἣν Δ
μόλις ἐς τριςσὴν πλέξαμεν ἀμφιλύκην. Ἀμφιλύκη οὖν τὸ τέλος Anth.
τῆς νυκτός. ἡμέρα δὲ ὑπέφαινεν οὔπω λαμπρά, ἀλλ' ἔτι πρὸς E
ἀμφιλύκην ἦν ἡ νὺξ καὶ ἀπέληγεν.
1744 Ἀμφιμάσχαλος: χειριδωτὸν ἱμάτιον. οἱ δὲ δουλικὸν, ἢ Ar.
μικρὸν χιτωνίσκον. ἦν δὲ ἑτερομάσχαλος ὁ τῶν ἐργατῶν, οὗ τὴν
μίαν μασχάλην ἔρραπτον. Ἀριστοφάνης· οὐπώποτ' ἀμφιμασχάλου τὸν
δ' ἠξίωσας.
1745 Ἀμφιμάτορας: ἀμφοτέρους τοὺς γονεῖς ἔχοντας. Σ
1746 Ἀμφιματῶσαι: ἀποδῦσαι. Σ
1747 Ἀμφιμήτωρ: ὁ ἑτερομήτωρ. Αἰσχύλος. Σ
1748 Ἀμφίξουν· ἐν Ἐπιγράμμασι· ἀμφίξουν τε σκέπαρνον. τὸ Anth.
καλῶς ξέον.
1749 Ἄμφιον: ἱμάτιον, ἔνδυμα. καὶ Ἄμφιος, ὄνομα κύριον. ΣΔ
1750 Ἀμφιορκία: ἐπειδὰν ὅ τε διώκων καὶ ὁ φεύγων ὀμνύωσι, Σ
κλοπῆς ἔγκλημά τισιν ἐπιφέροντες. τοῦτο δὲ πολλάκις ὤφθη μάτην
γινόμενον. ἔθεντο οὖν Ἀθηναῖοι νόμον κατὰ τῶν ἀπαγόντων εἰς

1739 = Σ^{a}, Ba 81, 10; — βοηθούμενον = P; κατάσκιον = H 1740 — ἐξηγήσεις Dam. fr. 285 ἀμφιλαφής—ἐστιν = P, Ba 81, 13, Σ^{a} ἰτέαι sq. Anth. 6, 170, 2. 1741 — ἀμφισβητησάντων = Phryn. p. 49, 4 ἀμφιλεξάντων alt. sq. Xen. An. 1, 5, 11 1742 Ἀξιδάρην sq. Arr. Parth. R. p. 35 1743 — νύξ cf. H ἀμάθυνε—ἀμφιλύκην Anth. 5, 280, 3—4 1744 Ar. Eq. 882 c. sch. cf. P, Et. M. 90, 54, Et. Sym. (Reitz. Gesch. p. 268) 1745 = P, Ba 81, 15, Σ^{a} 1746 = P, Ba 81, 16, Σ^{a} 1747 cf. Phryn. p. 8, 1, H, P; Aeschyl. fr. 76 1748 — σκέπαρνον Anth. 6, 205, 9 1749 — ἔνδυμα = P, Σ^{a}, Ba 81, 17 cf. H Ἄμφιος sq. = Ambr. 1553 1750 = P

1740 cf. v. Σεβηριανός; hinc v. εὔρρους 1742 cf. 2806 1744 Z 144 1747 Z 144 1748 Z 157 1750 Z 151

2 ἀμφοτέρωθεν] καὶ ἀ. A 9 ἀμφισβητησάντων] ἀμφισβητούντων S A(GITFSM)
13 σε] εὐ S ἐς coll. Arr. An. 7, 22, 5 Roos, del. Bhd. 16 τριςσὴν[τριςσὶν S τρισὶν A

δεσμωτήριόν τινας ἐπὶ δίκῃ κλοπῆς, χιλίας διδόναι δραχμὰς τοὺς ἁλόντας. ἀλλὰ καὶ τοὺς οὐσίαν ἀπογράψαντας τῶν πολιτῶν τινας, ὡς τῷ δήμῳ προσηκούσαν, εἰ συκοφαντοῦντες ἁλοῖεν, καὶ οὗτοι χιλίαις ἐζημιοῦντο.

1751 Ἀμφίων· οὗτος παλαιᾶς μουσικῆς εὑρετής. περὶ οὗ λέγει ὁ Παραβάτης ἐν ἐπιστολῇ· περίεστι γάρ σοι καὶ σχολή, καὶ φύσεως ἔχεις εὖ, καὶ φιλοσοφίας ἐρᾷς, εἴπερ τις ἄλλος τῶν πώποτε· τρία δὲ ἅμα ταῦτα ξυνελθόντα ἤρκεσεν ἀποφῆναι τὸν Ἀμφίονα τῆς παλαιᾶς μουσικῆς εὑρετὴν, χρόνος, θεοῦ πνεῦμα, ἔρως ὑμνῳδίας. οὐδὲ γὰρ ἡ τῶν ὀργάνων ἔνδεια πρὸς ταῦτα πέφυκεν ἀντιτάττεσθαι, καὶ ταῦτα ῥᾳδίως ἂν ὁ τῶν τριῶν τούτων μέτοχος ἐξεύροι· ἢ γὰρ οὐχὶ τοῦτον αὐτὸν ἀχοῇ παραδεδέγμεθα οὐ τὰς ἁρμονίας μόνον, αὐτὴν δὲ ἐπ' αὐταῖς ἐξευρεῖν τὴν λύραν, εἴτε δαιμονιωτέρᾳ χρησάμενον ἐπινοίᾳ, εἴτε τινὶ θείᾳ δόσει, διά τινα συντυχίαν ἀμήχανον; καὶ τῶν παλαιῶν οἱ πλεῖστοι τοῖς τρισὶ τούτοις ἐοίκασι μάλιστα προσχόντες οὔτι πλαστῶς φιλοσοφῆσαι, οὐδενὸς ἄλλου δεόμενοι. Ζῆθος καὶ Ἀμφίων ἕτερος· ζήτει ἐν τῷ Ἀντιόπῃ.

Σ 1752 Ἀμφιπάτορες: οἱ ἀπὸ τοῦ αὐτοῦ πατρὸς, ἑτέρας δὲ μητρός.

Soph. 1753 Ἀμφιπλήξ: ἡ ἀμφοτέρωθεν ἐλασία. ἡ ἑκατέρωθεν πλήττουσα, ἔκ τε πατρὸς καὶ μητρός. Σοφοκλῆς· καὶ σ' ἀμφιπλὴξ μητρός τε καὶ τοῦ σοῦ πατρὸς ἑλᾷ ποτ' ἐκ γῆς τῆσδε δεινόπους ἀρά. τουτέστιν ἡ διὰ τῶν ποδῶν δέος ἐμποιοῦσα.

Harp. 1754 Ἀμφίπολις: πόλις ἐστὶ τῆς Θρᾴκης· πρότερον δὲ Ἐννέα ὁδοὶ ἐκαλεῖτο. φασὶ δὲ τινες αὐτὴν Ἀμφίπολιν ὠνομάσθαι διὰ τὸ Δ περιοικεῖσθαι τὸν τόπον. Ἀμφίπολις Ἀμφιπόλεως κλίνεται.

Hom. 1755 Ἀμφίπολος: θεράπαινα, δούλη. ἀμφίπολοι στῆθ' οὕτως ἀπόπροθι. οὕτως ὡς ἔχετε. καὶ στῆθ' οὕτως ἐμῆς ἀπάνευθε τραπέζης.

Δ + EL 1756 Ἀμφιπρύμναις: εἴδος πλοίων. ἔμπαλιν διελθεῖν παρεσκεύασε τὸν Ἴστρον ἐν ταῖς ἀμφιπρύμναις τῶν νεῶν.

1757 Ἀμφίπυρον: πανταχόθεν πυρούμενον. Σοφοκλῆς· τοὶ δ'

Soph. ὑψίβατον τρίποδ' ἀμφίπυρον λουτρῶν ὁσίων θέσθ' ἐπίκαιρον.

1751 Iul. ep. 30, p. 36, 17—37, 9 1752 = P 1753 Soph. OT 417—8 c. sch. 1754 — τόπον Harp. = P cf. Et. Gen. (Reitz. Gesch. p. 36) vs. 25 Ἀμφίπολις cf. Ambr. 1671 1755 — δούλη cf. sch. Γ 143, Et. Gen. (Reitz. Gesch. p. 42), H; θεράπαινα = Σ^{e}, Ba 80, 18, P; ἀμφίπολοι—ἔχετε Ζ 218 c. sch., στῆθ' sq. ρ 447 1756 πλοίων cf. H ἔμπαλιν sq. Men. Prot. fr. 48, FHG 4, 252 = EL 209, 1—3 1757 τοι sq. Soph. Ai. 1404—6

1751 hinc v. μουσικῆς παλαιᾶς 1752 Z 145 1753 Z 151; cf. v. δεινοπούς 1756 Z 151

A(GITFSM) 1 τινας] τινων SM^{ac} τινος Phot. Bekk. 16 Ζῆθος—17 Ἀντιόπῃ om. AGT mg. ISM Ζήτει—Ἀντιόπη om. S 17 Ἀντιόπη Bhd. Ἀντιο[] I Ἀντί M 23 Ἀμφίπολις FM^{oc} Ἀμφίπολος rell. 27 ἀπόπροθι ASM ἀπόπροθε IT ἀπόπροσθε G 31 τοι FSM τό A τόν GIT

1758 Ἀμφιρρῶγας: πάντοθεν διερρωγότας, ἠνεῳγμένους. κλω- Anth.
βούς τ' ἀμφιρρῶγας.
1759 Ἀμφιρύτη: περιρρεομένη κύκλῳ. ἐν Ἐπιγράμμασι· ἀμφι- Σ
ρύτη Κῶος, καὶ πάλιν πένθος ἔχεις οἷον ἐφ' Ἱπποκράτει. Anth.
1760 Ἄμφις, κωμικὸς, Ἀθηναῖος. Ἀμφὶς δὲ χωρίς. Hesy. Δ
1761 Ἄμφικα: πόλις ἐστὶ τῆς Λοκρίδος. Ἄμφικα δὲ ὠνομάσθη διὰ Harp.
τὸ περιέχεσθαι τὸν τόπον ὄρεσιν.
1762 Ἀμφισβατεῖν: ἔνιοι τὸ ἀμφισβητεῖν, Ἴωνες δὲ καὶ Ἀγχι- Σ
βατεῖν. καὶ Ἀγχιβασίην Ἡράκλειτος.
1763 Ἀμφισβητεῖν: μὴ συμφωνεῖν, ἀλλ' οἷον χωρὶς βαίνειν καὶ Σ
ἀμφιβάλλειν. ὁ δὲ Πτολεμαῖος εἰδὼς τοὺς ἑαυτοῦ προγόνους EL
ἐσχηκότας τὴν Κοίλην Συρίαν παρασκευὰς ἐποιεῖτο μεγάλας ἀμφισβη-
τῶν ταύταις· ἤλπιζε γὰρ τὴν ἀδίκῳ πολέμῳ πρότερον ἀνειμένην τότε
δικαίως τοῖς αὐτοῖς νόμοις ἀνακτήσασθαι. καὶ Αἰλιανός· ἠμφισβήτουν E
γὰρ τοὺς ἑτέρους ἕτεροι προβαλλόμενοι. οὐκέτι οὖν ἦν ἀμφισβη- E
τήσιμα τὸ μὴ οὐ τοῦτον ἐκεῖνον εἶναι τὸν τεθνηκότα.
1764 Ἀμφισβητεῖν καὶ παρακαταβάλλειν: οἱ τὸν κλῆρον ἐπι- Harp.
δικαζόμενοι ἀμφισβητεῖν ἢ παρακαταβάλλειν λέγονται, οἱ μὲν φάσκοντες
ἐπίδικον εἶναι τὸν κλῆρον, ὡς ὄντος παιδὸς τῷ τετελευτηκότι ἢ γόνῳ
ἢ ποιήσει, οἱ δὲ ὡς ἄπαιδος τελευτήσαντος δικαιότερον λέγοντες ἔχειν
αὐτοὺς τὸν κλῆρον τοῦ λαβόντος, ἢ συγγενεῖς ὄντες ἢ κατὰ διαθήκας
κληρονόμοι. οὕτως Δημοσθένης καὶ Ὑπερίδης περὶ τοῦ καταβάλλειν
διεσάφησαν.
1765 Ἀμφισβητεῖν καὶ παρακαταβάλλειν: ὅταν τελευτήσας Σ
τις ἄπαις εἶναι δοκῇ, φάσκῃ δέ τις ἑαυτὸν ἐκείνου υἱόν, οὗτος ἀμ-
φισβητεῖν τοῦ κλήρου λέγεται. εἰ δὲ παῖδα μὲν τοῦ θανόντος ἑαυτὸν
μὴ εἰσάγοι, λέγοι δὲ ἄλλως κατὰ γένος αὐτῷ προσήκειν τὸν κλῆρον,
παρακαταβάλλειν αὐτὸν οἱ νόμοι κελεύουσι. πλὴν ἀμφότερα ἐπ' ἀντι-
λογίας τάσσεται.
1766 Ἀμφισβήτησις· οἱ ἔξω φασίν· ἡ ἀμφισβήτησις κρίσει ἀν- E
αρτάσθω, ἡ δὲ κρίσις τοὺς ἐλέγχους βασανιζέτω, ἡ δὲ βάσανος τὸ δέον

1758 διερρωγότας cf. sch. Apoll. Rh. 1, 995 κλωβούς sq. Anth. 6, 109, 3
1759 — κύκλῳ = P, Ba 81, 19, Σ^{a} cf. Ap. S. 28, 34 ἀμφιρύτη alt. sq. Anth. 7, 588, 3—4 1760 ἀμφὶς sq. = Ambr. 1795, Philop. diff. cf. Apion
1761 Harp. = P 1762 Ἡράκλειτος fr. 122 Diels 1763 — ἀμφιβάλλειν = Ba 81, 20, Σ^{a}, P cf. H ὁ—ἀνακτήσασθαι Diod. 30, 2 = EL 401, 31—402, 1 ἠμφισβήτουν—προβαλλόμενοι Aelian. fr. 133 οὐκέτι sq. Iambl. fr. 5*
1764 Harp. cf. Bk. 197, 11; Hyper. 5, 5 sq. 1765 = P 1766 — κρίσεις Georg. 2, 511, 3—9

1758 Z 145 1759 Z 151 1760 Z 145 1761 Z 151 1762 hinc 398
1765 Z 162 1766 Z 151 et 162; Georg. hinc v. B 139 et v. κρίσις

1 πάντοθεν] παντάχοθεν GFS cf. 154, 10 4 Κῶος] Κῶος ἢ Κῶς M A(GITFSM)
Ἱπποκράτει AM Ἱπποκράτους TFS, cp. GI 8 ἔνιοι] ἔνιοι δέ M 9 ἀγχι-
βασίην] ἀγχισβασίην AF 13 ταύταις] ταύτης Exc. 15 τούς] τοι Hercher
1764 non nov. gl. GSM 25 δοκῇ, φάσκῃ] δοκεῖ, φάσκει FSM Phot. 27 λέγοι T
Phot. λέγει rell.

ὁριζέτω, ὁ δὲ ὅρος γεγράφθω, τὰ δὲ γεγραμμένα κυρούσθω, τὰ δὲ κυρωθέντα βεβαιούσθω τοῖς ἔργοις, καὶ πᾶσα ἀψιμαχία οἰχέσθω, καὶ πάλιν φιλία χορευέτω. καὶ οὐ δεῖ ἀπεριςκέπτως ποιεῖσθαι τὰς κρίσεις.

Δ Ἀμφισβητῶ καὶ σοὶ καὶ σοῦ.

Δ 1767 Ἀμφίσκω: ἐνδύω.

Σ 1768 Ἀμφίσματα: τὰ ἀμφισβητήσιμα. Ἑλλάνικος.

Soph. 1769 Ἀμφίσταται: περίσταται. ἀμφίσταται διαπρύσιος ὄτοβος.

Σ 1770 Ἀμφιστεφέες: πάντοθεν πλήρεις, περιπεπλεγμέναι ἀλλήλαις.

Suid. 1771 Ἀμφιστείδης· ζήτει περὶ τούτου ἐν τῷ γελοῖος. ἡ δοτικὴ τῷ Ἀμφιστείδῃ.

Δ 1772 Ἀμφιστείδης: ὄνομα κύριον.

Tact. 1773 Ἀμφίστομος: αὕτη ἡ φάλαγξ καλεῖται, ἡ τοὺς ἡμίσεας τῶν ἐν τοῖς λόχοις ἀνδρῶν ἀπεστραμμένους ἀπὸ σφῶν ἔχουσα, ὡς ἀντινώτους εἶναι.

Σ 1774 Ἀμφίταποι: τάπητες ἀμφίμαλλοι.

Σ 1775 Ἀμφὶ τὸ λυκόφως: περὶ τὴν αὐγήν.

Δ 1776 Ἀμφίτρητον: τὸ ἐξ ἑκατέρων τῶν μερῶν τετρημένον ἄντρον. Ἀμφιτρίτη δὲ ἡ θάλασσα.

Suid. 1777 Ἀμφιτρύων: παῖς Ἀλκέως.

Σ 1778 Ἀμφιτρυγῆ: κατερρωγότα.

Σ 1779 Ἀμφιφορεῦσιν: κεραμίοις, ἀμφορεῦσιν.

Σ + Anth. 1780 Ἀμφιφορῆα: ἀγγεῖον. ἐν Ἐπιγράμμασι· τίς με Διωνύσῳ πεπλασμένον ἀμφιφορῆα, τίς με τὸν Ἀδριακοῦ νέκταρος οἰνοδόκον Δηοῦς ἐπλήρωσε; τίς ὁ φθόνος εἰς ἐμὲ Βάκχου ἢ σπάνις οἰκείου τεύχεος ἀσταχύων; ἀμφοτέρους ἤσχυνε· σεσύληται μὲν ὁ Βάκχος, Δημήτηρ δὲ μέθην σύντροφον οὐ δέχεται.

Σ 1781 Ἀμφιφῶντες: πλακοῦντος εἶδος, οἵτινες ἐγίνοντο, ὅτε ὁ ἥλιος καὶ ἡ σελήνη πρωῒ ὑπὲρ γῆς φαίνονται· ἢ ὅτι ἐκόμιζον αὐτὸν δᾳδία ἡμμένα περιπηγνύντες ἐπ' αὐτῷ, ὡς φησιν Ἀπολλόδωρος.

Σ 1782 Ἀμφίχυτον: περικεχυσμένον.

Σ 1783 Ἄμφοδον: δίοδον, ῥύμην.

1766 ἀμφισβητῶ sq. cf. Synt. Laur., Ambr. 1765 1767 = Ambr. 1746b; H v. ἀμφίσκοντες 1768 = P cf. H v. ἀμφίσβατα; Hellan. fr. 193 FGrHist 1769 Soph. OC 1478 c. sch. 1770 = P, Ba 81, 23, Σ^{a} cf. H 1773 Tact. p. 231 1774 = P, Ba 81, 22, Σ^{a} cf. H 1775 = P, Ba 81, 25, Σ^{a} 1776 — τετρημένον cf. Ambr. 1526, sch. Soph. Phil. 19; Ἀμφιτρίτη sq. = Ambr. 1670, Ap. S. 29, 27, H, Et. M. 94, 45, Et. Gen. 1778 = P, Ba 81, 26, Σ^{a}; H v. ἀμφιτρυχή 1779 = P, Ba 81, 28, Σ^{a} cf. sch. β 290 1780 — ἀγγεῖον cf. P = Ba 81, 27, Σ^{a} (aliter Wentzel GGA 1893, p. 42) cf. Ambr. 1508b; τίς sq. Anth. 6, 257 1781 = Paus. Att. fr. 51 ex Eust. I. 1165, 9 cf. Et. M. 94, 55, Et. Gen. (Reitz. Gesch. p. 37); Apollod. fr. 39, FHG 1, 435 1782 = P, Ba 81, 29, Σ^{a}, H 1783 = P, Ba 81, 30, Σ^{a} cf. H v. ἄμφοδα

1767 cf. Z 162 1768 Z 157 1769 hinc v. ὄτοβον; Z 163 1770 Z 152 1773 cf. Tactica in fine; Z 152 1775 Z 157 1777 ex 1276 1780 Anth. cf. v. συλῶ 1781 cf. 2082 1782 Z 157

A(GITFSM) 1771 ex A (post 1769) I 1772 post 1769 M 9 τῷ alt. om. I 1777 om. TF post vs. 17 ἄντρον S 23 Ἀδριακοῦ AF ἀνδρικοῦ rell. 27 πλακοῦντος] πλακούντων S cf. p. 188, 18

1784 Ἀμφόδοντα ζῷα: οἷον ἄνθρωπος, ἵππος, ὄνος καὶ ὅσα οὐκ ἐνηλλαγμένους τοὺς ὀδόντας ἔχει, οἷς συμβέβηκε πιμελήν, ἀλλ' οὐ στέαρ ἔχειν.

1785 Ἀμφορεαφόρους: τοὺς μισθίους τοὺς τὰ κεράμια φέροντας. Σ καὶ Ἀμφορεαφόρος, ὁ κεράμια μισθοῦ φέρων. εἶτ' ἀμφορεαφόρος τις ἀποφορὰν φέρων. Μένανδρος Ῥαπιζομένῃ. καὶ Ἀριστοφάνης Ἥρωσι· τρέχ' εἰς τὸν οἶνον, ἀμφορέα κενὸν λαβών, τὸν ἔνδοθεν καὶ γεῦμα καὶ γευστήριον, κἄπειτα μίσθου σαυτὸν ἀμφορεαφορεῖν. Εὔπολις Μαρικᾷ· καὶ περιήλθομεν καὶ φῦλον ἀμφορέα φέρων. Ἀμφορεὺς οὖν ἀγγεῖον, μέτρον, κεράμιον. σημαίνει καὶ ἀσκόν. ἔστι καὶ ὄνομα Δ κύριον. καὶ Ἀμφορεῖς, κέραμοι. καὶ Θάσια ἀμφορείδια, Σ τὰ κεράμια. Ἰώσηπος· συνωνούμενος δὲ τοῦ Τυρίου νομίσματος, ὃ Ar. τέσσαρας Ἀττικὰς δύναται, τέσσαρας ἀμφορεῖς, ἐπίπρασκε τιμῆς ἡμι- E αμφόριον καὶ πλῆθος συνῆγε χρημάτων. καὶ Ἀριστοφάνης Ἀμ- Ar. φορεῖς λέγει τὰ μέτρα. χυτρίδια καὶ σανίδια, κἀμφορείδια. καὶ Ἀμφορεῖς νενησμένοι, κέραμοι σεσωρευμένοι. Ἀριστοφάνης· τί κάθησθ' ἀβέλτεροι πρόβατ' ἄλλως, ἀμφορεῖς νενησμένοι. καὶ Ἀμφορῆας καὶ Ἀμφορείδια τὰ κεράμια. ὅτι ἀμφορῆας λέγει τὰ Μεγαρικά.

1786 Ἀμφότερα: ἀντὶ τοῦ κατὰ ἀμφότερα. Θουκυδίδης. Ἀμ- Σ φοτεροδέξιος· ὁ δὲ τὴν λαιὰν ἀντὶ δεξιᾶς ἔχων, ἀρρωστοτέραν ἔχει αὐτήν. Suid. ζήτει ἐν τῷ δύσεργος.

1787 Ἀμφοτερόπλουν· ὅταν τις ναυτικὸν δανείσῃ δάνειον ἐπὶ τῷ Harp. καὶ ἐνθένδε πλεῦσαί ποιῶν κἀκεῖθεν ἐνθάδε, τοῦτο ἀμφοτερόπλουν καλεῖται. οὕτως Δημοσθένης.

1788 Ἀμφότεροι: ἀπρόκληπτόν ἐστιν ἄρθρου, ἐπειδὴ τὰ ἄρθρα ἀναπόλησιν δηλοῦσιν ἀγνοουμένου πράγματος. τὸ δ' ἀμφότεροι ὡρισμένα σημαίνει δυο.

1789 Ἀμφοῦδις: ὄνομα κύριον. Δ

1784 = Ar. Byz. Epit. p. 2, 13—15, Et. M. 493, 9 1785 — φέροντας = P, Ba 82, 1, Σ^a, H, Moer. 190, 32. Men. com. fr. 431; Ar. fr. 299 cf. Poll. 10, 75; Eupol. fr. 187; ἀμφορεύς—κεράμιον = P, Σ^a ἀσκόν = Ambr. 1507 cf. Zon. 145; ὄνομα κύριον = Ambr. 1551 cf. 1575 ἀμφορεῖς, κέραμοι = P, Σ^a Θασία—κεραμία Ar. Eccl. 1119 c. sch. συνωνούμενος—χρημάτων Ios. bell. 2, 592 vs. 14 ἀμφορεῖς—κἀμφορείδια Ar. Pac. 202 c. sch. vs. 16 ἀμφορεῖς— vs. 17 νενησμένοι Ar. Nu. 1201, 1203 c. sch. 1786 = P; Thuc. 1, 13, 5 1787 Harp. = An. Ox. 2, 489, 10, P 1788 ἄρθρα—δηλοῦσιν cf. Et. M. 314, 53

1784 Z 157; cf. v. συνόδοντα 1785 Ar. Eccl. cf. v. μεμυρωμένοι; Ar. Nu. cf. v. νενημένην 1786 ἀμφοτεροδέξιος sq. ex v. δύσεργος 1787 Z 157 1789 Z 145

6 καί AFM om. GITS 7 τρέχ'] τρέχειν A κενόν AFM κενύν GIT A(GITFSM) καίνον S κοινόν Poll. 9 καί pr. del. Pierson φῦλον AF φίλον rell. ἀμφορέα φέρων] ἀμφορεαφόρων Pierson 10 κεράμιον ASM^{ac} κεράμειον GITFM^{ac} ἀσκόν] ἀσκίον GIT 11 καί pr. om. GIT, nov. gl. ἀμφορείδια] ἀμφορίδια SM cf. Phot. p. 104, 22 17. 18 ἀμφορῆας] ἀμφιφορῆας AT 18 ὅτι— 19 Μεγαρικά ex mg. M 20. 21 ἀμφοτεροδέξιος—22 δύσεργος ex M 24 ποιῶν] ποι Harp. (non ms. E) τοῦτο om. FS 27 ἀμφότεροι] ἀμφότερα GI cp. T 29 Ἀμφοῦδις] Ἀμφούδης M

Σ 1790 Ἄμφω: ἀμφότεροι καὶ ἀμφοτέρους, καὶ αἱ πλάγιοι ἀμφοῖν. καὶ Ἄμφω τὼ χεῖρε, ἀμφοτέρας τὰς χεῖρας δυϊκῶς. Οὐ χειρὶ
Prov. δωρούμενος, ἀλλ' ἀμφοῖν· ἐπὶ τῶν ἀφθόνως καὶ δαψιλῶς μεταδιδόντων τοῖς πᾶσιν.

Δ 1791 Ἀμφῶες καὶ Ἀμφωτίδες. καὶ Ἀμφωτίδων, τῶν δύο
Prov. ὤτα ἐχουσῶν. καὶ παροιμία· Μέχρι τῶν ἀμφωτίδων· ἐπὶ τῶν ἄγαν πεπληρωμένων, ἀντὶ τοῦ μέχρι τῶν ὤτων.

Σ + x 1792 Ἀμφοῖν: ἀμφοτέραις ταῖς χερσίν. οὐ μιᾷ χειρὶ δωρούμενος ἀλλ' ἀμφοῖν.

E? 1793 Ἀμφοῖν: ἀμφοτέρων. μέσοι δὲ ληφθέντες ἀμφοῖν πολλοὶ
Ar. διεφθάρησαν. καὶ Ἀμφοῖν ποδοῖν, ἀντὶ τοῦ παντὶ σθένει. Ἀριστοφάνης Ὄρνισιν· ἀνιπτάμεθ' ἐκ τῆς πατρίδος ἀμφοῖν ποδοῖν. ἀπὸ μεταφορᾶς τῶν ὀρνέων, ἀμφοῖν πτεροῖν· ἢ ἐκ τῶν νεῶν, αἳ οὐριοδρομοῦσαι ἀμφοῖν τοῖν ποδοῖν πλέουσιν· ἢ ἀντὶ τοῦ τελέως, προληπτικῶς τῇ τῶν ὀρνέων χρώμενος μεταφορᾷ.

1794 Ἄν: σύνδεσμος συνδετικός. Ἀρριανός· καὶ ἂν ἤδη ἀφῖχθαι
E αὐτὸν παρὰ βασιλέως, εἰ μὴ ἐδεδοίκει Πάρθους.

Hom. 1795 Ἄνα: ἀνάστηθι. Ὅμηρος. καὶ Σοφοκλῆς· ἀλλ' ἄνα ἐξ
Soph. ἑδράνων. ἀντὶ τοῦ ἀλλ' ἀνάστηθι ἐκ τῶν θρόνων. καὶ Ἄνα,
Hom. ἀντὶ τοῦ ἄναξ κατὰ ἀποκοπὴν τοῦ ξ.

Ar. 1796 Ἀναβάδην: ἐφ' ὕψους, ἄνω τοὺς πόδας ἔχειν καὶ κοιμᾶσθαι. Ἀριστοφάνης· νυνὶ δὲ πεινῶν ἀναβάδην ἀναπαύομαι. ἢ ἐπὶ ὑψηλοῦ τόπου καθήμενος. καὶ αὖθις· πῶς ἔνδον, εἶτ' οὐκ ἔνδον; ὁ νοῦς μὲν ἔξω συλλέγων ἐπύλλια οὐκ ἔνδον, αὐτὸς δ' ἔνδον ἀναβάδην ποιεῖ τραγῳδίαν. σκώπτει τὸν Εὐριπίδην ὡς συλλογιστικὸν καὶ ὃ ἂν λέγῃ, τὸ ἐναντίον πάλιν κατασκευάζοντα. οἷον, ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος. οἷον αὐτὸς μὲν ἔσω ἐστίν, ὁ δὲ νοῦς αὐτοῦ συλλογίζεται τῶν ἔξω τι καὶ μετεωρίζεται· Ὁμηρικῶς· Ὅμηρος γὰρ διώρισε τὰς ψυχὰς πρὸς τὰ σώματα εἰπών· πολλὰς δ' ἰφθίμους ψυχὰς· αὐτοὺς δ' ἑλώρια τεῦχε κύνεσσιν. οὕτως καὶ Ἀριστοφάνης. ὁ νοῦς μὲν ἔξω,

1790 — vs. 1 ἄμφοιν = P; ἄμφω alt.—χεῖρας = Ba 82, 3, Σ^a, P, sch. Δ 523 cf. H οὐ sq. cf. Philol. Suppl. 6, 257 et 264, n. 549 1791 μέχρι sq. = Paroem. ed. Gsf. 78, n. 651 1792 cf. ad 1790 οὐ sq. Dam. fr. 283 = Phot. bibl. 351b 10 1793 — ἀμφοτέρων cf. H ἀμφοῖν ποδοῖν sq. Ar. Av. 35 c. sch. 1794 — σύνδεσμος cf. H καί sq. Arr. Parth. p. 34 R. 1795 — ἀνάστηθι sch. Σ 178 = P, H, Apion Σοφοκλῆς—θρόνων Soph. Ai. 194 c. sch. vs. 19 ἄνα —ἄναξ = Ap. S. 30, 19, P, H cf. sch. Γ 351 1796 — ἀναπαύομαι Ar. Pl. 1123 c. sch.; ἢ—vs. 24 τραγῳδίαν Ar. Ach. 397—400 c. sch.; ἡ—ἀνώμοτος Eur. Hipp. 612; πολλάς—κύνεσσιν A 3—4

1790 cf. 1792 1791 Z 152; Paroem. cf. v. μέχρι τῶν ά. 1792 cf. 1790; Dam. cf. v. Θεαγένης 1795 Z 194 1796 cf. v. οὐκ ἔνδον et v. ἡ γλῶττ'

A(GITFSM) 8 οὐ—9 ἀμφοῖν om. GIT 1793 non nov. gl. SM 16 συνδετικός] συνδεκτικός F συμπλεκτικός S 17 βασιλέως] βασίλεα Gutschmid 19 καί—20 ξ om. F 25 ἄν SM ἐάν rell. 26 γλῶσσ'] μὲν γλῶσσ' SM 30 οὕτως] οὕτω TFM καί om. S

αὐτὸς δ' ἔνδον ἀναβάδην ποιεῖ τραγῳδίαν. καὶ Ἀναβάδην καθῆσθαι, μετέωρον καθέζεσθαι. Σ

1797 Ἀναβαθμοί: ἀναβάσεις. λέγουσι δὲ τὴν ἀπὸ Βαβυλῶνος τοῦ λαοῦ ἐπάνοδον. Thdr.

1798 Ἀναβάλλειν· αἰτιατικῇ. ἀντὶ τοῦ εἰς ἀναβολὰς καθίστησιν. Harp.

Ἀναβάλλεσθαι δὲ τὸ ἱμάτιον, οὐ περιβάλλεσθαι λέγουσιν. Σ

1799 Ἀναβαλλόμενος· αἰτιατικῇ. ὑπερτιθέμενος· ἀναβαλόμενος δὲ δι' ἑνὸς λ ἀντὶ τοῦ προοιμιασάμενος. ἀναβαλόμενος οὖν, ὥσπερ εἰώθει, βραχὺν διεξῆλθεν ὕμνον. καὶ Ἀναβολάς, τὰ προοίμια. καὶ Ἀναβάλλομαι· αἰτιατικῇ. Ar. Synt.

1800 Ἀναβαλοῦ· περισπῶσιν οἱ Ἀττικοί. Σ

1801 Ἀναβάσεις: αἱ προκοπαί, εἰς τὸ ἐναντίον δὲ καταβάσεις. καὶ Ἀναβάσεις καρδίας, οἱ εὐσεβεῖς περὶ θεοῦ λογισμοί. Δαβίδ· ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ διέθετο. Thdr.

1802 Ἀνάβαινε· ἰστέον, ὅτι ἔλεγον οἱ παλαιοὶ τὸ ἐπὶ λογεῖον εἰσιέναι ἀναβαίνειν, καταβαίνειν δὲ τὸ ἀπαλλάττεσθαι ἐντεῦθεν, ἀπὸ τοῦ παλαιοῦ ἤθους. Ἀριστοφάνης· ἀλλαντοπώλα, δεῦρο, δεῦρ', ὦ φίλτατε, ἀνάβαινε σωτὴρ τῇ πόλει καὶ νῶιν φανείς. Ar.

1803 Ἀναβεβαμένοι: ἀντὶ τοῦ ἀναβάτην ἔχοντες. οὕτως Ξενοφῶν. Σ

1804 Ἀναβιβάζω· αἰτιατικῇ. Synt.

1805 Ἀναβιβῶμαι: ἀντὶ τοῦ ἀναβιβάσομαι. Ἀμειψίας. Σ

1806 Ἀναβιῶναι: ἀναζῆσαι. ἤδη δέ τινές φασιν, ὡς τοσοῦτον ἄρα τὸν Αἴσωπον θεοφιλῆ γενέσθαι, ὡς καὶ ἀναβιῶναι αὐτὸν, καθάπερ οὖν τὸν Τυνδάρεων καὶ τὸν Ἡρακλέα καὶ τὸν Γλαῦκον. καὶ Πλάτων φησὶν ὁ κωμικός· καὶ νῦν ὅμοσόν μοι μὴ τεθνάναι τὸ σῶμα ἐγώ· ψυχὴ δ' ἀπὸ νίκης ὥσπερ Αἰσώπου ποτέ. Σ + E Ar.

1807 Ἀναβιώσκεσθαι: ἀναζῆν. Σ

1796 ἀναβάδην καθῆσθαι sq. = P cf. H 1797 Thdr. in Ps. 119, 1, PG 80, 1876a 1798 αἰτιατικῇ = Synt. Laur., An. Ox. 4, 278, 5, 279, 14 ἀντὶ—καθίστησιν Harp. = P ἀναβάλλεσθαι sq. = P 1799 ὑπερτιθέμενος cf. Bk. 208, 8 ἀναβαλόμενος alt.—ὕμνον Philostr. 4, 39 (falso Dam. fr. 25 cf. Byz. Zt. 19, 279) ἀναβολάς, τὰ προοίμια sch. Ar. Av. 1383 ἀναβάλλομαι sq. = Synt. Gud. 1800 = P 1801 — καταβάσεις Artem. 4, 28 ἀναβάσεις καρδίας sq. Thdr. in Ps. 83, 6, PG 80, 1541a 1802 Ar. Eq. 148—9 c. sch. 1803 = P, Phryn. fr. 177; Xen. Hipparch. 1, 4 1804 = Synt. Laur. et Gud. 1805 = P; Ameips. fr. 30 (1, 677 K.) 1806 — ἀναζῆσαι cf. ad 1807 ἤδη—Γλαῦκον Aelian. fr. 203 καὶ Πλάτων sq. sch. Ar. Av. 471; Pl. com. fr. 68 1807 = P, Ba 82, 8, Σ[a], H

1797 Z 166 1798—1800 Z 194 sq. 1799 ἀναβολάς cf. 1810 1801 Z 178 1802—3 Z 195 1805 Z 195 1806 Aelian. hinc v. Αἴσωπος 1807 Z 195; cf. 2211

1 τραγῳδίαν GITF τραγωδίας SM cp. A 5 αἰτιατικῇ ex A, ad ἀναβάλλεσθαι ss. I 7 αἰτιατικῇ ex A, ss. I 8 ἀναβαλόμενος alt.] ἀναβαλλόμενος A cf. Philostr. 10 καὶ—αἰτιατικῇ ex AI καὶ om. I 15 λογεῖον]λόγιον AS 17 ἀναβαίνειν om. AF Zon. τό] τοῦ A 17 ἤθους] ἔθους M 25 ὅμοσον] ὤμοσον FM ἐγώ] ἄν S A(GITFSM)

Σ 1808 Ἀναβλυστωνῆσαι: τὸ ἀναβλύσαι. Εὔπολις Δήμοις. πάντα
Δ τὰ τοιαῦτα οἱ κωμικοὶ ποιοῦσι παρόντες. καὶ Ἀναβλυστωνῆσαι, ἀναβλαστῆσαι.

Σ 1809 Ἀναβοθρεύουσιν: ἀναμοχλεύουσιν.

Ar. 1810 Ἀναβολάς: τὰ προοίμια. καινὰς ἀναβολὰς θέλω λαβεῖν. ἢ τὰς ἀρχὰς τῶν ᾀσμάτων. Ὅμηρος· ἤτοι ὁ φορμίζων ἀνεβάλλετο καλὸν ἀείδειν. καὶ Ἀριστοφάνης· ξυνελέγοντ' ἀναβολὰς ποτώμεναι. περὶ ψυχῶν λέγων διθυραμβοδιδασκάλων.

Δ 1811 Ἀναβολεύς: ὁ ἐπὶ τὸν ἵππον ἀνάγων. ὁ δὲ βασιλεὺς τὸν
E ἀναβολέα προσκαλεσάμενος καὶ ταχέως ἀναβὰς ἐπὶ τὸν ἵππον ᾔτησε πιεῖν καὶ ἀκράτου σπασάμενος πλεονάκις ἐνέφαινεν ὡς εἰς τοὔμπροσθεν προάξων. Ἀναβολεὺς καὶ ἡ παρὰ Ῥωμαίοις λεγομένη
EV σκάλα. καὶ αὖθις· ὁ δὲ Μασσία γηράσας ἵππου χωρὶς ἀναβολέως ἐπέβαινεν.

Δ 1812 Ἀναβολή: ἀνοχή. Αἰλιανός· Λοξίας δὲ καὶ Ζεὺς πατὴρ
E ἀναβολὴν θανάτου ἐψηφίσαντο Φαλάριδι ἔτη δύο, ἀνθ' ὧν ἡμέρως Χαρίτωνι καὶ Μελανίππῳ προσηνέχθη.

Σ 1813 Ἀναβράσσουσιν: ἀναδιδοῦσιν.

Ar. 1814 Ἀνάβραστα: ἑψημένα, ζεστά. Ἀριστοφάνης Βατράχοις· καὶ κρέα γε πρὸς τούτοις ἀνάβραστ' εἴκοσιν.

Δ 1815 Ἀναβρυχόμενος. ἀλλ' ἦσαν παραπλήσιοι συγκαθήμενοί τε καὶ ἀναβρυχόμενοι τὸ πάθος τοῖς ἐπὶ θέᾳ κυνηγεσίων κατακεκλεισμένοις θηρίοις, ὧν ὁ μὲν θυμὸς φλογώδης καὶ τραχύς, ὑφ' ὧν πάσχουσιν, ἡ δὲ ἐνέργεια τῷ κατέχοντι τῆς βίας ἀσθενεστέρα.

Σ 1816 Ἀναγαγών: ἀντὶ τοῦ ἀπαγαγών. Ξενοφῶν.

1817 Ἀναγαλλίς, ἡ Κερκυραία γραμματικὴ, ἥτις τὴν τῆς σφαίρας εὕρεσιν Ναυσικάᾳ τῇ Ἀλκινόου θυγατρὶ ἀνατίθησιν.

Δ? 1818 Ἀνάγαστης: ὄνομα κύριον. ζήτει ἐν τῷ ὑποστάς.

1808 — παρόντες = P cf. Lex. Rhet. fr. 354 Schwabe ap. Eust. I. 1095, 8; Eup. fr. 105 ἀναβλυστωνῆσαι alt. sq. cf. Ambr. 2210 1809 = P, Ba 82, 10, Σ^a 1810 — λαβεῖν Ar. Av. 1383 c. sch.; ἢ sq. Ar. Pac. 830 c. sch.; ἤτοι—ἀείδειν a 155 1811 ὁ δὲ βασιλεύς sq. App. Pun. 106 = EV 2, 229, 23 1812 Λοξίας sq. Aelian. (fr. 46 Didot) = Euseb. praep. ev. 5, 35 1813 = P, Σ^a 1814 — ζεστά sch. Ar. Ran. 549; καί sq. Ar. Ran. 553 1815 ἀλλ' sq. fort. Iulian. 1816 = P; Xen. Cyr. 7, 1, 45 1817 Ath. 1 p. 14d

1808—9 Z 195 1810 — προοίμια cf. 1799; τὰς ἀρχάς cf. 2208; Z 178 1811 Z 166 cf. v. σπασάμενος; App. cf. v. Μασανάσσης 1 1812 Z 178: Aelian. cf. v. Φάλαρις 1814 Z 187 1816 Z 196 1817 hinc v. ὄρχησις et v. σφαῖρα

A(GITFSM) 9 τὸν ἵππον] τῶν ἵππων SM 11 πιεῖν] ποιεῖν AI 13 Μασσία] Μασι$^{\alpha}$ A Μασσίας S Μασανάσσης Exc. et v. cf. 2080, v. θύον, v. ἐπικρίτης 16 ἀνθ'] καὶ ἀνθ' FS 17 προσηνέχθη] καὶ ἀναβολαὶ τὰ προοίμια add. A 20 γε] τε GIT 21 συγκαθήμενοι] καθήμενοι SM 22 ἀναβρυχόμενοι] ἀναβρυχώμενοι GT^{ac}M^{oc} 24 ἐνέργεια] ἐνέργειαν A τῆς βίας] τῇ βίᾳ GIT

1819 Ἀνάγαιον: τὸ οἴκημα. Ἀνάγαιον καὶ κατάγαιον διὰ δι- Δ
φθόγγου καὶ ο μικροῦ. καὶ ζήτει ἐν τῷ ἀνώγεων σαφέστερον. Suid.

1820 Ἀναγγελήσεται: διηγηθήσεται.

1821 Ἀνάγγελον: μηδὲ ἄγγελον καταλειφθῆναι. ἔνθα μάχην Anth.
ἔτλημεν ἀνάγγελον, ἄλλος ἐπ' ἄλλον πίπτοντες. καὶ Ἀναγγέλλω· Synt.
δοτικῇ.

1822 Ἀνάγεσθαι: τὸ ἐκ Βυζαντίου ἀπαίρειν. Προκόπιος· οὐ γὰρ E
θέμις τινὰ ἐκ Βυζαντίου ἀνάγεσθαι πρὸς τῶν ἀνδρῶν. καὶ Ἀνάγειν, Harp.
τὸ μηνύειν τὸν πεπρακότα καὶ ἐπ' ἐκεῖνον ἰέναι. οὕτως Λυσίας καὶ
Δείναρχος.

1823 Ἀναγεῖς: διὰ μὲν τοῦ α τοὺς ἀνάγνους, διὰ δὲ τοῦ ε τοὺς Harp.
ἐνόχους ἄγει καὶ μιάσματι. οὕτως Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος.

1824 Ἀναγινωσκομένους: ἀντὶ τοῦ ἀναπειθουμένους. οὕτως Harp.
Ἀντιφῶν καὶ Ἰσαῖος καὶ Ἡρόδοτος.

1825 Ἀναγκαία τράπεζα: ἡ εὐτελὴς καὶ πενιχρά. καὶ Σοφο- Soph.
κλῆς φησίν· ὦ δέσποτ' Αἶαν, τῆς ἀναγκαίας τύχης οὐκ ἔστιν οὐδὲν
μεῖζον ἀνθρώποις κακόν. διπλῶς φησι τὸ ἀναγκαῖον, ποτὲ μὲν ἐπὶ
τῶν κατὰ φύσιν ἀκολουθίαν τινὰ ἐχόντων, ὡς εἰ εἴποιμεν, ἀναγκαίως
τὸ πῦρ ξανθὸν καὶ τὸ γάλα λευκόν, ποτὲ δὲ ἐπὶ τοῦ ἐξ ἀνάγκης
γινομένου, ὡς καὶ νῦν ἀναγκαίας τύχης τῆς βίας φήσι, τουτέστι τῆς
δυστυχίας. καὶ Ἰάμβλιχος· τὴν δὲ ἄλυσιν, οὐ γάρ ἐστιν ἡμῖν E
ἀναγκαία, προσέπεμψά σοι.

1826 Ἀνάγκῃ οὐδὲ θεοὶ μάχονται. Suid.

1827 Ἀναγκαῖον: οὕτως καλεῖται τὸ αἰδοῖον, ἐπεὶ τῆς ἀνάγκης
ἐστὶ συμβόλαιον. οἱ δὲ πρὸς ἁλκὴν ἐτράποντο ἐκ τοῦ ἀναγκαίου.
ἀντὶ τοῦ δι' ἀνάγκας. Ἰσαῖος δὲ ἀναγκαῖον τὸ δεσμωτήριον Harp.
καλεῖ. Καλλισθένης δὲ ἀνωγαίων εἶπε καὶ οὕτως δεῖ μᾶλλον λέ-

1819 — οἴκημα = Ambr. 2095 1821 ἔνθα—πίπτοντες Anth. 7, 244, 3 ἀναγέλλω sq. = Synt. Laur. et Gud. 1822 οὐ—ἀνδρῶν Proc. h. a. 25, 3 ἀνάγειν sq. Harp. = P; Lys. fr. 62; Dinarch. fr. 89, 6 1823 Harp. = P 1824 Harp. = P cf. Bk. 215, 27; Antiph. 2 β 7; Isae. fr. 144 1825 ὦ—δυστυχίας Soph. Ai. 485—6 c. sch. τὴν sq. Iambl. fr. 17 1827 — συμβόλαιον Artem. 1, 45 cf. Eust. O. 1968, 40 οἱ—ἀναγκαίου Dam.(?) fr. 184 Ἰσαῖος (fr. 52)—λέγεσθαι Harp. = P; Callisth. fr. 48

1819 — οἴκημα Z 187 ἀνάγαιον alt. sq. ex 2582 cf. 2550 1820 Z 196 1821 Z 178 1822 Z 196 1823 hinc v. ἐναγεῖς 2; Z 167 1824 Vind. 6, Z 196 1825 Z 178 1826 ex 1828 1827 Artem. hinc v. αἰδοῖον. Harp. cf. 1892; hinc 2582; Alex. cf. v. κυρίως 2

1 Ἀνάγαιον pr.] Ἀνώγαιον GI Ἀνόγαιον M ἀνάγαιον alt.—2 σαφέστερον A(GITFSM)
om. GTF mg. I ἀνάγαιον alt. AM ἀνώγαιον I ἀναγέων δέ S καί—
2 σαφέστερον om. S 2 ο IA om. M καὶ ζήτει—σαφέστερον om. I 5 καί—
6 δοτικῇ hic A, post 1819 M, mg. I om. rell. καί A om. IM 16 Αἶαν] γρ.
Αἶας ss. M 18 εἰ FM om. AGIT 1826 ex SM 25 συμβόλαιον] γρ. σύμ-
βολον ss. M = Artem. Eust. 26 ἀνάγκας] ἀνάγκης FSM^{ac} 27 ἀνωγαίων IFS
ἀνώγεων GTM^{ac} cf. v. ἀνώγεον AM^{ac} ἀνῶγαιον Phot. ζήτει ἐν τῷ ἀνώγεων
σαφέστερον mg. add. M δεῖ] δή A cf. Harp.

Phil. γεcθαι. 'Αναγκαῖόν ἐcτιν, ὅπερ ἀληθὲc ὂν οὐκ ἔcτιν ἐπιδεκτικὸν τοῦ ψεῦδοc εἶναι· ἢ ἐπιδεκτικὸν μέν ἐcτι, τὰ δὲ ἐκτὸc αὐτῷ ἐναντιοῦται πρὸc τὸ ψεῦδοc εἶναι, οἷον ἡ ἀρετὴ ὠφελεῖ. οὐκ ἀναγκαῖον δέ ἐcτιν, ὃ καὶ ἀληθέc ἐcτι καὶ ψεῦδοc οἷόν τε αὐτὸ εἶναι, τῶν ἐκτὸc μηδὲν ἐναντιουμένων· οἷον περιπατεῖ Δίων. ὅτι Δημόκριτοc ὁ 'Αβδηρίτηc φηcί, μηδὲν ἐκ τοῦ μὴ ὄντοc γίνεcθαι μηδὲ εἰc τὸ μηδὲν ὂν φθείρεcθαι. καὶ τὰc ἀτόμουc δὲ ἀπείρουc εἶναι κατὰ μέγεθοc καὶ πλῆθοc, φέρεcθαι δὲ ἐν τῷ ὅλῳ δινουμένας καὶ οὕτω πάντα τὰ cυγκρίματα γεννᾶν, πῦρ, ὕδωρ, ἀέρα, γῆν. εἶναι γαρ καὶ ταῦτα ἐξ ἀτόμων τινὰ cυcτήματα, ἅπερ εἶναι ἀπαθῆ καὶ ἀναλλοίωτα διὰ cτερρότητα. πάντα δὲ κατὰ ἀνάγκην γίνεcθαι, τῆc δίνηc αἰτίαc τῆc γενέcεωc οὔcηc πάντων, ἣν ἀνάγκην λέγει. διαιρεῖ δὲ τὰ ὄντα εἰc τὸ εἶναι ἢ ἐξ ἀνάγκηc εἶναι, ὡc τὸν ἄνθρωπον ζῷον εἶναι. ὃ γὰρ παντί τε καὶ ἀεὶ ὑπάρχει, τοῦτο ἐξ ἀνάγκηc ἐcτίν· ὁμοίωc ἀναγκαῖον καὶ τὸ τὸν θεὸν ἄφθαρτον εἶναι. τὰ δὲ ἐνδεχομένωc, καὶ τούτων τῶν ἐνδεχομένων τὰ μὲν ὡc ἐπὶ τὸ πλεῖcτον ὡc τὸ τὸν ἄνθρωπον πενταδάκτυλον εἶναι καὶ γηράcκοντα πολιοῦcθαι, τὰ δὲ ἐπ' ἔλαττον, ὡc τὰ τούτοιc ἀντικείμενα, τὸ τὸν ἄνθρωπον τετραδάκτυλον ἢ ἑξαδάκτυλον εἶναι. ἔcτι γὰρ ἐν τούτοιc οὕτωc καὶ ταῦτα. ἢ τὸ μὴ πολιοῦcθαι γηρῶντα τὸν ἄνθρωπον ἢ μὴ, ἀποδημεῖν ἢ λούεcθαι ἢ μή.

Anth. 1828 'Ανάγκη· ἐν 'Επιγράμμαcι· ἴδ' ὡc ἐδίδαξεν ἀνάγκα πάνcοφοc

Prov. ἐξευρεῖν ἔκλυcιν ἀΐδεω. καὶ παροιμία· ἀνάγκῃ οὐδὲ θεοὶ μάχονται. παρεγγυᾷ, ὅτι δεῖ τοῖc παροῦcιν ἀρκεῖcθαι. ὅμοιον τῷ· ἂν μὴ παρῇ κρέα, ταρίχῳ cτερκτέον.

1829 'Αναγκαῖον τοῦ ἐκ περιουcίαc διαφέρει· καὶ ζήτει ἐν τῷ ἐκ περιουcίαc.

Σ 1830 'Ανάγκηc ἄτρακτον: τὸν ἄξονα λέγει.

Soph. 1831 *Αναγνοc: μιαρός. ἆρ' οὐχὶ πᾶc ἄναγνοc; εἴ με χρὴ φυγεῖν.

Rhet. + EV 1832 'Αναγνωcθείc: ἀναπειcθείc. ὁ δὲ ἀναγνωcθεὶc ὑπὸ τῆc γυναικὸc ἔργον οὐχ ὅcιον ἐμηχανᾶτο ἐπὶ τῇ θυγατρί. ἦν γὰρ δὴ Θεμίcων ἀνὴρ Θηβαῖοc.

ΣE 1833 'Ανάγνωcιc: ἀναγνώριcιc ἢ ἀνάπειcιc. Ἡρόδοτοc. καὶ

Rhet. 'Αναγινώcκειν παρὰ ῥήτορcιν ἐπὶ τοῦ ἀναπείθειν. ἔcτι γὰρ ἀναγινώcκειν τὸ γνῶναι διαλεχθέντα.

1827 vs. 1 ἀναγκαῖον—Δίων Laert. 7, 75; ὅτι Δημόκριτοc—vs. 12 λέγει Laert. 9, 44—45; διαιρεῖ sq. Alex. Aphr. 177, 19—27 1828 — ἀΐδεω Anth. 6, 219, 23—24 ἀνάγκῃ sq. cf. Zen. I 85 1830 = P; l. = Pl. Rep. 10, 616c 1831 Soph. OT 823 c. sch. 1832 — ἀναπειcθείc cf. ad 1833, H; ὁ sq. Hdt. 4, 154, 2—3 = EV 2, 14, 12—14 1833 — ἀνάπειcιc = Ba 82, 9, Σ^{a}, P Ἡρόδοτοc 1, 116, 1

1828 hinc 1826, 2544, v. τάριχα 1832 Z 196. Hdt. cf. v. B 185; hinc v. Θεμίcων 1833 Z 178, 196

A(GITFSM) 1 ἐπιδεκτικόν] ἐπιδεικτικόν GIT 2 ἐπιδεκτικόν] ἐπιδεικτικόν GF 6 μηδὲν ὄν M μὴ δέον rell. 10 εἶναι] οὖν M 12 οὔcηc] οὔcαc A om. S 18 τό om. AGFM 1829 ex M 31 Θηβαῖοc] Θηραῖοc v. Βάττοc

1834 'Ανάγω: τὸ φέρω· αἰτιατικῇ. Synt.
1835 'Αναγωγή: ὁ τῶν νηῶν ἔκπλους. καὶ γίνεται ἀναγωγὴ τῶν Δ
νηῶν οὐ κατὰ τὸ πλῆθος οὕτω τῆς ἐπιβαινούσης αὐτῷ στρατιᾶς ἢ E
κατὰ τῶν ὅπλων λαμπρότητα ἢ τὴν ἄλλην ὑπὲρ τὸ ἀναγκαῖον ἐς
κάλλος παρασκευήν. καὶ αὖθις· οἱ δὲ κατασκεψάμενοι τὰ κατὰ τὴν EL
Αἴγυπτον ἐπὶ Κύπρου κἀκεῖθεν ἐπὶ Συρίας τὴν ἀναγωγὴν ἐποιήσαντο.
1836 'Αναγωγία. ὁ δὲ δι' ἀναγωγίαν ταῦτα ἐπαχθε. τουτέστιν Δ
ἀπαιδευσίαν. ἔχων στρατὸν ὑπὸ μέθης καὶ ἀναγωγίας ἠμελημένον E
καὶ διεφθαρμένον.
1837 'Ανάγωγος: ὁ μὴ τυχὼν τῆς δεούσης ἀναγωγῆς. Σ
1838 'Αναγωγότερον: ἁμαρτητικώτερον, ἀτακτότερον. Σ
1839 'Αναγώγῳ: φιληδόνῳ, ἐκλελυμένῳ. Σ
1840 'Αναγώνιστος: ὁ μὴ ἀγωνισάμενος. Ξενοφῶν. Σ
1841 'Ανάγραπτον: τὸ ἀναγεγραμμένον ἢ τὸ φανερῶς γεγραμμένον Σ
ἢ τὸ πᾶσιν ἐγνωσμένον. σφᾶς τε ὑπακούειν κελεύων 'Αβάροις καὶ EL
ἐς φόρου ἀπαγωγὴν ἔσεσθαι ἀναγράπτους.
1842 'Αναγυράσιος: δῆμός ἐστιν 'Αναγυροῦς τῆς Ἐρεχθηΐδος φυλῆς, Harp.
ἧς ὁ δημότης 'Αναγυράσιος. καὶ 'Αναγυράσιος δαίμων. καὶ Σ
τέμενος 'Αναγύρου ἐν τῷ δήμῳ τῶν 'Αναγυρασίων. 'Αναγυράσιος δαίμων,
ἐπεὶ τὸν παροικοῦντα πρεσβύτην καὶ ἐκτέμνοντα τὸ ἄλσος ἐτιμωρήσατο
'Ανάγυρος ἥρως. 'Αναγυράσιοι δὲ δῆμος τῆς Ἀττικῆς. τούτου δέ τις
ἐξέκοψε τὸ ἄλσος. ὁ δὲ τῷ υἱῷ αὐτοῦ ἐπέμηνε τὴν παλλακήν, ἥτις
μὴ δυναμένη συμπεῖσαι τὸν παῖδα διέβαλεν ὡς ἀσελγῆ τῷ πατρί. ὁ
δὲ ἐπήρωσεν αὐτὸν καὶ ἐγκατῳκοδόμησεν. ἐπὶ τούτοις καὶ ὁ πατὴρ
ἑαυτὸν ἀνήρτησεν, ἡ δὲ παλλακὴ εἰς φρέαρ ἑαυτὴν ἔρριψεν. ἱστορεῖ
δὲ Ἱερώνυμος ἐν τῷ περὶ τραγῳδιοποιῶν ἀπεικάζων τούτοις τὸν
Εὐριπίδου Φοίνικα.
1843 'Ανάγυρος: δῆμος τῆς 'Αττικῆς. καὶ ἄνθος, ὃ τριβόμενον Σ
ὄζει. καὶ παροιμία ἐντεῦθεν, Κινεῖς τὸν ἀνάγυρον, ἐπὶ τῶν Prov.
ἐπισπωμένων ἑαυτοῖς τὰ κακά. · ἔστι δὲ τὸ φυτὸν ὁ ἀνάγυρος Σ
ἀλεξίκακον καὶ δυσῶδες. οἱ δὲ ὀνόγυρον αὐτό φασιν.

1834 = Synt. Gud. 1835 καί—παρασκευήν Arr. Parth. R. p. 52 οἱ δέ sq. Diod. 33, 28a = EL 407, 17—19 1836 ὁ—ἔπαχθε Dam. fr. 223 1837 = P, Ba 82, 13, Et. M. 96, 5 cf. H 1838 = P, Ba 82, 14 1839 = P, Ba 82, 15 1840 = P; Xen. Cyr. 1, 5, 10 1841 — ἐγνωσμένον = P, Σ^{A}, Ba 82, 11 cf. H σφᾶς sq. Men. Prot. fr. 48, FHG 4, 252 = EL 209, 13—14 1842 — δημότης 'A. Harp. καὶ τέμενος—'Αναγυρασίων = P 2; vs. 19 'Αναγυράσιος sq. = P 1; Hieron. fr. 4 Hiller. 1843 — 'Αττικῆς = P, H, Bk. 210, 3, sch. Ar. Lys. 67 κινεῖς —κακά cf. Cohn Z. d. Par. 59 ἔστι sq. = P

1835—6 Z 179 1837 Z 167 1838 Z 188 1841 Z 188 1842 hinc v. ἐγκατῳκοδόμησεν 1843 hinc v. ὀνόγυρος et v. κινεῖς; cf v. κίνησον

1834 ex A, mg. I 3 νηῶν] νεῶν A αὐτῷ] αὐτοῦ I cp. S αὐτῶν Bhd. A(GITFSM)
5 τά Exc. τήν omnes 10 ἀναγωγῆς] ἀγωγῆς F Et. Hes. 19 'Αναγυράσιος nov. gl. GITF 23 διέβαλεν A Phot. διέβαλλεν rell. 28 δῆμος] δῆμος ἐστι GIT

Σ 1844 Ἀναγχιππεῖν: ἀντὶ τοῦ μετὰ ἀνάγκης ἱππεύειν. Εὔπολις.

Σ 1845 Ἀναδάσασθαι: ἀναμερίσασθαι.

Suid. 1846 Ἀναδενδράδα: σταφυλῆς γένος. οἱ δὲ τὴν ἀμάμυξιν οὕτω καλεῖσθαι. εὕρηται δὲ καὶ παρὰ Ἐπιχάρμῳ καὶ Σαπφοῖ τὸ ὄνομα.

E 1847 Ἀναδέξασθαι: ἀναλαβεῖν, ἐκδέξασθαι. ὁ δὲ εἰς τὸ τέμενος κατεσκήνωσεν, βουλόμενος ἀναδέξασθαι τὰ μέλλοντα διακομίζειν αὐτὸν
E πορθμεῖα. καὶ Πολύβιος· τούς τε κατὰ πλοῦν ἀφυστεροῦντας ἐκ
E τῆς Μεσσήνης ἀναδεχόμενος. καὶ αὖθις· πρὶν ἀναδέξασθαι τοὺς ἐσκεδασμένους ἐν ταῖς προνομαῖς.

E 1848 Ἀναδέξασθαι: ὑπενεγκεῖν, ὑπομεῖναι. Πολύβιος· πᾶν γὰρ βουληθῆναι τὸν Φίλιππον ἀναδέξασθαι ἢ καταφανῆ γενέσθαι Ῥοδίοις τὴν ἐν τούτοις αὐτοῦ προαίρεσιν· ἢ καὶ τὸν Ἡρακλείδην ἀπέλυσε τῆς
Σ ὑποψίας. καὶ Ἀναδέχομαι, ἀντὶ τοῦ ἀναλαμβάνω. καὶ Ἀνα-
E δέχεσθαι τὴν παρουσίαν τῶν πολεμίων, ἀντὶ τοῦ προσδοκᾶν.

Δ 1849 Ἀναδέρω: ὑπερτίθεμαι, ἀναβάλλομαι.

Σ 1850 Ἀναδέσμην: ὅμοιόν τι διαδήματι· ἢ μίτραν κεφαλῆς.

Σ | 1851 Ἀναδεύειν: φυρᾶν. καὶ Ἀναδεύσει, φυράσει, μαλάξει.

E Αἰλιανός· εἴπερ οὖν τὰ Ἐπικούρου βιβλία καταφλέξας, καὶ τῶν ἀθέων τε καὶ ἀσεβῶν καὶ ἐκτεθηλυμμένων στιγμάτων τὴν σποδὸν ἀναδεύσει κηρῷ ὑγρῷ, καὶ ἐπιπλασάμενος τὴν νηδὺν καὶ τὸν θώρακα πάντα καταδήσει ταινίαις.

Synt. 1852 Ἀναδέχομαι· αἰτιατικῇ.

ΣΔ 1853 Ἀναδεῖ: ἀναπλέκει, στέφει. καὶ Ἀναδεῖσθαι, στεφανοῦ-
Σ σθαι. καὶ Ἀναδήσασθαι, στεφανώσασθαι. καὶ Ἀναδῆσαι, τὸ
E ταινιῶσαι νικῶντα. καὶ Ἀναδήσοντες, στέψοντες. ἀναδήσειν στεφάνῳ χρυσοῦ πεποιημένῳ. καὶ οἱ Σαμοθρᾷκες κηρύττουσι κήρυγμα, τὸν ζῶντα ἀγαγόντα αὐτὸν δύο τάλαντα ἔχειν.

1844 = P; Eup. fr. 394 1845 = Ba 82, 16, H cf. P 1847 ὁ—πορθμεῖα fort. Aelian. τούς—ἀναδεχόμενος Polyb. 1, 52, 8 πρὶν—προνομαῖς Polyb. fr. 100 1848 πᾶν—ὑποψίας Polyb. 13, 5, 3 ἀναδέχομαι—ἀναλαμβάνω = P ἀναδέχεσθαι—πολεμίων Polyb.(?) fr. 101 1849 — ὑπερτίθεμαι = Ambr. 2168 cf. H 1850 = P, Ba 82, 17 cf. H 1851 — φυρᾶν = P, H εἴπερ sq. Aelian. fr. 89 1852 = An. Ox. 4, 279, 19 1853 — στέφει = P, Ba 82, 18 cf. sch. Pl. Rep. 465d ἀναδεῖσθαι, στεφανοῦσθαι = Ambr. 2131 cf. 2254 ἀναδήσασθαι—στέψοντες = P, Ba 82, 20, Bk. 213, 29; ἀναδῆσαι—ταινιῶσαι = H ἀναδήσειν sq. Aelian. fr. 45

1844—5 Z 197 1846 ex 1482 1847—9 Z 197 1848 Polyb. cf. 3018; ἀναδέχεσθαι sq. cf. 2218 1851 Z 197; Aelian. hinc v. καταδεύσει cf. v. στίγματα et v. ταινίαι

A(GITFSM) 1846 om. F post 1848 S 3 ἀμάμυξιν SM ἀνάμυξιν AT ἀνάμιξιν G οὕτω] οὕτως A 4 καί alt. om. GIT Σαπφοῖ] Σαμφοῖ A Σαμππφοῖ I 17 διαδήματι] διαδήματος FM διαδήμαστος S μίτραν FSM μήτραν A Phot. μίτρα GIT, Σ° 18 μαλάξει] μίξει GIT 20 σποδόν AGF σποδήν I σπόνδην T σπούδην SM 24 ἀναπλέκει, στέφει] ἀναστέφει, πλέκει FS 25 τό om. GIT Hes. 26 ἀναδήσειν] ἀναδήσει τε S

1854 Ἀναδιδάξαι: ἀντὶ τοῦ πάνυ διδάξαι. ἐπιτατικὸν γάρ ἐστι Σ
νῦν ἡ ἀνά.
1855 Ἀναδιδοῦσαν: ἀντὶ τοῦ ἀναδιδομένην. Σ
1856 Ἀνάδικα: τὰ ἤδη κριθέντα. ἀνάδικα τὰ δεδικασμένα ποιῶν,
αἰσχροκερδείας ἡσσώμενος. E
1857 Ἀναδικάσασθαι: τὸ ἄνωθεν δικάσασθαι. οὕτως Ἰσαῖος. ἐν- Harp.
τεῦθεν καὶ τὸ ἀνάδικοι κινήσεις, αἱ ἄνωθεν δικαζόμεναι, ὅταν ἁλῶσιν
οἱ μάρτυρες ψευδομαρτυριῶν.
1858 Ἀναδομή: ἀναδασμός. Δ
1859 Ἀναδούμενος: στέφανον τιθέμενος. καὶ Ἀναδουμένην, Σ
στεφανουμένην. Προκόπιος· αἶσχος ἀναδουμένην οὕτω μέγα πρὸς Δ + E
πάντων ἀνθρώπων.
1860 Ἀναδούμενος· ὁ δὲ τρυφερὸς ἐκεῖνος καὶ ἁβρὸς καὶ ὑπὸ E
μαλακίας τοῦ σώματος κατεαγὼς καὶ λελυγισμένος καὶ τὰς κόμας
ἀναδούμενος, ὥσπερ αἱ τῶν ἑταιρίδων ἀσελγέστεραι, καὶ μυροσταγὲς
ἔχων ἀεὶ τὸ μέτωπον καὶ τοὺς βοστρύχους.
1861 Ἀνάδοχον, οὐκ ἀναδοχέα λέγουσιν. Μένανδρος Χήρᾳ· πρὸς Σ
τὴν ἀδελφὴν ἀνάδοχον τῶν χρημάτων.
1862 Ἀναδρομαί: ἀναβάσεις. ἀναδρομὴ γίγνοιτο, κοὐ σφαλλό- Σ
μεθα. δεῖ πρόχειρον ἔχειν ἀεὶ τὸν στίχον τοῦτον. τοῦτο μὴ ποιήσας E
Λεύκιος ὁ Ῥωμαῖος μεγάλως ἐσφάλη. οὕτω παρ' ὀλίγον σφάλλεται
τὰ μέγιστα τῶν πραγμάτων ἀγομένων ἀκρισίᾳ. ἱκανὰ τῶν τοιούτων
ὑποδείγματα τοῖς εὖ φρονοῦσιν ἥ τε Πύρρου τοῦ τῶν Ἠπειρωτῶν
βασιλέως βία καὶ πάροδος εἰς Ἄργος ἥ τε Λυσιμάχου στρατιὰ διὰ τῆς
Θράκης ἐπὶ Δρομιχαίτην τὸν βασιλέα τῶν Ὀρδυσσῶν· καὶ πολλὰ δὴ
τούτοις ἕτερα παραπλήσια.
1863 Ἀναδῦναι: ἀναχωρῆσαι. Σ
1864 Ἀναδύντος. Suid.
1865 Ἀναδυόμενος: φεύγων, ἀναβαλλόμενος. καὶ Ἀναδύομαι, ΣΔ
μεταβουλεύομαι.
1866 Ἀνάζαρβον· ὅτι Νέρβας βασιλεὺς Ῥωμαίων κατενεχθείσης E
ὑπὸ σεισμοῦ Διοκαισαρείας, τῆς ἐν Κιλικίᾳ κειμένης, ἔπεμψε συγκλητι-

1854 = P, Ba 82, 22 1855 = P 1856 ἀναδίκα alt. sq. Proc. h. a. 14, 5
1857 Harp. = P; Isae. fr. 145 1859 — τιθέμενος = P, Ba 82, 19 στεφανουμένην cf. ad 1858; αἶσχος sq. Proc. h. a. 2, 9 1860 Eunap. attr. Hemst.
1861 Μένανδρος (fr. 516) sq. cf. P 1862 — ἀναβάσεις = P ἀναδρομή sq. Polyb. fr. 102 1863 = P, Ba 82, 24 cf. H 1865 — ἀναβαλλόμενος = P, Ba 82, 25 cf. Bk. 210, 1 ἀναδύομαι sq. = Ambr. 2155 cf. H

1854 Z 197 1856 Z 188 1857 Z 197, 179 1858 Z 179 1859 Z 197
1860 cf. 87 1861 Z 167 1862 Z 179; hinc v. Δρομιχαίτην 1863 Z 197
1865 Z 197 1866 cf. v. Διοκαισάρεια et v. Κύϊνδα

2 νῦν om. GFS Ba 6 τό] τά A 7 κινήσεις] κρίσεις Harp. Phot. A(GITFSM)
Zon. 187 9 ἀναδασμός] ἀναδαγμός M 19 σφαλλόμεθα] σφαλούμεθα Büttner-Wobst 22 ἀγομένων] τῶν ἡγουμένων Schweigh. 24 στρατιά] στρατεία Port. 1864 ex A (post 1862), I

κὸν, ὀνόματι 'Ανάζαρβον, ὃς ἀνοικοδομήσας αὐτὴν, πάλαι λεγομένην Κύϊνδαν, εἶτα Διοκαισάρειαν, ἐκ τοῦ ἰδίου ὀνόματος ἐκάλεσεν 'Ανάζαρβον.

Σ 1867 'Αναζωπυρῆσαι: ἀνανεῶσαι, ἀνεγεῖραι, ζωῶσαι.

Σ 1868 'Αναζυγαῖς: ἀναστροφαῖς, στρατοπεδείαις. Πολύβιος· ὁ δὲ Φίλιππος οὐδενὶ κόσμῳ ποιησάμενος τὴν ἀναζυγὴν καὶ τὸν ἀνάπλουν δευτεραῖος εἰς Κεφαλληνίαν κατῆρεν. οἱ δὲ 'Ρωμαῖοι τῶν γεγονότων οὐδὲν ὅλως εἰδότες περὶ ἀναζυγὴν ἐγίνοντο.

Σ? 1869 'Ανάθεμα: καὶ τὸ ἀνατιθέμενον τῷ θεῷ καὶ τὸ εἰς ἀφανισμὸν ἐσόμενον· τὰ ἀμφότερα σημαίνει. λέγεται δὲ καὶ 'Ανάθημα τὸ τῷ θεῷ ἀνατεθειμένον. Synt. καὶ 'Αναθεματίζω· αἰτιατικῆ.

Σ 1870 'Αναθέντας: ἀντὶ τοῦ ἐπιθέντας. Ξενοφῶν.

Δ 1871 'Αναθεώρησις. μεγάλης δὲ οὔσης κατὰ τὴν νομοθεσίαν EV ἀναθεωρήσεως, μισοπόνηρος φαίνεται ὁ ἀνὴρ, διὰ τὸ πάντων τῶν νομοθετῶν πικρότατα πρόστιμα θεῖναι.

Harp. 1872 'Αναθέσθαι· 'Αντιφῶν ἐν τῷ περὶ προνοίας φησίν· ἀναθέσθαι ὥσπερ πεττὸν τὸν βίον οὐκ ἔστιν. ἀντὶ τοῦ ἄνωθεν βιῶναι μετανοήσαντας ἐν τῷ προτέρῳ βίῳ.

Σ 1873 'Αναθέσθαι: τὸ μεταθέσθαι. ἀπὸ τῶν πεττευόντων καὶ τὰς κεκινημένας ἤδη ψήφους διορθούντων. οὔτε δὲ τὸ ὑπερθέσθαι σημαίνει ἡ λέξις οὔτε τὸ ἀνακοινώσασθαι, ἀλλὰ τὸ μεταβουλεύσασθαι καὶ μεταγνῶναι. πολύ ἐστι παρὰ Πλάτωνι τῷ φιλοσόφῳ. Μένανδρος 'Αφροδισίῳ· ἐκφυγοῦσα δ' ἣν εἶχεν νόσον, οὐκ ἔσχε τοὺς ῥηθέντας ἀναθέσθαι λόγους.

Δ 1874 'Ανάθεσις: ἡ ὑπέρθεσις. τὰ χρήματα δώσειν ὑπέσχοντο E τριῶν ἡμερῶν αἰτήσαντες ἀνάθεσιν.

Σ 1875 'Αναθεῖναι: καὶ ἐπαναθεῖναι τὸ αὐτό. 'Αραρὼς 'Υμεναίῳ· ὅπως τε τὴν νύμφην ἐὰν καιρὸς ᾖ μετέωρον ἐπὶ τὸ ζεῦγος ἀναθήσει συμφέρειν. ὅτι τὸ ἀραρὼς ἐπίρρημα ἀντὶ τοῦ πρεπόντως, ἀραρὼς δὲ ἁρμόσας.

Σ 1876 'Αναθείς: ἐπιτρέψας. ἐπὶ ἀψύχων τάττεται τὸ ἀναθείς. 'Αριστοφάνης δὲ ἐν Πλούτῳ ἐπὶ ἐμψύχων ἐχρήσατο αὐτῷ. ἀπολῶ τὸν ἄνθρωπον ἐπὶ κρημνόν τιν' ἀναθείς.

1867 = P, Ba 82, 27, H 1868 — στρατοπεδείαις = P, Ba 82, 26 cf. H ὁ—κατῆρεν Polyb. 5, 110, 5 οἱ sq. Polyb. fr. 103 1869 ἀναθεματίζω sq. = Synt. Laur. et Gud. 1870 = P; Xen. An. 3, 1, 30 1871 μεγάλης sq. Diod. 13, 35, 4 = EV 1, 232, 2—4 1872 Harp. = P; Antiph. fr. 84 1873 — διορθούντων cf. H; Men. com. fr. 86 1874 τά sq. Herodian. hist. 7, 4, 3; fort. Io. Antioch. 1875 — 'Αραρώς (fr. 17) = P 1876 ἀπολῶ sq. Ar. Pl. 68 sq.

1868 Z 179 1869 cf. 1873; Z 188 1870 Z 198 1872—3 Z 198 1874 Z 179 1876 Z 198

A(GITFSM) 2 ἐκάλεσεν] ἐκάλεσε καί GIT 8 ἀναζυγήν] ἀναζυγῆς A 10 τά del. Gsf. τό om. A τῷ om. SM 17 τὸν βίον] τοῦ βίου A 18 ἐν] ἐπί Harp. Phot. 23 δ'] δι' GIT 27 'Αραρώς GIM 'Αραρός AFS Phot. 29 ὅτι—ἁρμόσας om. F mg. I ὅτι τό om. GI ἐπίρρημα om. GI ἀραρῶς pr. ἀραρός omnes

1877 Ἀναθηλήσει: ἀναβλαστήσει. Σ

1878 Ἀνάθημα: πᾶν τὸ ἀφιερωμένον θεῷ. αἰτοῦντος τῷ Πέλοπι ἀνάθημα τὴν ἄρνα τὴν χρυσῆν, ἕτερα παρέχοντι κειμήλια, ἔχρησεν· ὃ βούλομαι δός· μὴ δίδου δ' ὃ μὴ θέλω. λέγεται δὲ καὶ Ἀνάθεμα. Ar.

1879 Ἀναθολώσει: ἀναταράξει. Πλάτων Νόμων ἑβδόμῳ· ὅπως ἀναθολώσῃ. κυρίως δὲ ἐπὶ τῆς σηπίας, ἐπεὶ τὸ μέλαν αὐτῆς θολὸς καλεῖται. Σ

1880 Ἀναθορόντος: ἀναπηδῶντος. Δ

1881 Ἀναθρούμενα: ἀνασκοπούμενα. Σ

1882 Ἀναθρώσκει: ἀναπηδᾷ. Σ

1883 Ἀναθύειν: τὸ ἀναλαμβάνειν τὸ πρᾶγμα διὰ χρόνου. Φερεκράτης· πάλιν αὖθις ἀναθύουσιν αἱ γεραίτεραι. Σ

1884 Ἀνακαγχάσας· καὶ οὐχὶ ἀνακαχάσας.

1885 Ἀνακάθαρσις: ἐπίλυσις, διευκρίνησις. καὶ Ἀνακαθαίρω· αἰτιατικῇ. Σ Synt.

1886 Ἀνακαθιζήσομαι καὶ Ἀνακαθίσω. Δ

1887 Ἀνακαλούμενος. αἰτιατικῇ. ἀνακτώμενος, πρὸς τὴν προτέραν διάθεσιν ἐπανάγων. ὁ δὲ ἐσπούδαζεν ἀνακαλεῖσθαι τὰς τῶν ὑποτεταγμένων εὐνοίας καὶ προθυμίας ἐκ τοῦ γεγονότος ἐλαττώματος. E

1888 Ἀνακαλυπτήρια: δῶρα διδόμενα ταῖς νύμφαις παρά τε τοῦ ἀνδρὸς καὶ τῶν οἰκείων φίλων, ὅταν τὸ πρῶτον ἀνακαλύπτωνται ἀνδράσιν ὁραθῆναι. ἔστι δὲ ταῦτα καὶ ἐπαύλαια. Harp.

1889 Ἀνακάψαι: καταφαγεῖν. Ar.

1890 Ἀνακαίασιν: δῆμος φυλῆς Ἱπποθωντίδος ἡ Ἀνάκαια. Harp.

1891 Ἀνακαίνισις: ἡ ἀνανέωσις. λέγεται καὶ Ἀνακαίνωσις. καὶ Ἀνακαινιῶ· αἰτιατικῇ. Δ Synt.

1892 Ἀνάκαιον: τὸ δεσμωτήριον, εἰς ὃ κατετίθεντο τοὺς πονηροὺς δούλους καὶ τῶν ἀπελευθέρων τοὺς ἀφισταμένους. Ἰσαῖος ἐν τῷ πρὸς Σ

1877 = P, Ba 82, 28, H, Et. M. 96, 24, sch. A 236 1878 αἰτοῦντος—θέλω sch. Ar. Nu. 144 1879 = P; Pl. Leg. 824 b 1880 cf. Ambr. 2206, 2262, H 1881 = P, Ba 82, 29 1882 = P, Σ^{c} cf. Ambr. 2215 = sch. N 140 1883 = P; — χρόνου = Et. Sym. p. 266 d Gsf.; Pherecr. fr. 35 1885 — διευκρίνησις = P, Ba 83, 7 cf. gl. Dionys. PG 4, 24 = Zon. 180 ἀνακαθαίρω sq. = Synt. Laur. et Gud. 1887 αἰτιατικῇ = Synt. Laur. et Gud. ὁ sq. Polyb. fr. 104 1888 Harp. = An. Ox, 2, 489, 16, P cf. Ba 83, 4, Bk. 200, 6 1889 sch. Ar. Av. 579 (White) 1890 Harp. cf. Ba 36, 1 1891 — ἀνακαίνωσις cf. Ambr. 2006 ἀνακαινιῶ sq. = Synt. Gud. v. ἀνακαινίζω 1892 cf. Harp. v. ἀναγκαῖον, Et. M. 98, 30; Isae. fr. 52

1878 cf. 1869; Ar. cf. 2671 1879 cf. v. θολός 2 1880—1 Z 198 1883 Z 199 1884 Z 200 1886—7 Z 199 1889 Z 199 1890—1 Z 180 1892 sch. Dem. ed. 1570 p. 632; Z 188; cf. 1827 (Harp.)

6 ἀναθολώσῃ] ἀναθολώσει M 8 Ἀναθορόντος] Ἀναθορῶντος GT Zon. 1884 ex mg. IM 13 ἀνακαχάσας I ἀνακακχάσας M 16 ἀνακαθίσω] ἀνακαθήσω A 23 ἐπαύλαια] ἐπαύλια GT^{ac} cf. v. 24 Ἀνακάψαι TFM Zon. sch. Ἀνακάμψαι AGIS καταφαγεῖν ATF Zon. sch. καταφυγεῖν rell. 26 Ἀνακαίνισις] Ἀνακαίνησις A cf. Zon. A(GITFSM)

Ἕρμωνα περὶ ἐγγύης· Ἑρμοκράτη δὲ εἰς τὸ ἀνάκαιον ἐνέβαλε, φάσκων ἀπελεύθερον εἶναι καὶ οὐ πρότερον ἀφῆκε πρὶν λ′ δραχμὰς ἐπράξατο.

Ar. 1893 Ἀνακεκώφηκας: ἀνεπλήρωσας βοῆς τὰς ἀκοὰς ἡμῶν κωφὰς εἰργάσω. Ἀριστοφάνης.

Σ 1894 Ἀνακεφαλαιοῦται: ἀναπληροῦται, ἀνακτίζει. καὶ Ἀνα-
Δ κεφαλαίωσις, ἡ ἐξ ἀρχῆς ἔρευνα.

Hesy. 1895 Ἀνακεχωρηκότων· ὁ δὲ ἐκτήσατο βιβλίων μυριάδας τρεῖς καὶ τούτων σπουδαίων καὶ ἀνακεχωρηκότων. ἀντὶ τοῦ ἀποκρύφων. λέγει δὲ περὶ Ἐπαφροδίτου τοῦ Χαιρωνέως.

Σ 1896 Ἀνακεχυμένη: ἀνειμένη, κεχαυνωμένη. ἀνετή.

Δ Harp. 1897 Ἀνάκειον: ὄρος. ἢ τὸ τῶν Διοσκούρων ἱερόν.

1898 Ἀνακεῖσθαι: ἐπὶ ἀνδριάντων. κατακεῖσθαι δὲ καὶ κατακεκλί-
Σ σθαι ἐπὶ τραπέζης. καὶ Ἀνακεῖσθαι πολλάκις ἀντὶ τοῦ κατακεῖσθαι.

Σ 1899 Ἀνάκειται σκώμμασιν, ἀνάκειται λοιδορίαις, ἀνάκειται πόρνοις, κύβοις, συμποσίοις: σημαίνει δὲ τὸ οἷον πρόσκειται ἰσχυρῶς.

ΣΔ 1900 Ἀνακηκεῖ: ἀναπηδᾷ. καὶ Ἀνακηκίει.

Synt. 1901 Ἀνακηρύττω· αἰτιατικῇ.

Δ 1902 Ἀνάκλησις: ἡ προσφώνησις. Ἀνάκλισις δὲ διὰ τοῦ ι ἡ ἀνάπαυσις.

1903 Ἀνακλητικόν: μέλος σάλπιγγος ἀνακαλούσης τοὺς ῥᾳθύμους εἰς πόλεμον. καὶ Μάρκος Ἀντωνῖνός φησιν· ἔσο ἀναμένων τὸ ἀνακλητικὸν ἐκ τοῦ βίου εὔλυτος, μήτε ὅρκου δεόμενος, μήτε ἀνθρώπου τινὸς μάρτυρος.

Σ 1904 Ἀνακλῖναι: ἀνοῖξαι. Ὅμηρος. οὕτως καὶ Ἡρόδοτος. οἱ
E δὲ ἀνακλῖναι μὲν τὴν θύραν οὐκ ἐτόλμησαν, οὐδ' εἴσω παρελθεῖν ἰσχύσαι.

1893 sch. Ar. Eq. 312 1894 — ἀνακτίζει = P, Ba 83, 8—9 1896 ἀνετή = P, Ba 83, 10 1897 τό sq. Harp. cf. Bk. 212, 12 Ambr. 2125, 2130 1898 — τραπέζης Ath. 1, 23c—d vs. 14 ἀνακεῖσθαι sq. cf. Phryn. p. 46, 10 1899 = P; Phryn. fr. 180 1900 — ἀναπηδᾷ Tim. = P ἀνακηκίει cf. Ambr. 2160 1901 = Synt. Gud. 1902 — προσφώνησις = Ambr. 2004; ἀνάκλισις sq. cf. Ambr. 2003, H 1903 ἔσο sq. Marc. 3, 5, 2 1904 — Ἡρόδοτος (5, 16, 4) = P; — ἀνοῖξαι = Ba 83, 11, H, Et. M. 96, 57; Ε 751 οἱ sq. Iambl. Rh. Mus. 45, 281

1893 Z 199 1895 cf. v. Ἐπαφρόδιτος; Z 199 1897 Z 188 1898 hinc v. κατακεκλίσθαι; Z 199 1899 Vind. 27; Z 200 1902 Z 180 1903 hinc v. εὔλυτος; Z 188 1904 Z 200

A(GITFSM) 1 Ἑρμόκρατη] cp. AT Ἑρμόκρατην pr. τό] τόν TSM 16 Ἀνάκειται non nov. gl. AGIT 20 αἰτιατικῇ AM Gud. δοτικῇ I 21 διὰ τοῦ ι om. S cf. Hes. 27 οὕτως A Zon. οὕτως δέ rell. 28 οὐκ ἐτόλμησαν AGIF Zon. οὐ κατετόλμησαν SM 29 ἰσχύσαι] ἰσχύσαν pr. Zon.

1905 Ἀνακλώμενον: τὸ ἀπηχούμενον. ὡς ἐπὶ τοῦ κυροῦ Ῥωμανοῦ τοῦ μελῳδοῦ. σὺ γὰρ ὑπάρχεις τὸ φῶς τὸ ἀπρόσιτον.
1906 Ἀνακνῶνται: κνήθονται κατὰ ἰατρούς.
1907 Ἀνακογχυλιάσαι: ἀναγαργαρίσασθαι. Σ
1908 Ἀνακομιδή: ἀναγωγή, ἐπάνοδος. ἀναφορά. Σ|
1909 Ἀνακομῶ: τὸ ἀναφύω. Δ
1910 Ἀνακόπτω· αἰτιατική. Synt.
1911 Ἀνακῶς παρὰ Ἡροδότῳ ἀντὶ τοῦ ἐπιμελῶς, φυλακτικῶς ἢ βασιλικῶς. καὶ Ἀνακῶς ἔχειν, φροντίζειν. προειρημένον τούτοις, ὅπως ἀνακῶς ἕξωσιν, εἴ τι ἐκ τῶν πολεμίων κατὰ τὸ ἀφανέστατον πειράζοιτο. Hdt. + Σ E
1912 Ἀνακωχεύει: παρὰ Σοφοκλεῖ τὸ ἀνασειράζει. καὶ Ἀνακωχεύειν, τὸ ἐν πελάγει χειμῶνος ὄντος στήσαντας τὰ ὀθόνια καλεύειν. ἀνακωχεύειν δὲ κυρίως λέγεται, ὅταν χειμῶνος ὄντος ἐν πελάγει στείλαντες τὰ ἄρμενα καλεύωσιν αὐτόθι, μὴ διαμαχόμενοι τῷ πνεύματι. μεταφορικῶς οὖν ἐπὶ τοῦ ἅρματος εἴρηκεν, ὅτι οὐ διημιλλήσατο, ἀλλ' ἀφῆκε τὸν τῶν ἵππων κλύδωνα καὶ ἠρέμα ἤλαυνεν. Soph. Σ Soph.
1913 Ἀνακωχή: ἀνάπαυσις. ἢ εἰρήνη προσκαιρος, πόλεμον ὠδίνουσα. Σ Thuc.
1914 Ἀνακωχῆς: ἀναπαύσεως, ἐνδόσεως, τῆς πρὸς μικρὸν ἐν πολέμῳ εἰρήνης. ἀνακωχὴ δὲ εἴρηται παρὰ τὸ ἄνω τὰς ἀκωκὰς ἔχειν. Σ
1915 Ἀνὰ κράτος: ἐπίρρημα. μετὰ πάσης σπουδῆς. οἱ δὲ ἔφευγον ἀνὰ κράτος. E
1916 Ἀνακρέων, Τήϊος, λυρικός, Σκυθίνου υἱός, οἱ δὲ Εὐμήλου, οἱ δὲ Παρθενίου, οἱ δὲ Ἀριστοκρίτου ἐδόξασαν. ἔγραψεν ἐλεγεῖα καὶ ἰάμβους, Ἰάδι πάντα διαλέκτῳ. γέγονε κατὰ Πολυκράτην τὸν Σάμου τύραννον Ὀλυμπιάδι νβ'· οἱ δὲ ἐπὶ Κύρου καὶ Καμβύσου τάττουσιν Hesy.

1907 Tim. = P, H cf. sch. Pl. Symp. 185d 1908 — ἐπάνοδος = P, Ba 83, 12 cf. H 1909 aliter Ambr. 2261 1910 = An. Ox. 4, 279, 31, Synt. Laur. 1911 — φυλακτικῶς gl. Hdt. 1, 24; ἐπιμελῶς—βασιλικῶς = P cf. H, Paus. Att. fr. 56 ap. Eust. O. 1425, 58, Et. M. 96, 39, Et. Gen.; φυλακτικῶς—φροντίζειν = Ba 83, 18, Σ^{e} cf. Moeris 189, 22 1912 — ἀνασειράζει + ἀνακωχεύειν alt. sq. sch. Soph. El. 732 cf. H, P ἀνακωχεύειν pr.—καλεύειν Ba 83, 20, P, Et. M. 96, 50 1913 — ἀνάπαυσις = P, Ba 83, 13, H, Ambr. 1990 εἰρήνη sq. sch. Thuc. 1, 40, 4 1914 = P, Ba 83, 22 cf. H 1915 οἱ sq. Proc. Bell. 2, 25, 29, sed cf. Byz. Zt. 23, 13 1916 — Παρθενίου = sch. Pl. Phaedr. 235c

1907 Z 201 1909 Z 200 1912 Z 201; cf. 2288 1913—4 hinc 2576 1914 Z 182 1915 Z 227

1905—6 om. F mg. A post 1902 I post 1903 G post 1911 S 2 μελῳδοῦ] τὸ A(GITFSM) ἀκροτελεύτιον add. T 3 Ἀνακνῶνται AGIT Ἀνακλῶνται SM 1907—1962 om. T 10 ἕξωσιν AGI ἕξουσιν FSM 12 Ἀνακωχεύει] Ἀνακωχεύειν S ἀνασειράζει] ἀνασειράζειν M ἀναγοράζειν S 13 στήσαντας AFM^{ac} στήσαντες GI στείλαντας M^{ec} cf. vs. 15 15 διαμαχόμενοι] διανηχόμενοι GI 23 ἐπίρρημα om. FS Zon. 26 Ἀριστοκρίτου] Ἀριστοκρίτους I Ἀριστοκράτου M^{ec} Ἀριστοκράτους G ἐλεγεῖα pr. ἐλεγείους S ἐλεγείαν rell. 27 Πολυκράτην] Πολυκράτη AF, cp. S

αὐτὸν κατὰ τὴν νε΄ Ὀλυμπιάδα. ἐκπεσὼν δὲ Τέω διὰ τὴν Ἰστιαίου ἐπανάστασιν ᾤκησεν Ἄβδηρα ἐν Θράκῃ. βίος δὲ ἦν αὐτῷ πρὸς ἔρωτας παίδων καὶ γυναικῶν καὶ ᾠδάς. καὶ συνέγραψε παροίνιά τε μέλη καὶ ἰάμβους καὶ τὰ καλούμενα Ἀνακρεόντεια.

Harp. 1917 Ἀνάκρισις: ἐξέτασις ὑφ' ἑκάστης ἀρχῆς γινομένη πρὸ τῶν δικῶν, περὶ τῶν συντεινόντων εἰς τὸν ἀγῶνα. ἐξετάζουσι δὲ καὶ εἰ ὅλως εἰσάγειν χρὴ ταύτας.

Synt. 1918 Ἀνακρίνω· αἰτιατικῇ.

1919 Ἀνακροτῆσαι: ἐπαινέσαι, ὑμνῆσαι. ὁ δὲ Πτολεμαῖος πάντας ἐκέλευσεν ἀνακροτῆσαι, τῆς εὐτραπελίας ἀποδεχόμενος αὐτόν.

Σ 1920 Ἀνακρουόμεθα: οἷον ἀναπροοιμιαζόμεθα.

1921 Ἀνακρούσασθαι: ἐπὶ ναυμαχίας τὸ συμβάλλειν καὶ πάλιν ἀναδύεσθαι.

Σ 1922 Ἀνακτᾶσθαι· αἰτιατικῇ. Θουκυδίδης ἀντὶ τοῦ θεραπεύειν. τίθεται δὲ ἡ λέξις καὶ ἐπὶ τοῦ τὸ προαπολωλὸς αὖθις κτήσασθαι καὶ ἀπολαβεῖν.

Ar. 1923 Ἄνακτες: οἱ θεοί. καὶ Ἀνάκτορα, τὰ ἱερά.

Harp. 1924 Ἄνακτες καὶ Ἄνασσαι· Ἀριστοτέλης ἐν τῇ Κυπρίων πολιτείᾳ φησί· καλοῦνται δὲ οἱ μὲν υἱοὶ καὶ ἀδελφοὶ τοῦ βασιλέως ἄνακτες,

Ar. αἱ δὲ ἀδελφαὶ καὶ γυναῖκες ἄνασσαι. καὶ Ἀνάκτορα, τὰ ἱερά.

Σ καὶ Ἀνακτορίαν, δεσποτείαν. καὶ Ἀνακτόριον, ἱερόν. καὶ Ἀνακτόρων, ἱερατειῶν.

Σ 1925 Ἀνακοινώσασθαι καὶ Ἀνακοινῶσαι: ἄμφω λέγουσι. Ξενοφῶν δὲ καὶ ἀνεξυνοῦτο εἴρηκεν ἐν ταῖς Ἑλληνικαῖς.

Synt. 1926 Ἀνακύπτω· γενικῇ.

Suid. 1927 Ἀνακυνδάραξος· βασιλεὺς Νίνου Περσικῆς χώρας.

Δ 1928 Ἀνακυκλήϊον: τὸν ὀρθόν.

1929 Ἀναλαβεῖν: ἐνθυμηθῆναι. μὴ δ' εἰς ἐσχάτην ἀναλαβεῖν ἐλπίδα, μήποτε διὰ ταύτης πολέμιος ἐπ' αὐτοὺς ἀναβῇ στρατός.

1930 Ἀναλαμβάνειν· αἰτιατικῇ. ἐπὶ τοῦ ἀνέχειν. ὅτι ἔμελλε τοῖς φιλοσόφοις καὶ τοῦ κοσμίως ἀναλαμβάνειν τὴν ἐσθῆτα καὶ

1917 Harp. = P 1918 = Synt. Gud. 1919 ὁ sq. Ios. Ant. 12, 214 1920 = P 1922 αἰτιατικῇ = Synt. Gud. v. ἀνακτῶμαι Θουκυδίδης (6, 92, 4) sq. = P 1923 sch. Ar. Av. 782 1924 — vs. 20 ἄνασσαι Harp. = P; Aristot. fr. 483 ἀνάκτορα τὰ ἱερά cf. ad 1923 ἀνακτορίαν sq. = P, Ba 83, 14, 15, 17; — ἱερόν cf. H, Bk. 202, 33, Ambr. 2127 1925 = P; Xen. Hell. 1, 1, 30, ubi mss. ἀνεκοινοῦτο 1926 = Synt. Laur. 1928 cf. Ambr. 2089, 2126 = Zon. 167 1930 αἰτιατικῇ = Synt. Laur. et Gud. ἔμελλε—p. 173, 9 ἔχειν Ath. 1, 21 b—d; Pl. Theaet. 175 e; Alexid. fr. 263

1916 hinc v. Τέω 1919—1922 Z 200 1919 Ios. cf. v. εὐτραπελία 1923 Z 167, 188 1925 hinc 2231 1927 ex v. Σαρδαναπάλους 1929 Z 201

A(GIFSMB) 1 νε΄] κε΄ SM 5 ὑφ' AFM ἐφ' GIS 10 ἐκέλευσεν ASM Ios. ἐκέλευεν GIF Zon. cf. v. εὐτραπελία 12 συμβάλλειν] μεταβάλλειν GIB 16 ἀπολαβεῖν B ἀπολαύειν rell. Phot. cf. Zon. 19 ἀδελφοί] ἀνεψιοί GIB 20 καὶ Ἀνάκτορα τὰ ἱερά om. F 25 Ἀνακύπτω A Ἀνακάμπτω G Ἀνακάμπω I 1927 om. FS mg. A 29 μήποτε] μήτε M 30 ἐπί] ἀντί S ἀνέχειν] ἀμπέχειν Steph. ὅτι—p. 173, 12 μάχης om. F

τοὺς μὴ τοῦτο ποιοῦντας ἔσκωπτον. Πλάτων ἐν Θεαιτήτῳ· πάντα δυναμένους ὀξέως τε καὶ τορῶς διακονεῖν, ἀναλαβέσθαι δ' οὐκ ἐπισταμένους ἐπιδεξιελευθέρως οὐδὲ ἁρμονίαν λόγων λαβόντας ὑπαντῆσαι θεῶν. Ἄλεξις δέ φησι περὶ ἐσθῆτος οὕτως· ἓν γὰρ νομίζω τοῦτο τῶν ἀνελευθέρων εἶναι, τὸ βαδίζειν ἀρρύθμως ἐν ταῖς ὁδοῖς, ἐξὸν καλῶς· οὗ μήτε πράττεται τέλος, μηδὲν γὰρ ἡμᾶς, μήτε δι' ἑτέρων λαβεῖν τιμὴν δόντας, φέρει δὲ τοῖς μὲν χρωμένοις δόξης τιν' ὄγκον, τοῖς δ' ὁρῶσιν ἡδονήν, κόσμον δὲ τῷ βίῳ. τὸ τοιοῦτον γέρας τίς οὐκ ἂν αὐτὸ κτῷτο φάσκων νοῦν ἔχειν. 'Αναλαμβάνειν, ἀντὶ τοῦ ἀνακτᾶσθαι. 'Αππιανός· τότε δὲ ἔθει τις δρόμῳ δηλώσων E τῷ Πέρσῃ λουομένῳ καὶ τὸ σῶμα ἀναλαμβάνοντι. ὁ δὲ ἐξήλατο τοῦ ὕδατος, βοῶν ὅτι ἑαλώκοι πρὸ τῆς μάχης.

1931 'Αναλῆσιον. Δ

1932 'Αναλησία: ἀναισθησία. Σ

1933 'Ανάλητος. καὶ δυσανάλητος παρὰ Σοφοκλεῖ· τουτέστι Δ δυσμετάκλητος, ἀναλγὴς, ἀπαθὴς, ἀνηλεὴς, σκληρός. δυσανάλητος γὰρ Soph. εἴην τοιάνδε μὴ κατοικτείρων ἔδραν. καὶ 'Αναλήτως, ἀναισθήτως, ἀπόνως. καὶ 'Αναλήτων, ἀσυμπαθῶν· ἢ τῶν μηδ' ὅλως Soph. ἀλγούντων ἐπί τινι ἢ πολυαλγήτων, τῶν εἰς πολλαχῇ ἡμᾶς ἐκβεβληκότων. Σοφοκλῆς· ὦ μοι ἀναλήτων δισσῶν ἐθρόησας ἄναυδον ἔργον 'Ατρειδῶν τῷδ' ἄχει. τουτέστι τῇ παρούσῃ συμφορᾷ.

1934 'Αναλέγεται· αἰτιατικῇ. ἀναμφιβόλως ἔχει, ἐννοεῖται. εἰ μέν τις ἀναλέγεται τοῦτο, ὅτι κρατήσομεν ἐξ ἐφόδου τῶν πο- E? λεμίων.

1935 'Αναλεξάμενος: ἀναγνοὺς, νοήσας. ὁ δὲ ἀναλεξάμενος τὴν ἐπιστολήν. καὶ 'Αναλεξαμένων, ἑαυτοὺς συναγαγόντων. μόλις δὲ τῶν Καρχηδονίων ἀπὸ τῆς καταπλήξεως ἀναλεξαμένων, μόνος E ὁ Βλάνων καλούμενος οἰκείαν τῆς περιστάσεως φωνὴν προέμενος εἶπε. καὶ αὖθις· καὶ τὸ τοῦ 'Αλεξάνδρου μνημεῖον συνέκλεισεν, ἵνα EV μηδεὶς ἔτι μήτε τὸ τούτου σῶμα ἴδῃ μήτε τὰ ἐν ἐκείνοις γεγραμμένα ἀναλέξηται.

1930 τότε sq. App. Mac. 15 **1932** cf. Ba 83, 25, P **1933** δυσανάλητος—ἔδραν Soph. OT 12—13 c. sch. ἀναλήτως—ἀπόνως = P, Ba 83, 25 ἀναλητῶν sq. Soph. Ai. 946—8 c. sch. **1934** αἰτιατικῇ cf. Bk. 124, 14, Synt. Laur. **1935** μόλις—εἶπε Diod. 32, 6, 1 = EL 404, 29, 31 καὶ τό sq. Cass. D. 75, 13, 2 = EV 2, 385, 21—23

1930 Pl. hinc v. ἐπιδεξιελευθέρως **1934—5** Z 201 **1935** Diod. hinc v. B 320; Cass. cf. v. Σεβῆρος 2

1 πάντα—9 ἔχειν om. S 4 θεῶν A cf. Ath. et v. ἐπιδεξιελευθέρως, θεόν A(GIFSMB) GIM 8 τοιοῦτον M Ath. τοιοῦτο AGI γέρας M Ath. γῆρας AGI 10 δρόμῳ] δρόμον M 11 ἐξήλατο M ἐξήλλατο AGI 13 'Αναλῆσιον] ἀναίσθητον add. F 16 δυσμετάκλητος] δυσμετάβλητος M^{oc} δυσμετάκλαστος sch. 16 γάρ] γὰρ ἄν B Soph. 17 μή] μὴ οὐ MB Soph. 19 πολλαχῇ] πολλὰ ἄχη Port. 20 ἐθρόησας] ἐθροάησας A 22 ἔχει] ἔχειν AS

Σ 1936 Ἀνάλημμα: ὕψωμα, στήριγμα. κατανοήσας τὸ βάρος τῶν
Ε ἀναλημμάτων καὶ ὡς ἀδύνατόν ἐστι σαλεῦσαι τὰ τείχη, ἐκ χειρὸς τὴν
μάχην ἐποίησεν.

1937 Ἀναλήψεσθαι· αἰτιατικῇ. ἀνακτήσασθαι. ὁ δὲ ἔλεγεν,
Ε ἀναλήψεσθαι τὸ παρὸν πταῖσμα ταῖς εἰς τὸ μέλλον ἀρεταῖς.
Δ 1938 Ἀνάληψις: ἀνάρρωσις. σπουδὴν ἐποιεῖτο ὑπὲρ ἀναλήψεως
Ε καὶ θεραπείας τῶν ἀνδρῶν, οὐχ ἧττον δὲ καὶ τῶν ἵππων.
Δ 1939 Ἀναλιβόζωρα: ὄνομα τόπου.
Σ 1940 Ἀναλίσκειν. αἰτιατικῇ. καὶ Ἀναλοῦν, ἑκατέρως. Ἀριστο-
φάνης Πλούτῳ· χαίρω τε γὰρ φειδόμενος, ὡς οὐδεὶς ἄλλος πάλιν
τ' ἀναλῶν, ἡνίκ' ἂν τούτου δέῃ. Δαιταλεῦσιν· εἰς τὰς τριήρεις δεῖ μ'
ἀναλοῦν ταῦτα καὶ τὰ τείχη. ἐν δὲ τῷ παρεληλυθότι καὶ διὰ τοῦ η
ἀδιαφόρως, οἷον ἀνήλισκον καὶ ἀνάλισκον. καὶ αὖθις· εἰς οἷα
ἀνάλουν οἱ πρὸ τοῦ τὰ χρήματα.
Hom. 1941 Ἄναλκις: ἀδύνατος, ἀσθενής. οὐ γὰρ μόνον ὁ μέγας κίν-
δυνος ἄναλκιν οὐ φῶτα λαμβάνει, ὡς λέγει Πίνδαρος· ἀλλὰ καὶ ὁ
μέγας ἀνὴρ οὐδένα μικρὸν ἀγῶνα προσίεται. ἀλλ' ὅπου φυγάδες
ἄλλοι δι' ἀνανδρίαν ἀποδιδράσκουσιν, ἐνταῦθα καταβαίνει παραβαλλό-
Soph. μενος. καὶ αὖθις ἡ τραγῳδία φησὶ περὶ Αἰγίσθου· ὁ πάντ' ἄναλκις
οὗτος, ἡ πᾶσα βλάβη, ὁ σὺν γυναιξὶ τὰς μάχας ποιούμενος. συνερ-
γούσης γὰρ τῆς Κλυταιμνήστρας ἀνεῖλε τὸν Ἀγαμέμνονα.
Δ 1942 Ἀναλογεῖον: ἐν ᾧ τίθενται τὰ βιβλία.
Phil. 1943 Ἀνάλογον: ἀναλόγου ὁρισμός ἐστιν οὗτος· ἀνάλογον ἔχει
μεγέθη πρὸς ἄλληλα, ὧν ἡ αὐτὴ ἀνθυφαίρεσις. ὁ δὲ Ἀριστοτέλης
τὴν ἀνθυφαίρεσιν ἀνταναίρεσιν εἴρηκε. τὰ δ' ἀνάλογον ἔχοντα πρὸς
Δ ἄλληλα καὶ ὁμοίως ἔχειν πρὸς ἄλληλα λέγεται. Ἀνάλογον δὲ
Ε ἀντὶ τοῦ ὁμοίως. καὶ αὖθις· οἱ δὲ στρατιῶται γενναῖοι ὀφθῆναι,
Δ καὶ τῷ ἴσῳ ἀξιώματι ἀναλογοῦντες. καὶ Ἀναλόγως, ἴσως. καὶ
Ἀναλογώτερον, τὸ ὑψηλότερον, τὸ σοφώτερον, τὸ ἀναλογικώτερον.

1936 — στήριγμα = P, Ba 83, 27 cf. H κατανοήσας sq. Arr. Parth. R. p. 57 = Polyb.(?) fr. 105 **1937** αἰτιατικῇ = Synt. Gud. ὁ sq. Ios. bell. 5, 127 **1938** σπουδήν sq. Polyb 3, 87, 1 **1939** cf. Ambr. 2100 **1940** αἰτιατικῇ = Synt. Laur. et Gud. — Πλούτῳ + ἐν δέ—ἀνάλισκον = P; Ar. Pl. 247—8; fr. 220 **1941** — ἀσθενής sch. B 201 cf. P v. ἀναλκής = H; Zon. 189 οὐ— παραβαλλόμενος Dam. fr. 29 cf. Phot. bibl. 337a 9—11; Pind. O 1, 81 ὁ sq. Soph. El. 301—2 c. sch. **1942** = Ambr. 2119 cf. 2122 **1943** — λέγεται Alex. Aphr. 545, 15—18 vs. 26 ἀνάλογον—ὁμοίως cf. Ambr. 2283 ἀναλόγως, ἴσως = Ambr. 2339, H

1936 Z 188 **1937** Z 201 **1938** Z 180 **1939** Z 190 **1941** Dam. cf. v. φῶτα; hinc v. κατάβα. Soph. cf. v. ὑλακτεῖ **1943** Z 188

A(GIFSM) 2 καί om. GI τείχη] χείλη GI 4 ἀνακτήσασθαι] ἀνακτήσεσθαι M^{oc} 8 τόπου] cf. Zon. πόλεως S cf. Ambr. 11 Δαιταλεῦσιν Bas. ταλεύειν F ταλλεύειν rell. 13 εἰς om. A 18 ἀνανδρίαν] ἀνανδρείαν SM παραβαλλόμενος Phot., v. κατάβα, v. φῶτα, περιβαλλόμενος omnes

1944 Ἀναλογῶ· ἐπὶ τοῦ ἁρμόζω δοτικῆ. οἰκοδόμοι μεγέθη δωμάτων ἐφ' Synt.
ὕψους αἴροντες, τῷ ὕψει τοὺς θεμελίους ἀναλογοῦντας ὑποβάλλουσι. καὶ ἐπὶ
τοῦ ἀπεικάζω καὶ ὁμοιῶ. ὃ αὐλαίαν εἶχεν ἀναλογοῦσαν σκηνῇ οὐρανίῳ.
1945 Ἀναλώθησαν· αἰτιατικῆ. ἠφανίσθησαν. οὐδὲ γὰρ ἀναλώ-
θησαν ἄλλως αἱ εὐχαί. θηρίον γάρ τι αὐτοῖς πομπῇ κρείττονι ἐν- E
τυγχάνει. καὶ Ἀνάλωσα καὶ Προανάλωσα.
1946 Ἀναλοῦντες: ἀντὶ τοῦ ἀναιροῦντες. Θουκυδίδης· καὶ Ἀνα- Σ
λῶν καὶ Ἀναλοῦν, τὸ ἀναιρεῖν.
1947 Ἄναλτον: Ὅμηρος καὶ Κρατῖνος ἀντὶ τοῦ ἀπλήρωτον, Δείναρ- Σ
χος δὲ ἀντὶ τοῦ χωρὶς ἁλῶν.
1948 Ἀναλλοίωτος: ὁ ἀεὶ αὐτὸς ὢν καὶ μὴ δεχόμενος ἀλλοίωσιν.
1949 Ἀναλλύζουσα: στενάζουσα, λυγκαίνουσα. ἔστι δέ τι πάθος
γινόμενον τοῖς μετὰ συμπαθείας πολλῆς κλαίουσιν.
1950 Ἀναλυθῆναι: τὸ καθαρμῷ τινι χρήσασθαι φαρμάκων. Μέναν- Σ
δρος Ἥρῳ· ἐπεφαρμάκευσο γλυκύτατ' ἀναλυθεὶς μόλις.
1951 Ἀνάλυσις: ἐξάπλωσις. ὅρος γάρ ἐστι λόγος κατὰ ἀνάλυσιν Phil.
ἀπαρτιζόντως ἐκφερόμενος τοῦ ὁριστικοῦ καὶ κεφαλαιωδῶς. ἀνάλυσις,
ἡ ἐπὶ σχήματος ἐπὶ σχῆμα τῶν τρόπων ἀνακύκλησις. ἀναλύειν γὰρ
λέγεται τὸ τοὺς συνθέτους συλλογισμοὺς ἀνάγειν εἰς τοὺς ἁπλοῦς καὶ
εἰς τὰς προτάσεις, ἐξ ὧν αὐτοῖς τὸ εἶναι. κατὰ γοῦν τὸ σημαινό-
μενον τῆς ἀναλύσεως Ἀναλυτικὰ γέγραπται τὰ Ἀριστοτέλους.
1952 Ἀναλφάβητος· ἀμάθητος γραμμάτων ἁπάντων καὶ τὸ δὴ E
λεγόμενον, ἀναλφάβητος. περὶ Ἰουστίνου βασίλεως. Suid.
1953 Ἀνάλφιτον· Φιλύλλιος Αἰγεῖ. Σ
1954 Ἀναμάθω: ἐξ ἀρχῆς μάθω. Σ
1955 Ἀναμαλάττεσθαι: ἀναφυρᾶν. καὶ Ἀναμάττεσθαι ΔΣ
ὁμοίως.

1944 ὁμοιῶ cf. Synt. Gud. p. 589, 9 1945 οὐδέ—ἐντυγχάνει Aelian. fr. 235 1946 = P; Thuc. 4, 48, 3 1947 ἁπλήρωτον = sch. ρ 228, Ap. S. 35, 28 cf. P, H, Et. M. 97, 14; ρ 228; Cratin. fr. 382; Dinarch. fr. 89, 7 1950 = P; Men. com. fr. 213 1951 — κεφαλαιωδῶς Alex. Aphr. 42, 27—43, 1 cf. Laert. 7, 60 1952 — ἀναλφάβητος alt. Proc. h. a. 6, 11 1953 = P cf. Bk. 83, 18; Philyll. fr. 2 (1, 782 K.) 1954 = P, Ba 83, 28, H 1955 ἀναμάττεσθαι = P, Ba 83, 30, H

1945—6 Z 201 1947 Eust. O. 1840, 22, Z 188 1949 hinc v. λυγκαίνουσα; Z 202 1950 Z 202 1951 Z 180, 202; cf. v. ὅρος 3 et 2929 1952 cf. 1470 1954 Z 202

1944 om. F mg. A 1 ὡμάτων] δομάτων SM 2 ἀναλογοῦντας] ἁρμό- A(GIFSM)
ζοντας add. S ἀντὶ τοῦ ἁρμόζοντας ss. A 3 τοῦ AM τό GIS 6 καί—προ-
ανάλωσα om. FS mg. A post l. I ἀνάλωσα A ἀνάλωμα GIM προανάλωσα
AM προανάλωμα GI 8 ἀναιρεῖν] ἀναιροῦν GI 9 ἁπλήρωτον] ἀναπλήρω-
τον SM 12 Ἀναλλύζουσα AF v. λυγκαινούσα, Ἀναλύζουσα Iᵃᶜ M Zon. Ἀνωλύ-
ζουσα GIᵉᵉ Ἀναβλύζουσα S 14 τό] τῷ A καθαρμῷ] καθαρῷ GI φαρμά-
κων] φαρμάκῳ GI Phot. 15 ἐπεφαρμάκευσο AGI Zon. ἐπεφαρμάκευσον M
ἐπιφαρμάκευσο F ἐπιφαρμάκευσον S γλυκύτατ'] γλυκύτ' AS 18 ἡ] δέ ἡ S
ἐπί pr.] ἀπό Mᵉᵉ Bk. ὑπό pr. 21 τά] τὰ τοῦ A τοῦ I 23 περί—βασίλεως
ex A mg., supra l. M; ante l. Ἰουστίνος add. S

Suid. 1956 Ἄναμμα· τρέφεσθαι δὲ τὰ ἔμπυρα καὶ τὰ ἄλλα ἄστρα, τὸν μὲν ἥλιον ἐκ μεγάλης θαλάττης, νωθρὸν ὄντα ἄναμμα· τὴν δὲ σελήνην ἐκ ποτίμων ὑδάτων, ἀερομιγῆ τυγχάνουσαν καὶ πρόσγειον οὖσαν.

Ar. 1957 Ἀναμασώμενοι: ἀντὶ τοῦ ἀνερευνῶντες. μόλις τὸ πραγμ' ἔγνωσαν ἀναμασώμενοι. οἱ κριταί. Ἀριστοφάνης. καὶ Ἀναμα-
Δ τώμεναι, ἀναμασώμεναι.

E 1958 Ἀναμαχούμενον: ἐκ δευτέρου μαχεσάμενον. ὁ δὲ ἐκέλευσεν αὐτὸν αὖθις ἥκειν ἀναμαχούμενον τὴν πρώτην ἥσσαν.

Σ 1959 Ἀναμέλποντες: ἀνυμνοῦντες.

Suid. 1960 Ἀνὰ μέσον.

Σ 1961 Ἀναμετρήσαιμι· αἰτιατικῇ. διεκπεράσαιμι. μήποτε ἐς Ῥήγιον ἐκπλεῖν μήτε τὴν πολλὴν θάλασσαν ἀναμετρεῖν.

Synt. 1962 Ἀναμείνω· αἰτιατικῇ.

Σ 1963 Ἀναμηρύσασθαι: ἀνατεῖναι.

Σ 1964 Ἀναμίλλητον: ἀφιλόνεικον.

Δ 1965 Ἀναμίξ: ἀναμίγδην, ἀναμεμιγμένως.

Synt. 1966 Ἀναμνήσκω· γενικῇ· καὶ ἀναμνήσθητι· γενικῇ.

Phil. 1967 Ἀνάμνησις· ἀνάμνησίς ἐστι φαντάσματος εὕρεσις. ἀρξαμένη δὲ ἀπὸ τῆς ψυχῆς διαβαίνει ἐπὶ τὸ ἐζωωμένον σῶμα. ἀναμνησθέντες γὰρ φοβεροῦ τινος ἡμῖν γενομένου ὠχριάσαμεν, καὶ τοῦ πλοῦ ἀναμνησθέντες ἐναυτιάσαμεν. πῶς δὲ λέγομεν ἀπὸ τῆς ψυχῆς ἄρξασθαι τὴν κίνησιν ἐπὶ τῆς ἀναμνήσεως; ἢ οὐχ ὡς ἐκείνης αὐτῆς ἀναμνησκομένης, ἀλλ' ὥσπερ ἐπὶ τῶν αἰσθήσεων λέγομεν· ἀρξαμένη γὰρ ἡ κίνησις ἐκ τῶν αἰσθητῶν διέβη μέχρις ἐκείνου, ἐν ᾧ ἡ κριτικὴ καὶ αἰσθητικὴ δύναμις· τοῦτο δέ ἐστι τὸ πνεῦμα· οὕτως δὲ ἐπὶ τῆς ἀναμνήσεως λέγομεν, ὅτι ἀπὸ τοῦ πνεύματος, ἐν ᾧ ἡ ψυχή, καὶ ἡ ἀρχὴ τῆς κατὰ τὴν ἀνάμνησιν κινήσεως γέγονεν ἀνάπαλιν ἢ ἐπὶ τῆς αἰσθήσεως· εἰς ὃ γὰρ τελευτᾷ ἡ αἴσθησις, ἐκεῖθεν ἡ ἀρχὴ τῆς ἀναμνήσεως. ἡ γὰρ ἀνάμνησις, φαντάσματός ἐστιν εὕρεσις, ὁπότε ἐγένετο ἐν τῷ πνεύματι. ἐν τούτῳ γὰρ γίνεται τὰ φαντάσματα, ἐν ᾧ καὶ ἡ αἰσθητικὴ ψυχὴ ἵδρυται. ἀπὸ τούτων οὖν τῶν ἐν τῷ πνεύματι, ἐν ᾧ ἐστιν ἡ ψυχή, ἐγκαταλειμμάτων, ἅπερ φαντάσματα καλοῦμεν ἐγκαταλείμματα ἐκ τῶν κατὰ τὰς αἰσθήσεις ἀντιλήψεων ἔσχεν· ἀπὸ τούτων ἡ ἀρχὴ τῆς κατὰ τὴν ἀνάμνησιν κινήσεως γίνεται. ἐπιβάλλουσα οὖν πάλιν τῷ φαντά-

1957 μόλις—κριταί Ar. Vsp. 783 c. sch. 1959 = P, Ba 83, 31, H 1961 αἰτιατικῇ cf. Synt. Laur. διεκπεράσαιμι = Ba 83, 32 cf. P, sch. Pl. Epist. 345d μήποτε sq. fort. Diodor. 1962 = Synt. Gud. 1963 = P, Ba 84, 1 1964 = P, Ba 84, 2 cf. H 1965 — ἀναμίγδην = Ambr. 2334; ἀναμεμιγμένως = H 1966 cf. An. Ox. 4, 278, 12 1967 Philop. 158, 5—23

1956 ex v. πᾶν 1957—9 Z 202 1961 Z 202 1967 Z 181

A(GITFSM) 1956 om. F mg. AI 4 et 5 Ἀναμασώμενοι] Ἀναμασσώμενοι GI 5 ἀναματτώμεναι SM ἀναματτόμεναι rell. 7 μαχεσάμενον AGI Zon. μαχησάμενον FS μαχεσόμενον M ἐκέλευσεν] ἐκέλευεν FSM 1960 ex A mg. 11 διεκπεράσαιμι] διαπεράσαιμι M sch. Pl. Zon. 12 μήτε] μήποτε GI 22 ἀναμνησκομένης] ἀναμιμνησκομένης T Philop. 23 ἐκ] ἀπό TSM

σματι, ὃ πρὶν ἔσχε, τουτέστι τῷ ἐγγενομένῳ πρότερον ἐν τῷ πνεύματι τόπῳ, ἀναμιμνήσκεται καὶ δι' οὗ αἰσθητηρίου ἥσθετο αὐτό. καὶ οὕτως συνδιατίθεται τῷ αἰσθητηρίῳ τὸ σῶμα.

1968 Ἀναμοχλευόντων: ἀνορυττόντων, ἀνακινούντων. βιαζομέ- E
νων δὲ αὐτῶν, καὶ τὰς θύρας ἀναμοχλευόντων, δράκοντες ἄρα μέγιστοι τὸ μέγεθος ἀνέστελλον αὐτούς.

1969 Ἀναμύειν: ἀναβλέπειν. Σ

1970 Ἀναμφήριστον: ἀναμφίβολον. καὶ Ἀναμφήριστος, ὁ Δ
ἀναμφισβήτητος.

1971 Ἂν ἀμφοῖν· Ζήτει εἰς τὸ τέλος τοῦ βίου τοῦ ὁσίου Εὐθυμίου ἐν τῇ Metaphr.
μεταφράσει.

1972 Ἀνανέμειν: ἴσον τῷ ἀναγινώσκειν. Ἐπίχαρμος. Ἡρόδοτος Σ
δὲ ἀνανέμεσθαι ἐπὶ τοῦ καταλέγειν τέθεικεν.

1973 Ἀναυεοῦσθαι: ὡς ἡμεῖς Θουκυδίδης ε' καὶ Πλούτοις Κρα- Σ
τῖνος.

1974 Ἀνανεωσάμενος: ἀνακαινίσας καὶ ἀνεγείρας. ἢ ἀναμνησθεὶς, εἰς ἔννοιαν ἐλθών. ὁ δὲ Μάρκος προσανανεωσάμενος τὴν τοῦ E
τείχους ταπεινότητα ἐπεβάλετο καταπειράζειν τῆς ἐλπίδος.

1975 Ἄνανος: ὄνομα κύριον. ἀποκλείσας τοὺς ζηλωτὰς εἰς τὸ Δ + E
ἱερὸν καὶ φρουρὰν αὐτοῖς ἐπιστήσας παρεκάθητο.

1976 Ἄναντα: ἀνωφερῆ, δυσχερῆ. Σ

1977 Ἀνανταγώνιστος: ἀκαταμάχητος. ἀνανταγώνιστος ἦν ἡ E
Ῥωμαίων ὁρμὴ καὶ δυσάντητος τοῖς ἐντυγχάνουσιν.

1978 Ἄναντες: ἀνωφερές. ὅτι ταὐτόν ἐστιν ἄναντες καὶ πρόσ- Σ
αντες. καὶ εἴ τι μὲν ἄναντες, τοῦτο καὶ πρόσαντες, οὐκέτι δὲ τὸ Greg.
ἀνάπαλιν. τὸ γὰρ πρόσαντες ἀπότομον καὶ μὴ παρεῖκον, μηδὲ ἀποδεχόμενον τὸν ἀναβῆναι βουλόμενον. τῷ δὲ ἀνάντει καὶ προσάντει ἐναντίον τὸ κάταντες. καὶ τὰ μὲν ἡδέα καὶ τερπνὰ λέγομεν ῥᾷστα καὶ ῥᾴω, τὰ δὲ λυπηρὰ προσάντη καὶ ἀνάντη καὶ δυσχερῆ. καὶ Δ
Ἀνάντης, ἡ δύσβατος ὁδός. καὶ κλίνεται εἰς ους.

1979 Ἀναντίρρητον: τὸ ἀντιλογίαν μὴ ἐπιδεχόμενον.

1980 Ἄναξ: θηλυκῶς. οὕτως Αἰσχύλος. Σ

1968 βιαζομένων sq. Aelian. fr. 252 1969 = P, Ba 84, 3, H 1970 — ἀναμφίβολον = H 1971 PG 114, 732c 4 1972 Epich. fr. 224; Hdt. 1, 173, 5 1973 = P; Thuc. 5, 18, 9; Cratin. fr. 167 1974 ὁ sq. Polyb. 8, 37, 2 1976 = Ba 84, 4 cf. P, sch. Ψ 116, Et. M. 98, 27, H 1977 ἀνανταγώνιστος alt. sq. Th. Simoc. 2, 6, 13 1978 — ἀνωφερές = Ba 84, 5 cf. H, Et. M. 98, 27 ταὐτόν—δυσχερῆ sch. Greg. 18, 43, Ann. 250 1980 = P; Aesch. fr. 342

1968 Aelian. cf. 2328 et v. ἐδείμαντο 1969 Z 203 1972 Z 203 1974 ἀναμνησθείς cf. 2271. Polyb. cf. v. προσανανεωσάμενος 1975 cf. v. ζηλωταί

1 πρίν] περ FS 2 αὐτό] αὐτῷ F cp. A αὐτοῦ Philop. 1971 om. GTFS A(GITFSM) mg. AI 10 ὁσίου IM cη A 14 Πλούτοις Phot. Πλουτ GSM Πλουτχ AI Πλούταρχ T Πλούταρχος F Κρατῖνος FM Phot. Κρατίνῳ AGITS 26 παρεῖκον] παρεῖχον S παρῆκον M 30 καί—ους om. F 1979 om. G 31 ἀντιλογίαν ITM ἀντίλογον FS ἀντιλόγου A 1980 om. GIT

Harp. 1981 Ἀναξαγόρας, σοφιστής, Ἡγησιβούλου υἱός, Κλαζομένιος. νοῦς δὲ ἐπεκαλεῖτο, ἐπειδὴ ὕλην καὶ νοῦν πάντων φρουρὸν εἶπεν. οὗτός ἐστιν ὁ τὸν ἥλιον εἰπὼν μύδρον διάπυρον. τουτέστι πύρινον
Hesy λίθον. ἔφυγε δὲ ἐξ Ἀθηνῶν, Περικλέους αὐτῷ συνειπόντος, καὶ ἐλθὼν ἐν Λαμψάκῳ ἐκεῖσε καταστρέφει τὸν βίον ἀποκαρτερήσας. ἐξήγαγε δὲ τοῦ ζῆν ἑαυτὸν ἐτῶν ο′, διότι ὑπ' Ἀθηναίων ἐνεβλήθη ἐν δεσμωτηρίῳ, οἷά τινα καινὴν δόξαν τοῦ θεοῦ παρεισφέρων. ὅτι Ἀναξαγόρας Ὀλυμπίασιν, ὁπότε ἥκιστα ὗοι, προελθὼν ὑπὸ κῳδίῳ ἐς τὸ στάδιον ἐπὶ προρρήσει ὄμβρου λέγεται τοῦτο πεπραχέναι. καὶ ἄλλα δὲ πλεῖστα προλέγων. οὗτος, Κλαζομένιος ὤν, ἀγέλαις τε καὶ καμήλοις τὰ ἑαυτοῦ ἀνῆκε. περὶ τούτου ἔφη Ἀπολλώνιος ὁ Τυανεὺς προβάτοις μᾶλλον ἢ ἀνθρώποις φιλοσοφῆσαι. ὁ δὲ Θηβαῖος Κράτης κατεπόντωσε τὴν οὐσίαν, οὔτε προβάτοις ποιήσας ἐπιτήδειον, οὔτε ἀνθρώποις.

Hesy. 1982 Ἀναξανδρίδης, Ἀναξάνδρου, Ῥόδιος ἐκ Καμείρου, γεγονὼς ἐν τοῖς ἀγῶσι Φιλίππου τοῦ Μακεδόνος, Ὀλυμπιάδι ρα′· κατὰ δέ τινας Κολοφώνιος. ἔγραψε δὲ δράματα ξε′, ἐνίκησε δὲ ι′. καὶ πρῶτος οὗτος ἔρωτας καὶ παρθένων φθορὰς εἰσήγαγεν.

Soph. 1983 Ἀναξία: ἀξίαν οὐκ ἔχουσα, ἀλλ' ἄτιμος. ἀλλ' ἅπερ ἥτις
Suid. ἔποικος ἀναξία οἰκονομῶ θαλάμους πατρός. ἔποικος ἀντὶ τοῦ μέτοικος,
Soph. οἰκονομῶ δὲ ἀντὶ τοῦ διαιτῶμαι. καὶ Ἀναξιοπαθοῦντες, ἀντὶ
Δ τοῦ οὐκ ἄξιον ἡγούμενοι.

Harp. 1984 Ἀναξίβιος, Λακεδαιμονίων στρατηγός.

1985 Ἀναξίλας, κωμικὸς ποιητής.

Hesy 1986 Ἀναξίμανδρος, Πραξιάδου, Μιλήσιος, φιλόσοφος, συγγενὴς καὶ μαθητὴς καὶ διάδοχος Θάλητος. πρῶτος δὲ ἰσημερίαν εὗρε καὶ τροπὰς καὶ ὡρολογεῖα καὶ τὴν γῆν ἐν μεσαιτάτῳ κεῖσθαι. γνώμονά τε εἰσήγαγε καὶ ὅλως γεωμετρίας ὑποτύπωσιν ἔδειξεν. ἔγραψε Περὶ φύσεως, Γῆς περίοδον, καὶ Περὶ τῶν ἀπλανῶν καὶ Σφαῖραν καὶ ἄλλα τινά.

1981 — διάπυρον Harp. = P ἐλθὼν—καταστρέφει = Laert. D. 2, 14 ὅτι—προλέγων Philostr. 1, 2; Κλαζομένιος sq. Philostr. 1, 13 1982 Ῥόδιος ἐκ Καμείρου = Ath. 9, 374b 1983 — διαιτῶμαι Soph. El. 189 c. sch. ἀναξιοπαθοῦντες cf. Ambr. 2268 1984 Harp. = P 1986 cf. Laert. 2, 1—2

1981 Harp. hinc v. νοῦν τὸν ξενον. Hesy. cf. v. 3336. Philostr. hinc v. B 557 cf. v. κῳδιον et v. Κράτης 3; hinc 3420 in fine 1982 hinc v. Καμειραία 1983 Soph. cf. v. οἰκονομῶ ex quo οἰκονομῶ—πατρός ἀναξιοπαθοῦντες cf. 1990 1986 cf. Cedren. 1, 276

A(GITFSM) 5 ἐκεῖσε] ἐκεῖ SM 8 ὗοι A ὗει rell. 15 Καμείρου] Καμήρου FSM Ath. 16 ρα′] ρη′ Bhd. Mein. ρια′ Gutschmid κατά—17 Κολοφώνιος post vs. 15 Καμείρου transp. Flach 17 ἔγραψε δέ] ἔγραψε GITF δὲ ι′ S ι′ rell. 19 ἥτις] γρ. ἀλλ' ἅπερ εἴ τις add. mg. M 20 ἀναξία—ἔποικος om. F οἰκονομῶ—πατρός ex IM; post μέτοικος G 23 Ἀναξίβιος] Ἀναξίαος GIT 26 Θάλητος] καὶ Θαλῆς Θαλοῦ add. mg. M cf. v. 27 μεσαιτάτῳ A²GITM μεσετάτω S μεσατάτω F μεσάτω AMγρ

1987 Ἀναξίμανδρος, Ἀναξιμάνδρου, Μιλήσιος, ὁ νεώτερος, ἱστο- Hesy.
ρικός. γέγονε δὲ κατὰ τοὺς Ἀρταξέρξου χρόνους τοῦ Μνήμονος κληθέντος. ἔγραψε συμβόλων Πυθαγορείων ἐξήγησιν· οἷόν ἐστι τὸ ζυγὸν μὴ ὑπερβαίνειν, μαχαίρᾳ πῦρ μὴ σκαλεύειν, ἀπὸ ὁλοκλήρου ἄρτου μὴ ἐσθίειν· καὶ τὰ λοιπά.

1988 Ἀναξιμένης, Εὐρυστράτου, Μιλήσιος, φιλόσοφος, μαθητὴς καὶ Hesy
διάδοχος Ἀναξιμάνδρου τοῦ Μιλησίου· οἱ δὲ καὶ Παρμενίδου ἔφασαν. γέγονεν ἐν τῇ νε′ Ὀλυμπιάδι ἐν τῇ Σάρδεων ἁλώσει, ὅτε Κῦρος ὁ Πέρσης Κροῖσον καθεῖλεν.

1989 Ἀναξιμένης, Ἀριστοκλέους, Λαμψακηνὸς, ῥήτωρ· μαθητὴς Hesy.
Διογένους τοῦ Κυνὸς καὶ Ζωΐλου τοῦ Ἀμφιπολίτου γραμματικοῦ, τοῦ κακίζοντος Ὅμηρον, διδάσκαλος δὲ τοῦ Μακεδόνος Ἀλεξάνδρου. εἵπετο δὲ αὐτῷ ἐν τοῖς πολέμοις. οὗτος βασιλέα Ἀλέξανδρον, θυμῷ E?
χρώμενον ἐς Λαμψακηνούς, τέχνῃ περιεῖλε τοιῇδε. φρονούντων Λαμψακηνῶν τὰ Περσῶν, ὑπερζέων τῷ θυμῷ Ἀλέξανδρος ἠπείλει τὰ μέγιστα κακὰ ἐργάσασθαι. οἱ δὲ, ἅτε περὶ γυναικῶν καὶ παίδων καὶ τῆς πατρίδος θέοντες, ἀποστέλλουσιν Ἀναξιμένην ἱκετεύσοντα. Ἀλέξανδρος δὲ γνοὺς καθ' ἥντινα αἰτίαν ἥκοι, κατωμόσατο θεοὺς, ἢ μὴν αὐτοῦ ταῖς δεήσεσι τἀναντία ἐργάσεσθαι. Ἀναξιμένης δέ, χάριταί μοι, ἔφη, ὦ βασιλεῦ, τὴν χάριν, γυναῖκας καὶ τέκνα τῶν Λαμψακηνῶν ἀνδραποδίσασθαι καὶ τὰ ἱερὰ ἐμπρῆσαι καὶ τὴν πόλιν ἐς ἔδαφος καταβαλεῖν. Ἀλέξανδρος δὲ οὐκ ἔχων τι πρὸς τοῦτο σοφίσασθαι ἢ ἀντιμηχανήσασθαι καὶ ἐνεχόμενος τῇ ἀνάγκῃ τοῦ ὅρκου, συγγνώμην ἔνεμεν οὐκ ἐθέλων Λαμψακηνοῖς. ἠμύνατο δὲ καὶ Θεόπομπον, τὸν Δαμοστράτου, ἐχθρὸν ὄντα Ἀναξιμένης οὐκ ἀμαθέστατα, ἀλλ' ἐπιφθονώτατα. σοφιστὴς γὰρ ὢν καὶ σοφιστῶν λόγους μιμούμενος, γράφει βιβλίον ἐς Ἀθηναίους καὶ ἐπὶ Λακεδαιμονίους, συγγραφὴν λοίδορον ἐς τὸ ἀκριβέστατον μιμησάμενος· καὶ ἐπιγράψας Θεοπόμπου τὸ ὄνομα ἔπεμπεν ἐς τὰς πόλεις. καὶ ἐκ τούτου τὸ ἔχθος τὸ ἐς Θεόπομπον ἀνὰ πᾶσαν τὴν Ἑλλάδα ηὔξετο. οὐ μὴν οὐδὲ εἰπεῖν τις αὐτοσχεδίως Ἀναξιμένους πρότερός ἐστιν εὑρηκώς.

1990 Ἀναξιοπαθοῦντες: οὐκ ἄξιον ἡγούμενοι. οἱ δὲ Κρῆτες Δ
ἀναξιοπαθοῦντες οὐκ ἐδέξαντο αὐτὸν ὡς μοιχογέννητον. E

1991 Ἀνάξιππος, κωμικὸς τῆς νέας κωμῳδίας, ἤκμασεν ἐπὶ Ἀντι- Hesy.
γόνου καὶ Δημητρίου τοῦ Πολιορκητοῦ.

1992 Ἀνάξοιτο: ἀνασχήσοιτο. Ξενοφῶν. Σ

1987 — ἱστορικός cf. Laert. 2, 2 1988 — ἔφασαν cf. Laert. 2, 3
1989 — ῥήτωρ cf. Laert. 2, 3 οὗτος sq. Paus. Per. 6, 18, 2—6 1990 l. cf. Ambr. 2268 οἱ sq. fort. Aelian. 1992 = P; Xen. Hell. 2, 1, 22

1990 Z 203; cf. 1983 1992 Z 203

2 Μμήμονος Bas. ἀμείνονος omnes 14 περιεῖλε] περιῆλθε Paus. A(GITFSM)
17 ἱκετεύσοντα] ἱκετεύοντα GIT 19 ἐργάσεσθαι A^{ac} Paus. ἐργάσασθαι S ἐργάσεται A^{ac} rell. 25 Ἀναξιμένης S Paus. Ἀναξιμένους rell.

Σ 1993 Ἀναξυρίδας: φιμινάλια, βρακία, ἢ τὰ βαθέα καὶ ἄβατα ὑπο-
Ε δήματα. καίπερ τῷ Θεοδοσίῳ ἐκλελυμένον τὸν ἱμάντα, τὸν ἀμφὶ
τὰ αἰδοῖα τὰς ἀναξυρίδας δέοντα.
Σ 1994 Ἀνὰ οὐλαμόν: κατὰ τὸ ἄθροισμα.
Σ 1995 Ἀναπάλλει: ἀναπηδᾷ, ἀνασείει.
Δ 1996 Ἀναπαυδήτως.
Σ 1997 Ἀναπαύεσθαι· αἰτιατικῇ. τὸ κατακλίνεσθαι ὡς πρὸς ὕπνον.
Σ | 1998 Ἀνάπαυλαν: ἀνάπαυσιν. ἀνάπαυσις δὲ ὁ μέλλων βίος.
EL Σὺν ἑτέροις ἀξιολογωτάτοις ἀνδράσι τῷ πολέμῳ δοὺς τὴν ἀνά-
Ε παυλαν. Μένανδρος· ὧδὶ γὰρ Οὔννων ἡγεμὼν μέγιστος ἔτυχεν
Ar. ἀναπαύλης. τούτεστιν ἀπέθανε. καὶ Ἀναπαύλας, πέμψεις πρὸς
τοὺς νεκρούς. τίς εἰς ἀναπαύλας ἐκ κακῶν καὶ πραγμάτων; κηρύσσει
ὁ Χάρων, καὶ ὡς τόπους καταλέγει· τίς εἰς τὸ Λήθης πεδίον; Λήθης
πεδίον χωρίον διατετύπωκεν ἐν ᾅδου οὕτω λεγόμενον· ὡς καὶ Αὐαίνου
λίθον. τίς εἰς ὄνου πόκας; οὕτω λέγουσι τὸ ἄχρηστον· οὐδὲ γὰρ αἱ
τοῦ ὄνου πόκαι χρησιμεύουσιν. ἐπὶ τῶν ἀνηνύτων.
Σ 1999 Ἀνάπαιστα: κυρίως τὰ ἐν ταῖς παραβάσεσι τῶν χορῶν ᾄσματα,
ἰδίως δὲ τὰ τῶν ῥυθμῶν. πᾶσαν δὲ παράβασιν ἀναπαίστους κα-
Ar. λοῦσιν. αὐτὸν ἐπῄνει πρότερον παραβὰς ἐν τοῖς ἀναπαίστοις· φησὶν
Ε Ἀριστοφάνης ἐν Εἰρήνῃ. γραφαί τε παιγνιώδεις ἐς τοῦτο, καὶ
Δ ἀνάπαιστα ᾖδοντο κατὰ Ῥωμαίων. σημαίνει δὲ ἀνάπαιστος καὶ
εἶδος μέτρου στίχων.
Σ 2000 Ἀναπεμπάζειν: ἀνανεοῦσθαι, ἀναμιμνήσκεσθαι. πεποίηται
ἀπὸ τῶν τοῖς πέντε δακτύλοις τῆς χειρὸς συνεχὲς ἀριθμούντων καὶ
ἐπαναλαμβανόντων, οἱονεὶ κατὰ πεντάδα ἀριθμούντων. καὶ Ἀνα-
πεμπαζόμενοι, ἀναριθμούμενοι, σκεπτόμενοι.
Σ 2001 Ἀναπεπταμένα χωρία: πεδία, κάμποι.
2002 Ἀναπεπτωκώς: ῥᾳθυμῶν, ἀφροντιστῶν, ἀμελῶν. ὁ δὲ ἐν
Ε τῷ πολέμῳ ἀναπεπτωκώς τε οὐδενὶ λόγῳ καὶ ὁ τὴν τῶν ἔργων
παρασκευὴν ὀκνηρῶς ἄγαν διὰ φιλοχρηματίαν ποιούμενος.

1993 — ὑποδήματα = P, Ba 84, 6, H, Et. M. 98, 1; βράκια cf. Ambr. 1999 = Zon. 182 καίπερ sq. Proc. h. a. 1, 20 1994 = P, Ba 84, 8, H 1995 = P, Ba 84, 11 1997 αἰτιατικῇ = Synt. Gud. τό sq. = P 1998 — ἀνάπαυσιν = P, Ba 84, 12, H σύν—ἀνάπαυλαν Th. Simoc. 3, 15, 7 = EL 481, 1—2 ὧδί—ἀναπαύλης Men. Prot. fr. 69, FHG 4, 269 ἀναπαύλας sq. Ar. Ran. 185—6 c. sch. 1999 — ῥυθμῶν = P, H πᾶσαν—ἀναπαίστοις Ar. Pac. 735 c. sch. γραφαί—Ῥωμαίων cf. Cass. D. fr. 39, 8 = EL 82, 22—3 (Byz. Zt. 21, 389, 1) ἀνάπαιστος sq. = Ambr. 1815, 2093 2000 — ἀριθμούντων = P v. ἀνανεοῦσθαι; ἀναπεμπαζόμενοι sq. = Ba 84, 13, P 2001 = Ba 84, 15 2002 ὁ δέ sq. Proc. h. a. 18, 29

1994 Z 168 1998 Ar. cf. v. τίς εἰς ἀναπαύλας 2000 Z 203—4 2001 Z 189 2002 Z 204

A(GITFSM) 12 τίς] ζήτει ἐν τῷ τίς mg. add. M 15 τό] τόν A ante 1999 Ἀνάπαιστα. ᾖδοντο κατὰ Ῥωμαίους ἀντὶ τοῦ ἐναντ[ίου]· ἐτυμολογεῖται δὲ ἀπὸ τοῦ ἀναπαλη(?) καὶ τοῦ παίζειν· ἤτοι ἐμπαικτηκῶς ποιεῖν· συνπαίστωρ γὰρ εἴρηται. mg. add. I 17 Ἀνάπαιστα GIT Phot. Hes. Ἀνάπαιστοι rell. 29 ὁ om. Proc.

2003 Ἀναπεποιημένης: ἀναπεφυρμένης, ἀνεζυμωμένης. Σ
2004 Ἀναπετῶ: ἀναπετάσω. Μένανδρος· ἄλλοις ἀναπετῶ τουτὶ προσελθὼν καὶ οὐκ ἀνέξομ' οὐκέτι. καὶ ἐν Συνερώσῃ καὶ ἑτέραις. Σ
2005 Ἀναπέφηνα: ἀπεδείχθην. καὶ οὐχὶ ἐναπέφηνα.
2006 Ἀνάπειρα. κατασπᾶν τὰς ναῦς, τὰς ὑπηρεσίας ἐμβιβάζειν καὶ τῆς εἰρεσίας ἀνάπειραν λαμβάνειν, παρέλκοντα τὸν χρόνον ἐπίτηδες, ἕως τὰ παρὰ Ῥωμαίων αὐτῷ γένηται φανερά. Δ E
2007 Ἀναπείρατε· ἀναπείρατε τὰς κίχλας, τούτεστι πήξατε, κεντήσατε. Ἀριστοφάνης· φέρετε τοὺς ὀβελίσκους, ἵν' ἀναπείρω τὰς κίχλας. Ar.
2008 Ἀναπείραις· Πολύβιος· τῶν δὲ ναυτικῶν δυνάμεων κατὰ θάλατταν ταῖς ἀναπείραις καὶ ταῖς εἰρεσίαις ἐγύμναζεν. E
2009 Ἀναπείσητε: ἀντὶ τοῦ δώροις πείσητε. διαβάλλει δὲ αὐτὸν ὡς δωροδοκούμενον. Ἀριστοφάνης· εἰ μή μ' ἀναπείσητ', ἀποθανεῖσθε σήμερον. Ar.
2010 Ἀναπειστηρίαν: δυναμένην πείθειν τοὺς ἀκούοντας. Ἀριστοφάνης· πῶς ἂν μάθοι πόθ' οὗτος ἀπόφευξιν δίκης ἢ κλῆσιν ἢ χαύνωσιν ἀναπειστηρίαν; καίτοι ταλάντου τοῦτ' ἔμαθ' Ὑπέρβολος. Κλῆσιν· τούτεστι μαρτυρίαν. Χαύνωσιν· λύσιν τῶν δικῶν, οἷον ἀπάτην καὶ κενῶν ῥημάτων ἀναπειθόντων τοὺς ἀκούοντας. ἢ ἀναπειστηρίαν, ὥστε χαυνῶσαι καὶ ἀναπεῖσαι τοὺς ἀντιδίκους. παρὰ τὸ πείθειν τὴν δίκην. ὁ δὲ Ὑπέρβολος ἐκωμῳδεῖτο ὡς ἀπαίδευτος καὶ ὀψιμαθής. ἀξιοπιστεύονται δὲ οἱ διδάσκαλοι λέγοντες· ἔλαττον τοσοῦδε οὐ λαμβάνω ἐπὶ τούτῳ τῷ ἀναγνώσματι. καὶ ἐπαγγέλλονται προνοήσασθαι τῶν καινῶν μαθημάτων, ὅσων προνοοῦσι μάλιστα. Ar.
2011 Ἀναπηδῶν· καὶ οὐδετέρως διὰ τοῦ ω μεγάλου. Δ
2012 Ἀναπήλας. ἀνακινήσας. ὁ δὲ διὰ τοῦ κοντοῦ ὅσον πρὸς τῇ ἀκωκῇ ἀναπήλας ἐς ὕψος καὶ περιενεγκὼν, ὡς ἄν τις δόρυ τὸ κουφότατον περιφέρῃ, τῇ αἰχμῇ διαπείρων τὸ μετάφρενον κατεργάζεται. E
2013 Ἀναπηνίζω: ἀναλέγομαι, ἐκλύω, ἀνακυκλίω. Δ

2003 = P, Ba 84, 14, H 2004 — Μένανδρος = P; Men. com. fr. 26 (sed cf. P) et 458 et 991 2007 Ar. Ach. 1007 c. sch. 2008 Polyb. 10, 20, 6 2009 Ar. Eq. 68 c. sch. 2010 Ar. Nu. 874—6 c. sch. 2013 — ἀναλέγομαι = Ambr. 2287, Zon. 204

2003—4 Z 204 2007 Z 204 2008 Z 181 2009 Z 204 2010 — ἀκούοντας Z 181; πῶς sq. cf. v. χαύνωσιν et v. τάλαντον 2 2011 cf. 2074 2012 Z 204; cf. v. κατεργάζεται

2 ἄλλοις] Ἀλιεῦσι Kust. sed cf. Phot. 3 ἑτέραις Mein. (sc. κωμῳδίαις; scripsisset ἑτέροις sc. δράμασι Gsf.), Ἑταίραις omnes 2005 ex IM 5 Ἀνάπειρα] Ἀνάπειραν GIT ὑπηρεσίας] ὑπειρεσίας AM^{ac} 9 φέρετε] φέρεται S φέρε Ar. 23 τοσοῦδε AF τοῦδε T cou δέ rell. 24 οὐ] οὔ ATF 25 καινῶν] κακῶν IM κοινῶν Kust. ὅσων] ὅσω A ὅσον ὧν Bekk. 26 καί om. GIT 28 τῇ] τὴν A 29 περιφέρῃ GM^{ac} περιφέρει rell. A(GITFSM)

Σ 2014 Ἀναπηρίαν: οὕτως Ἀριστοφάνης Πλούτῳ.

Σ 2015 Ἀνάπηρον ψυχήν: τὴν ἐπιβλαβῆ, μὴ ὑγιαίνουσαν, ἀλλὰ
Δ σεσινωμένην καὶ ἀχρείαν. καὶ Ἀνάπηρος, ὁ χωλός. ὁ καθ'
Rhet. ὑπερβολὴν πεπηρωμένος μέλει τινὶ τοῦ σώματος. Λυσίας ἐν τῷ περὶ
τοῦ διδομένου τοῖς ἀδυνάτοις ὀβολοῦ· καὶ τί κωλύει ὑμᾶς μὲν ὠφελεῖ- 5
σθαι τῷ ὀβολῷ, ὡς ὑγιεῖς ὄντας, τούτῳ δὲ ψηφίσασθαι ἐάσαντας ὡς
Ε ἀναπήρῳ; ὁ δὲ δέσμιος ἐς μέσον παραγίνεται ῥῖνα καὶ ὦτα ἀνάπηρος,
παιγνίων τε γεγονὼς παρανάλωμα.

2016 Ἀναπιδύει τὸ ὕδωρ.

Σ 2017 Ἀναπίμπλαται: ἀναπληροῦται. 10

Σ 2018 Ἀναπίπτειν: οὐ τὸ κατακλίνεσθαι, ἀλλὰ τὸ μεταμέλεσθαι καὶ
μετατίθεσθαι καὶ ἀποκνεῖν. Θουκυδίδης α'· καὶ νικώμενοι ἐπ' ἐλάχιστον
ἀναπίπτουσιν.

Σ 2019 Ἀναπίπτειν τὸ ἀθυμεῖν λέγεται παρὰ τοῖς παλαιοῖς. ἀνα-
πίπτειν ἐπὶ ψυχῆς ἐστιν, οἷον ἀθυμεῖν, ὀλιγωρεῖν. Κρατῖνος δὲ ἐπὶ 15
τῶν ἐρετῶν κέχρηται τῇ λέξει, ἐρεσσόντων καὶ ἀνακλινομένων. καὶ
Δ Ἀναπεσεῖν, ἀνακλιθῆναι.

Soph. 2020 Ἀναμπλάκητοι: αἱ εἰς μηδὲν ἁμαρτάνουσαι, ἀλλὰ πάντων
κρατοῦσαι. ἢ ἄφυκτοι, ἀπλάνητοι, ἀπροσπέλαστοι, ἀφανεῖς, ἃς οὐκ
ἔστιν ἀποφυγεῖν. Σοφοκλῆς· δειναὶ δ' ἄμ' ἔπονται κῆρες ἀναμπλάκητοι. 20
τούτεστι τοῦ Λαΐου.

Σ 2021 Ἀνάπλασμα: σχῆμα.

Synt. 2022 Ἀναπλάττομαι· αἰτιατικῆ· καὶ Ἀναπλάττω· αἰτιατικῆ.

Δ 2023 Ἀνάπλεως: ἔμπλεως.

Σ 2024 Ἀναπλήσας: ἀναπληρώσας. ὁ δὲ Πλάτων ἀντὶ τοῦ μολύνας. 25

2025 Ἀναπνέοντες: ἐν νῷ ἔχοντες. καὶ οἱ μὲν ἀναπνέοντες
Ε τὰ τοῦ βασιλέως ἐπιτάγματα διέβαινον, οἱ δὲ βάρβαροι καίπερ σιγῇ
προσιόντας ᾔσθοντο.

Σ 2026 Ἀναποδίζειν: τὸ ἐξετάζειν, ὡσανεὶ συγκρούειν. Ἡρόδοτος.

Harp. καὶ Ἀναποδιζόμενα, ἀντὶ τοῦ ἐξεταζόμενα. ἢ ἀντὶ τοῦ ἄνωθεν 30
πολλάκις τὰ αὐτὰ λεγόμενα ἢ πραττόμενα.

Suid. 2027 Ἀναπόδοτος· ὅτι ἡ δωρεὰ δόσις ἐστὶν ἀναπόδοτος, ἡ δὲ δόσις γένος
τῆς δωρεᾶς.

2014 cf. Bk. 78, 11, Phryn. 13, 4; Ar. fr. 445 2015 — ἀχρείαν = P cf. Et. M. 98, 45 (in Pl. Rep. 7, 535 d) ἀνάπηρος ὁ χωλός = Ambr. 1819 ὁ καθ'— σώματος Bk. 216, 15 cf. 183, 13; Lys. (— ἀναπήρῳ) 24, 13 ὁ δέ sq. Th. Simoc. 5, 5, 8 2017 = P, Ba 84, 16 2018 = P cf. Eust. O. 1641, 6, Ath. 1, 23 b; Thuc. 1, 70, 5 2019 — παλαιοῖς = P; ἀναπίπτειν alt.—λέξει = Ath. 1, 23 b cf. Eust. O. 1641, 6; Cratin. fr. 345 2020 Soph. OT 471—2 c. sch. 2021 = P, Ba 84, 17 2022 ἀναπλάττω sq. = Synt. Laur. 2023 cf. Ambr. 2328 2024 = P; — ἀναπλήρωσας = Ba 84, 18 cf. Ambr. 2150 = 2167 2026 — Ἡρόδοτος (5, 92, 6) = P, Et. Sym. (ed. Gsf. 267 g = Zon. 207) cf. H Bk. 210, 31 ἀναποδιζόμενα sq. Harp. = An. Ox. 2, 489, 19, P

2018—9 Z 204 2020 Z 181 2027 ex v. δωρεά

A(GITFSM) 1 Πλούτῳ S Πλούτωνι rell. 5 διδομένου] διαδιδομένου S διδομένου καί F 12 α' AM om. rell. 14 λέγεται om. SM 18 et 20 ἀναμπλάκητοι] ἀναπλάκητοι Soph. 23 αἰτιατικῆ pr. AGI om. M αἰτιατικῆ alt. AM om. GI 27 σιγῇ] ἐν γῇ GIT 2027 om. TFS mg. AM

2028 Ἀναπόδραστον: ἄφευκτον. καὶ Ἀναποδράστους, τοὺς Σ
μὴ δυναμένους φεύγειν.
2029 Ἀναποθήσεται: καταποθήσεται. Δ
2030 Ἀναπολεῖ: ἀναμιμνήσκεται. τάττεται δὲ καὶ ἐπὶ τοῦ μη- Σ
ρυκίζεσθαι. Αἰλιανός· μόνος ὁ θαλάσσιος σκάρος τὴν τροφὴν ἀναπολεῖ,
ὥσπερ καὶ τὰ βληχητά, ἃ δὴ μηρυκᾶται.
2031 Ἀναπολεῖ: ἀναπτύσσει. καὶ παροιμία· ἂν ἀπολῇς τοὺς Prov.
ὤμους ὕδωρ πτίσσων, ὁμοίως ὕδωρ μένει· ἐπὶ τῶν ἀνήνυτα πονούν-
των. καὶ Ἀναπόλησις θηλυκόν.
2032 Ἀναποληκοῦν· τὸ εἴδωλον κροτοῦν τοῖς δακτύλοις, ἀνακροταλοῦν, ὥστ' Suid.
ἀναποληκοῦν τοῖς δακτύλοις· καὶ ζήτει ἐν τῷ Σαρδανάπαλος.
2033 Ἀναπόμπιμα δῶρα: τὰ ἀποστρεφόμενα. Σ
2034 Ἀναπόνιπτος: μὴ νιψάμενος μηδὲ πλύνας τὰς χεῖρας, ἀλλ' Ar.
ἀκάθαρτος. κᾆτ' ἐπιπιὼν τὸν ζωμὸν ἀναπόνιπτος λαρυγγιῶ τοὺς
ῥήτορας. καὶ Ἀναπόνιπτρον, ἀνεξάλειπτον. Σ
2035 Ἀναπρήσας: ἀνακαύσας. ἀναφυσήσας. Δ Hom.
3036 Ἀνάπταιστον: τὸ μὴ πταῖον. Δ
2037 Ἀνάπτειν: περιτιθέναι ἢ ἀντιτιθέναι. Σ
2038 Ἀναπτήτω: πετασθήτω. Σ
2039 Ἀνάπτυξις: ἑρμηνεία, διασάφησις. καὶ Ἀναπτύξω, ἀντὶ Σ
τοῦ ἐπιδείξω. Εὐριπίδης.
2040 Ἀνάποινος: ἄνευ λύτρων. Σ
2041 Ἀνάπυστα: ἔκπυστα, δῆλα. θάνατος Σθενεβοίας ἀνάπυστος ΣE
ἐγένετο. ἀντὶ τοῦ φανερός. Ἀνάπυστον δὲ τὸ ἀνήκοον. Δ
2042 Ἀναρᾶσθαι: ἀντὶ τοῦ διαλύειν τὴν γενομένην ἀράν. οὕτως Σ
Καλλισθένης.
2043 Ἀνάργυρος: ὁ ἀργύριον μὴ κεκτημένος, εἰ καὶ εἴη αὐτῷ Rhet.
ἱκανὴ οὐσία ἐξ ἑτέρων κτημάτων. Λυσίας ἐν τῷ περὶ τῆς Ἐπιγένους

2028 = Ba 84, 21 cf. H; — ἄφευκτον = P 2029 = Ambr. 2134 2030 — ἀναμιμνήσκεται = P, Ba 84, 20 μόνος sq. Aelian. hist. an. 2, 54 2031 ἂν ἀπολῇς—πονούντων = Philol. Suppl. 6, 258 n. 140 2033 = P 2034 — ῥήτορας Ar. Eq. 357—8 c. sch. ἀναπονίπτρον sq. = P, Ba 84, 23; H v. ἀναποτρίπτον 2035 — ἀνακαύσας cf. Ambr. 2149 ἀναφυσήσας sch. I 433 = P cf. H 2037 = P, Ba 84, 25 2038 = P, Ba 84, 24 2039 = P; — διασάφησις = Ba 84, 26; Eur. Her. 1256 2040 = Ba 84, 19, P, gl. Hom. Urb. 157 2041 — δῆλα = Ba 84, 27, P θάνατος—ἐγένετο Nic. Dam. fr. 9, FGrHist 2 = EV 1, 337, 1 2042 = P; Callisth. fr. 49 2043 — κτημάτων = Bk. 216, 9; Lys. fr. 93

2030—1 hinc v. σκάρος 2031 Paroem. hinc v. ὕδωρ παραρρέει 2032 ex v. Σαρδανάπαλος

7 ἂν ἀπολῇς] ἀναπολῇς F ἀναπολούς S ἀναπολεῖς rell. 8 πτίσσων S (τύπτων add. A (GITFSM)
mg.) cf. sch. Luc. 247, 13, πτύσσων A πίσσων M πίπτων F πίνων GIT πτύσεις Paroem.
9 καί—θηλυκόν om. FS, supra l. 2030 M καί om. GIT θηλυκόν om. GIT
2032 om. GTF mg. A, post vs. 8 πονούντων IM 10 Ἀναποληκοῦν] καὶ ἀ. A
11 καί AM om. IS 15 ἀναπόνιπτρον AFS Phot. ἀναπόνιπτον GITM 16 ἀνα-
καύσας GIT cf. Ambr. ἀνακλαύσας rell. 18 ἀντιτιθέναι] ἀνατιθέναι Phot. Ba
23 Ἀνάπυστα] Ἀνάπτυστα GI Phot. cf. Hes. ἔκπυστα] ἔκπτυστα GI

διαθήκης· ἐπειδὴ τοίνυν Ἐπιγένης ἀσθενὴς τριηραρχεῖν ἠναγκάζετο, ἀνάργυρος ὢν καὶ τῆς γῆς τῶν πολεμίων κρατούντων.

Ar. 2044 Ἀναρρηγνύς: πλάττων, κατασκευάζων, συντιθείς. Ἀριστοφάνης· ἐλαςίβροντ' ἀναρρηγνὺς ἔπη. ἔχεται δὲ καὶ τοῦτο ἐμφάσεώς τινος μείζονος.

Σ 2045 Ἀναρρηθῆναι: ἀνακηρυχθῆναι. καὶ Ἀνάρρημα, κήρυγμα.

E καὶ Ἀνάρρηςις, ἀναγόρευςις. τοὺς μὲν ἀναρρήςεων καὶ στεφάνων ἀξιοῖ, τοὺς δὲ διηνεκεῖ παραπέμπει τιμωρίᾳ.

Soph. 2046 Ἀναρίθμητος: ἄπειρος. Σοφοκλῆς· ἄπανθ' ὁ μακρὸς κἀναρίθμητος χρόνος φύει τ' ἄδηλα καὶ φανέντα κρύπτεται. καὶ Ἀνά-

Anth. ριθμοι, πλεῖστοι, ἄπειροι. εἷς ἐμοὶ ἄνθρωπος τρισμύριοι· οἱ δ' ἀνάριθμοι οὐδείς. ταῦτ' αὐδῶ καὶ παρὰ Περσεφόνῃ, φηςὶν Ἡράκλειτος.

Σ+Δ 2047 Ἀναρριπτεῖν καὶ Ἀναρρίψαι: ἀναλαμβάνειν. ὥςτε πρὸς

E τῇ αἰςχύνῃ, ἣν πρὸ τοῦ καταλιπεῖν τὸν χάρακα ἠνέγκαντο, καὶ κίνδυνον οὐ τὸν ἐλάχιστον αὐτοὺς ἀναρρίψαι, σκοτίους ἀπιόντας διὰ

Σ τῆς πολεμίας. καὶ Ἀναρρίπτειν, μεταμελεῖςθαι, μετατίθεςθαι.

Σ 2048 Ἀνάριστος: μᾶλλον δὲ ἀναρίστητος. Ἀριστοφάνης Πολυίδῳ· διὰ τῆς ἀγορᾶς τρέχω ἀναρίστητος ὤν. Ἄλεξις Καταψευδομένῳ· πάντως ἀναρίστητος οὐ δυνήςομαι διακαρτερῆςαι τηλικαύτην ἡμέραν. Ἀντιφάνης Λευκαδίῳ· ἐνταῦθα ἀναρίστητος εὐθὺς κιθαριεῖ. Τιμοκλῆς Νεαίρᾳ· ἔπειτα τὸ διά τε ταῦτ' ἀναρίστητος ὤν. Μένανδρος δὲ ἀνάριστον. καὶ Ἀνάριστους, μήπω ἡριστηκότας. βουλό-

E μενος ἀναρίστους καὶ πρὸς τὸ μέλλον ἀπαρασκεύους λαβεῖν τοὺς ὑπεναντίους.

Σ 2049 Ἀναρριχᾶςθαι: τὸ πρὸς ἄναντες ἐκβαίνειν ἅμα ταῖς χερςὶν ἀντιλαμβανόμενον καὶ ςτηριζόμενον. Ἀριστοφάνης Εἰρήνῃ· ἔπειτα λεπτὰ καὶ μακρὰ ποιούμενος, πρὸς ταῦτ' ἀναρριχᾶτ' ἂν εἰς τὸν

Δ οὐρανόν. καὶ Ἀναρριχώμενος, δραςςόμενος.

Σ 2050 Ἄναρθρα: ἀτύπωτα, ἀτράνωτα. λαμβάνεται δὲ ἐπὶ cυλλαβῆς λειπούςης ςτοιχεῖον, ἢ λόγου λείποντος cυλλαβήν.

2044 Ar. Eq. 624 c. sch. 2045 — ἀναγόρευcις = P, Ba 85, 4—6 cf. H, Et. M. 99, 3, Bk. 214, 26 τούς sq. fort. Aelian. 2046 ἄπανθ'—κρύπτεται Soph. Ai. 646—7 εἷς sq. Laert. D. 9, 16 = Anth. 7, 128, 1, 3—4 2047 ἀναλαμβάνειν = P, Ba 84, 28 ὥcτε—πολεμίας Dionys. Hal. 9, 4, 2 ἀναρρίπτειν alt. sq. = Ba 85, 7, P 2048 — Ἄλεξις + Μένανδρος ἀνάριστον = P; ἀναρίστητος cf. Et. Sym. (ed. Gsf. 266d), Ath. 2, 47e; Ar. fr. 454; Alexid. fr. 233; Antiphan. fr. 141; Timocl. fr. 24; Men. com. fr. 992 βουλόμενος sq. Polyb. 3, 71, 10 2049 — οὐρανόν = P; Ar. Pac. 69—70 (69 fort. ex Ar.) ἀναρριχώμενος sq. = Ambr. 2144 2050 = P, Ba 85, 1

2043 cf. v. Ἐπιγένης 2047 cf. 2310 2049 cf. 2313

A(GITFSM) 1 ἀcθενής] ἀcθενήcας Bekk. cf. Jahns Jb. 71, 795 ἠναγκάζετο] ἠγωνίζετο M 10 κρύπτεται] ἔπη λύει ss. κρύπτεται S ἐπιλύει ss. γρ. κρύπτεται M 14 ἀναρρίψαι] καὶ ἀπορρίψαι mg. add. A 18 Πολυίδῳ] Πολυείδῳ GIT Phot. 21 κιθαριεῖ] κιθαρεῖ GIT 22 Νεαίρᾳ Leopardi Νεαράν omnes τό del. Kust. 31 cυλλαβήν] cυλλαβῇ M^{oc} Ba

2051 Ἄναρκτον: τὸ ἀνυπότακτον. Σ
2052 Ἀνάρμοστος: ἀνακόλουθος, μηδενὶ ἁρμοζόμενος.
2053 Ἀνάρροπον: ὀπισθόρμητον. ἡ δὲ Φραγγικὴ δύναμις τοῖς E
Ῥωμαίοις ξυρραγεῖσα ἐξωθεῖ τε καὶ ἀνάρροπον τίθησι τὴν πεζικὴν
στρατιάν. καὶ Μένανδρος· κατιόντων τῶν Ἀβάρων κατ' ὀλίγους, E
οἱ στρατηγοὶ γνώμῃ ἐχρῶντο παραχρῆμα ἐπιθέσθαι σφίσι, κἀκ τούτου
ἀνάρροπον τιθέναι τὴν τῶν Ἀβάρων κατάρασιν.
2054 Ἀνάρπαστοι: οἱ ἀμύητοι, οἷς τελεταὶ καὶ ὄργια οὐκ ἐγένοντο. Σ
2055 Ἀνάρσια: ἃ οὐκ ἄν τις ἄραιτο ἄδικα. ὃν ἦν καταψευσά- Σ + Hom.
μενος ἔναγχος καὶ μεγάλα ἀνάρσια ἀνῃρημένος ἐκδίκως. E?
2056 Ἀνάρτησις: ἡ ἐπὶ ξύλου καθήλωσις. καὶ Ἀνάρτησον, ΔΣ
κρέμασον. καὶ Ἀναρτώμενος, κρεμώμενος. Προκόπιος· ὁ δὲ Δ
ἐπανῆκεν ἐπιστολὴν ἔχων ταῖς ὁμοίαις ἐλπίσιν αὐτοὺς ἀναρτῶσαν. E
2057 Ἀναρροιβδεῖν: ἀναρροφεῖν. Σ
2058 Ἀναρρύει: ἀντὶ τοῦ θύει καὶ σφάττει. Εὔπολις. καὶ ἡ θυσία Σ
δὲ ἐπανάρρυσις. καὶ Ἀνάρρυσις, κυρία τῶν Ἀπατουρίων ἡμέρα. Ar.
Ἀπατούρια δὲ ἑορτὴ παρ' Ἀθηναίοις τὸ συμβὰν δηλοῦσα τῇ προσ-
A(GITFSM) 3 καί A om. I 4 Ἀνίσχαδον] Ἀνίσχαλον Et. et v. σχαλίσαι 5 ἀνατέλλων] ἀναστέλλων A 2485 om. GTFS post l. 2486 I 11 Ἀνθέμιος] Ἀνθέμις A 2488 ex I 14 ἀναθεματικόν om. TS, Σ° 19 καί—21 ἰέναι om. TF mg. A 20 ὡς] καί A Αὔγαρος GSM^{ac} Ἄγβαρος AIM^{γρ} cf. v. ὑφηγήσονται 23 ξυναγάγοι AF ξυναγάγῃ rell. cf. Ar. 28 ὡρῶν] ὁρῶν S Ba

'Αριστα γόρας Μαμμακύθῳ. οὕτως δὲ καὶ βελέων καὶ ὀρέων καὶ ἕτερα πλείονα Ξενοφῶν διαιρεῖ.

2495 'Ανθέξεται: ἀντιλήψεται. καὶ ἀνθέξεται κρίματος ἡ χείρ μου. Σ |

2496 'Ανθερεών: ὁ ὑπὸ τὸ γένειον τόπος, λάρυγξ. Σ

2497 'Ανθέρικες: αἱ τῶν σταχύων προβολαί. τὰ ἄκρα. Ἡρόδοτος δὲ τοὺς καυλούς φησι τῶν ἀσφοδέλων. εἰσὶ δὲ ἄθραυστοι. ΣΔ Hdt.

ἢ 'Ανθερίκων, ἀνθηρῶν ἢ λαμπρῶν. Σ

2498 'Ανθ' ἕρματος πολλὰς καταπεπωκὼς δίκας: ἀντὶ λίθου· ἐπεὶ αἱ γέρανοι πετόμεναι ἐν τῷ στόματι ψήφους φέρουσι στηρίγματος ἕνεκα, πρὸς τὸ μὴ παραφέρεσθαι ἀνέμοις. Ar.

2499 'Ανθ' Ἑρμίωνος: ἐπὶ τῶν ὁμοίως ἱερὰ διασῳζόντων. Ἑρμιόνη γὰρ ἐν Πελοποννήσῳ πόλις Κόρης καὶ Δήμητρος ἄσυλος, ὥστε σκέπην παρέχειν τοῖς ἱκετεύουσιν. Σ

2500 'Ανθεστηριών: ὄγδοος μήν ἐστι παρ' 'Αθηναίοις, ἱερὸς Διονύσου. κεκλῆσθαι δὲ αὐτὸν οὕτως, διὰ τὸ πλεῖστα τῶν ἐκ γῆς ἀνθεῖν τότε. Harp.

2501 "Ανθεια: πόλις. καὶ ὄνομα ἑταίρας. τινὲς δὲ ἀντὶ τοῦ διὰ τοῦ θῆτα διὰ τοῦ τ "Αντεια γράφουσιν. Δ Harp.

2502 'Ανθείλοντο: προέκριναν. Δ

2503 'Ανθεινός: ὁ ἐξ ἀνθέων· καὶ ὁ καιρός. Δ

2504 "Ανθεια: ἐπίθετον "Ηρας. Δ

2505 "Ανθη: μία τῶν 'Αλκυονίδων. καὶ ζήτει ἐν τῷ 'Αλκυονίδες. Suid.

2506 'Ανθηδονιάς: ἀπὸ 'Ανθηδόνος οἶνος. Suid.

2507 'Ανθήλιος: ἡ σελήνη· καὶ τὸ ἀποσκίασμα τῆς τοῦ ἡλίου ἀντ-αυγείας· ἐνίοτε δὲ καὶ τὸ μίμημα ἢ ἀντάλλαγμα, ὡς Θεόπομπος. σημαίνει δὲ καὶ τὰ ἐπισκοτοῦντα τῷ ἡλίῳ νέφη, ἃ καὶ 'Ανθήλια καλεῖται. Σ

2495 — ἀντιλήψεται = P, Ba 97, 2 cf. H, An. Ox. 2, 470, 5 (in Deut. 32, 41) καί sq. Deut. 32, 41 2496 = Ba 97, 3, P; — τόπος = H, Ap. S. 30, 30 cf. Bk. 215, 14, sch. A 501; Ambr. 1844 2497 — προβολαί = P, Ba 97, 4 cf. H ἄκρα cf. H, Lex. αἰμ. 619, 10, Ambr. 1837, Et. M. 109, 1 Ἡρόδοτος—ἄθραυστοι gl. Hdt. 4, 190 cf. Et. M. 109, 4; καυλούς—ἀσφοδέλων cf. P, Ba 97, 6, sch. DA ad Υ 227, H ἀνθερίκων sq. = P, Ba 97, 5 2498 Ar. Av. 1429 c. sch. 2499 cf. Zen. II 22 (Ar. fr. 87); Paus. Att. attr. Wentzel; Ἑρμιόνη—ἄσυλοι cf. P v. Ἑρμιόνη, Bk. 256, 15 2500 Harp. = P, Ba 97, 23 2501 — πόλις = Ambr. 2040 cf. H ὄνομα sq. Harp. = Ba 97, 18, P cf. Ath. 13, 586e 2502 = Ambr. 2183 cf. H 2503 cf. Ambr. 1821 2504 cf. Stud. An. 269, Et. M. 108, 47; Ambr. 2081 v. "Ανθειρας 2507 = P, Ba 97, 14; — σελήνη cf. H; Theopomp. com. fr. 83 (1, 754 K.)

2498 hinc v. Γ 184 fin.; cf. v. ἕρμα 2501 cf. 2644, partim hinc 2505 ex 1298 2506 ex 1268 2507 Z 184 et 192

1 ὀρέων] ὡραίων AIT 5 σταχύων] ἀσταχύων GTS Et. 6 ἄθραυστοι] A(GITFSM) εὔθραυστοι gl. Hdt. cf. Et. 8 καταπεπωκώς] καταπεπτωκώς IS cf. v. ἕρμα 9 αἱ] οἱ S πετόμεναι A, v. Γ 184, v. ἕρμα, πετόμενοι rell. 11 Ἑρμίωνος] Ἑρμίονος IM^{ac} 17 ἀντί—18 θῆτα om. S cf. Phot. διὰ τοῦ AGI Harp. om. TFM Ba 20 ὁ ἐξ] ἐξ GI 2505 om. GTSF mg. post 2506 A 2506 om. TFS mg. A post 2503 G

E 2508 Ἀνθηρά· Ξενοφῶν· ὥσπερ ἐν τοῖς μουσικοῖς τὰ νέα καὶ τὰ
Ar. ἀνθηρὰ εὐδοκιμεῖν. τῶν ὀρνέων τὰ μὲν χρήσιμα καὶ ἀνθηρὰ κατὰ
τοὺς οἴκους ἀνατρέφομεν, τὰ δὲ μὴ ἀνθηρὰ ἐσθίομεν. Ἀριστοφάνης
Ἀχαρνεῦσιν· εἶδες, ὦ πᾶσα πόλι, τὸν φρόνιμον ἄνδρα, τὸν ὑπέρσοφον,
οἷον ἔχει σπεισάμενος ἐμπορικὰ χρήματα διεμπολᾶν· ὧν τὰ μὲν ἐν
οἰκίᾳ χρήσιμα, τὰ δ' αὖ πρέπει χλιαρὰ κατεσθίειν.
Σ | 2509 Ἀνθῃρημένος: ἀντιλαμβανόμενος. ἢ προκεκριμένος.
2510 Ἀνθηρός· σταθερὸς δέ.
Σ 2511 Ἄνθης: ἀνθήσεως.
Δ 2512 Ἀνθίας: ὄνομα ἰχθύος.
ΔΣ 2513 Ἀνθίνη: πόλις· καὶ ἡ ἐπωμίς. καὶ Ἄνθινον, ἀνθηρόν,
Δ βαπτόν. καὶ Ἄνθινος χιτών, καὶ ἡ τροφή.
Σ 2514 Ἀνθιππασία: ὁ ἱππικὸς ἀγών.
Σ 2515 Ἀνθίσασθαι μουσικῆς· καὶ Ἠνθισμένοι μουσικῆς, οἱ
ἠθροικότες τὰ ἄνθη τῆς μουσικῆς.
Synt. 2516 Ἀνθίσταμαι· δοτικῇ.
2517 Ἀνθομολογησόμεθα: ἀντὶ τοῦ εὐχαριστήσομεν. Δαβίδ·
Thdr. ἀνθομολογησόμεθά σοι ὁ θεός. ὑπὲρ τῆς εὐεργεσίας ὁμολογοῦμεν χά-
ριτας καὶ ἀναγράπτους ταύτας ποιήσομεν. καὶ Ἀνθωμολογεῖτο,
E διηγεῖτο. ὁ δὲ ἀνθωμολογεῖτο πρός τινας τῶν ἐν Ῥώμῃ μετὰ
ταῦτα μηδὲν ἑωρακέναι φοβερώτερον καὶ δεινότερον φάλαγγος Μακε-
δονικῆς. καὶ αὖθις· ταῦτα μὲν οὖν ἀνθωμολογήσαντο πρὸς ἀλλή-
λους. ἀντὶ τοῦ συνέθεντο, συνεφώνησαν. καὶ αὖθις· περὶ Σω-
κράτους τάδε ἐγράψατο καὶ ἀνθωμολογήσατο Μέλητος.
Σ 2518 Ἀνθοσμίας: εὐώδης οἶνος. εὔοσμος. ἀπὸ τόπου Ἀνθο-
Ar. σμίου· ἢ ὡς ἀπὸ εἴδους ἀμπέλου, ἢ ἡδὺς καὶ περίοσμος καὶ ἀνθηρός.
Ἀνθοσμίας, εὐώδης οἶνος, ἐγκειμένου τοῦ ἄνθους καὶ τῆς ὀσμῆς.
παραγώγως Ἀνθόσμιος, Ἀνθοσμίας· τὸν δὲ χυδαῖον οἶνον καρηβαρίτην
ἔλεγον. Ἀριστοφάνης Βατράχοις· Διόνυσε, πίνεις οἶνον οὐκ ἀνθοσμίαν.
Σ ἀντὶ τοῦ μεθύεις, κραιπαλᾷς, σκληρὸν οἶνον πίνων. Ἄνθος λέγε-
ται καὶ ἡ λευκὴ θρίξ, ἔνθεν καὶ φάλανθος, ὁ φαλακρός.

2508 — εὐδοκιμεῖν Xen. Cyr. 1, 6, 38 τῶν sq. Ar. Ach. 971—5 c. sch. 2509 — ἀντιλαμβανόμενος = Ba 97, 7, H 2511 = P, Ba 97, 13 cf. Phryn. 19, 6, Thom. 2512 = Ambr. 1849 b; Ath. 7, 282 a 2513 — πόλις cf. Harp. v. Ἀνθήνη; ἐπωμίς = Ambr. 2016 ἄνθινον—βαπτόν = P, Ba 97, 8, H ἄνθινος χιτών = Ambr. 1820 2514 = Ba 97, 27 cf. H 2515 = P, Ba 98, 1, Phryn. fr. 221 2516 = Synt. Laur. et Gud. 2517 Δαβὶδ—ποιήσομεν Thdr. in Ps. 78, 13, PG 80, 1509 a b ὁ—Μακεδονικῆς Polyb. 29, 17, 1 περί sq. Laert. D. 2, 40 2518 — vs. 25 οἶνος = Σ^c, P, Ba 97, 9 cf. Phryn. 37, 1 εὔοσμος + τὸν δὲ χυδαῖον—ἔλεγον sch. Ar. Pl. 808; ἡδύς = Phryn.; vs. 27 Ἀνθοσμίας—vs. 28 Ἀνθοσμίας + Ἀριστοφάνης—πίνων Ar. Ran. 1150 c. sch. ἄνθος sq. = P v. φάλανθοι, Ba 402, 29

2518 cf. v. καρηφαρίτης et v. φάλανθος

A(GITFSM) 3 ἀνατρέφομεν] ἀναστρέφομεν AGIT 2510 ex A, bis mg. ad 2508; post 2505 I 19 ποιήσομεν] ποιήσωμεν AI 24 Μέλητος A Μέλιτος rell. post 2517 ἄνθος—φάλακρος (vs. 30—31) bis add. A; ἄνθεια λέγεται καὶ ἡ λευκὴ θρίξ add. G 28 καρηβαρίτην GITM sch. καρηφαρίτην AFS s. v.

2519 'Ανθ' ὅτου: ἀνθ' οὑτινος. Σ

2520 'Ανθῶ ἀεί. Δ

2521 Ἄνθρακες ὁ θησαυρὸς ἦσαν: παροιμία ἐπὶ τῶν ἐλπιζόντων Σ μὲν ἀγαθὰ, κακουμένων δὲ ἀφ' ὧν ἦν αὐτοῖς ἡ τῶν ἀγαθῶν ἐλπίς.

2522 Ἄνθρακι βαίνειν ἐχθρικὴν δηλοῖ βλάβην. On.

2523 'Ανθρακιά: πεπυρακτωμένοι ἄνθρακες. Ὅμηρος· ἀνθρακιὴν Δ στορέσας ὀβελοὺς ἐφύπερθε τάνυσσε. καὶ ἐν Ἐπιγράμμασι· τρῖγλαν Anth. ἀπ' ἀνθρακιῆς καὶ φυκίδα σοὶ λιμενῆτιν, Ἄρτεμι, δωρεῦμαι. καὶ 'Ανθρακίδες, λεπτοὶ ἰχθύες ὀπτοί· καὶ πάντα τὰ ἐπ' ἀνθράκων Ar. ὀπτώμενα οὕτω λέγονται. καὶ 'Ανθράκιον, βραχὺ τριποδίσκιον Σ παρὰ 'Αλέξιδι.

2524 'Ανθρήνη: εἶδος σφηκὸς ἡ ἀνθρήνη. καταχρῶνται δὲ οἱ Δ ποιηταὶ καὶ ἐπὶ μελισσῶν. καὶ 'Ανθρήνια· ἐξελεῖν ἡμῶν πρὸς βίαν Ar. + Σ τἀνθρήνια. τὰς μελίσσας δηλονότι. τῷ ὀφθαλμῷ κεντούμενος ὥσπερ ὑπ' ἀνθρηνῶν, ὑπὸ τῶν γνωμῶν ἀπολεῖται. συγγενής ἐστι τῇ μελίσσῃ ἡ ἀνθρήνη, σφηκὶ παραπλησία. καὶ τὸ πλάσμα ἀνθρήνιον.

2525 'Ανθρωπαρέσκια: ἡ πρὸς ἀνθρώπους σπουδή. Δ

2526 'Ανθρωπεία φύσις. Σ

2527 'Ανθρωπίζω: τὰ τῶν ἀνθρώπων φρονῶ. Δ

2528 'Ανθρώπινον. δῆθεν διωκομένην ὑπό τινων τὴν ἑταίραν Δ καταφυγεῖν εἰς τὸ οἰκίδιον· τὸν δὲ ἕνεκα τοῦ ἀνθρωπίνου εἰσδέξασθαι αὐτήν. καὶ 'Ανθρωπινώτερος. Δ

2529 'Ανθρωπίως: ἀντὶ τοῦ συμμέτρως παρὰ 'Αριστοφάνει ἐν Βα- Ar. τράχοις. καὶ 'Ανθρωπίνως, ἀντὶ τοῦ καρτερικῶς, ὑπομονητι- Δ κῶς. Πολύβιος· συμβέβηκε τὰς μὲν ἐν ταῖς ἐπιτυχίαις ἐξουσίας μὴ EV δύνασθαι φέρειν ἀνθρωπίνως, ἐν δὲ ταῖς περιπετείαις εὐλαβῶς ἵστασθαι καὶ νουνεχῶς.

2530 'Ανθρωποδαίμονες· δαίμονες ὄντες ἀνθρώπειόν τε ἠμπέ- E σχοντο σῶμα, καὶ ἀνθρωποδαίμονες γεγενημένοι τῷ τρόπῳ τούτῳ ξύμπασαν κατέσειραν τὴν οἰκουμένην.

2519 = P, Ba 97, 10 2520 cf. Ambr. 2280 2521 = P 2522 Astr. 2523 ἀνθρακίην—τάνυσσε I 213 τρῖγλαν—δωρεῦμαι Anth. 6, 105, 1—2 ἀνθρακίδες—λέγονται sch. Ar. Ach. 670 ἀνθράκιον sq. = P, Ba 98, 3 cf. H; Alexid. fr. 134 (2, 345 K.) 2524 καταχρῶνται—μελισσῶν sch. Ar. Nu. 947; ἐξελεῖν—δηλονότι Ar. Vsp. 1080 c. sch. cf. Phryn. 34, 9; τῷ—ἀνθρήνη Ar. Nu. 947—8 c. sch.; ἀνθρήνη sq. = P cf. Ba 97, 28, H; σφηκὶ παραπλησία sch. Ar. Vsp. 1080 2525 = Ambr. 2062 2526 = P cf. Thom. 2527 l. = Ambr. 2299 2528 δῆθεν—αὐτήν Laert. D. 4, 7 ἀνθρωπινώτερος cf. Bk. 78, 26, Ambr. 1950 2529 συμμέτρως sch. Ar. Ran. 1058 συμβέβηκε sq. Polyb. 18, 33, 4 = EV 2, 159, 23—25 2530 Proc. h. a. 12, 14

2522 cf. post v. καρβάσιναι 2523 Z 185; Anth. hinc v. δωρεῦμαι, v. τρῖγλα, v. φυκίδα ἀνθράκιον sq. hinc v. τρίπος 2524 cf. 753

7 ἐφύπερθε AF ἐφύπερθεν rell. 10 λέγονται] λέγεται F 11 'Αλέξιδι] A(GITFSM) 'Αλέξιδος AF 14 τῷ ὀφθαλμῷ] τὸν ὀφθαλμόν A 17 'Ανθρωπαρεσκία FS Ambr. Laur. 59, 16 'Ανθρωπαρεσκεία rell. 23 'Ανθρωπίως AFSM^{ac} 'Ανθρωπείως GITM^{pc} 25 τάς AF Exc. τούς rell. 29 τῷ τρόπῳ τούτῳ AFM Proc. τῶν τρόπων τούτων GI τὸν τρόπον τοῦτον T τοῦτον τὸν τρόπον S

Δ 2531 Ἀνθρωπόλεθρος: ὁ φονεύς.

2532 Ἄνθρωπος: τὸ προσηγορικόν. καὶ Ἄνθρωπος, ἴδιον
Phil. ὄνομα τοῦ ὀλυμπιονίκου πύκτου, οὗ ἐν Ἠθικοῖς Ἀριστοτέλης μνημονεύει. ἀλλ' ἔγωγε, ἔφην, ταύτης μόνης ἐπιδεῖσθαι νομίζω τῆς μαντικῆς τοὺς ἀνθρώπους εἶναι βουλομένους καὶ μὴ δίκην θηρίων ἔξω κεχηνέναι ἐς προνομὰς ἀπεράντους. οὕτω φησὶ Δαμάσκιος ὁ φιλόσοφος.

2533 Ἄνθρωπος αὐτὸς ἑαυτοῦ βελτίων γίνεται κατὰ πέντε τρόπους, πρῶτον μὲν ὁμιλίᾳ τῇ πρὸς θεόν· ἀνάγκη γὰρ προσιόντα αὐτῷ κατ' ἐκεῖνο καιροῦ χωρίζεσθαι πάσης κακίας, εἰς δύναμιν ὁμοιοῦντα ἑαυτὸν τῷ θεῷ· δεύτερον ἐν τῷ εὖ ποιεῖν· θεοῦ γὰρ τοῦτο καὶ θείας μιμήσεως· τρίτον ἐν τῷ ἀποθνῃσκειν· εἰ γὰρ κατὰ ποσόν τι ἡ ψυχὴ τοῦ σώματος ἐν τῷ ζῆν τὸ ζῷον χωριζομένη βελτίων γίνεται ἑαυτῆς, ἔν τε τοῖς ὕπνοις κατὰ τοὺς ὀνείρους καὶ ἐν ταῖς ἐκστάσεσι τῶν νόσων μαντικὴ γίνεται, πολλῷ μᾶλλον βελτιοῦται καὶ ὅταν τέλεον χωρισθῇ ἀπὸ τοῦ σώματος.

2534 Ἄνθρωπος οὐκ ἔχων εἰπεῖν ὄνομα πάππου, ἀλλ' οὐδὲ πατρὸς πλὴν ὅσον εἰκάσαι, ἀπὸ θυννοσκοπείου ἐπὶ τὴν ἡγεμονικὴν ἀπήνην ἁλάμενος.

EV 2535 Ἄνθρωπος· τὸ τῶν ἀνθρώπων γένος δοκοῦν πανουργότατον εἶναι τῶν ζῴων πολὺν ἔχει λόγον τοῦ φαυλότατον ὑπάρχειν. τὰ μὲν γὰρ ἄλλα ζῷα ταῖς τοῦ σώματος ἐπιθυμίαις αὐταῖς δουλεύοντα διὰ μόνας ταύτας σφάλλεται· τὸ δὲ τῶν ἀνθρώπων γένος καὶ προσδεδοξοποιημένον οὐχ ἧττον διὰ τὴν ἀλογιστίαν ἢ διὰ τὴν φύσιν ἁμαρτάνει.

Prov. 2536 Ἄνθρωπος ἀνθρώπου δαιμόνιον: παροιμία ἐπὶ τῶν ἀπροσδοκήτως ὑπὸ ἀνθρώπου σῳζομένων καὶ δι' αὐτῶν εὐδοκιμούντων.

Σ καὶ Ἄνθρωπος Εὔριπος, Τύχη Εὔριπος, Διάνοια Εὔριπος. ἐπὶ τῶν ῥᾳστα μεταβαλλομένων καὶ ἀσταθμήτων ἀνθρώπων.

Σ 2537 Ἄνθρωπος λυπησιλόγος: σημαίνει μὲν ὁ λυπῶν διὰ τὸ λέγειν τοὺς πέλας. Κρατῖνος.

2531 cf. Ambr. 1827 2532 ἄνθρωπος alt.—μνημονεύει Alex. Aphr. 114, 8—9; Aristot. Eth. Nic. p. 1147b 35 ἀλλ' sq. Dam. fr. 227 2533 vita Pyth. cf. Phot. bibl. p. 439a 8—19 2534 Synes. ep. 57, p. 197d 2535 Polyb. 18, 15, 15—16 = EV 2, 158, 28—159, 2 2536 — εὐδοκιμούντων = Zen. I 91 ἄνθρωπος Εὔριπος sq. = Ba 98, 8, P, Phryn. fr. 189 cf. Diogen. III 39, H v. εὔριπος 2537 = P, Ba 98, 6, Phryn. 13, 11; Cratin. fr. 343

2534 cf. v. θυννοσκοπῶν 2535 cf. 1812 et v. Δ 158 2536 hinc v. τύχη 4 et v. διάνοια Εὔριπος

A(GITFSM) 3 ὄνομα Bas. Alex. ὀνόματος omnes 5 εἶναι] εἶναι καὶ μὴ GIT 2533 non nov. gl. AT 2533—5 post 2539 M 8 πέντε] τρεῖς Port. Phot. ζήτει τοὺς λοιποὺς δύο τρόπους ss. in fine M 9 τῇ] τῆς GI 10 ἐκεῖνο TI^{ac}M Phot. ἐκείνου rell. 2534 non nov. gl. GITS 19 ἁλάμενος G^{ac}TSM ἀλλάμενος AF ἀλώμενος G^{ac}I 2535 non nov. gl. ITS 22 δουλεύοντα] δουλεύονται GIT 23 προσδεδοξοποιημένον] προσδεξοποιημένον A προσδεδοξοπεποιημένον GT 26 παροιμία om. IS 27 ἀνθρώπου] ἀνθρώπων S

2538 Ἄνθρωπος πρόδοξος: ὁ πρὶν ἢ σαφῶς ἐξετάσαι δοξάζων. Σ
2539 Ἄνθρωπος φιλοπραγματίας: ἐπὶ πολυπράγμονος. Σ
2540 Ἄνθροισκα: ἄγρια λάχανα παραπλήσια ἀνήθοις, οἷα καὶ τὰ μάραθρα. Σ
2541 Ἀνθυπομοσία: ἀντὶ τοῦ ὑπειπεῖν τῇ ὑπωμοσίᾳ. οὕτως Δημοσθένης κατὰ Ὀλυμπιοδώρου. Harp.
2542 Ἀνθυπουργῆσαι: τὸ ἀνταποδοῦναι χάριν. Σοφοκλῆς Κολχίσιν· ἢ φὴς ὑπομνὺς ἀνθυπουργῆσαι χάριν; ὅτι ὁ Ἀριστοτέλης τὴν ἀνθυφαίρεσιν ἀνταναίρεσιν εἴρηκεν. Σ Suid.
2543 Ἀνὰ κράτος ἐλαύνοντα: Ξενοφῶν, ἀντὶ τοῦ πάνυ ἐλαύνοντα. Σ
2544 Ἂν μὴ παρῇ κρέα, ταρίχῳ στερκτέον· παρεγγυᾷ ἡ παροιμία, ὅτι δεῖ τοῖς παροῦσιν ἀρκεῖσθαι. Suid.
2545 Ἀνοδίᾳ: ἐπίρρημα τοπικόν. οἱ δὲ πλείους ἀνοδίᾳ καὶ κατὰ τὰς νήσους διεσπάρησαν. Δ Ε
2546 Ἄνοδον: ἀδιέξοδον. Ξενοφῶν· τῇ μὲν γὰρ ἄνοδον, τῇ δὲ εὔοδον εὑρήσομεν τὸ ὄρος. Ε
2547 Ἀνόδοντον· Κοριάννοις Φερεκράτης· ἀνὴρ γέρων ἀνόδοντος ἀλήθει. Ε
2548 Ἀνόητα: τὰ ἀφροδίσια καὶ ἡ λαγνεία, τουτέστι μωρά. μωραίνειν γὰρ τὸ ἀφροδισιάζειν ἔλεγον. Ἀριστοφάνης· οἴνου τ' ἀπέχῃ καὶ τῶν ἄλλων ἀνοήτων. τουτέστι μωρῶν· ἢ ἀνοήτων, ἀνεπιστημόνων. Ar.
2549 Ἀνόθευτον: γνήσιον, ἀπαραποίητον· καθαρόν. Σ+Δ
2550 Ἀνόκαιον: τὸ ὑπερῷον οἴκημα. Ξενοφῶν ἐν Κύρου Ἀναβάσει καὶ τὸν κωμῳδοποιὸν οἱ περὶ Ἀντιφάνην. Σ
2551 Ἀνομβροῦσαι: ἀναβλύζουσαι. Σ
2552 Ἀνομένης: παυομένης, ἀνυομένης. Δ
2553 Ἀνομείτω: παρανομείτω. Δ
2554 Ἀν' ὅμιλον: κατὰ τὸ πλῆθος. Σ

2538 = P, Ba 98, 4 cf. Phryn. 8, 6 2539 cf. Phryn. 2, 1, P 2540 = Ba 98, 16, P cf. H ἀνθρίσκιον 2541 Harp. = An. Ox. 2, 489, 25, P, Ba 98, 11; Dem. 48, 25 2542 — χάριν alt. = Ba 98, 13, P; ἢ—χάριν Soph. fr. 315 2543 = Σ^a (p. VIIIb 6) 2545 οἱ sq. Polyb. 3, 19, 7 2546 Ξενοφῶν sq. An. 4, 8, 10 2547 = P, Ba 100, 4 cf. Poll. 2, 96; Pherecr. fr. 74 2548 Ar. Nu. 414 c. sch. 2549 — ἀπαραποίητον = P, Ba 100, 1 cf. H καθαρόν cf. Ambr. 1812b 2550 = Ba 100, 2, P cf. H; Xen. An. 5, 4, 29; Antiphan. fr. 312 (2, 131 K.) 2551 = P, Ba 100, 10, Σ^a 2553 aliter Ambr. 2188 2554 = P, Ba 100, 11, Σ^a, sch. Γ 449

2540 Z 192 2543 cf. 250 2544 ex 1828 cf. v. ταρίχη 2548 cf. v. τρίβωνα 2550 cf. 1819, 2582 2552 Z 223

5 Ἀνθυπομοσία] Ἀνθυπομόσαι Harp. ep. 7 Σοφοκλῆς—8 χάριν om. FS 8 ὅτι—9 εἴρηκεν ex I (post 2541), M 9 εἴρηκεν M λέγει I 2544 om. S 12 ταρίχῳ F, 1828, ταρίχῃ AG, s. v., ταρίχει I Bhd. ταρίχνες M cp. T 20 μωρά] μωρία A 24 Ἀνόκαιον F Ba (cf. Pehrsson Zur Textgesch. Xen. 155) cf. Phot. Ἀνόκεον Hes. Ἀνώγαιον I Ἀνάγαιον rell., 1819 25 τόν A Phot. Ba τῶν rell. κωμῳδοποιόν A Ba cf. Phot. κωμῳδωποιῶν S κωμοδοποιῶν F κωμῳδιοποιῶν GM Ἀντιφάνην] Ἀριστοφάνην GIM 26 Ἀνομβροῦσαι] Ἀνομηροῦσαι AF Ἀνομηρῶσαι S A(GITFSM)

Δ 2555 Ἄνομος: ὁ παράνομος. Ἄνωμος δὲ διὰ τοῦ ω μεγάλου, ὁ μὴ ἔχων ὦμον. ἐξ οὗ καὶ ἄνωμοι Πελοπίδαι οὕτω καλούμενοι. καὶ
Suid. ἀνωμότερος.
Σ + Soph. 2556 Ἀνόνητα: ἀνωφελῆ. τὰ γὰρ περιττὰ κἀνόνητα σώματα πίπτει βαρείαις πρὸς θεῶν δυσπραξίαις. οἷον ὁ Αἴας.
Δ 2557 Ἀνονόμαστος: ὁ μὴ ἔχων ὄνομα.
Σ 2558 Ἄνοντος: ἀνύοντος.
Hom. 2559 Ἀνόπαια: εἶδος ὄρνιθος.
Δ 2560 Ἀν' ὄπιν: εἰς πρόσωπον. κατόπιν.
2561 Ἄνοπτοι: ἀθέατοι. οἱ δὲ Ἕλληνες ἐπὶ θάτερα τῆς νήσου
E ὥρμηναν ἄνοπτοι τοῖς πολεμίοις.
Σ 2562 Ἀνοργίας: ἀμυήτους· ὄργια γὰρ τὰ μυστήρια. καὶ Ἀν-
Ar. οργιάστοις, τῶν μυστηρίων ἀπείροις. τὰ τῆς Ἀφροδίτης ἀνοργίαστά σοι ἐστίν. ἀντὶ τοῦ οὐκ ὠργίασας τῇ Ἀφροδίτῃ· ἀτέλεστά σοί ἐστιν.
Σ 2563 Ἄνοργοι: ἀντὶ τοῦ ἄνευ ὀργῆς. Κρατῖνος.
Δ 2564 Ἀνόρεκτος: ὁ μὴ ὀρεγόμενός τινος, ὁ πρὸς τὰ προσφερόμενα βρώματα ἀηδῶς διακείμενος.
Synt. 2565 Ἀνορθῶ· αἰτιατικῇ.
2566 Ἄνορον: τὸ ὀξύ.
Σ 2567 Ἀνορωρυγμένον, οὐχὶ ἀνωρυγμένον λέγουσιν. Μένανδρος Ὑδρίᾳ· εὐθὺς καταχρήσεσθαι τὸν ἀνορωρυγμένην ταύτην ἰδόντα.
Ar. 2568 Ἀνορταλίζειν· καὶ Ἀνωρτάλιζες, κούφως ὠρχοῦ, ἐπήρου, καὶ ταχέως ἐπίστευες πρὶν δοκιμάσαι. ὀρταλίζειν δὲ λέγεται ἐπὶ τῶν ἀρχομένων ἀναπτεροῦσθαι ὀρνέων. Ἀριστοφάνης· τούτοις ὁπότε χρήσαιτό τις προοιμίοις, ἀνωρτάλιζες κἀκερουτίας. ἀντὶ τοῦ μετεωρίζου καὶ μέγα ἐφρόνεις. ἀπὸ δὲ τῶν κερατοφορούντων ἡ λέξις.
Σ 2569 Ἀνόσιον: βέβηλον, ἀνίερον, ἄθυτον. Αἰλιανός· ὁ δὲ τὰ
E ἄλλα ὢν ἀνόσιος τοῦτο γοῦν πείθεται τῷ θεῷ. καὶ Ἀνοσιώ-
Δ τατος, ὁμοίως.

2555 — παράνομος = Ambr. 1817 cf. H; ἄνωμος sq. cf. Ambr. 1816 2556 — ἀνωφελῆ cf. P 152, 7, H, Ambr. 2114, Ba 107, 2, Σ[a]; τά—δυσπραξίαις Soph. Ai. 758—9 2557 cf. Ambr. 1860 2558 = Ba 100, 13 cf. sch. Ar. Vsp. 369, H 2559 sch. α 320 cf. H, Ambr. 1995 2560 — πρόσωπον = Ambr. 2329 2562 = P, Ba 100, 15, 16, Σ[a] τὰ τῆς sq. Ar. Lys. 898 c. sch. 2563 = P, Ba 100, 14; Cratin. fr. 385 2564 — ὀρεγόμενος = Ambr. 1843 2565 = Synt. Laur. 2567 = Ba 99, 28; Men. com. fr. 468 2568 Ar. Eq. 1343—4 c. sch. 2569 — ἄθυτον = P, Σ[a], Ba 100, 18 ὁ—θεῷ Aelian. fr. 106 ἀνοσιώτατος = Ambr. 1947

2555 cf. 2591, hinc καὶ ἀνωμότερος 2557 cf. 2594 2568 hinc v. κἀκερουτίας

A(GITFSM) 2 καὶ ἀνωμότερος ex IT 6 Ἀνονόμαστος] Ἀνωνόμαστος A[ac]SM[ac] 9 κατόπιν ex S 12 Ἀνοργίας] Ἀοργία (Ἀνοργία I) καὶ ἀνοργία GIT 2566 om. GTF mg. A post 2567 I post 2575 S 22 Ὑδρίᾳ A Ὑδρείᾳ rell. καταχρήσεσθαι A καχρήσασθαι M καχρησέσθαι rell. 28 ἀνίερον] ἀνίαρον AFS cf. Ba 29 καί—30 ὁμοίως om. S

2570 Ἄννος κρίβανον: παροιμία ἐπὶ τῶν καινόν τι ἐφευρηκότων. Ἄννος γὰρ Αἰγύπτιος εἰς τὴν τῶν ἄρτων ὄπτησιν ἐπενόησε τὸν κρίβανον. Ar.

2571 Ἀνόστους: ἀνυποστρέπτους. νόστος γὰρ ἡ εἰς τὰ οἰκεῖα ἐπάνοδος, παρὰ τὸ τῆς πατρίδος ἡδύ. Αἰλιανός· ὁ δὲ τοὺς θεοσύλας ἀπέκτεινε καὶ ἔθηκεν ἀνόστους τοῦτο δὴ τὸ Ὁμηρικόν. E

2572 Ἀνουβείδιον: τόπος τις. Βενδίδειον δέ. Δ

2573 Ἀννουμῖνος: ἀπογραφὴ ὀνομάτων παρὰ Ῥωμαίοις. οἱ δὲ ἀδνούμιόν φασιν.

2574 Ἀν' οὗς ἔχων: ἀντὶ τοῦ ἄνω τὸ οὗς ἔχων. καὶ Σοφοκλῆς· τὸν οἶνωπ' ἀνέχουσα κισσόν. ἀντὶ τοῦ ἄνω ἔχουσα. Soph.

2575 Ἀνουτητί: ἄνευ τρώσεως. Δ

2576 Ἀνοχή: ἡ ὑπομονή. Ἀνακωχὴ δέ. Δ Suid.

2577 Ἀνοχλίσας: ἀνακινήσας. Δ

2578 Ἀνοψία: σπάνις τῶν ὄψων. Σ

2579 Ἄνω: ἀντὶ τοῦ ἀνά. Ὅμηρος· οὐδ' ὅσα Λέσβος ἄνω μακάρων ἔδος ἐντὸς ἐέργει. καὶ τὴν πρόθεσιν κολλητέον τῷ ἐέργει, ἵνα ᾖ ἀνείργει, ἀνασταλλει· ὃ καταστρέφει εἰς τὸ περιορίζει. Hom.

2580 Ἄνω καὶ κάτω: τὸ πάντα λίθον κινεῖν. Σ?

2581 Ἄνωγε: παρεκελεύσατο. Δ

2582 Ἀνώγεων: οἴκημα. Ἀνώγειον δέ. ὅτι Καλλισθένης τὸ δεσμωτήριον ἀνώγεων εἶπεν. Ἀνάγαιον καὶ Κατάγαιον διὰ διφθόγγου καὶ ο μικροῦ. τὸ δὲ ἀνώγεων καὶ κατώγεων εἰ τάχα καὶ οἱ κανόνες διὰ τοῦ ω μεγάλου καὶ ⟨ε⟩ ψιλοῦ γράφουσιν, ἀλλ' οὖν ὁ τῶν λέξεων θηρατὴς καὶ τῶν τούτων ἀντιστοίχων ἀκριβὴς ὀρθογράφος Καπνογένειος ὁ Μαΐστωρ διὰ τοῦ ε ψιλοῦ καὶ ο μικροῦ ἐξέδοτο ταῦτα γράφεσθαι. τὸ δὲ μεσόγαιον μόνον διὰ διφθόγγου εἶπεν· ἐπειδὴ εὕρηται μεσογεία γῆ καὶ μεσόγειος γῆ. Δ Suid.

2583 Ἀνωγή: παρακέλευσις. Δ

2570 sch. Ar. Ach. 86 cf. Paroem. ed. Gsf. 15 n. 158 2571 νόστος—ἡδύ cf. Et. M. 607, 7 ὁ sq. Aelian. fr. 127 2572 — τις cf. Ambr. 2123 Βενδίδειον cf. Ambr. v. B 320 2573 — ὀνομάτων = lex. rom. Barocc. 50 2574 Soph. OC 674 c. sch.; Σοφοκλῆς Aesch. fr. 126 2575 cf. Ambr. 2336 2576 = Ambr. 1991 2577 cf. Ambr. 2292 2578 = P, Ba 100, 17 2579 Ω 544 c. sch. A 2580 — κάτω = Ba 106, 29, Σ^{A} 2581 cf. H v. ἀνώγει 2582 — ἀνώγειον cf. Ambr. 2095—6 2583 = Ambr. 1987

2570 hinc 4052 et v. κρίβανον 2 2571 cf. v. νόστος 2573 cf. 497; Z 175 2575 Z 227 2576 ἀνακωχὴ δέ ex 1913—4 2582 cf. v. κατώγειον; — οἴκημα cf. 2550; Z 188; Καλλισθένης—εἶπεν ex 1827; ἀνάγαιον—μικροῦ hinc 1819 2583 Z 187

1 παροιμία om. S cf. sch. 7 Ἀνουβείδιον IM^{ac} Ambr. Ἀννουβείδιον GT Ἀνουβειδι S Ἀνουβίδειον AFM^{ac} Βενδίδειον δέ om. AGTF Βενδίδειον IM^{ac} Ambr. Βενδείδιον M^{ac} Βενδίδιον S δέ om. S 12 τρώσεως] ἐρωτήσεως S 13 ἀνακωχὴ δέ om. AFS 14 Ἀνοχλίσας AF cf. Ambr. Hes. Ἀνοχλήσας rell. 21 Ἀνωγέων A^{ac}GIT Ambr. Ἀνογέων S Ἀνώγεων A^{ac}FM ὅτι—27 γῆ om. TFS mg. A post p. 228, 29 ὧν G τό—22 εἶπεν] ἀνωγέων καὶ κατώγειον GI 22 διά] διὰ τῆς αι GI 24 ⟨ε⟩ suppl. Kust. 25 Καπνογένειος] Καπρογένειος M A(GITFSM)

2584 Ἀνωδύρετο: ἐθρήνει, ἔκλαιεν. ὁ δὲ ἀνωδύρετο τὴν συμφορὰν ἐπιδακρύων τῷ πάθει.

Soph. 2585 Ἄνωθεν: ἐκ τόπου ἢ χρόνου. Βάβριος. τί τοὺς ἄνωθεν φρονιμωτάτους οἰωνοὺς ἐκορώμενοι τροφῆς κηδομένους ἀφ' ὧν τε βλαστῶσιν ἀφ' ὧν τ' ὄνησιν εὕρωσι, τάδ' οὐκ ἐπίσης τελοῦμεν; τουτέστιν ἄνωθεν ἐκ φύσεως ἢ τοὺς ἐν τῷ ἀέρι.

2586 Ἀνωθῆσαν: ἐπὶ τὰ ἄνω κινῆσαν. ἀνωθῆσαν δὲ ἑαυτὸ τὸ
E θηρίον καὶ ἔξαλον γενόμενον ἀπεσείσατο ἐς τὴν νῆξιν ἀπολύσαν τὸν ἄνθρωπον.

Δ Hom. 2587 Ἀνώϊστος: ὁ ἀνυπονόητος. καὶ Ἀνωϊστί, ἀνυπονοήτως.

2588 Ἀνώλεθρος.

Σ 2589 Ἀνῳκισμένος: ἐν τοῖς ἀνωτάτω γεννηθείς, ἢ ἄνω ὤν.

Δ καὶ Ἀνῳκίσθαι.

Δ 2590 Ἀνωμαλία: ἡ τραχύτης.

Δ 2591 Ἄνωμος: ὁ μὴ ἔχων ὦμον. ἐξ οὗ καὶ ἄνωμοι Πελοπίδαι οὕτω καλούμενοι. καὶ Ἀνωμότερος.

2592 Ἀνώμοτος: χωρὶς ὅρκου. ὁ δὲ ἀνὴρ καὶ ἀνώμοτος πιστεύειν
Ar. ἄξιος. καὶ αὖθις· ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος.

Σ 2593 Ἀνῴμωξεν: ἐστέναξεν.

Δ 2594 Ἀνωνόμαστος: ὁ μὴ ἔχων ὄνομα.

2595 Ἀννώνων μετακομιδή. Ἄννωνα, Ῥωμαϊκὴ λέξις.

Prov. 2596 Ἄνω ποταμῶν χωροῦσι πηγαί: παροιμία ἐπὶ τῶν ὑπεναντίως γινομένων ἢ λεγομένων, οἷον ὁ πόρνος τὸν σώφρονα εἰ λέγοιτο πόρνον. ἐπειδὴ οἱ ποταμοὶ ἄνωθεν κάτω ῥέουσι. τουτέστιν ἐπὶ
Σ τῶν τὰ ἑαυτοῖς προσόντα ἐλαττώματα ἑτέροις προσανατιθεμένων.

Δ 2597 Ἀνωρθιασμένον: τὸ ὀρθότατον. καὶ Ἀνωρθωσάμην.

Harp. 2598 Ἀνωρθρίαζον: Ἀνδοκίδης. ἀντὶ τοῦ ὄρθριοι βοῶντες ἔλεγον.

Δ 2599 Ἀνώφλιον: τὸ ὑπέρθυρον.

Δ 2600 Ἄνωχθι: κέλευσον.

2585 Soph. El. 1058—62 c. sch.; Βάβριος] locum Babrii excidisse putat Gsf., fontem autem lexicalem perperam proposuit de Boor Byz. Zt. 21, 416 2586 ἀνωθῆσαν alt. sq. Aelian. fr. 204 2587 — ἀνυπονόητος cf. sch. Φ 39, Et. M. 115, 40 ἀνωΐστί sq. sch. δ 92, Ap. S. 36, 12, H 2589 — ὤν = P cf. H; — γεννηθείς = Σ^{a} ἀνῳκίσθαι cf. Ambr. 2214 2590 l. = Ambr. 2072, H 2591 — καλούμενοι cf. ad 2555 2592 ἡ sq. Eur. Hipp. 612 ex sch. Ar. Ran. 102 2593 = P, Ba 107, 1, Σ^{a}, Ambr. 2221 cf. 2184 2594 l. = Ambr. 1860 2596 — ῥέουσι = Zen. II 56, P cf. H 2597 — ὀρθότατον = Ambr. 2098 2598 Harp. = P, Ba 107, 3; Andoc. 1, 29 2600 = Ambr. 2163 cf. sch. K 67, α 274

2591 cf. 2555 2594 cf. 2557 2595 cf. v. δηλητατίων 2598 Z 223

A(GITFSME) 3 Βάβριος] Σοφοκλῆς E; τοῦτο Σοφοκλέους ἐστί ss. IM 7 ἑαυτό SM ἑαυτῷ rell. 10 ἀνωΐστι] ἀνωΐστιον IM 2588 ex A mg. 2591 om. GIT 20 Ἀνωνόμαστος $A^{ac}SM^{ac}$ Ambr. Ἀνονόμαστοι rell. ὁ om. A 21 Ἀννώνων A^{ac} Ἀννόνων rell. Ἄννωνα—λέξις mg. A, bis post 2570 M Ἄννώνα A Ἄννονα FM Ἀννόνως GI Ἄννον S om. T 22 παροιμία om. SM Phot. 23 λέγοιτο] λέγει M 27 Ἀνωρθρίαζον] τὸ ἀ. GITM (non nov. gl.)

2601 'Αντ' ἀγαθῶν ἀγαθίδες: παροιμία ἐπὶ τῶν εὖ πασχόντων ἀνθ' ὧν εὐεργέτησαν πρότερον. Prov.

2602 'Ανταγωνίζομαι· δοτικῆ. Synt.

2603 'Ανταγωνιστής: πολέμῳ καὶ μάχῃ ἰσοστάδην. ἀφ' οὗ δὴ καὶ ἀνταγωνιστὴς ἀξιόμαχος ἐπιπολὺ τοῖς Ῥωμαίοις ἐγένετο. E

2604 'Αντάδω· δοτικῆ. Synt.

2605 'Αντάλλαγμα: οἱ κατὰ σάρκα πρόγονοι τοῦ Χριστοῦ, οὓς ἴχνη καὶ ἀντάλλαγμα ἐκάλεσαν οἱ ο' ἑρμηνευταί. Thdr.

2606 'Αντάλλαγον καλοῦσι τὸν ἀντὶ ἑτέρου ἠλλαγμένον, οὐχὶ ἄνταλλον. Μένανδρος Κανηφόρῳ· ἐδεῖτο χρῆσαι τὴν σεαυτῆς θυγατέρα ἀντάλλαγον. Χήρᾳ· ἑκοῦσα ἡ ἀδελφὴ ποιήσει τούτοις οἱ ἀντάλλαγος τέξεις ὁ τούτῳ διδομένην. καὶ ἐν 'Αλιεῖ· ἐκλελάκτικεν ὁ χρηστὸς ἡμῖν μοιχὸς, ἀλλ' ἀντάλλαγος. Σ

2607 'Αντ' ἄλλης ἀρχῆς ἐστι τοῦτο δρᾶν: τουτέστιν ἀντὶ τοῦ ἄρχειν τὸ καινοτομεῖν, τῶν δὲ ἀρχαίων ἀμελεῖν. Ar.

2608 'Ανταμείρομαι. Δ

2609 'Αντανάκλασιν: κατὰ ἀνάκλασιν ἀπό τινος μεταγομένη. γίνεται δὲ τοῦτο ἀπὸ φωνῆς, ὅταν ἀντηχῇ, καὶ ἐπὶ φωτὸς ἡλιακοῦ, ὅταν λείῳ τινὶ ἢ λαμπροτάτῳ ὕδατι προσπέσοι. Σ

2610 'Αντάμειψιν: ἀνταπόδοσιν. Ps.

2611 'Ανταναιρεῖται: κτείνεται. καὶ 'Αντανῃρέθη, ἀντεφονεύθη. Δ

2612 'Αντανήγοντο: ἀντεπαρετάσσοντο, ἀντεφέροντο. ἀντανήγοντο οὖν καὶ οἱ βάρβαροι καὶ τὴν τοῦ Παχύνου παρέπλεον ἀκτὴν κατὰ β' στοιχηδὸν ταξάμενοι ναῦς. καὶ αὖθις· οἱ γὰρ ἐνταῦθα ὑπὲρ ἐλευθερίας ἀποθανόντες ἀντανήγοντο τῇ Οἴτῃ. E E

2613 'Αντανίσχομεν: προβαλλόμεθα. καὶ 'Αντανίσχοντο, ἀντιπαρετάσσοντο. Δ

2614 'Ανταπαιτῆσαι κἀπαιτῆσαι: Θουκυδίδης γ' καὶ δ'. καὶ 'Ανταποδοῦναι καὶ 'Ανταπολαμβάνειν Δημοσθένης ἐν τῷ κατὰ Λεπτίνου. Σ

2601 = Macar. II 10 2603 ἀφ' sq. Cass. D. 67, 6, 1 2604 = Synt. Laur. 2605 Thdr. in Ps. 88, 52, PG 80, 1597 b 2606 — Χήρᾳ = P, Ba 101, 25; Men. com. fr. 254, 513, 16 2607 Ar. Eccl. 587 c. sch. 2608 cf. Ambr. 2224 2609 = P, Ba 100, 24, Σ^{e} cf. H v. ἀντανακλωμένη 2610 = An. Ox. 2, 429, 14, H cf. Zon. 186 2611 ἀντανῃρέθη = Ambr. 2211 2612 ἀντανήγοντο alt.—ναῦς fort. Diodor. 2613 l. cf. Ambr. 2204 2614 = Ba 101, 20, P cf. Bk. 78, 1—4; Thuc. 3, 58, 1; 5, 17, 2; Dem. 20, 46

2601 cf. 123 2603 Cass. D. cf. v. δεινός 2 2605 hinc v. ἴχνη et v. τὸ ἀντάλλαγμα 2607 cf. v. καινοτομεῖ

2 εὐεργέτησαν] εὐηργέτησαν TM Paroem. 4 ἰσοστάδην] ἢ συστάδην add. A(GITFSM) mg. A post l. I 5 ἐγένετο] ἐγίνετο A 8 ἐκάλεσαν] ἀνεκάλεσαν S 11 ἀντάλλαγος] ἀντάλλογον S, M^{ac} ss. σφάλμα 2607—8 om. S 2608 om. F 17 ἀπό] ἐπί Phot. Ba Hes. 2610 om. TS mg. A; οὐ παρὰ τοῖς ῥήτορσιν οὐδὲ τὸ ἀνταμείβομαι ἀλλ' ἀμείβομαι καὶ ἀμοιβή add. F 21 ἀντεφονεύθη] φονεύθη GITS 2612 om. S 22 ἀντεπαρετάσσοντο—24 αὖθις ex AF ἀντεφέροντο A om. F 26 καί—ἀντιπαρετάσσοντο om. AF καί om. S, nov. gl. ἀντιπαρετάσσοντο] ἀντεπαρέτασσοντο S 2614 om. S 29 καί om. GIT, nov. gl. cf. Phot. 145, 26

Synt. 2615 Ἀνταποδιδῶ· δοτικῇ.

Σ 2616 Ἀντάρης νυκτερὶς ὄψεσι· φησὶ Σοφοκλῆς.

Ar. 2617 Ἀνταυγεῖς κόρας· στρέψον ἀνταυγεῖς κόρας. ἀντὶ τοῦ τὰς
E κόρας σου ἀντιπροσώπους μοι στρέψον. καὶ δι' ἀνταύγειαν χιόνος
καὶ σκληρότητα τῆς ἀναβαλλομένης ἀνακλάσεως ἐφθείροντο.

Δ 2618 Ἀνταία: ἡ Ῥέα. καὶ Ἀνταῖος, ὄνομα κύριον.

Δ 2619 Ἀνταίρω· δοτικῇ. φιλονεικῶ.

Δ 2620 Ἀντέας: ὄνομα κύριον.

2621 Ἀντεγκλήμασι· ταύτῃ καὶ τοῖς ἀντεγκλήμασι τοῖς περὶ τῶν
δώρων οὐκ ἀπεκρινάμην.

E 2622 Ἀντελαμβάνοντο· ὕπνοι τε αὐτῆς ἀεὶ μακρότατοι ἀντελαμ-
βάνοντο. ἀντὶ τοῦ διεδέχοντο. ἡμερινοὶ μὲν ἄχρι πρώτων νυκτῶν,
νυκτερινοὶ δὲ ἄχρις ἡλίου ἀνίσχοντος.

2623 Ἀντεμήνισεν: ἀντωργίσθη. ὁ δὲ παθὼν ἀνήκεστα καὶ τῆς
E πατρῴας ἑστίας διωχθεὶς παρὰ τὴν δίκην, ὅμως οὐκ ἀντεμήνισεν.

Σ? 2624 Ἀντεξάγειν: ἀντιπαρατάσσεσθαι, ἀντεπιέναι.

2625 Ἀντεμπλήσαντες: ἀνταποδόντες. Ξενοφῶν· οἱ δὲ θαρρεῖν
E ἐκέλευον, λέγοντες ὅτι οὔτε τέκνων στερήσοιτο τήν τε οἰκίαν αὐτοῦ
ἀντεμπλήσαντες τῶν ἐπιτηδείων.

Δ 2626 Ἀντεπήει: ἀντεπήρχετο.

Synt. 2627 Ἀντεπεξελθεῖν· δοτικῇ. καὶ Ἀντεπεξέρχομαι· δοτικῇ.

Harp. 2628 Ἀντεπιτίθησιν: ἀντὶ τοῦ ἀντεπιστέλλει. Ἰσαῖος.

Phil. 2629 Ἀντεπιχειρεῖν· παρὰ Ἀριστοτέλει ἀντεπιχειρεῖν λέγεται. ἔστι
δὲ ἀντεπιχειρεῖν τὸ πρὸς τὰ λεγόμενα μὲν μὴ φέρειν ἔνστασιν, ἐπι-
χειρεῖν δὲ δι' ἄλλων τινῶν καὶ αὐτὸν πάλιν καὶ συλλογίζεσθαι, ὅτι μὴ
ἀληθὲς τὸ δεικνύμενον. ὁ γὰρ πρὸς μὲν τὸ δεικνύναι λόγος, ὅτι ἡ
ψυχὴ οὐκ ἀθάνατος, διὰ τὸ εἶδος αὐτὴν ἔνυλον εἶναι, μηδὲν δ' ἔνυλον
εἶδος χωριστὸν εἶναι τῆς ὕλης, μὴ ἐνιστάμενος, δεικνύναι δὲ πειρώμενος
δι' ἄλλων τινῶν πάλιν αὐτὴν ὅτι ἔστιν ἄφθαρτος, ἤτοι διὰ τοῦ λαμ-
βάνειν, ὅτι αἱ μαθήσεις ἀναμνήσεις, ἢ ὅτι αὐτοκίνητος, ἀντεπιχειρεῖ,
οὐκ ἐνίσταται.

2615 = Synt. Gud. cf. Laur. 2616 = Ba 101, 19; Soph. fr. 681 2617 — στρέψον alt. Ar. Th. 902 c. sch. cf. P καί sq. Diod. 17, 82, 7 2618 — Ῥέα = Et. M. 111, 46, sch. Apoll. R. 1, 1141 cf. Ambr. 2038; Ἀνταῖος sq. cf. Ambr. 1876 2619 — δοτικῇ = Synt. Gud., Bk. 123, 32 φιλονεικῶ cf. Ambr. 2247 2620 cf. Ambr. 1874 2622 (praeter ἀντὶ τοῦ διεδέχοντο) Proc. h. a. 15, 8 (falso Dam. fr. 75) 2623 ὁ sq. Aelian. fr. 205 2624 l. = Ba 101, 7, Σ^{A} 2625 οἱ sq. Xen. An. 4, 5, 28 2626 = H cf. Ambr. 2212 2627 — δοτικῇ pr. = Bk. 124, 7 2628 Harp. = An. Ox. 2, 489, 29, P, Ba 101, 5; Isae. fr. 78 2629 Alex. Aphr. 558, 16—23

2622 Z 217 2624 Z 217 2626 Z 217 2628—9 Z 217

A(GITFSM) 7 Ἀνταίρω] Ἀνταίρων FS φιλονεικῶ] φιλονεικῶν FS Ambr. 8 Ἀντέας] Ἀνταίας AI 2621 om. S 2624 om. S post 2625 M et bis G 16 ἀντι-παρατάσσεσθαι] ἀντὶ τοῦ παρατάσσεσθαι AF 2627 om. TFS mg. A 21 καί om. GI δοτικῇ alt. A ὁμοίως GI om. M 22 ἀντεπιστέλλει GTM Harp. ἀντεπιστέλλειν A Phot. ἀνεπιστέλλειν F ἐπιστέλλει IS cf. Ba 29 τοῦ] τό S cf. Alex.

2630 Ἀντερεῖ: ἀντιλέξει. Σ?
2631 Ἀντερείδει: ἀντὶ τοῦ οὐχ ὑπείκει. Σ
2632 Ἐρίζω· καὶ ἀντερίζω σοι. Synt.
2633 Ἀντερώμενος: ἀντεπιθυμῶν. Δ
2634 Ἀντέρως, ὁ καὶ Ἀπολλώνιος, Ἀλεξανδρεὺς, γραμματικὸς, παι- Hesy.
δεύσας ἐν Ῥώμῃ ἐπὶ Κλαυδίου, τοῦ μετὰ Γάϊον βασιλεύσαντος, ἐφ'
οὗπερ καὶ Ἡρακλείδης ὁ Ποντικὸς γέγονεν· ἀκουστὴς δὲ ἦν Ἀπίωνος
τοῦ Μόχθου. φέρονται αὐτοῦ βιβλία Περὶ γραμματικῆς β'. καὶ
τοῦτο δὴ τὸ ὑμνούμενον ὄνομα Ἀντέρως ἐν τοῖςδε τοῖς γενναίοις
ἐσῴζετο. ἀντὶ τοῦ ἀλλήλους ἠγάπων. Χαρίτων γὰρ καὶ Μελά- E
νιππος εἰς ἔρωτα ἀλλήλοιν συνεπεσέτην. καὶ ὁ μὲν Χαρίτων ἐραστὴς
ἦν, Μελάνιππος δὲ τὴν ψυχὴν ὁ ἐρώμενος ἐς τὸν φίλον τὸν ἔνθεον
ἀναφλεχθεὶς ἰσότιμον τὸ τοῦ πόθου κέντρον ἀνεδείκνυτο.
2635 Ἀντέσχε: γενναίως ἔφερε. καὶ πρότερον ληφθείς τις ἀπὸ
τῶν Ἰουδαίων πρὸς πᾶσαν αἰκίαν βασάνων ἀντέσχεν. E
2636 Ἀντετόρησεν: εἰς τὸ ἐναντίον ἦλθε τιτρώσκων. διεπέρασε· Σ
τορῶ γὰρ τὸ τρυπῶ. Δ
2637 Ἀντ' εὐεργεσίης Ἀγαμέμνονα τίσαν Ἀχαιοί: ἡ παροι- Prov.
μία κατὰ τῶν τοὺς εὐεργέτας προπηλακιζόντων ἤγουν ὑβριζόντων.
2638 Ἀντεύφρασμα: τὸ ἐναντίον τῇ εὐφροσύνῃ ἀγαθόν. Σ
2639 Ἀντεφέροντο: ἠναντιοῦντο. Σ
2640 Ἀντεφιλοτιμοῦντο: ἀντὶ τοῦ ἠμιλλῶντο καὶ ἤριζον καὶ Σ
ἀντηγωνίζοντο. τοῦτο δὲ τὸ ἀντιφιλοτιμεῖσθαι α' ἐστὶ συζυγίας τῶν
περισπωμένων, καὶ μόνον. ἔστι δέ τινα ῥήματα, ἃ δύο συζυγιῶν
εὑρέθη· οἷον σκηνῶ, σκηνεῖς, σκηνᾷς· καὶ ἀτολμῶ, ἀτολμεῖς καὶ
ἀτολμᾷς.
2641 Ἀντεφοδεύω· καὶ Ἀντεφώδευκα, ἀντὶ τοῦ ἀντεπέτρεχον. Δ
2642 Ἀντέχει· δοτικῇ. ἀντὶ τοῦ ἐξαρκεῖ. Δείναρχος δὲ ἀντὶ τοῦ Σ
σῴζεται· Δημοσθένης καὶ Ὑπερίδης ἀντὶ τοῦ ἀντιλαμβάνεται. καὶ
οἱ ἵπποι αὐτοῖς μηδὲ πρὸς τὸ φεύγειν ὑπὸ τοῦ πηλοῦ ἔτι ἀντέχειν. E
καὶ αὖθις· ἀμελετήτους ὄντας κρύει ἀντέχειν. ἀντὶ τοῦ ὑπομονητικῶς

2630 = gl. Dionys. PG 3, 24; l. = Ba 101, 8, Σ[a] 2631 = P, Ba 101, 6 2633 cf. Ambr. 2246 2634 Χαρίτων sq. Aelian. fr. 202 2635 καί sq. Ios. bell. 3, 321 2636 — τιτρώσκων = P, Ba 101, 9, Σ[a] διεπέρασε cf. H τορῶ sq. = Et. M. 112, 43 2637 = Philol. Suppl. 6, 259, n. 153 2638 = P, Ba 101, 12; Agathon. fr. 30 2639 = P, Ba 101, 10, Σ[a] cf. H 2640 = P, Ba 101, 13, Σ[a] 2642 δοτικῇ = Synt. Laur. et Gud. ἀντί—ἀντιλαμβάνεται = P, Ba 102, 11; Dinarch. fr. 89, 8; Dem. 2, 10; Hyper. fr. 229

2634 Aelian. cf. v. συνεπνευσάτην 2640 Z 217 2641—2 Z 218

1 ἀντιλέξει] ἀντιλέγει GIT 2632 ex A mg. 6 ἐφ' Kust. ἀφ' omnes A(GITFSM)
11 συνεπεσέτην] συνεπνευσάτην s. v. 13 ἀνεδείκνυτο AS ἐνεδείκνυτο GIM
19 κατά AF Zen. II 11 ἐπί rell. Diogen. I 99 2638 om. GIT 20 ἀγαθόν] κ' ἀγαθόν F ἀγαθῶν Ba Ἀγάθων Bruno 25 σκηνᾷς] καὶ σκηνᾷς SM Ba, Σ[a] καί pr. om. S, Σ[a] καί alt. om. F, Phot. 27 ἀντεπέτρεχον] ἐπέτρεχον S
28 Δείναρχος] καί ss. M 29 καί pr.] δὲ καὶ S 30 ἀντέχειν] ἀντεῖχον pr.

ἔχειν. καὶ αὖθις· ταῖς ἐπιθυμίαις ἀντέχων. καὶ αὖθις· ἡ σύγ-
EL κλητος ὑπολαβοῦσα τοὺς Αἰτωλοὺς ἀντέχειν ταῖς κατὰ τὸν 'Αντίοχον
Σ ἐλπίσιν, ἀπράκτους ἀπέστειλεν εἰς τὴν Ἑλλάδα. καὶ 'Αντεχό-
Synt. μενος· γενικῆ· ἀντιλαμβανόμενος. 'Αντέχομαι δὲ τὸ ἀντιλαμβάνομαι, γενικῆ.
Ar. 2643 'Αντεχειροτόνησεν: ἀντέλεγεν. εἰ δὲ κἀκεῖνα προσέθηκεν, οὐδεὶς ἀντεχειροτόνησεν ἄν.
Harp. Suid. 2644 "Αντεια: ὄνομα κύριον ἑταίρας. τινὲς δὲ "Ανθεια γράφουσιν.
Synt. 2645 'Αντεῖπεν· δοτικῆ.
Suid. 2646 'Αντήλιος· ἐν τῷ η, καὶ 'Απηλιώτης καὶ πάντα τὰ ὅμοια ψιλῶς. καὶ ἡ ἔπηλις ἐστὶ παρὰ Ποσειδίππῳ.
Δ 2647 'Αντήνωρ: ὄνομα κύριον· καὶ συστέλλει. καὶ 'Αντηνορίδης, ὁ τοῦ 'Αντήνορος παῖς.
Soph. 2648 'Αντήρεις: ἀντιθέτους, ἀντὶ τοῦ ἴσας τοῖς θρήνοις· μετῆκται δὲ ἀπὸ τῶν ἐρεσσόντων, ὅταν κατ' ἴσον ἐρέσσωσι καὶ μὴ εἰς θάτερον περιωθῆται ἡ ναῦς. ἀντήρεις οὖν ἀντικτυπούσας τοῖς θρήνοις· θρηνοῦσα γὰρ ἔτυπτε τὸ στῆθος πρὸς ἕκαστον 'Ηλέκτρα· πολλὰς δ' ἀντή-
Δ ρεις ᾖσθου στέρνων πλαγὰς αἱμασσομένων. 'Αντῆρις δὲ ἀντήριδος, καὶ σημαίνει τὴν θυρίδα.
2649 'Αντήρκουν: ἐξίσχυον, ἠδύναντο. πρὸς τὰς παρατάξεις ἀντήρκουν μόλις.
Σ 2650 'Αντιάζει: ἐναντιοῦται.
Σ Hom. 2651 'Αντιάνειραι: ἴσανδροι. ἐναντιούμεναι τοῖς ἀνδράσιν.
Hom. 2652 'Αντιάσας: μετασχών. ἐν 'Επιγράμμασι· δῶρα φέρει τρο-
Anth. μεροῦ γήραος ἀντιάσας. καὶ αὖθις Σοφοκλῆς· ἀλλ' ἀντιάζω, πρὶν
Soph. πανωλέθρους τὸ πᾶν ἡμᾶς τ' ὀλέσθαι κἀξερημῶσαι γένος.
Harp. 2653 'Αντιάτας: τοὺς ἀπὸ 'Αντίου πόλεως, ἣ ἀπέχει Ῥώμης τ' σταδίους.
Harp. 2654 'Αντιβληθέντος: ἀντὶ τοῦ ὑπαγορευθέντος Δείναρχος λέγει.

2642 ἡ σύγκλητος—Ἑλλάδα Diod. 29, 9 = EL 399, 33—400, 2 ἀντεχόμενος, ἀντιλαμβανόμενος = P, Ba 102, 17, Σ^a 2643 Ar. Eccl. 422—3 c. sch. 2644 cf. ad 2501 2645 = Synt. Gud. cf. Laur. 2647 — κύριον = Ambr. 1866; συστέλλει = Ambr. 1933 2648 — αἱμασσομένων Soph. El. 89—90 c. sch.; — ναῦς = H ἀντῆρις—ἀντήριδος = Ambr. 2011 2650 = P, Ba 102, 18, Σ^a 2651 = Eust. I. 403, 28 cf. Ap. S. 31, 16 = H, Et. M. 111, 34; ἴσανδροι = Σ^a; ἐναντιούμεναι sq. = sch. Γ 189 cf. Ambr. 2013 2652 — μετασχών sch. A 67 δῶρα—ἀντιάσας Anth. 6, 28, 8 ἀλλ' sq. Soph. El. 1009—10 2653 Harp. = P, Ba 104, 15 2654 Harp. = An. Ox. 2, 489, 30, P, Ba 104, 17; Dinarch. fr. 6, 3

2643 Z 218 2644 cf. 2501, hinc τινές sq. 2646 ex 3155 cf. v. ἔπηλις 2648 Soph. hinc v. πλαγάς 2652 Z 218; Anth. cf. v. γριπεύς 2653 hinc 2691

A(GITFSM) 3 Ἑλλάδα] καὶ ἀντὶ τοῦ ἀντιμαχόμενος ταῖς ἐπιθυμίαις ἀντέχων add. AF cf. vs. 1 et Zon. 218 καί—4 ἀντιλαμβανόμενος om. S 4 ἀντιλαμβανόμενος AF ὁ ἀ. GITM ἀντέχομαι—5 γενικῆ om. GTFS, mg. ad 2641 A, post 2641 M, post p. 233, 28 δοτικῆ I δὲ τὸ ἀντιλαμβάνομαι om. M 2644 om. T 8 ἑταίρας —γράφουσιν om. F τινές—γράφουσιν om. IS 2646 om. TFS mg. A 14 ἴσας] ἴσα AF 18 πλαγάς] πληγάς TFS ἀντῆρις GIT ἀντήρεις rell. cf. Ambr. 2010—11 2652—2670 om. T

2655 Ἀντιβόλησις καὶ Ἀντιβολία: παράκλησις, ἱκετηρία. Σ + Thuc.
Θουκυδίδης· πρὸς γὰρ ἀντιβολίαν καὶ ὀλοφυρμὸν τραπόμενοι, ἐς ἀπο- E
ρίαν καθιστᾶσιν ἄγειν τε σφᾶς ἀξιοῦντες. καὶ Ἀντιβολῆσαι, Σ
ἀπαντῆσαι, μετασχεῖν. καὶ Ἀντιβολῶ, τὸ ἱκετεύω. πεποίηται δὲ Ar.
παρὰ τὸ ἄντομαι καὶ βάλλω.
2656 Ἀντιβολῶ· δοτικῇ. φωναὶ δὲ παρὰ πάντων οἰκτραὶ ἀντιβολοῦσαι καὶ Synt.
ἀντηχοῦσαι αὐτοῖς. αἰτιατικῇ δέ· ἡμεῖς δὲ τοὺς νόμους ἔχοντά με πλησίον ἡγεῖ-
σθε παρεστάναι καὶ τὸν ὅρκον ὃν ὀμωμόκατε, τούτους ἀξιοῦντας καὶ ἀντιβολοῦν-
τας ἕκαστον ὑμῶν.
2657 Ἀντιγενίδης, Σατύρου, Θηβαῖος, μουσικὸς, αὐλῳδὸς Φιλοξένου. Hesy.
οὗτος ὑποδήμασι Μιλησίοις πρῶτος ἐχρήσατο καὶ κροκωτὸν ἐν τῷ
Κωμαστῇ περιεβάλλετο ἱμάτιον. ἔγραψε μέλη.
2658 Ἀντιγόνη: ὄνομα κύριον. καὶ Ἀντιγονίειος. καὶ Ἀντι- Δ
γόνειος κλίνη, τοῦ Ἀντιγόνου.
2659 Ἀντίγονος· οὗτος ἐκλήθη εὐεργέτης καὶ σωτὴρ παρὰ πᾶσι EV
τοῖς Ἕλλησι. νικήσας γὰρ μάχῃ Κλεομένη, τὸν τῶν Λακεδαιμονίων
βασιλέα, ἐγκρατὴς ἐγένετο καὶ τῆς Σπάρτης αὐτός τε ὢν κύριος ὁ
βούλοιτο χρῆσθαι καὶ τῇ πόλει καὶ τοῖς ἐμπολιτευομένοις, τοσοῦτον
ἀπεῖχε τοῦ κακῶς ποιεῖν τοὺς γεγονότας ὑποχειρίους, ὡς ἐκ τῶν ἐν-
αντίων ἀποδοὺς τὸ πατρικὸν πολίτευμα καὶ τὴν ἐλευθερίαν, καὶ τῶν
μεγίστων ἀγαθῶν αἴτιος γενόμενος καὶ κοινῇ καὶ κατ' ἰδίαν Λακεδαι-
μονίοις· καὶ οὐ μόνον ἐκρίθη παρ' αὐτὸν τὸν καιρὸν εὐεργέτης, ἀλλὰ
καὶ μεταλλάξας σωτήρ.
2660 Ἀντιγόχνοιαι: οἱ τροχοὶ τοῦ ἅρματος. Δ
2661 Ἀντιγραφεύς: ὅμοιος τῷ γραμματεύς. ὁ καθιστάμενος ἐπὶ τῶν Suid.
καταβαλλόντων τινὰ τῇ πόλει χρήματα, ὥστε ἀντιγράφεσθαι αὐτά. Harp.
οὕτως Δημοσθένης ἐν τῷ κατὰ Ἀνδροτίωνος, ἀλλὰ καὶ Αἰσχίνης ἐν τῷ
κατὰ Κτησιφῶντος. δύο δὲ ἦσαν, ὁ μὲν τῆς διοικήσεως, ὁ δὲ τῆς
βουλῆς. ἰδίως μὲν ἐπὶ ταῖς τῶν κλήρων διαδικασίαις, ὅταν τις ὡς

2655 Ἀντιβόλησις + παράκλησις, ἱκετηρία = Ba 102, 7 cf. P; ἀντιβολία—ἱκετηρία sch. Thuc. 7, 75, 4 πρός—ἀξιοῦντες Thuc. 7, 75, 4 ἀντιβολῆσαι—μετασχεῖν = Σ^{a}, Ba 102, 3, P, sch. Δ 342, Et. M. 112, 46; ἀντιβολῶ—ἱκετεύω = Ba 102, 5 πεποίηται sq. sch. Ar. Pl. 103 2656 αἰτιατικῇ sq. = Bk. 126, 4; ἡμεῖς sq. Dem. 21, 188 2657 αὐλῳδὸς Φιλοξένου cf. Didym. Berl. Kl. T. 1, col. 12, 60—61 2658 — κύριον = Ambr. 2023; Ἀντιγόνειος cf. Ambr. 2076, 1973 2659 Polyb. 5, 9, 8—10 = EV 2, 97, 26—98, 5 2660 cf. H v. ἀντύγων χνοίαι; l. = Ambr. 2002 2661 vs. 25 ὁ sq. Harp.; ὁ—p. 236, 4 φεύγοντος cf. Ba 104, 21; Δημοσθένης—vs. 4 ἀντιγραφή cf. P; ἰδίως—p. 236, 4 φεύγοντος cf. Bk. 200, 9; Dem. 22, 70; Aesch. 3, 25; Pl. Ap. 27 c

2661 ὅμοιος τῷ γραμματεύς ex v. Γ 416

2656 om. GFS mg. A 6 ἀντιβολοῦσαι M ἀντιβουλοῦσαι A ἀντιβολοῦνται I A(GIFSM)
7 ἀντηχοῦσαι M ἀντιχοῦσαι A ἀντιχοῦνται I ἡμεῖς] ὑμεῖς Bk. Dem. 8 ὃν M om. AI 9 ὑμῶν M ἡμῶν AI 12 περιεβάλλετο] προεβάλλετο M 13 καὶ Ἀντιγονίειος om. F post gl. S 17 ἐγκρατὴς] καὶ ἐ. AF 24 Ἀντιγόχνοιαι] Ἀντυγόχνοιαι M^{ac} cf. Hes. 25 ὅμοιος—γραμματεύς om. GFS mg. AIM ὅμοιος AM^{ac} ὁμοίως IM^{ac} 29 ἰδίως omnes, Harp. ep., Phot. Ἀντιγραφὴ ἰδίως Harp., Ba, Bk. 200, 9 διαδικασίαις A Harp. Phot. διδικασίαις S δικασίαις GIM περιουσίαις F

ἄπαιδος ὄντος τοῦ τετελευτηκότος ἑαυτῷ φάσκῃ προσήκειν τὸν κλῆρον· ἐπὶ τῶν τοιούτων γὰρ λέγεται ἀντιγραφή. κοινῶς δὲ τὰ ἐν ταῖς δημοσίαις δίκαις τῶν δικαζομένων γράμματα. καὶ λέγεται ὁμοίως τά τε τοῦ διώκοντος καὶ τὰ τοῦ φεύγοντος ἀντιγραφή. λέγεται δὲ οὕτως καὶ τὰ μαρτύρια. Πλάτων μέντοι ἐν τῇ Σωκράτους Ἀπολογίᾳ ἀντωμοσίαν καὶ ἀντιγραφὴν τὸ αὐτὸ λέγει.

Σ 2662 Ἀντιδιαστέλλεται: ἀντιδιΐστηκεν.

2663 Ἀντίδορον: τὸ τοῦ δέρματος δέρμα. ἐν Ἐπιγράμμασι· καὶ
Anth. κάρυον χλωρῆς ἀντίδορον λεπίδος.

Harp. 2664 Ἀντίθεσις: σχῆμα λέξεώς ἐστι, καθ' ἣν ἀντιτιθέασιν ἀλλήλοις τὰ ἐναντία ἢ κατὰ μέρος ἢ ἄθροα. οὕτως Ἰσοκράτης ἐν τῷ Παναθηναϊκῷ.

ΣΔ 2665 Ἀντικάθηται: ἀντὶ τοῦ ἐναντιοῦται. καὶ ἈντικαθίΕ στασθαι ὁμοίως. οὐ δυνάμενος τῷ πλήθει ἀντικαθίστασθαι.

Prov. 2666 Ἀντὶ κακοῦ κυνὸς σῦν ἀπαιτεῖς: παροιμία ἐπὶ τῶν καλὰ ἀντὶ κακῶν ἀπαιτούντων.

Rhet. 2667 Ἀντικαταλλαττόμενος: οὐ μόνον ὅταν σπένδηταί τις ἢ εἰς φιλίαν ἔρχηται πρὸς ὃν γέγονεν αὐτῷ διαφορά, τῷ καταλλαττόμενος ἐχρήσαντο οἱ ῥήτορες, ἀλλὰ καὶ ἐπὶ τοῦ ἀμείβοντος χρυσίον ἐν τῷ δήμῳ πολλάκις. Δημοσθένης· ἀλλὰ καὶ ἐδείκνυεν ὑμᾶς τυροπωλῶν, οἰκοδομῶν, βαδιεῖσθαι φάσκων, κἂν μὴ χειροτονῆτε ὑμεῖς, ξυληγῶν, τὸ χρυσίον καταλλαττόμενος ἐπὶ ταῖς τραπέζαις.

2668 Ἀντικατέστησαν: ἠναντιώθησαν. Διόδωρος· οἱ δὲ ὑποΕ λειφθέντες ἀλλήλοις ἀντικατέστησαν.

Phil. 2669 Ἀντικατηγορεῖσθαι· τὸ ἴδιον ἀντικατηγορεῖται τοῦ πράγματος καὶ μόνῳ ὑπάρχει· ὡς τῷ ἀνθρώπῳ τὸ γελαστικόν. καὶ τοῦτό ἐστιν ἀντικατηγορεῖσθαι, τὸ μόνῳ καὶ παντὶ ὑπάρχειν.

Phil. 2670 Ἀντικείμενα· τὰ ἀντικείμενα τετραχῶς ἀντίκειται· ἢ γὰρ ὡς κατάφασις καὶ ἀπόφασις ἢ ὡς τὰ ἐναντία ἢ ὡς ἕξις καὶ στέρησις ἢ ὡς τὰ πρός τι. καὶ καθ' ἑκάστην ἀντίθεσιν οἰκεία τις ἀκολουθία, ἀφ' ἧς ἀκολουθίας ὑπογράφει πῶς οἷόν τε ὁρμωμένους κατασκευάζειν τι καὶ ἀνασκευάζειν. ἀλλ' οὐκ ἐπὶ πασῶν τῶν ἀντιθέσεων ἡ ἀκολούθησις ὁμοίως, ἀλλ' ἐπὶ μὲν τῆς ἀντιφάσεως ἀνάπαλιν ἡ γινομένη ἀκολούθησις ἔχει. εἰ γὰρ τὸ κακὸν ἡδύ, τὸ οὐχ ἡδὺ οὐ καλόν· ἀλλ' οὐχὶ τὸ οὐ καλὸν οὐχ ἡδύ. καὶ τὰ λοιπὰ ἐπὶ τοῖς τόποις.

2662 = P, Ba 102, 20, Σ[a] 2663 καί sq. Anth. 6, 22, 4 2664 Harp. = P, Ba 105, 5; Isocr. 12, 2 2665 — ἐναντιοῦται = Ba 102, 19, P 2666 = Zen. I 100 2667 Δημοσθένης sq. 19, 114 2668 οἱ sq. Diod. fr. 29 2669 Alex. Aphr. 45, 15—19, 27—28 2670 — vs. 35 ἡδύ Alex. Aphr. 190, 27—191, 7

2662 Z 218 2663 Z 193 2665 Z 218 2668 Z 218

A(GIFSM) 26 τῷ] τό A τοῦ Alex. 28 τά F Alex. τό rell. ἀντικείμενα AF Alex. ἀντικείμενον rell. 34 κακόν] καλόν Alex.

2671 Ἀντικλείδης· οὗτος ἔγραψε περὶ Νόστων. αἰτοῦντος γὰρ Ar. + x
τοῦ Πυθίου ἀναθεῖναι τὴν ἄρνα τὴν χρυσῆν καὶ ἕτερα παρέχοντος
κειμήλια, εἰπεῖν τὴν Πυθίαν· ὃ βούλομαι, δὸς, μὴ δίδου δ' ὃ μὴ θέλω.
2672 Ἀντίκρισις: ἀντὶ τοῦ ἀπόκρισις. οὕτως Ἀναξίλας. Σ
2673 Ἀντικρύ: κατέναντι, ἐξ ἐναντίας. Ἄντικρυς δὲ διόλου, ἢ Σ
παντελῶς, ἢ φανερῶς. δι' ἐναντίας, φανερῶς. ὁ δὲ ποιητὴς ἐκτε- Ar.
ταμένως λέγει καὶ δίχα τοῦ ς. ἀντικρὺ δὲ παραὶ λαπάρην διάμησε
χιτῶνα. ἢ Ἄντικρυς, ἀντὶ τοῦ αὐτίκα, φανερῶς. ὑποβλήτους E
ἂν εἶπέ τις αὐτοὺς εἶναι καὶ νόθους ἄντικρυς. ἀντὶ τοῦ ἀληθῶς.
εἶδον δὲ καὶ τὴν εἰκόνα αὐτοῦ ἄντικρυς ἀπαγγέλλουσαν τὴν τοῦ ἀνδρὸς
ὄψιν, οἷος ἦν τὴν φύσιν. καὶ ὁ κανών· τὰ εἰς υς ἐπιρρήματα, εἰ
λέγοιτο ἄνευ τοῦ ς, ἰσοχρονεῖν θέλει· μεσσηγὺς, μεσσηγύ. τὸ μέντοι
ἀντικρὺ μεταβαλὸν τὸν τόνον, μετέβαλε καὶ τὸν χρόνον.
2674 Ἄντικρυς: κατέναντι, ἐξ ἐναντίας. οἱ δὲ γλωσσογράφοι καὶ Σ
Ἀπολλόδωρος ὁ Κυρηναῖος καὶ ἕτερά φασι δηλοῦν. καὶ γὰρ διαμ-
περὲς καὶ ἰθὺς καὶ εὐθὺς καὶ ἐπ' εὐθείας καὶ ἰσχυρῶς καὶ σαφῶς καὶ
ἀκριβῶς καὶ ἁπλῶς. οἱ δέ φασιν ἀκριβέστερον οἶμαι λέγοντες, ὅτι
μετὰ τοῦ ς λεγόμενον τὰ εἰρημένα δηλοῖ, ἄνευ δὲ τοῦ ς, οἷον ἀντικρύ,
τὸ κατέναντι μόνον, καὶ ἐξ ἐναντίας.
2675 Ἀντίκυρα: ὄνομα χωρίου τινός. Harp.
2676 Ἀντικυρίας σοι δεῖ: ἀντὶ τοῦ ἐξουσίας.
2677 Ἀντιλαμβανόμενοι· γενικῇ. κρατοῦντες, ἐξεχόμενοι. μεῖναί
τε αὐτὸν ἠξίουν καὶ κατέχειν ἀντιλαμβανόμενοι ἐτόλμων.
2678 Ἀντιλέγειν· δοτικῇ. ἀντὶ τοῦ ἴσα λέγειν. Πλάτων. Σ
2679 Ἀντίληψις: ἀντὶ τοῦ ἐπίληψις. Πλάτων. Ἀντιλήπτωρ Σ
δὲ ὁ ἀντιλαμβανόμενος. Ps.
2680 Ἀντιλογιῶν· Θουκυδίδης α'. καὶ Ἀντιλογῆσαι· Νεφέλαις Σ
Ἀριστοφάνης.
2681 Ἀντίμαχος, Κολοφώνιος, υἱὸς Ὑπάρχου, γραμματικὸς καὶ Hesy.
ποιητής. τινὲς δὲ καὶ οἰκέτην αὐτὸν ἀνέγραψαν Πανυάσιδος τοῦ

2671 — Νόστων Ath. 4, 157f cf. sch. Ar. Nu. 144; αἰτοῦντος sq. sch. Ar. Nu. 144; Anticl. fr. 10 (Fragm. script. rer. Alex. ed. Müller) 2672 = P; — ἀπόκρισις = Ba 102, 21; Anaxil. fr. 41 (2, 275 K.) 2673 — φανερῶς pr. = Σ^a cf. P (ex Ael. D.), H, Bk. 198, 27, Et. M. 114, 27, Et. Gud., An. Ox. 2, 339, 23, sch. Γ 359, Philop. diff., sch. Thuc. 2, 4, 5 δι' ἐναντίας—χιτῶνα sch. Ar. Pl. 134; vs. 7 ἀντικρύ—χιτῶνα Γ 359 ὑποβλήτους—νόθους ἄντικρυς Aelian. fr. 90 εἶδον—φύσιν Dam. fr. 84 τὰ εἰς υς sq. = Herodian. gramm. 2, 19, 29 2674 διαμπερές sq. = P cf. Phot. Amphil. (Hermes 26, 256); ἐπ' εὐθείας sq = Ba 103, 11 cf. sch. Δ 481, Apion 2675 Harp. = P, Ba 105, 15 2677 γενικῇ cf. Synt. Laur. 2678 δοτικῇ = Synt. Laur. et Gud. ἀντί sq. = Ba 102, 22, P; Pl. Crito 50e 2679 — Πλάτων (Phaed. 87a) = Ba 102, 23, P] ἀντιλήπτωρ sq. = An. Ox. 2, 428, 23, H 2680 = Ba 102, 1, P, Phryn. fr. 226a; ἀντιλογῆσαι sq. = Bk. 78, 5; Thuc. 4, 59, 4; Ar. Nu. 321

2671 hinc v. ὀβολοστάτης; cf. 1878 2673 Aelian. cf. v. ὑποβλήτους 2679 Z 185

6 δι' ἐναντίας φανερῶς om. T φανερῶς om. GI 22 ἐξεχόμενοι] ἐξ- A(GITFSM)
ερχόμενοι AF 25 ἀντιλήπτωρ—26 ἀντιλαμβανόμενος om. FS 27 Θουκυδίδης α'] α' Θουκυδίδης GIT; Θ. τετάρτῳ Ba 29 Ὑπάρχου] Ἱππάρχου ss. M

ποιητοῦ, πάνυ ψευσάμενοι. ἦν γὰρ αὐτοῦ ἀκουστὴς καὶ Στησιμβρότου. γέγονε δὲ πρὸ Πλάτωνος.

Hesy. 2682 Ἀντίμαχος ἕτερος, Ἡλιοπολίτης, ἀπ' Αἰγύπτου, ὃς ἔγραψε Κοσμοποιΐαν ἐν ἔπεσιν ἡρωϊκοῖς τρισχιλίοις ἑπτακοσίοις.

Ar. 2683 Ἀντίμαχος, ὁ Ψεκάδος· οὗτος μελῶν ἦν ποιητής. Ψεκὰς δὲ ἐκλήθη, ἐπειδὴ προσέρραινε τοὺς ὁμιλοῦντας διαλεγόμενος. ἦν δέ τις καὶ Ὀλυμπικὸς καλούμενος Ψεκὰς διὰ τοῦτο. ἐδόκει δὲ ὁ Ἀντίμαχος οὗτος ψήφισμα πεποιηκέναι, ὅτι μὴ δεῖ κωμῳδεῖν ἐξ ὀνόματος. καὶ ἐπὶ τούτῳ πολλοὶ τῶν ποιητῶν οὐ προσῆλθον ληψόμενοι τὸν χορόν· καὶ δῆλον ὅτι πολλοὶ τῶν χορευτῶν ἐπείνων. οἱ δὲ λέγουσιν, ὅτι ποιητὴς ὢν καλὸς, ὢν χορηγὸς, μικρολόγως τοῖς χορηγοῖς ἐχρήσατο.

Ar. 2684 Ἀντιμάχου καταπυγοσύνης ἀναπλήσει: ἀντὶ τοῦ ἡ μαλακία. οὗτος εἰς θηλύτητα καὶ εὐμορφίαν κωμῳδεῖται. ἔστι δὲ καὶ ἕτερος ἐπὶ πονηρίᾳ κωμῳδούμενος. καὶ γ', ὁ Ψεκάδος λεγόμενος. καὶ δ', τραπεζείτης, οὗ μνημονεύει καὶ Εὔπολις ἐν Δήμοις. ε' ἱστοριογράφος.

2685 Ἀντιμίσιον: παρὰ Ῥωμαίοις τράπεζα πρὸ τοῦ δικαστηρίου κειμένη.

Synt. 2686 Ἀντινομῶ· δοτική.

Hom. 2687 Ἀντί νυ πολλῶν λαῶν ἐστὶν ἀνὴρ, ὅν τε Ζεὺς κῆρι φιλήσει: ἴσος ἐστὶν ὁ εἷς ἀνὴρ πολλοῖς, ὅταν ᾖ θεοφιλής.

ΔΕ 2688 Ἀντίξοον: ἐναντίον, πολέμιον. Ἡρόδοτος· καὶ στρατὸν
Δ συλλέγειν ἀντίξοον Πέρσῃσι. καὶ Ἀντίξουν, ἐναντίον. Ἀγα-
Ε θίας· ὁ δὲ ἐχώρει, οὐδὲν ἀντίξουν ἔσεσθαι ὑποτοπήσας.

2689 Ἀντιόπη, θυγάτηρ Νυκτέως, ἣν ἔφθειρέ τις τῶν πολιτῶν. ὁ δὲ πατὴρ πέμπει αὐτὴν τῷ ἀδελφῷ κολάσαι. ὁ δὲ ἔγκυον αὐτὴν θεασάμενος ᾤκτειρεν. ἡ δὲ γεννᾷ Ζῆθον καὶ Ἀμφίονα, οὓς εἰς ὄρος ἔρριψεν ὁ θεῖος. εἶχε δὲ γυναῖκα, ὀνόματι Δίρκην, ἥτις ὑπονοήσασα τὸν ἑαυτῆς ἄνδρα Λύκιον φιλεῖν τὴν Ἀντιόπην ἀνάγει αὐτὴν εἰς ὄρος καὶ δήσασα αὐτὴν ἀπὸ τραχήλου ταύρου καὶ ἀνάψασα δᾷδας ἀπὸ τῶν αὐτοῦ κεράτων ἔμελλεν αὐτὴν ἀπολλύειν. ἡ δὲ ἐθρήνει καὶ θορύβου γενομένου ἠθροίσθη πλῆθος γεωργῶν, σὺν οἷς καὶ Ζῆθος καὶ Ἀμφίων. καὶ γνωρίσαντες τὴν μητέρα ἐρρύσαντο αὐτήν, τὴν δὲ Δίρκην τῇ προκειμένῃ παρέδωκαν τιμωρίᾳ. Ζῆθος δὲ καὶ Ἀμφίων κτίζουσι Θήβας καὶ βασιλεύουσι, καὶ τούτων οἱ ἀπόγονοι μέχρι Λαΐου καὶ Ἰοκάστου, τοῦ μετακληθέντος Οἰδίποδος.

2683 sch. Ar. Ach. 1150 2684 Ar. Nu. 1022—3 c. sch.; Eupol. fr. 125 2685 = lex. Rom. Barocc. 2687 | 116—7 c. sch. A cf. Hes. 2688 — ἐναντίον cf. H καί—Πέρσῃσι Hdt. 6, 7 ἀντίξουν, ἐναντίον = Ambr. 2099, Et. M. 114, 24 ὁ sq. Agath. 1, 14, p. 44 2689 cf. Malal. p. 45—49

2683 cf. v. ψεκάς 2685 Z 193 2689 hinc 1751 fin. Apostol. III 1

A(GITFSM) 9 χορόν] χολόν A 12 ἡ om. GITM 14 Ψεκάδος] Ψακάδος M^{ce} 29 Λύκιον] Λύκον pr., Apostol. III 1 31 ἀπολλύειν A ἀπολύειν rell. 34 παρέδωκαν] παρέδωκε A

2690 Ἀντίοc: ὁ κατέναντι. ἦκε δ' αὐτοῦ ἀντίοc.
2691 Ἀντίου: πόλις, ἥτις ἀπέχει Ῥώμης τ' σταδίους. Suid.
2692 Ἀντιόχεια: ἡ πόλις. πεποίηται μὲν ὑπὸ Σελεύκου· ὠνόμασται δὲ ἀπὸ τοῦ παιδὸς Ἀντιόχου. καὶ Ἀντιοχίc, ὄνομα φυλῆc. Harp.
2693 Ἀντίοχοc, βαcιλεύc· οὗτος ἐδόκει κατὰ τὰc ἀρχὰc γεγονέναι μεγαλεπήβολος καὶ τολμηρὸc καὶ τοῦ προτεθέντος ἐξεργαcτικός, προβαίνων δὲ κατὰ τὴν ἡλικίαν ἐφάνη πολὺ καταδεέcτερος αὑτοῦ καὶ τῆc τῶν ἐκτὸc προcδοκίας. ἐκ γὰρ τῶν παίδων τοῦ Ἀλεξάνδρου τοῦ Μακεδόνος ἐξῆλθε ῥίζα ἁμαρτωλὸc, οὗτος ὁ Ἐπιφανὴc, υἱὸc Σελεύκου τοῦ Φιλοπάτορος, ὃc ὑπάρχων δεινὸc ἀνὴρ καὶ πλεονέκτηc καὶ πολλὰc ἁρπαγὰc καὶ λεηλαcίαc ποιήcαc cυνῆξε χρήματα πολλὰ καὶ ἐκ πολλῆc ἀκολαcίαc καὶ οἰcτρηλαcίαc εἰc μίμουc ἑαυτὸν καθεὶc ἐν ὄψει πάντων ταῖc γυναιξὶν ἐπεμαίνετο. καὶ καταλαβὼν τὴν Αἴγυπτον ἐν ὄχλῳ βαρεῖ καὶ ἅρμαcι καὶ ἐλέφαcι καὶ cτόλῳ μεγάλῳ ταύτηc ἐκράτηcεν. ὑποcτρέψαc δὲ μετὰ ἀπονοίαc εἶλε καὶ τὴν Ἱερουcαλὴμ δορυάλωτον καὶ κατέcφαξε μυριάδαc ιη'. κατατολμήcαc οὖν καὶ εἰc τὸ ἁγίαcμα εἰcελθὼν καὶ cτήcαc βωμὸν καὶ εἴδωλον βδέλυγμα ἐρημώcεωc καὶ τὸν ναὸν μιάναc δι' ἀκαθάρτων θυcιῶν ἱερὸν Διὸc Ὀλυμπίου προcηγόρευcεν. οὕτω τε ἐφ' ὑψηλοῦ καθίcαc καὶ τῶν cτρατιωτῶν αὐτοῦ κύκλῳ παρecτηκότων ἐνόπλων ἐκέλευcε τοῖc δορυφόροιc ἕνα ἕκαcτον Ἑβραῖον ἐπιcπᾶcαcθαι καὶ κρεῶν χοιρείων καὶ εἰδωλοθύτων ἀναγκάζειν ἀπογεύεcθαι· εἰ δὲ μὴ θέλοιεν μιαροφαγῆcαι, ἀναιρεῖcθαι τροχιcθέντας. πολλῶν οὖν cυναρπαcθέντων, καὶ Ἐλεάζαρ τιc τῶν πρώτων γραμματέων, ἤδη προβεβηκὼc τὴν ἡλικίαν, μὴ μιαροφαγήcαc, μαcτιγωθεὶc ἀναιρεῖται cὺν ἑπτὰ παιcὶ μετὰ μητρὸc Cολομωνίδοc. περὶ ὧν καὶ ὁ Θεολόγοc ἐν τῷ, τί δαὶ οἱ Μακκαβαῖοι, μνημονεύει. ἐκπλαγεὶc δὲ ὁ τύραννοc καὶ μᾶλλον ἐκμανεὶc καὶ τὰ ἱερὰ cκεύη πάντα λαβὼν καὶ πᾶcαν τὴν πόλιν λαφυραγωγήcαc καὶ τὰ κτήνη κρεουργήcαc καὶ φονοκτονίαν ποιήcαc καὶ μεγαλορημονήcαc ἀνεχώρηcεν εἰc Ἀντιόχειαν. καὶ μετὰ δύο ἔτη κατὰ Περcῶν ἐπιcτρατεύcαc ἀπέcτειλεν ἄρχοντα φορολογῆcαι τὰc πόλειc Ἱερουcαλήμ. ὃc παραγενόμενοc καὶ λαλήcαc εἰρηνικοὺc λόγουc πρὸc τὴν Ἱερουcαλὴμ καὶ εἰcελθὼν ἐπάταξεν αὐτὴν πληγῇ μεγάλῃ, καὶ καθελὼν τὰ τείχη πᾶcαν αὐτὴν ἐνέπρηcε, καὶ τὸ ἱερὸν

2692 — παιδόc Iulian. Misop. 347 a; — πόλις = Ambr. 2044 Ἀντιοχίc sq. Harp. = P, Ba 103, 24 2693 — προcδοκίαc Polyb. 15, 37 = EV 2, 143, 16—19 παίδων—μητρόc Georg. 1, 287, 1—14, 25—288, 20; περί—μνημονεύει PG 35, 911 a (cf. eundum citandi modum in 938) cf. Georg. 288, 22; ἐκμανείc—p. 240, 10 ἀπαλλάττει Georg. 289, 12—290, 6, 291, 10, 292, 4—13, 290, 8, 291, 4 cf. de Boor, Herm. 21, 24

2691 ex 2653 2693 Polyb. cf. v. μεγαλεπήβολοc. Georg. cf. v. B 202, v. Ἱερουcαλήμ; hinc 132

1 ἦκε—ἀντίοc om. S 2691 om. TFS mg. A 6 μεγαλεπήβολος] μεγαλεπίβολος F Exc. A(GITFSM)
καὶ τοῦ—p. 240, 17 ἐπανῆλθεν om. F 9 ὁ om. A
15 δορυάλωτον] δοριάλωτον M cf. v. B 202 et Georg., om. S 25 περί—26 μνημονεύει om. S 29 μεγαλορημόνηcαc] μεγαληγόρηcαc M

μιάνας καὶ πολλοὺς ἀνελὼν καὶ αἰχμαλωτεύσας ἀπῆει, ἄρχοντα καταλιπὼν εἰς τὸ βασανίζειν τοὺς Ἰουδαίους. Ματθίας δέ τις ἱερεύς, ἔχων υἱοὺς πέντε, ἀφ' ὧν Ἰούδας ὁ Μακκαβαῖος ἐτύγχανε, ζήλου πλησθεὶς καὶ ὁρμήσας κατὰ τοῦ ἄρχοντος ἀνεῖλεν αὐτὸν καὶ σκάπτει τοὺς τῶν Ἑλλήνων βωμούς. ἐπέρχεται οὖν αὐτῷ Ἀντίοχος μετὰ πολλῆς δυνάμεως. ὡς δὲ ἐπέτεινεν ὁ πόλεμος, Ἐλεάζαρ ἀδελφὸς Ἰούδα ἀριστεύσας συντρίβεται ὑπὸ τοῦ ἐλέφαντος. ὑπεισῆλθε γὰρ τὸν ἐλέφαντα καὶ ξίφει τὴν γαστέρα αὐτοῦ ἔτυψεν ἐλπίσας ἐπάνω αὐτοῦ τὸν τύραννον φέρεσθαι. ἐκστρατεύσας οὖν Ἀντίοχος κατὰ Περσῶν ὑπέστρεψεν ἡττημένος καὶ κακῶς τὸν βίον ἀπαλλάττει. ὅτι ὁ αὐτὸς Ἀντίοχος τὸ τῶν Ἰουδαίων ἔθνος στασιάσαν πρὸς τὸν συνήθη φόρον αὖθις κατεδούλωσε· συλήσας τε τὰ τοῦ ἱεροῦ ἀναθήματα καὶ διερευνήσας ἅπαντα εὗρεν ἀγαλμάτιον βιβλίον ἐν ταῖς χερσὶ κατέχον πώγωνά τε ἐπιφερόμενον βαθύν· ᾧ δὴ καὶ λυχνίδιον παρειστήκει διάχρυσον. ταῦτα χοιρείοις αἵμασιν ἀναλαβὼν ἐν τῷ ἱερῷ κατέλιπε· καὶ πολλοῖς ταλάντοις ζημιώσας πρὸς ὑπαγωγὴν φόρου τοὺς ἐνοικοῦντας Ἰουδαίους ἐπὶ τὰς Συρίας ἐπανῆλθεν.

Suid. 2694 Ἀντίοχος ὁ Πραιπόσιτος· οὗτος διαβληθεὶς Θεοδοσίῳ τῷ μικρῷ καθῃρέθη τῆς τιμῆς καὶ δημοσιευθεὶς ἐν τοῖς ἱερεῦσι κατετάγη, διατάξεως ἐκφωνηθείσης παρὰ τοῦ βασιλέως, εὐνοῦχον ἐν τοῖς πατρικίοις μὴ τελεῖν.

Ε 2695 Ἀντίοχος· αὐτόμολος, Κίλιξ μὲν ἦν τὸ γένος, ὃς φιλοσοφεῖν κυνηδὸν τὰ πρῶτα ἐπλάττετο καὶ πλεῖστά γε ἐκ τούτου τοὺς στρατιώτας ἐν τῷ πολέμῳ ὠφέλησεν. ἀπαλγοῦντας γὰρ αὐτοὺς ὑπὸ τοῦ πολλοῦ ῥίγους ἐπερρώννυεν, ἔς τε τὴν χιόνα ῥιπτῶν καὶ ἐν αὐτῇ καλινδούμενος· ὅθεν περ καὶ χρημάτων καὶ τιμῶν παρὰ τοῦ Σευήρου καὶ τοῦ Ἀντωνίνου ἔτυχεν. ἐπαρθεὶς δὲ ἐπὶ τούτοις τῷ Τηριδάτῃ συνεξετάσθη, καὶ μετ' αὐτοῦ πρὸς Πάρθους ηὐτομόλησεν.

Δ 2696 Ἀντιώντων: ἀπαντώντων.

Δ 2697 Ἀντιωρήσας.

Δ 2698 Ἀντιπάθεια.

Σ 2699 Ἀντίπαλον: τρία σημαίνει· τὸ ἐναντίον καὶ τὸ ἰσόπαλον καὶ
Ε τὸ ἰσόστροφον. οὐ γὰρ ἐξ ἀντιπάλου τῆς δυνάμεως ὁ ἀγὼν ἔσται.

Δ 2700 Ἀντιπαράκλησις. εἰς τοιαύτην προθυμίαν παρέστη τὸ
Ε πλῆθος, ὥστε παραπλησίαν ἐνθουσιασμῷ τὴν ἀντιπαράκλησιν γίνεσθαι τῶν δυνάμεων.

2695 Cass. D. 77, 191—2 2696 cf. Ambr. 2185, H v. ἀντιοώντων 2698 = Ambr. 2051 2699 = ἰσόστροφον = Ba 103, 4 cf. P οὐ sq. Proc. bell. 2, 3, 52 2700 Polyb. 11, 12, 2

2694 ex v. ὕπατος 2 cf. v. εὐνοῦχος et v. πατρίκιος 2 2695 hinc v. κυνήδον 1; cf. 2880 2699 Z 193

A(GITFSM) 3 ὁ Μακκαβαῖος] καὶ Ἰάκωβος GIT ἐτύγχανε] ἐτύγχανον GIT 7 ὑπεισῆλθε—9 φέρεσθαι om. A 9 οὖν] οὖν ὁ SM 10 ὁ om. A 15 ἀναλαβών] ἀναμιάνας S μιάνας mg. AMYp 16 ὑπαγωγήν] ὑποταγήν GIT ἐπί] εἰς S 17 ἐπανῆλθεν] ὑπέστρεψαν S 2694 om. FS mg. A post 2695 T 21 αὐτόμολος] ὁ ἀ. M 25 Σευήρου] Σεβήρου GITS 26 Ἀντωνίνου] Ἀντωνίου A^{ac} 31 τό pr. om. A 2700 om. S

2701 Ἀντιπαράτωρα: ἀντικόσμησις, ἡ ἄλλη εὐπρέπεια. παράτον γὰρ ἡ παρασκευὴ παρὰ Ῥωμαίοις.

2702 Ἀντιπαρέξειν: ἀντιτάσσειν. Σ

2703 Ἀντίπατρος, Ἰολάου, πόλεως δὲ Παλιούρας τῆς Μακεδονίας, Hesy. στρατηγὸς Φιλίππου, εἶτα Ἀλεξάνδρου, καὶ διάδοχος βασιλείας· μαθητὴς Ἀριστοτέλους. κατέλιπεν ἐπιστολῶν σύγγραμμα ἐν βιβλίοις β′, καὶ ἱστορίαν, τὰς Περδίκκου πράξεις Ἰλλυρικάς. καὶ ἐπετρόπευσε μὲν τὸν υἱὸν Ἀλεξάνδρου, τὸν Ἡρακλέα κληθέντα. μόνος δὲ τῶν διαδόχων θεὸν καλέσαι Ἀλέξανδρον οὐχ εἵλετο, ἀσεβὲς τοῦτο κρίνας. ἐβίω δὲ ἔτη οθ′ καὶ κατέλιπεν υἱὸν καὶ διάδοχον Κάσσανδρον, τὸν τὴν μητέρα Ἀλεξάνδρου ἀνελόντα Ὀλυμπιάδα. ὅτι τῶν Ἀθηναίων τὰς Ἀθήνας E Ἀντιπάτρῳ τῷ Μακεδόνι παραδόντων, ἐν δέει ὄντες οἱ δημαγωγοὶ πρὸς τὴν ἐπανάστασιν τοὺς Ἀθηναίους ἐπάραντες, μὴ τὴν αἰτίαν ἐπ' αὐτοὺς ἐνέγκωσιν, ἔφυγον. οἱ δὲ Ἀθηναῖοι θανάτῳ ἐρήμην τούτους κατεδίκασαν, ὧν ἦν Δημοσθένης ὁ ῥήτωρ καὶ Ὑπερίδης καὶ Ἱμεραῖος, τὴν τοῦ θανάτου εἰσήγησιν εἰσενεγκόντος. ἐγεγόνει γὰρ ἐς οὐδὲν μετριώτερος τῇ γνώμῃ· διότι μηδέ ἐστι φύσεως μεταβολὴ κακίᾳ συνελθούσης· ἡττᾶται δὲ αὐτῆς καὶ νόμου ἐπίταξις μὴ παντελῶς κολάζουσα, καὶ ἰσχὺς αὐτῇ ἀνανταγώνιστος ἐφ' ὅπερ ἂν ῥέψῃ· καὶ οὔτε φόβῳ ἀποτρέπεται τὸ θρασύνεσθαι, οὔτε αἰδὼς ἐξείργουσα παραπεῖσαι ἱκανή ἐστιν ἐς τὸ τῷ νόμῳ ὑπήκοον.

2704 Ἀντίπατρος· οὗτος ἐπεὶ διεδέξατο τὴν ἀρχὴν τῶν Μακεδό- E νων, ἐπολιορκήθη μὲν ἐν Λαμίᾳ τῆς Θεσσαλίας ὑφ' Ἑλλήνων· ἀναχωρησάντων δὲ τῶν Αἰτωλῶν, εἶτα τῶν ἄλλων, ἐσώθη. νικήσας δὲ ἤτει τοὺς ι′ ῥήτορας, οὓς ἐξέδοσαν Ἀθηναῖοι, Δημοσθένην, Ὑπερίδην, Λυκοῦργον, Πολύευκτον, Ἐφιάλτην, Θρασύβουλον, Χάρητα, Χαρίδημον, Διότιμον, Πατροκλέα, Κάσσανδρον.

A(GITFSM) 5 τοῦ om. FS 3104 non nov. gl. A 10 παρά GT περί rell. 11 τε] γάρ S cf. sch. 15 γε FSM σε AG1T 16 πρεσβυτέρου T[ac]F Synes. πρεσβύτου rell. 18 καί—19 γνώσεως om. GTFS 19 ἀπέχομαι—γνώσεως mg. A γνώσεως M βρώσεως AI 3106 om. GTFS mg. A 20 παρά] περί A 22 μέν om. FS Zon. 28 τρίς] τρεῖς AS

νεῶν τοῦ Ἀπόλλωνος ἐσύλησε. καὶ αὖθις· ἀπέχρησε μὲν οὖν καὶ ταῦτα κάκιστα ἀνθρώπων ἀπολέσαι αὐτόν. σημαίνει δὲ τὸ ἀπέχρησε καὶ τὸ ἐξήρκεσεν. E Σ

3110 Ἀπεψησάμην: κατεμαξάμην. ἀποψᾶν γὰρ λέγουσι τὸ ἐκμάσειν. καὶ Ἀπέψησαν, ἀπετίναξαν. εἰ δέ που πέσοιεν εἰς τὸν ὦμον ἐν μάχῃ τινί, τοῦτ' ἀπεψήσαντ' ἄν. τοῦτο ψευδόπτωμα λέγεται, ὅταν οἱ πεσόντες ἐξαναστάντες ἀποψῶσι τὴν κόνιν, ἵνα μὴ ἔλεγχον τοῦ πτώματος ἔχοιεν. καὶ ἐν Πλούτῳ· ἀποψώμεθα δ' οὐ λίθοις ἔτι. καὶ Ἀπεψήσας, ἐφθὸν ποιήσας. ἢ ἀντὶ τοῦ καινουργήσας. Ἀριστοφάνης· τὸν δῆμον ἀπεψήσας ὑμῖν καλὸν ἐξ αἰσχροῦ πεποίηκα. ἀντὶ τοῦ ἐκαινούργησα. ὥσπερ ἡ Μήδεια λέγεται τὰς τροφοὺς τοῦ Διονύσου ἀπεψήσασα ἀνανεάσαι ποιῆσαι. Ar. Ar.

3111 Ἀπεψηφίσατο: τουτέστι κατεδίκασεν. ἡ δὲ βουλὴ τὴν διάγνωσιν ποιουμένη τῶν πεπραγμένων ἀπεψηφίσατο τοῦ ἀνθρώπου, ἐπεὶ αὐτοῦ οὐκ ἐπελθόντος ἀλλ' ἀμυνομένου τὸ μίασμα γέγονε. καὶ αὖθις· τῶν δὲ στρατηγῶν δύο μὲν ἔφυγον πρὸ κρίσεως, Κόνωνος δὲ ἀπεψηφίσαντο. ἀντὶ τοῦ ἀπεδοκίμασαν. καὶ Ἀπεψηφισμένοι· ἐπὶ τοῖς δήμοις ἀποψηφίσεις ἐγίνοντο τῶν γεγραμμένων μὲν εἰς τὸ ληξιαρχικὸν γραμματεῖον, οὐκ ὄντων δὲ ἀστῶν, ἀλλὰ παρεγγεγραμμένων εἰς τὴν πολιτείαν· καὶ οὗτοι ἐλέγοντο ἀπεψηφισμένοι, ἐπειδὴ ψήφου περὶ αὐτοῖς ἐπαχθείσης οὐκέτι μετεῖχον τῆς πολιτείας. Ὑπερίδης ἐν τῷ πρὸς Ἀριστογείτονα· ὅπως πρῶτον μὲν μυριάδας πλείους ἢ ιε′, τοὺς ἐκ τῶν ἔργων τῶν ἀργυρείων καὶ τοὺς κατὰ τὴν ἄλλην χώραν· ἔπειτα τοὺς ὀφείλοντας τῷ δημοσίῳ καὶ τοὺς ἀτίμους καὶ τοὺς ἀπεψηφισμένους καὶ τοὺς ἀποίκους. Harp. + E Rhet.

3112 Ἀπέψον: τὸ ἔψιον, διὰ τοῦ ο μικροῦ. Ἀπέψων δὲ τὸ ἀπεσπόγγιζον, διὰ τοῦ ω μεγάλου. Δ

3113 Ἀπεψωλημένοι· Ἀριστοφάνης Πλούτῳ· ἀπεψωλημένοι· ἀκρατιεῖσθε. ἀντὶ τοῦ, ὡς τράγοι ἀκρατῆ πράξετε. καὶ ζήτει ἐν τῷ ἀκρατιεῖσθε. Suid.

3114 Ἄπει: ἀντὶ τοῦ ἀπελεύσῃ. Σοφοκλῆς. Σ

3109 vs. 1 ἀπέχρησε—αὐτόν Aelian. fr. 48 vs. 2 ἀπέχρησε sq. = Ba 119, 29, Σ[a] cf. H 3110 — ἐκμάσσειν + καὶ ἐν Πλούτῳ (818)—ἔτι sch. Ar. Ran. 490; εἰ—ἔχοιεν Ar. Eq. 571—2 c. sch.; ἀπεψήσας sq. Ar. Eq. 1321 c. sch. 3111 κατεδίκασεν cf. ad 3656; ἡ—γέγονε Proc. h. a. 29, 10 ἀπεψηφισμένοι sq. cf. Bk. 216, 18; Hyperid. fr. 29 3112 μικροῦ cf. Ambr. 2720; ἀπέψων—ἀπεσπόγγιζον = Ambr. 2719 3114 = Ba 115, 31; Soph. OT 431

3110 Ar. Pl. cf. 3060 3111 — κατεδίκασεν cf. 3656; παρεγγεγραμμένων cf. v. 3112 hinc v. ἔψον 3113 ex 959 3114 Z 261

6 λέγεται M λέγει rell. 10 ὑμῖν] ἡμῖν FS ὑμῶν A 12 ἀνανεάσαι AFA(GITFVSM) ἀνανεῶσαι GIM ἀνανεώσασα S (licenter) ποιῆσαι AM sch. ποιῆς F ποιήσασα GI 17 ἀπεψηφίσαντο] ἀπεψηφίσατο FS ἀπεδοκίμασαν] ἀπεδοκίμασεν FS 19 παρεγγεγραμμένων] παραγεγραμμένων TF παραγεγραμμένον S 21 αὐτοῖς] αὐτῶν Vales. ad Harp. 3113 om. F post p. 281, 9 Ὀσρόης V 29 καί—ἀκρατιεῖσθε om. V

E 3115 Ἀπεῖδεν· ὁ δὲ στρατηγὸς, ἐπεὶ ἀπεῖδεν εἰς αὐτὸν ὀργῇ διακεκαυμένος, θανάτῳ τὸν Γέτην ἐκόλασεν. ἀντὶ τοῦ μετὰ δριμύτητος ἐθεάσατο.

Σ 3116 Ἀπειθεῖν· δοτικῇ. ἀπιστεῖν. καὶ Ἀπειθὴς οὐ μόνον ἐπὶ
E τοῦ δυσπειθοῦς ἀνθρώπου, ἀλλὰ καὶ ἐπὶ τόπου. Αἰλιανός· οἱ γὰρ 5
Ῥωμαῖοι, ἔνθα ἂν τοῖς ἐχθροῖς ἐνέτυχον, ἐνταῦθα δήπου καὶ ἠγωνίζοντο, εἴτε εἶεν ἀπειθεῖς οἱ τόποι καὶ τραχεῖς, εἴτε καὶ εὐφυεῖς δέξασθαι ὁπλίτας καὶ εὐήλατοι.

Synt. 3117 Ἀπειθῶ· δοτικῇ. διὰ δίφθογγον. Ἀπιθῶ δὲ περισπωμένως, ὡς τό·
Suid. ᾧ δρύες οὐκ ἀπίθησαν, ὅτῳ συνάμ' ἕσπετο πέτρη ἄψυχος. 10
Synt. 3118 Ἀπεικάζω· δοτικῇ.

Δ 3119 Ἀπείκασμα: ὁμοίωμα.

ΣΔ 3120 Ἀπεικός: ἄτοπον, ἀπρεπές. Ἀπεικότως δέ.

Δ 3121 Ἀπειλή: ἡ ὀργή.

Δ 3122 Ἀπειλημμένος: κεκρατημένος. 15

Hom. Σ 3123 Ἀπειλητῆρες: καυχησταί. καὶ Ἀπειλῶν· δοτικῇ. καυχώμενος.

Δ+E? 3124 Ἀπείπατο: ἀπηρνήσατο. ὁ δὲ τὴν πατρίδα ἀπείπατο καὶ
Hom. | Θούριος ἀνερρήθη. καὶ Ἀπεῖπεν, ἀπηγόρευσεν. ἀπεφήνατο.
E ὁ δὲ ἀπεῖπεν ἅπασι μήτε ἄριστον αἱρεῖσθαι μήτε ἀποδαρθεῖν μήτε 20
Rhet. ἀποθωρακίσασθαι τῶν πάντων οὐδένα. καὶ Ἀπειπεῖν, ἀντὶ τοῦ κελεῦσαι μὴ πράττειν. Λυσίας ἐν τῷ κατὰ Κτησιφῶντος· καὶ τοὺς μὲν τῶν ἄλλων Ἀθηναίων παῖδας, ὧν οἱ πατέρες βοηθήσαντες ὑμῖν ἔτι ζῶσιν, ἀπειπεῖν ἐν τοῖς νόμοις μήτε ἄδικον μήτε δίκαιον λέγειν.

Harp. καὶ Ἀπειπεῖν, ἀντὶ τοῦ ἀποκαμεῖν καὶ ἀδυνατῆσαι. ἢ Ἀπειπεῖν, 25
Hom. | ἀπαρνήσασθαι. ἀποποιήσασθαι φιλίαν. καὶ ἀπειπάμενοι τὴν χάριν
E καὶ τὴν δωρεὰν διὰ τὸ γεγονὸς παρασπόνδημα.

3125 Ἀπειπών: ἐντειλάμενος. ἀπειπὼν μηδενὶ φράζειν τὸ γεγο-
E νός. καὶ Αἰλιανός· ὀλίγοι μὲν ἀπεῖπον πεμφθῆναί οἱ τὸν θρίαμ-

3116 δοτικῇ = Synt. Gud. ἀπιστεῖν = Ba 116, 8 (corrupt.) Αἰλιανός sq. fr. 120 3117 δοτικῇ = Synt. Laur. 3119 = Ambr. 2645 cf. H 3120 — ἀπρεπές = Ba 115, 30, Σ^a, H cf. Ambr. 2616 ἀπεικότως = Ambr. 2878 3121 = Ambr. 2565, H 3123 — καυχησταί sch. H 96 = Et. M. 121, 6 cf. Ambr. 2447 δοτικῇ = Synt. Gud. ἀπειλῶν, καυχώμενος = Ba 115, 32, Σ^a 3124 — ἀπηρνήσατο cf. H ἀπεῖπεν, ἀπηγόρευσεν sch. I 671 vs. 21 ἀπειπεῖν—πράττειν = Bk. 216, 27; Lysiae fr. 152 vs. 25 ἀπειπεῖν—ἀδυνατῆσαι Harp. = Ba 116, 7 cf. An. Ox. 2, 490, 5 vs. 25. 26 ἀπειπεῖν, ἀπαρνήσασθαι sch. I 309 cf. Harp., Ba 116, 8 3125 ἀπειπών—γεγονός fort. Aelian. ὀλίγοι—θρίαμβον Aelian. fr. 120

3115 Z 261; fin. cf. 3202 3116 Aelian. cf. v. ἐνέκρινον 3117 ἀπιθῶ sq. ex 3204 3119 Z 250 3120 cf. v. οὐκ ἀπεικός 3124 — ἀπηρνήσατο cf. 3168; ἀπηγόρευσεν cf. 3125, 3380, 3498

A(GITFVSM) 4 ἀπιστεῖν om. GIT 3117 om. GT mg. A; Ἀπειθῶ, πιθῶ δὲ nec plura S 9 δοτικῇ om. F ss. AM διὰ AF om. IM ἀπιθῶ F πιθῶ rell. 10 ἕσπετο] ἕπερ A 16 καυχησταί] καυχηταί sch., Zon. 238 3124 inc. V 25 ἀπειπεῖν pr.] ἀπειθεῖν V ἀδυνατῆσαι] ἀδυνατήσας A 29 ὀλίγοι] ὀλίγου AV

βον. ἢ Ἀπειπών, ἀποκαμών, ἀπαγορεύσας. ὀρρωδοῦντες, μή τις αὐτῶν ἀπειπὼν τοῖς παροῦσι, κίνδυνον ἀναρρίψας ὑπαναφῆναι δυ- E
νηθῇ τρίτος, ὅσπερ ἔμελλε δικαιώσειν αὐτούς.

3126 Ἀπειπών: ἀπαρνησάμενος, παραιτησάμενος. οὐκ ἂν ἔφησεν Δ + E
ἅψασθαι τροφῆς, εἰ μὴ τὸν φόνον τὸν βαρβαρικὸν ἱστορήσειεν. ὁ δὲ ἀπειπὼν τὴν εὐωχίαν συνηπείγετο πρὸς τὴν θέαν.

3127 Ἀπείραστον.

3128 Ἀπείρατον: ἀδοκίμαστον. οὐκ ἀπείρατον αὐτῷ ἔδοξεν ἐκλιπεῖν, εἴ πη Ὀσρόης γνωσιμαχήσας ἀποδύσεται τοῖς ἐκ Ῥωμαίων τε E
καὶ ἑαυτοῦ ξὺν δίκῃ ἀξιουμένοις.

3129 Ἀπειργάσθαι: ἀντὶ τοῦ ἀποδεδεῖχθαι. Ξενοφῶν. Σ

3130 Ἀπειραίη: ἡ ἄποθεν παροῦσα, ἠπειρωτική. Δ

3131 Ἀπειρέσια: ἄπειρα τῷ πλήθει. Σ

3132 Ἀπείρηκα· δοτικῇ. κέκμηκα. ὁ δὲ ἀμφὶ τὴν ἐσχάτην πο- Σ
ρείαν τοῦ βίου ὢν ἐγεγηράκει καὶ ἀπειρηκέναι τοῖς πόνοις ἐδόκει. E
καὶ αὖθις· διά τοι τοῦτο ἀπειρήκασι Μῆδοι τῶν εἰρηναίων σπονδῶν, καὶ EL
πάλιν αὐτοῖς ἀναζωπυροῦται τὸ φιλοπόλεμον. καὶ Ἀπειρήκει, Σ
ἀπειρήκειν, ἀπηγορεύειν· ἔστι γὰρ καὶ α′ πρόσωπον. καὶ Ἀπειρη- Δ
κυῖα, ἀπαγορεύσασα, καὶ Ἀπειρήκεσαν.

3133 Ἀπείρητος: ὁ ἀπείραστος, ὁ ἄπειρος. Ἀπείριτος δὲ ἡ Δ
ἄπειρος καὶ πολλή.

3134 Ἀπεῖρξεν: ἐκώλυσεν. Δ

3135 Ἀπειροκαλία: ἀμετρία τοῦ καλοῦ. οἱ δὲ Ῥωμαῖοι ἤδη Δ
κεκρατηκότες ἐπηρμένοι ἦσαν εἰς ἀπειροκαλίαν, καὶ τὰς σφῶν αὐτῶν E
ἐξέτεινε δυνάμεις ἀνὰ τὴν ἐκείνου Λιβύην. καὶ αὖθις· ἀλλ' εἰ μὴ λίαν ἀπειρόκαλος, ὡς διαβεβοημένα ἐπιδιηγούμενος.

3136 Ἄπειρος: ὁ ἀμαθής. ἢ ὁ ἀθαλάττωτος, ἀσαλαμίνιος. Ἀριστο- Δ
φάνης. διὰ τὴν περὶ Σαλαμῖνα ναυμαχίαν. ἢ ὅτι ἡ ἑτέρα τῶν ὑπ- Ar.
ηρετίδων νεῶν ἐκαλεῖτο Σαλαμινία, ἡ δὲ ἑτέρα Πάραλος.

3126 — παραιτησάμενος cf. H v. ἀπείπαντο 3128 οὐκ sq. Arr. Parth. p. 30 R. 3129 = Ba 116, 1; Xen. Cyr. 8, 8, 27 3130 = Ambr. 2562, sch. η 8; ἠπειρωτική = H 3131 = Ba 116, 3, Σ^{a}, H, Ap. S. 38, 12, Et. M. 120, 34 3132 κέκμηκα = Ba 116, 4, Σ^{a} ὁ—ἐδόκει Agath. 5, 14, p. 306 διά—φιλο πόλεμον Th. Simoc. 3, 15, 9 = EL 481, 6—7 ἀπειρήκει—πρόσωπον = Ba 116, 5, Σ^{a} ἀπειρηκυῖα, ἀπαγορεύσασα = Ambr. 2560 3133 ἄπειρος = H cf. Ambr. 2415, sch. M 304; πολλή = Ambr. 2561 cf. 2414, Zon. 239 3134 = Ambr. 2749, H 3135 — καλοῦ aliter Ambr. 2594 ἀλλ' sq. fort. Dam. 3136 — ἀμαθής = Ambr. 2430a cf. 2415, Et. M. 120, 45 ἀθαλάττωτος sq. sch. Ar. Ran. 204

3126 παραιτησάμενος cf. 3380 3128 — ἀδοκίμαστον Z 253; Arr. cf. v. Γ 355 3131 cf. 3040 3132 Simoc. cf. v. μετριοπαθεῖν

3 τρίτος] τρίτον GM^{oc} τρίτοσον IT ὅσπερ AGM ὥσπερ IFV ὅσονπερ T A(GITFVM)
ἔμελλε] ἔμενε A 3127 ex GM 10 ἑαυτοῦ AF αὐτοῦ rell. 17 ἀναζωπυροῦται] ἀναζωπυροῦσαι A ἀναζωπυρεῖται M^{oc} καί—19 ἀπειρήκεσαν om. V
18 ἀπειρήκειν post πρόσωπον M ἀπηγορεύειν om. TM γάρ] δέ M
α′ A cf. Ba, Σ^{a}, πρῶτον rell. 19 καὶ ἀπειρήκεσαν om. F 20 ἀπείραστος] ἀπέραστος M 24 εἰς om. A 25 ἐξέτεινε AFV ἐξέτεινον GT ἐξέτειναν IM
δυνάμεις] δυνάμει A εἰ μή] εἰμι F

Prov. 3137 Ἄπειροι γῦπες: ἐπὶ τῶν διὰ κληρονομίαν ἢ διὰ κέρδος προσεδρευόντων τινί· παρόσον οἱ γῦπες τοῖς θνησιμαίοις παρεδρεύουσιν.

Σ 3138 Ἄπειςιν: ἀπέρχεται.

Σ 3139 Ἀπείσομαι: ἀντὶ τοῦ ἄπειμι.

Δ 3140 Ἀπεῖχε: πόρρω ἦν. ὅσον δὴ ἀπεῖχε τοῦ ἐκπεπλῆχθαι βα- 5
E σιλέα τε καὶ ὄγκον, ἐδήλου τῷ μηδὲ ὀφθαλμῶν ἄξια ἡγεῖσθαι τὰ τοιαῦτα.

3141 Ἀπηγγέλη: ἐμηνύθη.

3142 Ἀπῆγεν: ἐκώλυεν, ἀπέτρεπεν. Δαμάσκιος· ὁ δὲ Σαλούστιος ἀπῆγε τοὺς νέους τῆς φιλοσοφίας, δυοῖν τὰ ἕτερα πεπονθώς, ἢ προς- 10
κρούσων τοῖς καθηγουμένοις, ἔχθρᾳ τῇ πρὸς ἐκείνους ἐπιβουλεύων ταῖς φιλοσόφοις διατριβαῖς, ἢ τὸ μέγεθος τοῦ ἐπιτηδεύματος ἐκλογιζόμενος, οἴεσθαι πάντας ἀνθρώπους ἀναξίους εἶναι αὐτοῦ.

Δ 3143 Ἀπηγμένους: ἀπαγομένους.

3144 Ἀπήξατο: βρόχον ἧψεν. 15

3145 Ἀπηγόρευον: ἀπέκαμνον, ἐταλαιπώρουν. ἡνίκα γὰρ ἀπη-
E γόρευον τῷ πόνῳ. πάλιν ἑαυτοὺς ἀνελάμβανον.

Δ 3146 Ἀπηγορήσομαι: ἀντὶ τοῦ ἀπολογήσομαι.

Δ 3147 Ἀπήεσαν: ἀπήρχοντο. καὶ Ἀπήει, ἀπήρχετο, ἀνεχώρει. εἶω, τὸ πορεύομαι, διαλύσει εἶω, ἧϊον, ἧϊες, ἧϊκα, ἧϊα, ἧΐειν, καὶ ἐν 20
συνθέσει ἀπῆϊειν, καὶ ἐν συναιρέσει ἀπήειν.

Δ 3148 Ἀπῆκτο: ἀπῆλθε. καὶ Ἀπηκτός, ὁ πορευόμενος.

Σ | 3149 Ἀπηλλάγησαν: ἐτελεύτησαν. ἢ τινος ἐστερήθησαν.

Σ ἀπηλλάγημεν πολυχέσου νοσήματος.

3150 Ἀπήλαυσε: μετέσχεν. οὔτε Κλεών οὔτε Βρασίδας, ὁ τῆς 25
EV συμφορᾶς αἴτιος, ἀπήλαυσε λοιδορίας, ὡς ἂν τοῦ συγγραφέως ὀργιζομένου. Μαρκελλῖνός φησι περὶ Θουκυδίδου.

E 3151 Ἀπήλγησαν· ὁ δὲ δῆμος ἅπας ἀπήλγησαν τὸ πάθος εὐθὺς καὶ ξὺν οἰμωγῇ ἀνέκραγον οὐράνιον ὅσον. ἀντὶ τοῦ ᾠκτίσαντο.

3137 = Philol. Suppl. 6, 259, n. 191 cf. p. 256; Diogen. II 88 3138 = Ba 116, 9, Σ^{a}, H, Ambr. 2739 3139 = Ba 116, 10 3142 Δαμάσκιος sq. fr. 88 3143 cf. Ambr. 2676 3145 ἡνίκα—πόνῳ Prisc. fr. 1, FHG 5, 1, 24 cf. p. LVIII 3146 = H 3147 — ἀπήρχοντο = Ambr. 2755 εἶω sq. cf. Et. M. 121, 29 3148 — ἀπῆλθε = Ambr. 2746; ἀπηκτός sq. aliter Ambr. 2454 3149 — ἐτελεύτησαν = Ba 120, 12, Σ^{a} ἀπηλλάγημεν sq. fr. com. ad. 19(?) 3150 οὔτε sq. Marcell. 26 = EV 2, 31, 12—14 3151 — ὅσον Proc. h. a. 16, 20

3138 cf. 3208 3149 hinc v. χέζομεν 3150 cf. 3377

A(GITFVM) 1 Ἄπειροι] Ἄπερ οἱ Diogen. γῦπες VM γῦπες μύοπες F μύοπες γῦπες GIT μύοπες A 5 βασιλέα] βασιλέως FV cp. A 6 τῷ] τό V μηδέ] μηδέν ITV ὀφθαλμῶν] ὀφθαλμῷ AF 10 προσκρούσων] προσκρούσας Asmus Byz. Zt. 18, 457, 3 12 ταῖς] τοῖς A τό] τά V τῷ τό Port. 17 πάλιν—ἀνελάμβανον om. AF cf. Buecheler, Rh. Mus. 24, 138 ἑαυτούς VM αὐτούς GIT 18 ἀντὶ τοῦ om. V Hes. 20 διαλύσει] κανών. διαλύσει M 22 ὁ] καί A 24 πολυχέσου] πολυνόσου GIT νοσήματος] πάθους V 28 ἀπήλγησαν] ἀπήλγησε F cf. Proc. 29 ᾠκτίσαντο] οἰκτίσαντο AF

3152 Ἀπηλεγής: ὁ ἀπότομος. καὶ Ἀπηλεγέως, σκληρῶς. Δ
3153 Ἀπηλιανός: ὄνομα κύριον. Δ
3154 Ἀπηλιαστής: μισόδικος. παρὰ Ἀριστοφάνει. Ar.
3155 Ἀπηλιώτης: ὁ ἄνεμος. ἐν τῷ η. καὶ ἀντήλιος καὶ πάντα Δ
τὰ ὅμοια ψιλῶς. καὶ ἡ ἔπηλίς ἐστι παρὰ Ποσειδίππῳ. Σ
3156 Ἀπηλοημένος: ὁ ἀπὸ τῆς ἄλω συγκεκομισμένος μετὰ τὸ Harp.
ἀλοηθῆναι, ὅ ἐστι πατηθῆναι. οὕτως Δημοσθένης ἐν τῷ πρὸς Φαίνιππον.
3157 Ἀπηλοίησεν: ἀπέκοψεν· Ἀπηλλοίωσε δὲ ἀλλοῖον ἐποίησεν. Δ
3158 Ἀπήμαντον: ἀβλαβές. Σ
3159 Ἀπήμαρτεν: ἀπέτυχεν. Δ
3160 Ἀπημείφθη: ἀντὶ τοῦ ἀπεκρίνατο. Σ
3161 Ἀπήμονα: ἀβλαβῆ. Ὅμηρος· τοὺς δ' εὖρ' οὐκέτι πάμπαν Σ
ἀπήμονας, οὐδ' ἀνολέθρους. συλληπτικῶς πέφρακεν, ἀντὶ τοῦ τοὺς Hom.
μὲν μὴ ἀπήμονας, τοὺς τετρωμένους, τοὺς δὲ μὴ ἀνολέθρους, τοὺς
ἀνῃρημένους. πῆμα δὲ ἡ βλάβη, παρὰ τὸ πήθω τὸ πανθάνω. τὰ Ecl.
δὲ εἰς α λήγοντα οὐδέτερα τετραχῶς συντίθεται. ἢ γὰρ φυλάσσουσι
τὸ αὐτὸ τέλος, ὡς τὸ δῆμα, διάδημα· ἢ ἀπὸ γενικῆς παράγονται, ὡς
γράμμα, γράμματος, ἐγγράμματος· ἢ τρέπουσι τὸ τέλος εἰς ος, ὡς
στόμα, χρυσόστομος· ἢ τρέπουσι τὸ τέλος εἰς ων, ὡς τὸ εἶμα, λευχείμων, καὶ πῆμα, ἀπήμων.
3162 Ἀπηνέμους: μὴ ἔχοντας ἀνέμους. Σ
3163 Ἀπηνεώθη: ὠμὸς ἐγεγόνει. Δ
3164 Ἀπηνέστερον: ἀποτομώτερον. οὐκ ἔστιν ἀπηνὲς οὐδὲ μὴν Σ
σφαλερὸν ἐφ' ἑαυτοῦ τὸ πήδημα. καὶ ἔδρασεν ὅπερ εἶπεν.
3165 Ἀπήνεια: ἡ ἀπανθρωπία. Δ
3166 Ἀπήνη: ἡ ἅμαξα. Δ
3167 Ἀπήνη· χωρὶς γὰρ τοῦ περὶ τὸ σῶμα καὶ τὴν ἀπήνην κόσμου καὶ τὰ Suid.
κανᾶ καὶ τὰ ποτήρια καὶ τἄλλα τὰ πρὸς θυσίαν ἀργυρᾶ πάντα καὶ χρυσᾶ συνεξηκολούθει κατὰ τὰς ἐπιφανεῖς ἐξόδους Αἰμιλίᾳ, τῇ τοῦ Σκιπίωνος γαμετῇ.

3152 — ἀπότομος = Ambr. 2450 cf. H v. ἀπηλεγέως = Et. M. 121, 14, sch. I 309; ἀπηλεγέως sq. = Ambr. 2873, sch. I 309 3153 = Ambr. 2465 3154 sch. Ar. Av. 110 3155 — ἄνεμος = Ambr. 2531 ἐν sq. = Ba 121, 1, Phryn.(?) fr. 249; Posidipp. fr. 41 3156 Harp. = Ba 121, 3; Dem. 42, 6 3157 — ἀπέκοψεν = Ambr. 2685, sch. Δ 522, Ap. S. 40, 11, Et. M. 121, 19, H; ἀπηλλοίωσε = Ambr. 2753 3158 = Ba 120, 13, Σ^a, Ambr. 2629 cf. H 3159 cf. H v. ἀπήμβροτε 3160 = Ba 120, 14 3161 — ἀβλαβῆ = Ba 120, 15, Σ^a, H, gl. Dionys. PG 4, 24 cf. Ambr. 2407 Ὅμηρος—ἀνῃρημένους N 761 c. sch. πῆμα sq. cf. Et. M. 121, 48 3162 = Ba 120, 16, Σ^a cf. Ambr. 2558, H 3163 = Ambr. 2702 3164 — ἀποτομώτερον = Ba 120, 17, H 3165 l. = Ambr. 2579 3166 = Ambr. 2542, Et. M. 121, 47, H cf. sch. Ω 324, Ap. S. 40, 31

3154 cf. v. ἡλιαστής; Z 238 3155 hinc 2646 et v. ἔπηλις 3161 Z 234 3167 ex v. Αἰμιλία

4 η] π Bekk. 14 ἀνολέθρους] ἀνωλέθρους FV ἀναλέθρους M τοῦ A(GITFVM) om. AGIV 15 μή bis om. AV οὐκ sch. ἀνολέθρους GI ἀνωλέθρους rell. ante 3162 Ἀπήμυον add. V 3167 om. TF mg. A

Δ | Pa. 3168 Ἀπηνήνατο: ἀπηρνήσατο. παρητήσατο. οὐκ ἠθέλησεν.
Metaphr 3169 Ἀπηνθηκώς· τῶν Ἑλλήνων ἀπηνθηκότων, τὰ τῶν Χριστιανῶν προέκοπτεν.
Δ 3170 Ἀπηνής: ὁ σκληρός. λέγεται δὲ καὶ ὁ ἄποθεν τοῦ αἰνεῖσθαι.
Ar. 3171 Ἀπηνθράκιζεν: ὤπτα. τὰ γὰρ ἐξ ἀνθράκων γινόμενα, καλὰ γίνεται. Ἀριστοφάνης· βοῦν ἀπηνθράκιζ' ὅλον.
Δ | 3172 Ἀπήντα, καὶ Ἀπήντηκα, πέφθακα. καὶ Ἀπήντησεν, ἐτελέσθη, ἐξέβην. πάντα αὐτῷ κατὰ τὰς προφητείας ἀπήντησεν. ἀντὶ τοῦ ἐγένετο. ὁ δὲ Θεολόγος, ὅτε λέγει· εἰ δὲ τοσοῦτον ἀπήντηκα τοῦ καιροῦ δεύτερος καὶ μετὰ τοσούτους ἐπαινέτας· ἀντὶ τοῦ
E ἦκον εἰς τὸ ἐγκωμιάζειν. καὶ Αἰλιανὸς περὶ τῆς ἐν Κάνναις τῶν Ῥωμαίων ἥττης· τοσοῦτον ἄρα αὐτοῖς ἀπήντησε τὸ πταῖσμα. καὶ αὖθις·
E μέγιστον δὲ πάθος τῇ Λακεδαίμονι τοῦτο ἀπήντησε. καὶ αὖθις· οὐ
E μὴν ἀπήντησέν οἱ τὰ τῆς ἐλπίδος.
Σ 3173 Ἀπῆξεν: ἐφώρμησεν.
E? 3174 Ἀπηξιωμένων: ἀτίμων, ἀναξίων. Τιγράνης ὄνομα τῶν οὐκ ἀπηξιωμένων μ' παρθένων, εὐνοῦχος δέ. καὶ Ἀπαξιώσας, ἀντὶ
EL τοῦ τὴν ἀξίωσιν παρωσάμενος. τοῦ Χοσρόου τὸ Δάρας οὐκ ἀπαξιώσαντος ἀποκαταστῆσαι Ῥωμαίοις. καὶ Ἀπηξίωσεν, οὐχ ἡγήσατο ἄξιον. Οὐκ ἀπηξίωσε δὲ ἡγήσατο ἄξιον. καὶ αὖθις· τὸ γὰρ πρὸς ἀλκὴν τραπέσθαι πρὸς πάντων τῶν μετασχόντων τῆς βουλῆς ἀπηξιοῦτο.
Δ 3175 Ἄπηρα: τὰ ἀβλαβῆ.
Δ 3176 Ἀπήρραξεν: ἀπέκοψεν.
3177 Ἀπῆρεν: ὕψωσεν.
ΔΣ 3178 Ἀπηρείσατο: ἠκούμβισεν. ἀπετινάξατο, ἔπηξεν, ἀπέθετο.
E Πολύβιος· ὁ δὲ ἀπορῶν τοῖς ὅλοις πέρας ἐπί τινα τοιαύτην ἐλπίδα

3168 — ἀπηρνήσατο = Ambr. 2708, An. Ox. 2, 429, 6 cf. sch. H 185 = Et. M. 121, 26, Ba 120, 18 παρητήσατο = Cyr. Vall. E 11, Zon. 277 οὐκ sq. = An. Ox. 2, 429, 6 3169 Metaphr. 3170 = Et. M. 121, 52; — σκληρός = Ambr. 2423 (cf. 2400), H, sch. O 94; ἄποθεν sq. = Ambr. 2452 3171 Ar. Ran. 506 c. sch. 3172 ἀπήντηκα = Ambr. 2750 πάντα—vs. 8 ἀπήντησεν Dam. fr. 12 εἰ—ἐπαινέτας Greg. Naz. 20, PG 36, 496b; ἀντί—ἐγκωμιάζειν fort. sch. Greg. τοσοῦτον—πταῖσμα Aelian. fr. 113 μέγιστον—ἀπήντησε fort. Aelian. οὐ μήν sq. Aelian. fr. 223 3173 = Ba 120, 28 3174 τοῦ Χοσρόου—Ῥωμαίοις Th. Simoc. 3, 17, 2 = EL 224, 3 3175 cf. Ambr. 2644, Et. M. 122, 6 3176 = Ambr. 2662, sch. Ξ 497 3178 — ἠκούμβισεν + ἀπηρίσατο + ἐφιλονείκησεν = Ambr. 2700 ἀπετινάξατο—ἀπέθετο = Σ[A], Ba 120, 19 cf. H ὁ—p. 285, 1 ἀπορίαν Polyb. fr. 14

3168 cf. 2894 3172 Lex. Vind. 189 3174 ἡγήσατο ἄξιον cf. 2909 3176 cf. 3494 et Z 277 v. ἀπῆρκεν 3178 ἠκούμβισεν cf. 3039 et v. ἐρείδειν 2 et v. ἠρείκωσε

A(GITFVM) 1 παρητήσατο—ἠθέλησεν om. VF 3169 om. F mg. AV 2 Ἀπηνθηκώς om. AV post gl. G 6 βοῦν] βοῦν δ' M 11 ἐν om. AFV 12 αὐτοῖς VM αὐτῆς rell. 13 Λακεδαίμονι] Λακεδαιμονίᾳ V Λακεδαίμονος F cp. A Λακεδαιμόνων Bhd. 18 Δάρας] ὄνομα πόλεως add. GT ss. IM 20 ἀπηξίωσε AF ἀπηξίωσαι V ἀπαξίωσαι M

κατὰ τὸ παρὸν ἀπηρείσατο τὴν ἐνεστῶσαν ἀπορίαν. Ἀπηρίσατο Δ
δὲ. δοτικῇ. διὰ τοῦ ι. ἀντὶ τοῦ ἐφιλονείκησεν.
3179 Ἀπηρκότος: ἀναχωρήσαντος. ἄρτι δὲ ἀπηρκότος τοῦ Σο- Δ
ραίχου, ἡ Σινωνὶς ἐφίσταται. E
3180 Ἄπηρος: ὁ μὴ ἔχων μαρσίπιον. Δ
3181 Ἀπήροσεν: ἀπηροτρίασεν. Δ
3182 Ἀπήρτα: ἐκώλυε, διατριβὴν παρεῖχεν. Ἀρριανός· ὁ δὲ ναυ-
τικὸς στρατὸς, ἵνα περ μὴ ἄκρα ἐπὶ πολὺ ἀνέχουσα τοῦ ποταμοῦ ἀπήρτα E
τὸν πλοῦν τῆς ὁδοῦ, ξυμπαρέπλει τῇ στρατιᾷ.
3183 Ἀπηρτημένας: ἀπαιωρημένας. Σ
3184 Ἀπήρυκεν: ἀπεκώλυεν. ὁ δὲ μόνος ὑφίστατο καὶ ἀπήρυκε τὸ Hom. + E
θηρίον. καὶ αὖθις· καὶ βάρη συνεχῆ ἐπιβάλλοντες, ἀπήρυκον τοῦ E
λυμαίνεσθαί τι τοῦ τείχους.
3185 Ἀπήστραψεν: ἀπέλαμψεν. Δ
3186 Ἀπήτει: ἐζήτει. Δ
3187 Ἀπηύρα: ἀφείλετο. ἀπέλαυσεν. ΔΣ
3188 Ἀπηυτομόλησεν. προσπέφευγε τοῖς ἐναντίοις. Δ|
3189 Ἀπηχές: κυρίως τὸ σκληρόν. ψευδὲς, δύσφορον, ἀηδὲς, ἐχθρόν. Σ
οὗ καὶ τὸν ἦχον ἀποστρεφόμεθα. μὴ ὀνειδιστικῶς ἐπιλαμβάνεσθαι Δ
τῶν βάρβαρον ἢ κόλοικόν τι ἢ ἀπηχὲς προενεγκαμένων. καινότατον
δὴ περιμένων καὶ ἀπηχῆ θάνατον. Metaphr.
3190 Ἀπήχεια: ἀντὶ τοῦ ἀπέχθεια. οὕτως Λυσίας καὶ Δείναρχος. Harp.
3191 Ἀπηχημένον: ἀπόβλητον, ξένον τοῦ κατὰ πάντων ἤχου. Σ
3192 Ἀπήχθετο: ἐμισεῖτο. Σ
3193 Ἀπήχθη: ἀπεκομίσθη, ἢ παρετράπη. ὁ δὲ Ἀπολλώνιος τὴν Δ
γλῶτταν Ἀττικῶς εἶχεν, οὐδὲ ἀπήχθη τὴν φωνὴν ὑπὸ τοῦ ἔθνους ἐς
Ταρσοὺς τῆς Κιλικίας ἀναστρεφόμενος. καὶ Ἀπηχθημένον, ἀπό- Σ
βλητον. Ἀπηχθισμένον δὲ βεβαρημένον.

3179 ἄρτι sq. Iambl. fr. 22 3180 cf. Ambr. 2429 3182 ὁ sq. Arr. Parth. R. p. 50 3183 = Ba 120, 21, Σ^{a} 3184 — ἀπεκώλυεν cf. sch. ι 119; ὁ—θηρίον fort. Iambl. vel Aelian. 3187 — ἀφείλετο = Ambr. 2754, sch. O 462, Ap. S. 38, 21 ἀπέλαυσεν = Ba 119, 16 3189 ψευδές—ἐχθρόν = Ba 120, 22, Σ^{a} cf. H, Ambr. 2627 οὗ—ἀποστρεφόμεθα = Zon. 251, Cyr. Vall. E 11 v. ἀπηχέστατον μὴ—προσενεγκαμένων Marc. 1, 10, 2 καίνοτατον sq. Metaphr. 3190 Harp. cf. Ba 120, 29, H; Lysiae fr. 168; Dinarch. fr. XLIV 3191 = Ba 120, 24, Σ^{a} 3192 = Ba 120, 23, Σ^{a}, H, sch. Γ 454 3193 — ἀπεκομίσθη = Ambr. 2666 ὁ—ἀναστρεφόμενος Philostr. 1, 7 ἀπηχθημένον sq. = Ba 120, 26, 27, Σ^{a} cf. Ambr. 2736; ἀπόβλητον = H

3179 hinc v. Σίνωνος; Z 261 3182 Z 261 3184 cf. 3054 3189 Marc. cf. v. ἐπιλαμβάνεσθαι 3190 Z 241 3193 cf. v. Εὐθύδημος; Z 261

2 δοτικῇ ex A διὰ τοῦ ι om. AV 4 ἐφίσταται GI^{oc}TM^{ec} v. Σίνωνος, Zon., ἐπίσταται rell. 8 ἀνέχουσα] ἀντέχουσα V μὴ ἔχουσα F 3183 om. V 10 ἀπαιωρημένας AGIT ἀπηωρημένας M ἀπηρημένας F 13 τι τοῦ τείχους] τὸ τεῖχος M 16 ἀπέλαυσεν ex VM 17 προσπέφευγε—ἐναντίοις om. F mg. V ἐναντίοις] ἐχθροῖς V 18 κυρίως τὸ σκληρόν om. FV ψευδές] καὶ ψ. GIT 20 τι ἢ ἀπηχές om. V καινότατον—21 θάνατον om. GTFV mg. A post 3190 I 27 καὶ om. VM A(GITFVM)

Δ 3194 Ἄπια: εἶδος ὀπώρας. Ἀπίους εἴρηκε Πλάτων ἐν Νόμοις.
Σ + Ar. ἔστι καὶ παρὰ Ἀλέξιδι καὶ ἐν Ἀγρίοις Φερεκράτους· πρὶν ἀνακυκῆσαι τοὺς ἀπίους ἁρπάζετε.
3195 Ἄπιον οὐδέτερον, Ἄπιος δὲ θηλυκόν.
On. 3196 Ἄπις κρατῶν τις ἀστοχεῖ τῶν ἐλπίδων.
Suid. 3197 Ἄπια: εἶδος ὀπώρας. καὶ ζήτει ἐν τῷ Ἀντιφάνης. ἑτέρωθι γράφεται, ὅτι ἄπια ἡ ὀπώρα· ἡ ἄπιος δὲ καὶ ἄπιοι, τὰ δένδρα.
Δ 3198 Ἀππιανός: ὄνομα κύριον. οὗτος ὁ Ἀππιανὸς ἔγραψε Ῥωμαϊκὴν ἱστορίαν, τὴν καλουμένην Βασιλικήν. καὶ αἱ μὲν γ' βίβλοι Ἀππιανοῦ αἱ πρῶται περιλαμβάνουσιν ὅσα Ῥωμαίοις ἀγωνιζομένοις ἐς Ἰταλιώτας ἔτι περὶ ἀρχῆς καὶ ἡγεμονίας ἐπράχθη. ὅσα δ' ἀμφὶ τὴν Ἰταλίαν ἄλλα Κελτοί τε καὶ Λίβυες ἔδρασάν τε καὶ ἔπαθον, καὶ εἴ τί που καὶ τῆς Ἰταλίας μέρος ἀνάγκαις ἢ ἐνέδραις ἢ πλάναις ἐς αὐτοὺς μετέθετο, ἐν τοῖς περὶ Κελτῶν καὶ Λιβύων. συγγέγραπται δ' ἐφ' ἑαυτῶν ὅσα καὶ ἐς τὰς ἐμφυλίους Ῥωμαίων στάσεις ἡ Ἰταλία διῃρεῖτο. ὅτι τοὺς πρὸς Κελτούς, τουτέστι Γερμανούς, οἳ ἀμφὶ τὸν Ῥῆνον ποταμόν εἰσι, καὶ τοὺς Γαλάτας, τουτέστι Γάλλους, πολέμους, καὶ τὰς αἰτίας αὐτῶν, ὅσαι τε συνθῆκαι καὶ συνθηκῶν παραβάσεις ἢ ἐπαναστάσεις ἐγένοντο Κελτῶν ἕως ἐπὶ τοῦ Γαΐου, ἡ δ' βίβλος περιέχει συλλαβοῦσα. εἰ δέ τί που Κελτοὶ μὴ κατὰ πρόφασιν οἰκείαν, ἀλλὰ συμμαχοῦντες Ἰταλῶν τισιν ἢ μισθοφοροῦντες ἔπραξαν, ἐν τοῖς περὶ ἐκείνων συγγέγραπται. καὶ ὅσον εἰς γνώρισμα μόνον αὐτῶν μέμνηται Ἀππιανός. ἔγραψε δὲ Ῥωμαϊκὰ λόγους ἐννέα. οἱ δὲ διὰ τοῦ ἑνὸς π γράφουσιν Ἀπιανός.
Ε 3199 Ἀππία ὁδός: οὕτως ἐκαλεῖτο ἀπὸ Ἀππίου, Ῥωμαίου τιμητοῦ, ὃς λιθομυλίᾳ ταύτην κατέστρωσε καὶ ὕδατος ὀχετοὺς κατεσκεύασεν.
Hom. 3200 Ἀπ' Ἰδαίων ὀρέων: ἀπὸ τῶν τῆς Ἴδης ὀρῶν.
Greg. 3201 Ἄπιδες: θεοὶ ἦσαν τιμώμενοι παρὰ Αἰγυπτίοις, σημεῖον ἔχοντες περὶ τὴν οὐρὰν καὶ τὴν γλῶσσαν, δηλοῦν εἶναι αὐτοὺς Ἄπιδας. οἷς γεννωμένοις διὰ χρόνου, ὡς ἔλεγον, ἐκ τοῦ σέλαος τῆς σελήνης ἑορτὴν μεγάλην ἦγον καὶ ἱερεῖς τινες περὶ τὸν τεχθέντα βοῦν ἱερῶντο, παρατιθέντες πανδαισίαν, ὡς εὐωχοῦντες αὐτούς. Ἄπις· οὗτος ὁ Ἄπις θεὸς Αἰγύπτιος. τοῦτον Αἰγύπτιοι σελήνῃ τιμῶσι, καὶ ἱερὸς ἦν ὅδε ὁ βοῦς τῆς σελήνης, ὥσπερ ὁ Μέμφις τοῦ ἡλίου. Ὦχος τὸν

3194 ἀπίους—Ἀλέξιδι = Ba 121, 11 cf. sch. Ar. Eccl. 355; καὶ παρά—ἁρπάζετε sch. Ar. Eccl. 355; Pl. Leg. 845b; Alexid. fr. 33 (2, 309 K.); Pherecr. fr. 8 3196 Astramps. 3197 ἑτέρωθι sq. cf. Et. M. 122, 28 3198 cf. Phot. bibl. cod 57 3199 cf. Eutrop. 31 3200 Θ 170 c. sch. cf. Ambr. 2408 3201 — αὐτούς cf. Nonn. in Greg., PG 36, 1052c, Georg. 64, 19 Ὦχος sq. Aelian. fr. 37

3197 cf. 3194 et 2735 3199 hinc v. λιθομυλίᾳ; Z 242 3201 hinc 3217, v. Μέμφις; Aelian. hinc v. Ὦχος

A(GITFVM) 2 Ἀγρίοις] Ἀγράφοις GIT 3 τούς] τάς VM ἀπίους] ἀπίος V ἁρπάζετε] ἁρπάζετο A ἁρπαζέτω sch. 3195 om. FTV mg. A post 3199 G 4 οὐδέτερον AM οὐδετέρως GI θηλυκόν AM θηλυκῶς GI 5 Ἄπις] Ἄπιν Astr. 3197 ex AM 6 Ἄπια M Ἄππια A ἑτέρωθι—7 δένδρα om. A 8 Ἀππιανός pr.—κύριον post 3194 AG1T; 3197 sequ. in A ὄνομα—Ἀππιανός alt. om. VM οὗτος—21 Ἀπιανός om. TF mg. β' praefixo et ζήτει τὸ σχόλιον εἰς τὸ ἀλλὸ μέρος ad 3194 A 10 ὅσα GIM ὅτι AV 13 ἐς] ἐπ' A 14 ἐμφυλίους] ἐμφυλικούς A ὅτι] ἔτι Bas. 15 Κελτούς] τοὺς K. A 17 παραβάσεις] περιβάσεις V 21 Ῥωμαϊκά] Ῥωμαϊκούς GI 3199 om. M 22 τιμητοῦ—23 κατεσκεύασεν om. G 23 ὅς] οἷον V 3200 om. V 29 Ἄπις non nov. gl. AM 31 Μέμφις] Μνεῦις coll. Strab. 17, 22, 27 Port.

Ἄπιν ἀποκτείνας ἐβούλετο αὐτὸν τοῖς μαγείροις παραβαλεῖν, ἵνα αὐ- E
τὸν κρεουργήσωσι καὶ παρασκευάσωσιν ἐπὶ δεῖπνον.
3202 Ἀπίδω: θεάσομαι. Δ
3203 Ἀπίη: ἡ ἀλλοδαπή. Δ
3204 Ἀπίθανον: ἄπιστον. καὶ Ἀπίθησαν δὲ διὰ τοῦ ι, ἀπὸ Σ |
τοῦ πιθῶ περισπωμένου. ᾧ δρύες οὐκ ἀπίθησαν, ὅτῳ σὺν ἅμ' Anth.
ἕσπετο πέτρη ἄψυχος.
3205 Ἀπιθής: ὁ δυσχερὴς καὶ δυσανάβατος τοῖς βαίνειν ἐθέλουσιν.
Ἀλαλκομεναὶ πόλις ἐστί· καὶ ἀκούω αὐτὴν μήτε ἐφ' ὑψηλοῦ κεῖσθαι E
καὶ ἀπιθοῦς λόφου μήτε τειχῶν περίβολον ἔχειν.
3206 Ἄπιθ' οὐ γάρ: ἀντὶ τοῦ καὶ γάρ. Ar.
3207 Ἀπίκιος, Ῥωμαῖος, ἱκανὰς μυριάδας ἀργυρίου καταναλώσας
ἐς τὴν γαστέρα, ἐν Κιντούροις τῆς Γαλατίας πολλὰς καρίδας ἐσθίων·
μέγισται γάρ εἰσι τῶν ἐν Σμύρνῃ· καὶ τοὺς ἐν Ἀλεξανδρείᾳ ἀστακούς.
ἀκούσας οὖν ἐν Λιβύῃ γίνεσθαι καρίδας ἐξέπλευσεν οὐδὲ μίαν ἡμέραν
ἀναμείνας. θεασάμενος δὲ αὐτὰς μικρὰς ἐκέλευσε τῷ κυβερνήτῃ τὴν
αὐτὴν ὁδὸν αὖθις ἐπ' Ἰταλίαν ἀναπλεῖν, μηδὲ προσπελάσας τῇ γῇ.
3208 Ἄπιμεν: ἀπερχόμεθα. Δ
3209 Ἀπίμελος: ὁ μὴ ἔχων πιμελήν. Δ
3210 Ἀπινής: ὁ καθαρός. Δ
3211 Ἀπινύσσω: ἐκπνέω. πονῶ, πονύω, πνύω, πνέω, πνεύω· ἀπὸ Ecl.
τοῦ πνύω, πεπνυμένος, καὶ ἀμπνυνθῆναι. ἀπὸ τοῦ πνέω πνεῦστος
καὶ ἄμπνευστις· τὸ πνύω κατὰ ἀνάπτυξιν πινύω, ἔνθεν πινυτή, κατὰ
δὲ μεταπλασμὸν πινυτά· ὃν δὲ τρόπον ἀπὸ τοῦ ἀφύω ἀφύσσω, ὀδύω
ὀδύσσω, οὕτως πινύω πινύσσω.
3212 Ἄππιος φόρος: ὄνομα τόπου, ἀπὸ Ἀππίου Ῥωμαίου. Δ
3213 Ἀπίκιος Μάρκος· οὗ διαρρεῖ μυρίον ὄνομα ἐπί τε ἀσωτίᾳ E
καὶ πολυτελείᾳ καὶ ῥᾳστωνεύσει βίου καὶ κακοδαιμοσύνῃ λοιπῇ. ὑπάτῳ
δὲ ἤκτην Ἰούνιος Βλαῖσος καὶ Λεύκιος· ὁ τοίνυν Βλαῖσος ἐπὶ τὴν θοί-

3202 = Ambr. 2697 3203 = H cf. sch. A 270, aliter Ambr. 2544
3204 — ἄπιστον = Ba 121, 6, Σ^{A} ἀπίθησαν—περισπωμένου cf Et. M. 122, 47, Et. Gud. ᾧ sq. Anth. 7, 9, 3—4 3205 Ἀλαλκομεναί sq Aelian. fr. 53
3206 Ar. Eq. 1205 c. sch. 3207 Ath. 1, 7a—c 3208 l. cf. Ambr. 2740
3209 = Ambr. 2413 3210 = Ambr. 2424 3211 cf. Et. M. 122, 32, Eust. I. 595, 20 3213 Aelian. fr. 110

3202 cf. 3115 3204 hinc 3117 3206 cf. v. οὐ γὰρ μοὐστίν 3207 hinc v. καρίδας et v. Κιντούροις 3208 cf. 3188; Z 261 3213 hinc 4184, v. B 326, v. ἐφολκίδα, v. Σερουΐλιος

2 κρεουργήσωσι] κρεουργήσουσι V παρασκευάσωσιν] παρασκευάζουσιν V A(GITFVM)
δεῖπνον] δείπνῳ AF 3202 om. V 5 ἀπίθησαν] ἀπίθης A δέ ex AF
8 Ἀπιθής AGM^{ac} Ἀπειθής rell. 10 ἀπιθοῦς A ἀπειθοῦς rell. 3206 om. V
13 Κιντούροις] Κιντουρίοις A; γρ. ἐμ Μιντούρναις ss. M cf. Ath. ἐσθίων] ἢ ἥσθιε ss. M 14 Ἀλεξανδρείᾳ] Ἀλεξανδρίᾳ AV 15 καρίδας] πολλὰς καὶ μεγίστας add. V οὐδέ] μηδέ GIT 17 μηδέ om. GIT 22 ἀμπνυνθῆναι] ἀμπνωθῆναι GITM 26 Ἀππίου AGI τοῦ Ἀ. FVM 29 Ἰούνιος] Ἰούνιος A

νην κληθεὶς οἷον ἐφολκίδα ἄκλητον ἐπάγεται Ἀσκώνιον Παιδιανόν. ἐξῆν γὰρ καὶ ἐπικλήτους οἱονεὶ σκιὰς ἑαυτοῖς παρακαλεῖν τινας. καὶ ἔδει τὸν Ἀπίκιον καὶ φίλοις καὶ ἀγνῶσι τὴν οὐσίαν ῥίπτειν τὴν ἑαυτοῦ. πέπυσμαι δὴ ἐν τῷδε τῷ συνδείπνῳ γενέσθαι καὶ Ἰσίδωρον ὄνομα, τῶν ἐκ παλαίστρας κατατριβέντων, ἄνδρα παλαιὸν μὲν ἤδη καὶ πολὺν μὲν τῷ χρόνῳ, ἓν δὲ καὶ ϛ′ ἔτη γεγονότα, εὐπαγῆ τε καὶ εὐμελῆ, καὶ βαθὺν μὲν τὰς πλευρὰς, γενναῖον δὲ τὼ βραχίονε καὶ τὼ χεῖρε ἄκρω, βλέπειν τε ὀξὺ καὶ ἀκούειν ῥᾷστα, ὡς μὴ ἂν πιστεύειν πέρα ξ′ ἐτῶν εἶναι αὐτὸν, σκύφων δὲ πιτύλοις ἁμιλλᾶσθαι διαπίνοντα πρὸς τοὺς νέους, καὶ μέντοι καὶ ὑπὲρ πολυδαισίας καὶ ὑπὲρ πολυποσίας ἐρίσαι καὶ νεάζειν ταῦτα. ἑνὶ δὲ ἡττηθῆναί φασιν αὐτόν· ἀπελθεῖν γὰρ τοῦ συνδείπνου θᾶττον. γέροντες δὲ ἄλλοι τε ἔλεγον ἐπὶ τέχνῃ παλαιστρικῇ καὶ μέντοι καὶ Ἰούνιος Βλαῖσος. καὶ ὅτε ταῦτα ἔλεγεν, ἔτη γέγονεν ξ′ φησί. μακρὸν δὲ τὴν ζωὴν γενέσθαι πέπυσμαι Σερουΐλιον ὕπατον· ἔτεσι γὰρ τοῖς ϛ′ ὁμοῦ τε ἐβίωσε καὶ πάντα, ὡς λόγος, τὰ τοῦ σώματος ἀπαθὴς ἦν. καὶ μέντοι καὶ διεσώσατο τὰς αἰσθήσεις ἁπάσας εὐμοιρίᾳ ἀξιοζήλῳ τε καὶ σοβαρᾷ.

3214 Ἀπίκιος, ὀψοφάγος. ζήτει ἐν τῷ ἀφύα.

Hesy. 3215 Ἀπίων, ὁ Πλειστονίκου, ὁ ἐπικληθεὶς Μόχθος, Αἰγύπτιος, κατὰ δὲ Ἑλικώνιον Κρής, γραμματικὸς, μαθητὴς Ἀπολλωνίου τοῦ Ἀρχιβίου. ἠκηκόει δὲ καὶ Εὐφράνορος γηραιοῦ καὶ ὑπὲρ ρ′ ἔτη γεγονότος, Διδύμου δὲ τοῦ μεγάλου θρεπτός. ἐπαίδευσε δὲ ἐπὶ Τιβερίου Καίσαρος καὶ Κλαυδίου ἐν Ῥώμῃ. ἦν δὲ διάδοχος Θέωνος τοῦ γραμματικοῦ καὶ σύγχρονος Διονυσίου τοῦ Ἁλικαρνασέως. ἔγραψεν ἱστορίαν κατ' ἔθνος καὶ ἄλλα τινά.

Σ+Δ 3216 Ἀπιὼν ᾤχετο: φεύγων, ἀποδιδράσκων. ὁ δὲ τὴν Πελο-
E πόννησον καταλιπὼν ἐς Αἰτωλίαν ᾤχετο ἀπιών. συνήθης ὁ πλεο-
Σ νασμὸς τοῖς Ἀττικοῖς.

Suid. 3217 Ἄπις: θεὸς Αἰγυπτίων. καὶ ζήτει ὀπίσω ἐν τῷ Ἄπιδες. ὅτι ὁ Ἄπις ὁ Αἰγύπτιος τὴν ἰατρικὴν πρῶτος εἰς τὴν Ἑλλάδα μετακομίσαι λέγεται.

Δ 3218 Ἀπιτέα: δεῖ ἀπέρχεσθαι. καὶ Ἄπιτε, ἀπέλθατε.

Harp. 3219 Ἀπιστεῖν· δοτικῇ. τὸ ἀπειθεῖν. λέγουσι δὲ καὶ Ἀπιστίαν,
Σ τὴν ἀπείθειαν. καὶ Ἄπιστος, ὁ μὴ πειθόμενος. οὕτως Πλάτων.

3216 — ᾤχετο + συνήθης sq. = Ba 121, 15 ὁ—ἀπιὼν fort. Polyb. 3218 — ἀπέρχεσθαι = Ambr. 2869; ἄπιτε sq. = Ambr. 2672 cf. H 3219 — δοτικῇ = Synt. Gud. τό—ἀπείθειαν Harp. = Ba 121, 9 (falso Phryn. fr. 250) cf. An. Ox. 2, 490, 9 ἄπιστος—πειθόμενος = Ba 121, 8; Πλάτων Ap. 26e

3217 — Αἰγυπτίων ex 3201 cf. Z 234; ὅτι sq. ex v. Γ 415 cf. 4120 fin. 3219 Z 261, 242, 234

A(GITFVM) 1 Παιδιανόν Kust. παιδίαν omnes 6 εὐμελῆ] εὐμενῆ A 8 ἄν] ἄν τι V ἄν τινα Bhd. 9 σκύφων A σκύφον GITM σκύθων V πιτύλοις Pierson ἐπὶ τύλοις omnes 3214 om. GTFV mg. A 23 δέ om. A διάδοχος lac. supp. Wendel, Abh Ak. Gött. 1921, 2, 81, 1 3217 om. TF post 3218 V 29 καί—30 λέγεται om. G mg. A καί—Ἄπιδες om. V 30 πρῶτος] μὲν π. A 31 Ἀπιτέα] Ἀπιτέον GIT Ambr. καί om. TV (nov. gl.) ἀπέλθατε] ἀπέλθετε FM cf. Hes.

3220 Ἀ πίτυς: ἡ πίτυς. Θεόκριτος· ἀδύ τι τὸ ψιθύρισμα καὶ ἁ πίτυς, αἰπόλε, τήνα.

3221 Ἁπλᾶ καὶ διπλᾶ καὶ πολλαπλᾶ, καὶ πάντα περισπῶσι τὰ τοιαῦτα. Ἀργυρᾶ, χρυσᾶ, κεραμεᾶ, ἀπὸ τοῦ κεραμεοῦν, καὶ φοινικιᾶ, ἀπὸ τοῦ φοινικιοῦν. Σ

3222 Ἁπλάνεια· καὶ ἡ Ἁπλανής, τῆς ἀπλανοῦς. Δ

3223 Ἁπλᾶς: Καλλίστρατός φησι τὰ μονόπελμα τῶν ὑποδημάτων οὕτως καλεῖσθαι. Harp.

3224 Ἄπλαστος: ἀληθινὸς, ἄδολος. καὶ ἅμα αὐτοῖς ἐπιθέουσα κεμνότης ἡδεῖα καὶ ἄπλαστος αἰδὼς ἐπέτρεχεν ἱκανῶς τὸν φιλόσοφον καὶ ἤδη γνώριμον ἐποίει αὐτῷ τὸν νεανίσκον. Ἄπλαστος δὲ ἡ μεγάλη. τὸν αἷς' ἄπλαστος ἴσχει. τουτέστιν ἡ μανία. Σ Soph.

3225 Ἄπλετον: ἄπειρον. ἀχώρητον. ΣΔ

3226 Ἁπλῆ.

3227 Ἁπλήγιος: δασέως, ἁπλοῦς. καὶ Εὔπολις Πόλεσιν· οὔτ' ἂρ πολυπράγμων ἐστὶν ἀλλ' ἁπλήγιος. καὶ Ἁπληγίς, ἱματίδιον σύμμετρον. Ἀναγύρῳ Ἀριστοφάνης· ἐκ δὲ τῆς ἐμῆς χλανίδος τρεῖς ἁπληγίδας ποιῶν. Σ

3228 Ἀπληκεύω· καὶ Ἄπληκτον, τόπος ἔνθα καταλύουσι τῆς ὁδοιπορίας τὰ στρατόπεδα. Δ

3229 Ἀπλήξ: ὁ μὴ πεπληγμένος. Δ

3230 Ἀπληστία: ἡ ἀδηφαγία. καὶ παροιμία· Ἄπληστος πίθος, ὁ ἐν ᾅδου, ὁ τετρημένος. ἐπὶ τῶν πολλὰ ἐσθιόντων· ἀπὸ τοῦ περὶ τὰς Δαναΐδας μύθου, παρ' ὅσον ἀνιμῶσαι ἐκεῖναι ὕδωρ εἰς πίθον ἔβαλλον. πάσχουσι δὲ περὶ τοῦτον τὸν πίθον αἱ τῶν ἀμυήτων ψυχαί. Δ Prov.

3231 Ἄπλητον: ἀπλήρωτον. Δ

3232 Ἁπλοΐδας: ἁπλᾶς χλανίδας. ἐν Ἐπιγράμμασι· οἷα δὲ πυρὶ ἔσκεπε τὴν κούρην ἁπλοῖς ἑκταδίῃ. καὶ Ἁπλοϊκός, ὁ ἁπλοῦς καὶ ἀπέριττος. καὶ Ἁπλοϊκώτερος. Σ Anth. Δ

3220 Theocr. 1, 1 c. sch. 3221 = Ba 122, 8 cf. Phryn. 43, 17 3222 l. = Ambr. 2575 3223 Harp. = Ba 121, 22 3224 — ἄδολος = Ba 121, 16, Σ^{A} cf. H καὶ ἅμα—νεανίσκον Dam. fr. 80 cf. Phot. bibl. p. 341 b 31 ἄπλαστος sq. Soph. Ai. 256 c. sch. 3225 — ἄπειρον = Σ^{a}, Ba 121, 17 cf. Et. M. 123, 11 ἀχώρητον = Ambr. 2647 cf. 2624, H v. ἄπλητον 3227 = Ba 122, 1, 4; — ἁπλοῦς = H; Eupol. fr. 222; Ar. fr. 54 3228 Ἀπληκεύω cf. Ambr. 2711; ἄπληκτον—καταλύουσι cf. Ambr. 2685 3229 = Ambr. 2431, H 3230 — ἀδηφαγία = Ambr. 2599 ἄπληστος sq. cf. Zen. II 6, Philol. Suppl. 6, 259, n. 193 3231 aliter Ambr. 2625 3232 — χλανίδας = Ba 121, 21, Σ^{A} cf. sch. Ω 230 οἷα—ἑκταδίῃ Anth. 5, 293, 3—4 ἁπλοϊκὸς ὁ ἁπλοῦς = Ambr. 2470, H; ἁπλοϊκώτερος = Ambr. 2502 b

3220 cf. 536, v. τήνα, v. ψιθυρίζει 3221 hinc v. διπλᾶ, v. πολλαπλᾶ, v. χρυσᾶ 3223 Z 242 3224 Soph. hinc v. αἷσα 3230 hinc v. Δαναΐς et v. εἰς τετρημένον

3220 om. FV mg. A 4 χρυσᾶ] καὶ χ. GITM κεραμεᾶ] καὶ κ. T, A(GITFVM) v. πολλαπλᾶ, v. χρυσᾶ cf. v. διπλᾶ φοινικιᾶ AV Ba cf. v. φοινικιοῦς, v. διπλᾶ, v. πολλαπλᾶ, v. χρυσᾶ; φοινικᾶ rell. 5 φοινικιοῦν GTM Ba v. διπλᾶ, φοινικοῦν rell., v. πολλαπλᾶ, v. χρυσᾶ 11 καί—12 μανία om. V 3226 ex I, M (post 3224) 25 ἔβαλλον] τετρημένον add. V 29 καὶ ἁπλοϊκώτερος om. F ἁπλοϊκώτερος om. GF

Σ 3233 Ἄπλοοι: ἀδύνατοι πλέειν.

Prov. 3234 Ἀπλοῦν θύλακον πάτει: ἐπὶ τῶν εὐκαταφρονήτων.

Phil. 3235 Ἁπλότης διττή. ἡ μὲν ἔμφρων καὶ δικαία, ἡ δὲ ἀνόητος καὶ ἄδικος. ἔπειτα καὶ τὴν νῦν ποικιλίαν ἐμφύεσθαι τοῖς μὲν μετὰ δικαιοσύνης καὶ φρονήσεως, τοῖς δὲ μετὰ ἀδικίας καὶ ἀμαθίας. εἶναι γὰρ δὴ πάλαι καὶ τὰ κακὰ τὸν θνητὸν τοῦτον περιπολοῦντα ἐξ ἀνάγκης, ὡς φησι Πλάτων, ἀλλ' ἧττον κακοήθη, ὡς νῦν ἐστι, καὶ ἁπλούστερα καὶ οὐκ ἐν βάθει τινὶ ταῖς ψυχαῖς ἐγκεκαυμένα ἀνίατα. πολλὴ γάρ ἐστιν ἡ μεταφορὰ τῶν πάλαι κακῶν πρὸς τὰ νέα, καὶ οὐ ποσότητι μόνον κρειττόνων τε καὶ χειρόνων, ἀλλὰ καὶ ποιότητι τρόπων.

Suid. 3236 Ἁπλόοι καὶ ἁπλοῖ καὶ πολλαπλοῖ.

Thuc. 3237 Ἁπλουστέρας: Θουκυδίδης λέγει νῆας, οὐ τὰς ἁπλους παντελῶς, ἀλλὰ τὰς διὰ πληρώματος ἔνδειαν ἁπλόους ἱσταμένας.

3238 Ἁπλῷ λόγῳ: τῷ χωρὶς προσθήκης. καὶ Ἁπλῶς παρὰ

Phil. Ἀριστοτέλει λέγεται, ὃ χωρὶς προσθήκης λεγόμενον ἀληθές ἐστιν. ὁ γὰρ Αἰθίοψ πῇ λευκὸς ὤν· κατὰ γὰρ τοὺς ὀδόντας· οὐκέτι καὶ ἁπλῶς ἐστι λευκός. ὃ δὲ δεῖται προσθήκης πρὸς τὸ ἀληθὲς εἶναι, τοῦτο οὐκ ἔστιν ἁπλῶς. ὁ γὰρ Αἰθίοψ οὐκ ἔστι λευκὸς, διότι χωρὶς προσθήκης. προστεθέντος δὲ τοῦ κατά τι, ἀληθὲς γίνεται. κατὰ γὰρ τοὺς ὀδόντας.

Ar.? ἀλλὰ καὶ σπουδαῖοί τινες κατά τι. λέγεται δὲ καὶ οὕτως, οὐ τὸν

EL ἁπλοῦν τρόπον. ἀντὶ τοῦ παραυτίκα παρὰ τοῖς παλαιοῖς. καὶ αὖθις· οὐδὲ γὰρ ἁπλῶς λόγους τινὰς ἐποιήσαντο, ἀλλὰ καὶ βῆμα ὑψηλὸν ἠγέρθη, καὶ ἐπ' αὐτοῦ εἰκόνες τοῦ Νέρωνος ἐτέθησαν.

E 3239 Ἁπλῶς: ἐξ ἀνάγκης· ἢ ὡς πρῶτον καὶ μὴ κατ' ἄλλο. ἁπλῶς δὲ οὐδὲν εἶδος τῶν μελλόντων ἔγνωσαν· ἐξ αὐτῆς δὲ τῆς ἐμφάσεως τῶν πρέσβεων ὀττευόμενοι εἰς παντοδαπὰς οἰμωγὰς ἐνέπιπτον.

Δ Ἁπλῶς, χωρὶς προσθήκης. Πολύβιος· οὗ καιρὸς ἀφυέστερος οὐ

E γέγονεν ἁπλῶς. ἀντὶ τοῦ ἐξ ἀνάγκης, ἢ ὡς πρῶτον.

Thdr. 3240 Ἄπλωτα πελάγη: τὰ Ἀτλαντικὰ καὶ ἑσπέριος ὠκεανὸς καὶ

Δ ἑῷος. Ἄπλωτον γὰρ τὸ ἄπλευστον.

Σ 3241 Ἄπλυτον πώγωνα: σκώπτων εἶπε.

3233 = Ba 121, 24, Σ^{a} cf. H 3234 = Paroem. ed. Gsf. 14, n. 141 3235 Πλάτων Theaet. 176a 3237 sch. Thuc. 7, 60, 2 3238 ἁπλῶς—κατά τι Alex. Aphr. 214, 12—18 λέγεται—παλαιοῖς fort. sch. Ar. Eccl. 231 οὐδέ—ἐτέθησαν Cass. D. 62, 23 = EL 421, 36—422, 1 3239 ἁπλῶς—ἐνέπιπτον Polyb. 36, 7, 1—2 οὗ—vs. 26 ἁπλῶς Polyb. fr. 15 3240 — ἑῷος Thdr. in Ps. 71, 8, PG 80, 1433c ἄπλωτον sq. = Ambr. 2619, Ba 121, 26, Σ^{a} cf. Ambr. 2432 3241 = Ba 121, 25 cf. Phryn. 4, 1; fr. com. ad. 843

3238 Z 234 3239 Z 285; Polyb. 36 cf. v. ὀττευομένη; fr. 15 cf. 4661 3240 hinc 4870

A(GITFVM) 3 ἔμφρων] εὔφρων A 4 ἔπειτα] ἐπεί Dr. ἐμφύεσθαι] ἐμφύεσθαι T ἐμφύρεσθαι V 5. 6 γὰρ δή] δὴ γάρ A 7 ὡς] ἢ ὡς Dr. 10 τρόπων] τρόπον V 3236 om. FS mg. A 13 ἁπλόους V sch. καὶ ἁ. rell. 17 ἀληθές I Alex. ἀληθῶς rell. 26 ὀττευόμενοι s. v., οἱ γενυόμενοι omnes ἐνέπιπτον] ἔπιπτον F cf. v. ὀττευομένη 27 ἁπλῶς nov. gl. GITF

3242 **Ἄπνους**· φασὶν Ἐμπεδοκλέα Παυσανίᾳ ὑφηγήσασθαι τὸν Ἄπνουν. εἶναι δὲ τὸν Ἄπνουν τοιοῦτον, ὡς λ' ἡμέρας συντηρεῖν ἄπνουν καὶ ἄσιτον τὸ σῶμα. ἦν δὲ οὗτος καὶ γόης. καί φησι περὶ ἑαυτοῦ· φάρμακα δ' ὅσσα γεγᾶσι κακῶν καὶ γήραος ἄλκαρ πεύσῃ, ἐπεὶ μούνῳ σοι ἐγὼ κρανέω τάδε πάντα. παύσεις δ' ἀκαμάτων ἀνέμων, οἵ τ' ἐπὶ γαῖαν ὀρνύμενοι πνοιαῖσι καταφθινύθουσιν ἄρουραν· καὶ πάλιν, ἢν κ' ἐθέλησθα, παλίντονα πνεύματ' ἐπάξεις. στήσεις δ' ἐξ ὄμβροιο κελαινοῦ ῥόον καίριον αὐχμὸν ἀνθρώποις, θήσεις δὲ καὶ ἐξ αὐχμοῖο ῥεύματα δενδρεόθρεπτα, τά τ' ἐν θέρει ἔσονται. ἄξεις δ' ἐξ ἀΐδαο καταφθιμένου μένος ἀνδρός. καὶ ποτ' ἐτησίων σφοδρῶς πνευσάντων, ὡς τοὺς καρποὺς λυμῆναι, κελεύσας ὄνους ἐκδαρῆναι καὶ ἀσκοὺς ποιῆσαι περὶ τοὺς λόφους καὶ τὰς ἀκρωρείας διέτεινε πρὸς τὸ συλλαβεῖν τὸ πνεῦμα. λήξαντος δὲ Κωλυσάνεμον κληθῆναι.

3243 **Ἀπνευστί**: ἀπονητί.

3244 **Ἄπο**: πόρρω, μακράν. ἐν τοῖς Οὔσβαις τοῦ κινδύνου ἄπο ἐγένετο, ἀποδράσας τὰ ξίφη. τὸ ἄπο καὶ ἄποθεν διὰ τοῦ ο μικροῦ· ἀπωτάτω δέ. Σ E

3245 **Ἀποβαδίζειν**: οὐδὲν πλέον τοῦ βαδίζειν δηλοῖ. Σ

3246 **Ἀποβάθρας**: καὶ τὰ λάσανα, ἃ λέγονται οἱ χυτρόποδες. καὶ τὰ μαγειρεῖα, ὅπου τῇ βουλῇ σκευάζεται μετὰ τὰς θυσίας κρέα.

3247 **Ἀπὸ βαλβίδος**: ἀπ' ἀρχῆς. Ar.

3248 **Ἀποβαλεῖν**· αἰτιατικῇ. Synt.

3249 **Ἀποβαλομένη**: δι' ἑνὸς λ, ἀντὶ τοῦ ἀποβαλοῦσα.

3250 **Ἀποβάτης καὶ Ἀποβαίνειν καὶ Ἀποβατικοὶ τροχοί**: Harp. ἀποβάτης μὲν ἱππικόν τι ἀγώνισμά ἐστι, καὶ ἀποβῆναι τὸ ἀγωνίσασθαι τὸν ἀποβάτην. ἀποβατικοὶ δὲ τροχοί, οἱ ἀπὸ τούτου τοῦ ἀγωνίσματος.

3251 **Ἀποβαίη, καὶ Ἀποβαίνει**. γενικῇ. ὡς τὸ, ἀποβάντες τῶν ἵππων. Δ Synt.

3252 **Ἀποβεβιωκέναι**: ἀποθανεῖν. ἀνάγκη μὴ ἀποκρύπτειν, ὡς ἂν μὴ ὑπόνοια γένηται σφίσι τοῦ ἀποβεβιωκέναι αὐτόν. EL

3253 **Ἀποβλεπόμενοι**: ἀντὶ τοῦ θαυμάζοντες. οὕτως Αἰσχίνης. Σ

3242 Laert. 8, 59—61 3244 — μακράν = Ba 122, 12, Σ[a] cf. H, sch. a 75 vs. 16 ἄπο sq. cf. Ambr. 2866, 2862 3245 = Ba 122, 14 3247 sch. Ar. Vsp. 548 3248 = Synt. Laur. cf. Gud. 3250 Harp. = Ba 122, 20, An. Ox. 2, 490, 10 3251 γενικῇ = An. Ox. 4, 281, 7 3252 ἀνάγκη sq. Men. Prot. fr. 27, FHG 4, 232 = EL 456, 27—9 3253 — θαυμάζοντες = Ba 122, 15; Aeschines fort. 1, 141 vel 189

3242 hinc v. Κωλυσάνεμος 3244 cf. v. Οὔσβαις 3247 cf. 3271 3250 Z 234, 261

4 ἑαυτοῦ] αὐτοῦ A 13 λήξαντος] ληξάντας A 3243 om. TFV A(GITFVM)
14 Ἀπνευστί] ὁ Ἀπ. A ἀπονητί GI om. AM 15 τοῖς] τοῖσδε V
16 τό—17 δέ om. GFV mg. AI 3249 om. TFV mg. A 26 ἀποβάτην] ἐπιβάτην IM 28 γενικῇ om. F ὡς—29 ἵππων om. ATF 31 αὐτόν] ἀπ' αὐτόν V

Σ 3254 Ἀπόβλεπτον: ἔνδοξον. ἄνδρα τῇ Περσικῇ πολιτείᾳ διὰ
EL τὴν ἀξίαν ἀπόβλεπτον.

Σ 3255 Ἀποβλίσαι: ἀποπιέσαι. Ἀριστοφάνης· λωποδύτης παίει ῥοπάλῳ
Suid. με τὸ νῶτον, κἀγὼ πίπτω μέλλω τε βοᾶν· ὁ δ' ἀπέβλισε θοιμάτιόν μου. ἀντὶ
τοῦ ἐξέρασεν.

Σ 3256 Ἀποβλύζων: ἀναβάλλων.

Σ 3257 Ἀποβουκολίσας: ἐξαπατήσας. οἱ δὲ τοὺς ἁλώσαντας ἀπο-
E βουκολίζουσιν ἀποσκευάζονταί τε τὸν κίνδυνον.

Prov. 3258 Ἀπὸ βραδυσκελῶν ὄνων ἵππους: ἐπὶ τῶν ἀπὸ εὐτελῶν
ἐπὶ μείζονα μεταπηδώντων.

Call. 3259 Ἀποβράσματα: τὰ πίτυρα παρὰ Καλλιμάχῳ. τῆς οὐδὲν ἀπέ-
βρασε φαῦλον ἀλετρίς.

Σ 3260 Ἀποβύσαντες: ἀποκλείσαντες.

Δ Synt. 3261 Ἀπογαλακτίζω. γενικῇ.

Ar. 3262 Ἀπὸ γὰρ ὀλοῦμαι: ὑπερβατόν· ἀπολοῦμαι γάρ. Ἀριστο-
φάνης· ἀπὸ γὰρ ὀλοῦμαι, μὴ μαθὼν γλωττοστροφεῖν.

Σ 3263 Ἀπογενέσθαι: ἢ ὑστερῆσαι σημαίνει ἢ ἀποθανεῖν. ἄμφω τυ-
σαια Θουκυδίδης.

Synt. 3264 Ἀπογεύομαι· γενικῇ.

Δ 3265 Ἀπογειῶσαι: ἀποθεμελιῶσαι.

Σ 3266 Ἀπογνούς: Δημοσθένης μὲν ἀντὶ τοῦ ἀπελπίσας, Δείναρχος
δὲ ἀντὶ τοῦ ἀποψηφισάμενος.

Δ 3267 Ἀπογνωστέον: δεῖ ἀπογινώσκειν.

Synt. 3268 Ἀπογινώσκω· γενικῇ καὶ αἰτιατικῇ, τὸ παραδίδωμι. ὡς, ἀπογνοὺς τὰ
τῶν Καρχηδονίων πράγματα ὁ Φαίδων. καὶ, τέλεον ἀπογνοὺς τὸν Φιλήμονα.
καὶ, ἀπογνόντες τῆς σωτηρίας.

Thuc. 3269 Ἀπόγνοια: ἀπόγνωσις. Θουκυδίδης· ἐνέπρησαν δὲ τὰ πλοῖα,
E ὅπως ἀπόγνοια ᾖ τοῦ ἄλλο τι ἢ κρατεῖν τῆς γῆς.

3254 — ἔνδοξον = Ba 122, 13, Σ[a], H ἄνδρα sq. Th. Simoc. 3, 15, 7 = EL 480, 34 3255 — ἀποπιέσαι = Ba 123, 3 3256 = Ba 123, 2, Σ[a], H, Ap. S. 39, 14 cf. sch. I 487 (491) 3257 — ἐξαπατήσας = Ba 123, 4, Σ[a], H cf. Et. M. 120, 9 οἱ sq. Th. Simoc. 3, 7, 4 3258 = Zen. II 5 3259 Call. fr. 26 K., 232 S. c. sch. 3260 = Ba 123, 9, Σ[a] 3261 Ἀπογαλακτίζω = Ambr. 2821 3262 Ar. Nu. 792 c. sch. 3263 — ἀποθανεῖν = Ba 123, 1; ἀποθανεῖν cf. Bk. 210, 21, H; Θουκυδίδης 1, 39, 3 et 2, 98, 3 3264 = Synt. Laur. 3265 = Ambr. 2684 3266 = Ba 123, 11; Dem. 19, 51; Dinarch. fr. LXXXIX 9 3267 = Ambr. 2879 3268 — Φαίδων = Synt. Gud. 589 cf. Bk. 124, 9; ἀπογνούς —Φαίδων Cass. D. 21, fr. 71, 2 3269 — ἀπόγνωσις sch. Thuc. 3, 85, 4 cf. Thom. M. 46, 7 ἐνέπρησαν sq. Thuc. 3, 85, 4

3255 Ἀριστοφάνης—μου ex 2968 3257 Th. cf. 3523 3259 cf. v. εἰκαία; Z 250 3262—3 Z 262 3262 cf. v. Γ 304 3265 Z 262 3266 Z 263 3269 Z 242

A(GITFVM) 3 Ἀριστοφάνης—5 ἐξέρασεν om. FV mg. A Ἀριστοφάνης om. add. ζήτει ἔξω τὴν χρῆσιν A λωποδύτης—5 ἐξέρασεν om. G λωποδύτης—4 μου om. T 4 τό AM τόν I κἀγώ—5 ἐξέρασεν om. I 7 ἁλώσαντας] ἁλώσοντας M 11 τῆς—12 ἀλετρίς iterat. mg. A 17 ἄμφω—18 Θουκυδίδης AVM ἀμφότρα Θ. F ἄμφω GI om. T; ἄμφω τὰ σημαινόμενα Θ. sive ἄμφω παρὰ Θ. Gsf. 3268 om. TFV mg. A 24 τὸ παραδίδωμι om. M Φαίδων] Φαμέας Bk. 26 καί] παροιμία A (pert. ad 3271) τῆς] τήν G[oc]M[oc] σωτηρίας] σωτηρίαν G[oc]M[oc] 28 ἀλλό—p. 293, 1 ἔκγονοι om. A κρατεῖν] λείπει ἀπ ss. M

3270 Ἀπόγονοι: οἱ ἔκγονοι. Ἀπώγωνες δέ. οἱ μὴ ἔχοντες Δ πώγωνα. Suid.

3271 Ἀπὸ γραμμῆς: οἷον ἀπ' ἀρχῆς. ἐκ μεταφορᾶς τῆς τῶν δρομέων ἀφετηρίας καὶ γραμμῆς, ἣν ἄφεσιν καὶ βαλβίδα καλοῦσιν. Σ

3272 Ἀπογράφειν καὶ Ἀπογραφή· οἱ τῷ δήμῳ χρήματα ὀφείλοντες ἐκ καταδίκης καὶ μὴ ἀποδιδόντες μέχρι τῆς θ' πρυτανείας εἰς τὸ δεσμωτήριον ἀπεκλείοντο, μήτ' ἐγγυητὰς καταστῆσαι δυνάμενοι τοῦ ὀφλήματος. Σ

3273 Ἀπογραφή· ἐπειδάν τις λέγῃ τινὰ ἔχειν τι τῶν τῆς πόλεως, Harp. ὁ ἐναγόμενος ἀπογραφὴν ποιεῖται δηλῶν ὅσα τε ἔχει καὶ ὅθεν τὰ χρήματα. μήποτε καὶ εἶδός τινός ἐστι δίκης ἡ ἀπογραφή. εἰ γὰρ ἀρνοῖτό τις μὴ ἔχειν, ἀπογραφῆς ἐκρίνετο, ὡς οὐκ ὀρθῶς γεγενημένης τῆς ἀπογραφῆς. οὕτως Δημοσθένης ἐν τῷ κατὰ Ἀνδροτίωνος. καὶ Ἀπογραφή, ἡ ἀπαρίθμησις. ὁ δὲ Καῖσαρ Αὔγουστος, ὁ μοναρχήσας, κ' ἄνδρας τοὺς ἀρίστους τὸν βίον καὶ τὸν τρόπον ἐπιλεξάμενος ἐπὶ πᾶσαν τὴν γῆν τῶν ὑπηκόων ἐξέπεμψε· δι' ὧν ἀπογραφὰς ἐποιήσατο τῶν τε ἀνθρώπων καὶ οὐσιῶν, αὐτάρκη τινὰ προστάξας τῷ δημοσίῳ μοῖραν ἐκ τούτων εἰσφέρεσθαι. αὕτη ἡ ἀπογραφὴ πρώτη ἐγένετο, τῶν πρὸ αὐτοῦ τοῖς κεκτημένοις τι μὴ ἀφαιρουμένων, ὡς εἶναι τοῖς εὐπόροις δημόσιον ἔγκλημα τὸν πλοῦτον. Σ

3274 Ἀπόγραφος· ὁ δὲ Ὀνησίκριτος ὡς ἀπόγραφος ἐξ ἀρχετύπου δευτερεύει. τουτέστι τοῦ Ξενοφῶντος.

3275 Ἀπογράφω· αἰτιατικῇ. σὺ δὲ ἀπόγραφε δικαίως ἡμᾶς. Synt.

3276 Ἀπογράψαι: τὸ γράψαι καὶ τὸ ὑπογράψασθαι καὶ οἷον σημειώσασθαι δηλοῖ. Σ

3277 Ἀποδαρθεῖν: ἀποκοιμηθῆναι. Σ

3278 Ἀποδασμόν: μοῖράν τινα. ὁ δὲ στρατηγὸς ἀποδασμόν τινα τοῦ στρατοῦ ἀπολέξας ἐκελεύετο προπορεύεσθαι. καὶ αὖθις· ἐκ τῶν Σαρακηνῶν ἀποδασμὸν εἰς τὴν Περσίδα χωρήσας μέρη τινὰ τῆς Βαβυλωνίας προενομεύσατο. E EL

3279 Ἄποδας· τοὺς Οὔννους φασί. καὶ ζήτει ἐν τῷ ἀκροσφαλεῖς. Suid.

3280 Ἀποδάσομαι: ἀπομερίσομαι. Σ

3270 cf. Ambr. 2441—3 3271 = Ba 123, 6 3272 cf. Bk. 198, 31 3273 — Ἀνδροτίωνος Harp. = Ba 122, 25, An. Ox. 2, 490, 12; Dem. 22, 54, 61 ἀπογραφή, ἡ ἀπαρίθμησις = Ba 122, 25, Σ^{a}, H 3274 Laert. D. 6, 84 3275 = An. Ox. 4, 285, 16 cf. Synt. Gud. 3276 = Ba 122, 32 3277 = Ba 123, 15 cf. H 3278 ἐκ sq. Th. Simoc. 8, 1, 2 = EL 226, 33—227, 2 3280 = Ba 123, 10, Σ^{a} cf. H, sch. P 231, Ω 595

3270 οἱ sq. ex 3662 3271 cf. 3247; Z 242 3273 Z 242 3275 hinc v. Ὀνησίκριτος 3276 Z 263 3279 ex 1018

1 οἱ alt.—2 πώγωνα om. V 3273 non nov. gl. AM 19 τοῖς κεκτημένοις] A(GITFVM) τοὺς κεκτημένους I^{ac}TM 3275 om. TFV 29 Περσίδα] Περσικὴν A χωρήσας T^{ac}FM Th. Exc. χωρίσας GIT^{ac}V διαχωρίσας A 30 προενομεύσατο] προσενομεύσατο A 3279 om. GTFV mg. AM

Harp. 3281 Ἀποδέκται: ἀρχή τίς ἐστι παρ' Ἀθηναίοις. δέκα δὲ ἦσαν, οἳ παραλαβόντες τὰ γραμματεῖα ἀπαλείφουσι τὰ καταβαλλόμενα χρήματα τῆς βουλῆς ἐναντίον ἐν τῷ βουλευτηρίῳ, καὶ πάλιν ἀποδιδόασι τὰ γραμματεῖα τῷ δημοσίῳ.

3282 Ἀπόδεκτος.

ΔΣ 3283 Ἀποδέον: τὸ ἀπαρέσκον. καὶ Ἀποδεόντων, λειπόντων,
Δ ἀπολειπομένων. καὶ Ἀποδεῖν, τὸ ἀπολείπεσθαι. Ἰώσηπος· ὡς
Ε ὀλίγον ἀποδεῖν τῶν ἀχθοφορούντων ζώων, ἤτοι ὀρέων, τὸν πεζὸν
Ε ἄνδρα. τόσον δὲ ἀποδεῖν τοῦ τὴν πεπορισμένην ἤδη αὐτῷ καὶ ἀπὸ γένους προσήκουσαν βασιλείαν ἀφελέσθαι.

Synt. 3284 Ἀποδέω· γενικῇ.

3285 Ἀποδέχομαι: ὁμολογῶ. αἰτιατικῇ καὶ γενικῇ. ἀποδέχομαί σε
Synt. τῶν τρόπων, καί, ἀποδέχομαί σου τὸν τρόπον.

Σ 3286 Ἀποδείκνυμί σοι χελιδόνα: ἴσον τῷ μαρτύρομαι.

3287 Ἀποδεικνύναι καὶ ἀποδεικνύντα καὶ ἀποδεικνῦσα.

Σ 3288 Ἀποδείξασθαι: τὰ ἐν διδασκάλου μαθήματα ἅ τις ἔμαθε λέγειν.

Phil. 3289 Ἀπόδειξις· ἀπόδειξις ὅρου διαφέρει. δεῖ πρῶτον ζητῆσαι περὶ ὅρου, ἆρα μία ἐστὶ μέθοδος, καθ' ἣν πάντων τῶν ὄντων δυνατὸν τοὺς ὅρους ἀποδοῦναι, ἢ πολλαί. καὶ εἰ μία, τίς αὕτη· εἰ δὲ πολλαί, πόσαι τὸν ἀριθμὸν καὶ ποῖαι. καὶ ὅταν εὕρωμεν, τοσαίδε καὶ τοιαίδε, ὑπογραφῇ ἢ ὁρισμῷ, ἄλλη πάλιν ἡμᾶς διαδέχεται ζήτησις, ποίαις τῶν μεθόδων ἐπὶ ποίων πραγμάτων χρηστέον. καὶ ὅταν εὕρωμεν τοῦτο, ἐπειδὴ ὁ ὁρισμὸς ἐκ γενῶν ἐστι καὶ διαφορῶν, τί τοῦ προκειμένου πράγματος τὸ γένος καὶ τίνες αἱ διαφοραί, ἵνα συμπλέξαντες τὰς συστατικὰς διαφορὰς τῷ γένει, ἀποδῶμεν αὐτοῦ τὸν ὁρισμόν. ἔστι δὲ καὶ ἑτέρα χαλεπότης. ᾧτινι γὰρ πρώτως τι ἐνυπάρχει, τοῦτο καὶ καθ' αὑτὸ ὑπάρχει. καθ' αὑτὸ δέ ἐστι τὸ κατ' οὐσίαν. οὐκέτι δὲ καὶ εἴ τι καθ' αὑτὸ ὑπάρχει, τοῦτο καὶ πρώτως ὑπάρχει. τὸ γὰρ ζῷον τῷ ἀνθρώπῳ καθ' αὑτὸ μὲν ὑπάρχει, οὐ πρώτως δέ· διὸ κἂν μὴ ᾖ ἄνθρωπος, ζῷόν ἐστιν, ὥστε οὐ πρώτως τῷ ἀνθρώπῳ τὸ ζῷον ὑπάρχει. ὁμοίως δὲ καὶ τὸ σχῆμα τῷ τριγώνῳ καθ' αὑτὸ μέν, οὐ μέντοι πρώτως. ἡ δὲ κυρίως ἀπόδειξις ἐκ τῶν καθ' αὑτὸ καὶ πρώτως ὑπαρχόντων γίνεται.

3281 Harp. cf. Bk. 198, 1 3283 — ἀπαρέσκον = Ambr. 2646 ἀποδεόντων—ἀπολειπομένων = Ba 123, 17 cf. Σ^a, gl. Dionys. PG 4, 24 ὡς—ἄνδρα Ios. bell. 3, 95 τόσον sq. Arr. Parth. R. p. 42 3284 = Synt. Laur. 3285 αἰτιατικῇ = Synt. Laur. 3286 = Ba 124, 19 3288 = Ba 123, 13 3289 δεῖ—p. 295, 13 τετοκέναι Philop. 28, 7—18; 29, 23—28; 30, 12—13, 20—26; 31, 15—20

3285 ὁμολογῶ Z 263 3286 hinc v. μαρτύρομαι 3287 cf. v. Δ 309 3289 fin. cf. v. τεκμήριον

(GITFVM) 3282 om. AFV post 3279 M 8 ὀλίγον FVM Ios. ὀλίγων rell. 12 αἰτιατικῇ καὶ γενικῇ post l. A; αἰτιατικῇ ss. IM om. rell. ἀποδέχομαι— 13 τρόπον om. FV ἀποδέχομαι] καὶ ἀ. GIT 3287 ex Amg. I 15 Ἀποδεικνύναι A καί ἀ. I 16 διδασκάλου] διδασκαλείῳ V 18 ἀπόδειξις alt. om. VM 25 τίνες GITM Philop. τίνος AFV συμπλέξαντες—p. 331, 17 χειρί om. V propter folium deperd.

καὶ ἁπλῶς, ἡ ἐκ τῶν αἰτίων τὰ αἰτιατὰ πιστουμένη καὶ ἐκ τῶν καθόλου τὰ μερικώτερα. ἡ δὲ ἐκ τῶν αἰτιατῶν τὰ αἴτια πιστουμένη τεκμηριώδης ἀπόδειξις λέγεται· οἷον τὸ δεῖξαι ἐκ τῶν φωτισμῶν τῆς σελήνης ὅτι σφαιρική. εἰ γὰρ ἐδείκνυτο, διότι σφαιρική, διὰ τοῦτο φωτίζεσθαι οὕτως, τοῦτο ἂν εἴη κυρίως ἀπόδειξις. ἐκ γὰρ τοῦ αἰτίου τὸ αἰτιατὸν ἐδείκνυτ' ἄν. οὐ κεχρήμεθα δὲ ἐνταῦθα τῇ δείξει ταύτῃ, διότι τὸ αἰτιατὸν πρὸς ἡμᾶς σαφέστερόν ἐστι τοῦ αἰτίου. τεκμηριώδης δὲ ἀπόδειξις καὶ τὸ ἐκ τοῦ καπνοῦ τὸ πῦρ εὑρεῖν καὶ κατανοῆσαι. καὶ ἂν μὲν πάντως ἕπηται τὸ αἰτιατὸν τῷ αἰτίῳ, τεκμήριον τοῦτο λέγεται. τεκμήριον δέ ἐστι τὸ ἄλυτον σημεῖον. ἂν δὲ μὴ πάντως ἕποιτο, σημεῖον μὲν ἂν λέγοιτο, τεκμήριον δὲ οὐκέτι, διότι μηδὲ ἄλυτόν ἐστι· οἷον ὡς τὸ, ὠχρά ἐστιν, ἐπειδὴ τέτοκεν· οὐ πάντως γὰρ τῇ ὠχρότητι παρακολουθεῖ τὸ τετοκέναι. ἀπόδειξίς ἐστι μέθοδος διὰ συλλογισμῶν συλλογιστική, ὅταν ἐξ ἀληθῶν καὶ πρώτων ὁ συλλογισμὸς γίνηται.

3290 Ἀποδειροτομεῖ: ἀποκόπτει τοὺς αὐχένας. Σ

3291 Ἀποδημεῖν· γενικῇ. μὴ παρεῖναι. Ἀριστοφάνης Νεφέλαις· ἐχρῆν αἰθρίας οὔσης ὕειν αὐτὸν, ταύτας δ' ἀποδημεῖν. Ar.

3292 Ἀπὸ δή· ἀπὸ δὴ τούτων πάντων ἀναπειθόμενος τῶν πλεονεκτημάτων, πάντα τὸν ἀνθιστάμενον τιθεὶς ἐν δευτέρῳ εὐθαρσῶς ἐπήει. συνηνέχθητον δὴ ἄμφω ἀλλήλοιν. Δέξιππος. E

3293 Ἀποδιατρίψουσιν: ἐγχρονίσουσι, χρονοτριβήσουσιν.

3294 Ἀποδιδόμενοι: Ἀντιφῶν ἀντὶ τοῦ ἀποδιδόντες. καὶ Ἀποδιδόμεθα· γενικῇ. ἀντὶ τοῦ ἀποδίδομεν ἢ πιπράσκομεν. Harp.

3295 Ἀποδιδράσκω· αἰτιατικῇ. Synt.

3296 Ἀποδικεῖν: ἀντὶ τοῦ ἀπολογεῖσθαι. οὕτως Ἀντιφάνης. Σ

3297 Ἀποδιοπομπεῖσθαι· αἰτιατικῇ. ἀποπέμπεσθαι πρὸς τὸν προστρόπαιον Δία καὶ οἱονεὶ καθαίρεσθαι ἢ ἱλάσκεσθαι. τοὺς νυκτικόρακας εἰς τοὺς ὄρνις ἀποδιοπομποῦνται. καὶ Ἀποδιοπομπείσθω, ἀποδιωκέσθω. Σ Δ

3298 Ἀπὸ δὶς ἑπτὰ κυμάτων: ἐκ μεταφορᾶς τῶν ἐπὶ φόνοις καθαιρομένων. οὗτοι γὰρ δὶς ἑπτὰ κύμασι πλύνουσι τὰ ἱμάτια. Prov.

3289 vs. 13 ἀπόδειξις—συλλογιστική Alex. Aphr. 2, 22—23 3290 = Ba 123, 16, Σ[e] cf. H, sch. Σ 336 3291 γενικῇ = Synt. Laur. μὴ sq. Ar. Nu. 371 c. sch. 3292 Dex. fr. 37, FGrHist 100 3294 Harp. = Ba 124, 7, An. Ox. 2, 490, 15; Antiph. fr. 55 γενικῇ = Synt. Laur. 3295 = Synt. Laur. et Gud. 3296 = Ba 123, 30 cf. H; Antiphan. fr. 313 (2, 131 K.) 3297 αἰτιατικῇ = Synt. Laur. ἀποπέμπεσθαι—ἱλάσκεσθαι = Ba 123, 26, Σ[e], Et. M. 128, 20, 125, 35 cf. sch. Pl. Leg. 854b 3298 Phil. Suppl. 6, 259, n. 194

3292 cf. v. εὐθαρσῶς 3293 Z 263 3297 cf. v. διοπομπεῖσθαι

4 τοῦτο] τοῦ M 11 οὐκέτι] οὐκ ἔστι SM 13 ἀπόδειξις nov. gl. GIT A(GITFSM)
14 ἀληθῶν] ἀληθινῶν S 15 γίνηται SM[ac] γένηται rell. 3292 om. TS
21 συνηνέχθητον GIM συνηνέχθη τόν A συνήχθη τῶν F συνηνεχθήτην Port.
29 ὄρνις] ὄρνεις TM 31 φόνοις] φόνους A 32 καθαιρομένων] καθαιρουμένων S

Ε 3299 Ἀποδοκιμάσας· αἰτιατικῇ. ὡς ἄχρηστον ἐκφαυλίσας. ὁ δὲ Ἀννίβας ἀποδοκιμάσας τὸν ἐξ ἀρχῆς ὑπάρχοντα αὐτοῖς καθοπλισμόν, ἅμα τῷ νικῆσαι τῇ πρώτῃ μάχῃ παραχρῆμα τοῖς Ῥωμαίων ὅπλοις καθώπλισε τὰς δυνάμεις.

Σ 3300 Ἀπὸ δόξης: ἀπὸ εἰκασμοῦ.

ΣΔ 3301 Ἀποδόσθαι: πωλῆσαι. καὶ Ἀπόδου, ἀπόλυσον.

ΣΔ 3302 Ἀποδράς: ἀποφυγών. καὶ Ἀποδρᾶναι.

Anth 3303 Ἀποδρέψεσθε: ἀποτρυγήσετε. οὗ καὶ πίονα τυρὸν ἀποδρέψεσθε.

Δ 3304 Ἀποδρύφω: ἐκδέρω.

Ar. 3305 Ἀποδύντες: ἀντὶ τοῦ ἀποδυσάμενοι. ἀπὸ μεταφορᾶς τῶν ἀθλητῶν, οἳ ἀποδύονται τὴν ἔξωθεν στολήν, ἵνα εὐτόνως χορεύσωσιν. Ἀριστοφάνης· ἀλλ' ἀποδύντες τοῖς ἀναπαίστοις ἐπίωμεν.

Σ 3306 Ἀποδυσπετεῖ: ἀποδύρεται. δυσθετούμενοι τοῖς συμβαί-
Ε νουσιν ἀποδυσπετεῖν ἀναγκάζονται.

Δ 3307 Ἀπὸ ἕθεν: ἀπὸ ἑαυτοῦ.

Thuc. 3308 Ἀποζῆν: τὸ εὐτελῶς ζῆν. ζῆν δὲ τὸ μετὰ τρυφῆς καὶ πολυτελείας. τοσαῦτα ἀγαπῶν κεκτῆσθαι, ὅσα ἀποζῆν ἀπ' αὐτῶν. ἀντὶ τοῦ μέτρια.

Σ 3309 Ἀπόζων· γενικῇ. ἀποπνέων.

Hom. 3310 Ἀπόειπε: ἀπάρνησαι.

3311 Ἀποθανεῖν· ἐάν τις αὐτὸ μόνον εἰδῇ καὶ τῷ μερισμῷ τῆς ἐννοίας διαλύσῃ τὰ ἐμφανταζόμενα αὐτῷ, οὐκέτι ἄλλο τι ὑπολήψεται αὐτὸ εἶναι ἢ φύσεως ἔργον. φύσεως δὲ ἔργον εἴ τις φοβεῖται, παιδίον ἐστί. τοῦτο μέντοι οὐ μόνον φύσεως ἔργον ἐστίν, ἀλλὰ καὶ συμφέρον αὐτῇ· πῶς ἄπτεται θεοῦ ἄνθρωπος, καὶ κατὰ τί ἑαυτοῦ μέρος;

Δ 3312 Ἀποθάνωμεν: αὐθυπότακτον. καὶ Ἀποθάνωμαι, ὁμοίως. καὶ σύνταξις. ἀποθανόντος αὐτῷ τοῦ πατρὸς ἀπέτισε πολλὰ χρήματα.

3299 αἰτιατικῇ = Synt. Laur. et Gud. ὁ sq. Polyb. 18, 28, 9 3300 = Ba 123, 28, Σ^a cf. sch. K 324 3301 — πωλῆσαι = Ba 123, 31, Σ^a, sch. Ar. Vsp. 169, sch. Thuc. 1, 29, 5 ἀπόδου sq. = H 3302 — ἀποφυγών = Ba 123, 32, Σ^a 3303 οὗ sq. Anth. 6, 303, 3 3304 = Ambr. 2771 3305 Ar. Ach. 627 c. sch. 3306 — ἀποδύρεται = Ba 124, 1, Σ^a, H δυσθετούμενοι sq. Polyb. 33, 17, 2 = ES 200, 27—28 3307 = Et. M. 124, 19, H 3308 — τρυφῆς sch. Thuc. 1, 2, 2 3309 γενικῇ cf. Synt. Laur. ἀποπνέων = Ba 124, 20, Σ^a 3310 sch. A 515, Γ 406 = H 3311 Marc. 2, 12, 3—4 3312 — αὐθυπότακτον = Ambr. 2847 ἀποθανόντος sq. Dam. fr. 216

3299 ἐκφαυλίσας cf. 2978 3300 Z 242 3303 Anth. cf. v. ἰσχάς et v. συχνόν 3304 Z 283 3306 Z 263; Polyb. cf. v. δυσθετήσας 3307 Z 239 3308 hinc v. ζῆν; Z 263

A(GITFSM) 12 χορεύσωσιν] χορεύωσιν S sch. 18 τοσαῦτα—19 μέτρια om. S τοσαῦτα] Ἀποζῆν. τοσαῦτα ἀγαθά M 29 καὶ σύνταξις om. S

3313 Ἄποθεν: χωρίς, ἢ πόρρωθεν. ῥινοῦ χερμαστῆρος ἐΰστροφα Σ
κῶλα τιταίνων Ἀλκιμένης πτανῶν εἶργον ἄποθε νέφος. καὶ αὖθις· Anth.
Ῥουφῖνος δέ οἱ μεταξὺ ἐπανήκων ἐνέτυχε πόλεως Νικίβιδος οὐ μα- EL
κρὰν ἄποθεν. καὶ Ἄποθέν γέ ποθεν, ἀπό τινος μέρους ἴση- Σ
μέρου.
3314 Ἀποθέμενος· αἰτιατικῇ. Synt.
3315 Ἀποθέσθαι: ἀποθησαυρίσαι, ἀποταμιεῦσαι. ὁ δὲ βουλόμενος Δ + E
μηδένα χρόνον ἀργὸν ποιεῖν, προέθετο τὸ τοῦ χειμῶνος ἄπρακτον εἴς
τινας χρείας ἀποθέσθαι.
3316 Ἀποθεσπίσαι: δογματίσαι, ἐκθέσθαι, εἰπεῖν. Σ
3317 Ἀπόθετον: τὸ ἀποτεθησαυρισμένον. Δ
3318 Ἀποθήκην: ἀντὶ τοῦ ἀποστροφήν. Φίλιστος. Σ
3319 Ἀποθλίβειν: καὶ ζήτει ἐν τῷ βλιμάζειν.
3320 Ἀπόθητος: ὁ μὴ ποθούμενος. Δ
3321 Ἀποθνήσκοντας ἐν πολέμοις ὁρῶ τοὺς περὶ πλείστου ποιου-
μένους τὸ ζῆν, καὶ ζῶντας ὅσοι τοῦ ζῆν ἀπεγνώκεσαν. κἀγὼ μαχή-
σομαι ὡς ἀποθανούμενος, καὶ οἶδ' ὅτι περιέσομαι. Λάκων γάρ εἰμι
ἄνωθεν καὶ οἶδα τὴν πρὸς Λεωνίδην ἐπιστολὴν τῶν τελῶν· μαχέσθων
ὡς τεθναξόμενοι, καὶ οὐ τεθνάξονται.
3322 Ἀπόθου: ἀποβαλοῦ. ἀπωθοῦ δέ, ὥθησον. Δ Suid.
3323 Ἀποθώμεθα: αὐθυπότακτον. ἀντὶ τοῦ ἀποβάλωμεν. Δ
3324 Ἀποθραυσθῆς: ἐκπέσῃς. μηδ' εἰς ὀρχηστρίδος εἰσάττῃς· τουτ- Ar.
έστιν εἰσέλθῃς, μήποτε τῆς εὐκλείας ἀποθραυσθῇς.
3325 Ἀποθρέξεις: συναποτροχάσεις. οὕτως Πλάτων. Σ
3326 Ἀποθρώσκοντα: ἀποπηδῶντα. Σ
3327 Ἀποθύμια: λυπηρὰ, τὰ μὴ καταθύμια. Σ
3328 Ἀπὸ θυμοῦ γένηται τῷ βασιλεῖ· δείσας οὖν μὴ ἀπὸ θυ- E
μοῦ γένηται τῷ βασιλεῖ, μὴ θαρσήσας αὐτὸν ἐπιβαίνει τοῦ πορθμείου.
καὶ αὖθις· τοῖς μὲν ὀλίγοις τε καὶ ὧν ὄφελός τι ἐν παντὶ ἔθνει ἀπὸ
θυμοῦ εἶναι τῆς λεηλασίας. καὶ Ἀπὸ θυμοῦ, μισητός. ἐπεὶ δὲ E
οὐκ ἀπὸ θυμοῦ ἦν αὐτοῖς ἄρχων ὁ Αὔγαρος.

3313 — πόρρωθεν = Ba 139, 20, Σ^{a} (p. XXIb 24) ῥινοῦ—νέφος Anth. 7, 172, 3—4 Ῥουφῖνος—νs. 4 ἄποθεν Proc. bell. 1, 22, 9 = EL 93, 17—18 ἄποθέν γε sq. Tim. (correctum in ἀμόθεν) 3315 — ἀποθησαυρίσαι cf. ad 3317 ὁ sq. Dam. fr. 216 3316 = Ba 124, 23, Σ^{a} 3318 = Ba 124, 25; Philist. fr. 59, FHG 1, 191 3320 = Ambr. 2448 3321 Synes. ep. 113, p. 254c 3322 — ἀπωθοῦ = Ambr. 2668—9 cf. Ps. Herodian. 274 3324 Ar. Nu. 996—7 c. sch. 3325 = Ba 124, 21; Plat. com. fr. 232 (1, 662 K.) 3326 = Ba 124, 22, Σ^{a}, H 3327 = Ba 124, 24, Σ^{a}, Et. M. 132, 16 3328 ἐπεί sq. Arr. Parth. R. p. 42

3313 cf. 3664; Anth. cf. v. ῥινόν et v. χερμαστήρ 3317 Z 250 3318 Z 242 3322 cf. 3666 3324 cf. 4714, v. μήλῳ, v. εἰσάττειν, v. θραυσθῆς 3325 Z 263 3327 Z 250

13 καὶ ζήτει A om. in lac. M βλιμάζειν M ἁλιμάζειν A 16 μαχήσομαι] A(GITFSM) μαχέσομαι ISM^{ac} μαχοῦμαι Synes. 20 ὥθησον om. S 30 τῆς] τάς Port. 31 Αὔγαρος FSM Ἄγβαρος rell.

Δ 3329 Ἀποθυννίζω: τὸ ἀποπέμπομαι καὶ παραλογίζομαι.
Prov. 3330 Ἀπὸ ἵππων ἐπ' ὄνους: ἐπὶ τῶν κατὰ τὸ χεῖρον τρεπομένων.
Σ 3331 Ἄποκα: πρόβατα ἄκουρα.
Σ 3332 Ἀποκαθεύδουσιν: ἀντὶ τοῦ ἀποκοιτοῦσιν. Εὔπολις. τουτέστι γυναῖκα χωρίζεσθαι ἀνδρὸς καὶ ἀφίστασθαι.
Thdr. 3333 Ἀποκαθιστῶν: διδοὺς, χαριζόμενος. σὺ εἶ ὁ ἀποκαθιστῶν τὴν κληρονομίαν μου ἐμοί. τουτέστι τὴν τῶν ἐθνῶν βασιλείαν, τὴν προτέραν δεσποτείαν ἀποδιδούς.
Ar. 3334 Ἀπὸ καλοῦ ξύλου κἂν ἀπάγξασθαι: θέλει λέγειν, ὅτι βέλτιόν ἐστι χρῆσθαι τοῖς γενναίοις στρατηγοῖς καὶ δεδοκιμασμένοις ἢ τοῖς φαύλοις. κἂν γὰρ δέῃ παθεῖν, κρεῖττον ἀπ' ἀγαθοῦ ἢ φαύλου πάσχειν. καὶ Ἀριστοφάνης· κἄν τι σφαλῇτ' ἐξ ἀξίου γοῦν.
Σ 3335 Ἀποκαραδοκία: προσδοκία. καὶ Ἀποκαραδοκῶν, προσ-
Σ+E δοκῶν. ὁ δὲ καθῆστο ἐν τῇ παρεμβολῇ ἀποκαραδοκῶν, ὅποι καὶ
Δ τύχης χωρήσοι τὰ πράγματα. σημαίνει δὲ καὶ τὴν ἀνελπιστίαν.
Σ 3336 Ἀποκαρτερήσαντα: ἑαυτὸν λιμῷ ἢ ἀγχόνῃ τοῦ βίου ἐξαγα-
E? γόντα. Λυκοῦργον τὸν Λακεδαιμόνιον νομοθέτην μετὰ τὸ θεῖναι τοὺς νόμους ἐλθόντα εἰς Κρήτην ἀποκαρτερῆσαι, ὅπως μὴ αὐτοῖς
Hesy. ἀναγκασθείη λῦσαι. καὶ αὖθις· ὁ δὲ Ἀναξαγόρας ἐλθὼν ἐν Λαμψάκῳ καὶ ἀποκαρτερήσας τὸν βίον καταστρέφει.
Prov. 3337 Ἀπὸ καταδυομένης· λείπει, ὅ τι ἂν λάβῃς κέρδος. ἀπὸ τῶν ἐμπόρων ἡ μεταφορά, οἳ καταδυομένης τῆς νεὼς, ὅ τι ἂν λάβωσι, κέρδος ἡγοῦνται.
Σ 3338 Ἀποκαταλλάξαι: φιλοποιῆσαι.
3339 Ἀποκατέστην: ἀπεδόθην. ἀποκατέστη τοῖς περὶ τὸν Ζίχ
EL τὰ ὀφειλόμενα χρήματα τῶν ζ' ἐνιαυτῶν.
Suid. 3340 Ἀποκαυλίζεσθαι τὸν μηχανικὸν κριόν.
Ar. 3341 Ἀποκεκλήκαμεν: ἀπηγορεύσαμεν. καὶ Ἀριστοφάνης Ὄρνιςιν· ἀποκεκλήκαμεν διογενεῖς θεοὺς μηκέτι τὴν πόλιν διαπερᾶν.

3329 = Ambr. 2833 3330 Philol. Suppl. 6, 260, n. 272 3331 = Ba 125, 27 3332 — Εὔπολις (fr. 399) = Ba 125, 5 3333 Thdr. in Ps. 15, 5, PG 80, 960c—961a 3334 Ar. Ran. 736 c. sch. 3335 — προσδοκία = Ba 125, 6, Σ[a], H ὁ—πράγματα Polyb. attr. Tittm. ἀνελπιστίαν = Ambr. 2600 3336 = ἐξαγαγόντα = Ba 125, 12, Σ[a] 3337 = Macar. II 27 3338 = Ba 125, 7, Σ[a] 3339 ἀποκατέστη alt. sq. Men. Prot. fr. 11, FHG 4, 214 = EL 183, 18—19 3341 Ar. Av. 1262 c. sch.

3329 Z 263 3332—3 Z 263 3334 hinc v. κἄν τι; cf. 2915 3335 Z 242, 263 3336 Λυκοῦργον—λῦσαι cf. 2988; Ἀναξαγόρας cf. 1981 3338—9 Z 263 3339 cf. v. πλάστιγξ 2 3340 ex v. ἐμβόλη 3341 Z 263

A(GITFSMB) 13 τι] τις ASM γοῦν] καὶ ἔξῆς ἐκεῖ ss. M 19 αὐτοῖς] αὐτούς M[pc] αὐτός coni. Bhd. 21 καταστρέφει] κατεστράφη SM 22 ἀπὸ καταδυομένης Port. ἀποκαταδυομένης omnes 23 οἳ Bas. οἷον omnes 26 Ἀποκατέστην· ἀπεδόθην] Ἀποκατέστη· ἀπεδόθη M ἀποκατέστη] ἀποκατέστην V ἀπεκατέστην F cf. Exc. Ζίχ MB Exc., ζ' χρ. A ζ' χρόνον GIT ἕβδομον χρόνον FS Zon. 3340 om. TFM mg. A post 3341 GI

3342 Ἀποκεκραιπαλισμένος: τῆς κραιπάλης ἀπαλλαγείς καὶ μέθης. Suid.

3343 Ἀποκεκρουσμένον: οἷον ἠκρωτηριασμένον, ἀποκεκλασμένον, Σ + Ar.
καὶ κεκολοβωμένον. δόρ μοι κυλίσκιον, χεῖλος ἀποκεκρουσμένον. ποτήριον. Ἀριστοφάνης Ἀχαρνεῦσιν.

3344 Ἀποκεκύφαμεν· Ἀριστοφάνης· οἱ γὰρ ἄνδρες, ὥσπερ λαμπροφόροι ὄντες, ἀποκεκύφαμεν. οἱ γὰρ λυχνοφοροῦντες κεκύφασι διὰ τὸν ἄνεμον. Ar.

3345 Ἀποκέχρηται· δοτική. Synt.

3346 Ἀποκείλαντες: ἀποκλίναντες. Σ

3347 Ἀποκείραντες· αἰτιατική. καὶ κείραντες, ἑκατέρως λέγουσιν. Σ

3348 Ἀποκεῖσθαι πόρρω: ἀτιμάζεσθαι. οὕτως Κρατῖνος. Σ

3349 Ἀποκηδήσαντες: ἀντὶ τοῦ ἀποκακήσαντες. Ὅμηρος. παρὰ Σ + Hom.
δὲ Σώφρονι ἀποκακήσαντες ἀφροντιστήσαντες. καὶ Ἀποκηδήσονται, τὴν λύπην ἀφαιρήσονται. Δ

3350 Ἀποκήρυκτον: ἀλλότριον. ὅτι ὁ λέγων τοὺς ἀποκηρύκτους Σ
φαύλους εἶναι ἁπλῶς, δόξει ἂν λέγειν ἐξ ἀνάγκης τοιούτους αὐτοὺς Phil.
εἶναι· οὐ μὴν οὕτως ἔχει. ἐνδέχεται γάρ τινα μὴ τοιοῦτον εἶναι ἀποκήρυκτον γενόμενον. Θεμιστοκλέα γοῦν ἀποκήρυκτόν φασι γενέσθαι· οὐ μὴν φαῦλος ἦν. καὶ Ἀποκηρύττοντες, ἀντὶ τοῦ πιπράσκον- Harp.
τες. οὕτως Δημοσθένης καὶ Πλάτων. οἱ δέ φασι διαφέρειν ἐκποίητον Suid.
ἀποκηρύκτου, ὅτι ὁ μὲν ἀποκήρυκτος ἐπὶ κολάσει ἐκβάλλεται, ὁ δὲ ἐκποίητος ὑπὸ τοῦ φύσει πατρὸς εἰς ἕτερον οἶκον δίδοται προθέσει.

3351 Ἀποκηρύττω· αἰτιατική. Synt.

3352 Ἀποκινδυνεύοντες: ἀποτολμῶντες, ἀποδειλιῶντες. ὁ δὲ Δ
Σερτώριος, ὁ τῶν Ῥωμαίων στρατηγὸς, καίπερ θρασέως τῶν Ἰβήρων Ε
ἐκ τοῦ τὰ πλείω κατορθοῦν ἐχόντων, οὐκ ἀποκινδυνεῦσαί ποτε ἐτόλμησεν.

3353 Ἀποκινεῖν: τὸ ἀπέρχεσθαι καὶ ἀποτρέχειν. λέγεται καὶ ἐπὶ Σ
πλοίων καταγομένων καὶ ὁρμιζομένων ἀποκινεῖν ταῖς κώπαις.

3342 = Ba 126, 1 sed ἀποκεκλασμένον, ποτήριον et fort. δόρ μοι e sch. Ar. Ach. 457 3344 Ar. Lys. 1003 c. sch. 3345 = Synt. Gud. 3346 = Ba 125, 8, Σ[a] 3347 ἑκατέρως sq. = Ba 126, 15 3348 = Ba 125, 9; Cratin. fr. 367 3349 — Σώφρονι (fr. 78) = Ba 125, 14; Ψ 413 ἀφροντιστήσαντες sch. Ψ 413 cf. Et. M. 131, 29, H, Ap. S. 39, 30 ἀποκηδήσονται sq. = Ambr. 2689 3350 — ἀλλότριον = Ba 125, 10, Σ[a] ὁ λέγων—ἦν Alex. Aphr. 179, 23—7 ἀποκηρύττοντες—Πλάτων Harp. = Ba 126, 5; Dem. 23, 201; Plat. com. fr. 121 (1, 633 K.) 3351 = Synt. Laur. et Gud. 3352 ὁ sq. fort. App. 3353 = Ba 125, 28

3342 ex 3365 3343 cf. v. κύλιξ; Z 264 3344 cf. v. λαμπροφόρος 3346—50 Z 264 3350 οἱ δέ sq. ex v. ἐκποίητον 3352 hinc v. Σερτώριος 3353 Z 264

3342 om. TF mg. post 3345 A post 3340 S 1 Ἀποκεκραιπαλισμένος· τῆς A(GITFSM)
om. G ἀπαλλαγείς] ἀπαλλαγῆς AS 2 Ἀποκεκρουσμένον] γρ. ἀποκεκρουμένον ss. M cf. Ba 3 χεῖλος AFS, v. κύλιξ, Zon., τὸ χεῖλος GITM 12 ἀντί— 13 ἀφροντιστήσαντες om. I Ὅμηρος—ἀφροντιστήσαντες om. T Ὅμηρος FVM Ba cf. Zon. om. AG cf. vs. 14 13 ἀποκακήσαντες] ἀποκαδεῖ Ba ἀποκαδήσαντες Port. ἀποκηδήσαντες sch. 14 ἀφαιρήσονται] Ὅμηρος add. AGIT cf. vs. 12 20 οἱ—22 προθέσει om. TF mg. A post vs. 15 ἀλλότριον S

Δ 3354 Ἀπόκινος: εἶδος ὀρχήσεως.

Synt. 3355 Ἀποκλαίομαι· αἰτιατική, καὶ Ἀποκλείω· αἰτιατική.

Σ 3356 Ἀποκλήρωσις: μέρος. εἰς ἀμείνονα λῆξιν ἀποκληρῶσαι Σ θεοποιῷ φροντίδι οὐδὲν ὤκνησε. Λῆξις δέ ἐστι μερὶς, παῦσις, κληρονομία.

Δ 3357 Ἀπόκλητοι: κεκλημένοι. οὐ τὴν κοινὴν προσδεξάμενοι E σύνοδον οὔτε τοῖς ἀποκλήτοις συμμεταδόντες, τὰς αὐτῶν κρίσεις δια- E λαβόντες, πόλεμον ἐξήνεγκαν. καὶ αὖθις Πολύβιος· λ′ τῶν ἀπο- κλήτων προεχειρίσαντο τοὺς συνεδρεύοντας μετὰ τοῦ βασιλέως. καὶ αὖθις· ὁ δὲ συνῆγε τοὺς ἀποκλήτους καὶ διαβούλιον ἀνεδίδου περὶ τῶν ἐνεστώτων.

Δ 3358 Ἀπόκλιμα τῶν ὀρέων: ἀντὶ τοῦ ἀπόνευμα.

Synt. 3359 Ἀποκλύζω· αἰτιατική.

Σ 3360 Ἀποκναίει: διαφθείρει, ἀποκόπτει, ἀπολλύει, λυπεῖ, ὀδυνᾷ.

Σ 3361 Ἀποκναίειν: ἐνοχλεῖν, παρεκτείνειν. τί οὐ καθεύδεις; σύ E μ′ ἀποκναίεις περιπατῶν. Μένανδρος Μισουμένῳ. οὐ γὰρ ἀποκναίω τῷ μεγέθει τῆς ἀρετῆς τὸν ἄνδρα, λέγω δὴ τὸν Ἡρακλέα, ἐν δευτέ- ροις τιθείς, εἰ καὶ τῷ παραλλήλῳ λειπόμεθα. φησὶ Σιμόκατος Θεο- E φύλακτος. καὶ αὖθις· οἱ ἄνθρωποι ἐπὶ Ἰουστινιανοῦ ὑπὸ τῶν φο- ρολόγων ἀγχόμενοι καὶ ἀποκναιόμενοι τόκοις ὀφλημάτων ἀειρρύτοις τισὶ, δυσθανατοῦντες ἀκούσιοι διεβίωσαν.

Σ 3362 Ἀπόκνιζε: ἀπόσκαλλε, ἀπότιλλε.

Σ 3363 Ἀποκοπῆναι τῶν ἰχνῶν τὴν κύνα λέγουσιν, ὅταν μηκέτι εὑρίσκῃ τὰ ἴχνη.

Δ+Σ 3364 Ἀποκόπους: ἐκτομίας. καὶ ἀντὶ τοῦ ἀσθενεῖς κεῖται.

Σ 3365 Ἀποκραιπαλισμός: τῆς κραιπάλης ἀπαλλαγὴ καὶ μέθης.

Σ 3366 Ἀπόκριμα: κατάκριμα.

3354 = Ambr. 2564, sch. Ar. Eq. 20 cf. Ba 126, 23 3355 = Synt. Laur. 3356 — μέρος = Ba 125, 11, Σ[a], H εἰς—ὤκνησε Io. Chrysost. attr. Tittm. Damasc. Bhd. λῆξις sq. = Ba 290, 14 cf. H s. v. 3357 οὐ—ἐξήνεγκαν Polyb. 4, 5, 9—10 Πολύβιος sq. 20, 1, 1 cf. fr. 113 = 2222 3358 = Ambr. 2641 3359 cf. Synt. Gud. 3360 = Σ[a], Ba 125, 19 cf. H, Et. M. 126, 35, sch. Pl. Rep. 406a 3361 — Μισουμένῳ = Ba 125, 20; Men. com. fr. 341 οὐ—λειπόμεθα Th. Simoc. 2, 18, 15 οἱ sq. Proc. h. a. 12, 13 3362 = Ba 125, 24, Σ[a], H 3363 = Ba 125, 17 cf. H 3364 ἀντί sq. = Ba 125, 15 cf. M. Schmidt ad H v. ἀποκηδήσαντες 3365 = Ba 125, 31; l. = H; fr. com. ad. 946 3366 = Ba 125, 25, Σ[a], H

3356 hinc v. παῦσις, v. λῆξις in fine; Z 243; λῆξις sq. cf. v. 3357 Z 235 3358 cf. Z 253 3361 Th. cf. v. Σάπειρ 3363 Z 264 3364 Z 235 3365 hinc 3342 3366 Z 250

A(GITFSM) 10 ὁ] εἰ A περὶ] παρά A 3361 non nov. gl. M cf. Ba 17 δευτέροις] δευτέρῳ GI 18 τῷ παραλλήλῳ] τῶν παραλλήλων SM 21 διεβίωσαν] διέβησαν A 25 κεῖται] δὲ κ. M cf. Zon. 3365 om. S 26 Ἀποκραιπαλισμός] Ἀποκεκραιπαλισμένος F Ἀποκεκραπαλισμένος A τῆς AF Ba om. rell. ἀπαλλαγή] ἀπαλλαγῆς F ἀπαλλαγείς A

3367 'Απόκριναι· δοτικῇ. ἀποκρίθητι. Δημοσθένης· ἀπόκριναι Δ Harp.
δεῦρό μοι παρελθών. 'Αποκρινεῖται δὲ λέγουσι μᾶλλον ἢ ἀπο- Σ
κριθήσεται. Μένανδρος Κανηφόρῳ· ἃ δ' ἀποκρινεῖται, κἂν ἐγὼ λέγοιμί
σοι. 'Υποβολιμαίᾳ· ὡς μηδὲν ἀποκρινούμενα δ' οὕτω λαλεῖν. καὶ
'Απόκρισις, ἡ ἀπολογία. οὕτως Λυσίας καὶ 'Αντιφῶν. ἀλλὰ καὶ Harp.
Δημοσθένης ὁμοίως λέγει ἐν τῷ κατ' Αἰσχίνου· ἀπόκριναι, λέγων,
δεῦρό μοι παρελθών.
3368 'Αποκρότῳ: τραχείᾳ. οἱ δὲ ἀπεχωλοῦντο ἐν γῇ ἀποκρότῳ τε E
καὶ συνεχῶς ταλαιπωροῦντες.
3369 'Αποκρούεσθαι· αἰτιατικῇ. ἀποβάλλεσθαι. Σ
3370 'Αποκρύπτομαι· αἰτιατικῇ. Synt.
3371 'Αποκτένω· αἰτιατικῇ. φονεύω. καὶ 'Αποκτεῖναι, φονεῦσαι. Δ
καὶ 'Αποκτείνῃς, αὐθυπότακτον. καὶ ἀποκτενόντων.
3372 'Αποκτιννύναι: φονεῦσαι. 'Αποκτίννυσι λέγουσι μᾶλ- Δ
λον ἢ ἀποκτιννύειν. Κρατῖνος Βουκόλοις. καὶ πρὸς τὸν οὐρανὸν σκια- Σ
μαχῶν ἀποκτίννυσι ταῖς ἀπειλαῖς. καὶ 'Απεκτόνασιν, οὐκ ἀπεκτάγ-
κασι. μισοῦσι μέν, ὦ πάτερ, Θράσωνα· ἀπεκτάγκασι δ' οὔ.
3373 'Απόκοιτος: πόρρω τῆς κοίτης. ὁ δὲ τῇ δοκήσει κατεπαννυ- E
χίζετο τῆς δειλίας ἀπόκοιτος.
3374 'Αποκυηθέν: τεχθέν. καὶ 'Αποκυΐσκω, τὸ ἀπογεννῶ. ΣΔ
3375 'Απολαβόντες: ἐναποκλείσαντες. οἱ δὲ τὴν στρατιὰν αὐλῶσι E
στενοῖς καὶ δυσεμβόλοις ἀπολαβόντες ἐς διαλλαγὰς ἐλθεῖν αἰσχρὰς
ἠνάγκασαν. καὶ 'Ιώσηπος· διώξαντες ἀπολαμβάνουσι τοὺς πολε- E
μίους ἐν κοίλῳ χωρίῳ καὶ πάντας κτείνουσι. καὶ αὖθις· τὸ γὰρ
χωρίον ἀμφοτέροις ἤρεσε, τῷ μὲν ὅτι ἀπολαβόντες ἐς αὐτὸ τοὺς EL
Ῥωμαίους ὑποσπόνδους ἀφῆκαν, πρὸς ἔνδειξιν ὧν εὐεργέτηντο.

3367 — ἀποκρίθητι = Ambr. 2724, Zon. 283; δοτικῇ = Synt. Laur. et Gud. Δημοσθένης (19, 120)—μοι Harp. = Ba 126, 13 cf. Bk. 208, 29 ἀποκρινεῖται pr.—λαλεῖν = Ba 126, 7; Men. com. fr. 255 et 492 ἀπόκρισις sq. Harp. = Ba 126, 12; Lys. fr. 305; Antiph. fr. 154 Blass; Dem. 19, 120 3368 οἱ sq. Thuc. 7, 27, 5 3369 αἰτιατικῇ = Synt. Laur. et Gud. ἀποβάλλεσθαι = Ba 125, 26, Σ^a, H 3370 = Synt. Gud. 3371 αἰτιατικῇ = Synt. Laur. et Gud. φονεύω = Ambr. 2660; ἀποκτείνῃς sq. = Ambr. 2850 3372 — φονεῦσαι cf. Ambr. 2659 ἀποκτίννυσι pr. sq. = Ba 126, 17; Cratin. fr. 17; μισοῦσι sq. Men. com. fr. 344 3373 ὁ sq. Th. Simoc. 5, 1, 11 3374 — τεχθέν = Ba 127, 3, Σ^a ἀποκυΐσκω sq. = Ambr. 2663 3375 'Ιώσηπος? τὸ γὰρ sq. Cass. D. 62, 23 = EL 421, 32—4

3367 Z 264, 243 3372 hinc 3000, Vind. 49 3375 Z 264

1 'Απόκριναι] 'Απόκρινε A δοτικῇ om. GTFS ss. I ἀποκρίθητι nov. A(GITFSM) gl. F Δημοσθένης—2 παρελθών om. M 2 παρελθών] προελθών A 3 Μένανδρος—7 παρελθών om. S Μένανδρος om. AF ἃ] ὅ Bekk. 4 'Υποβολιμαίᾳ] 'Υποβολιμαίῳ Hemst. 6 λέγων om. M 13 καὶ ἀποκτενόντων ex A, καὶ ἀποκτένω I et post 3370 M, om. rell. 15 ἀποκτιννύειν] ἀποκτινύειν A cf. Phryn. 51, 12, ἀποκτιννύει F Bekk. 20 ἀπογεννῶ] γεννῶ M^{ac} cf. Ambr. 25 τῷ] τό ITFS 26 ὧν] ὑπὲρ M εὐεργέτηντο GI Exc. εὐηργέτηντο rell.

Δ 3376 Ἀπολακτίζω. καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος. τουτέστιν ἀπεσκίρτησεν.

Δ 3377 Ἀπολαύειν· γενικῇ. Ἀπολαύειν οὐκ ἐπὶ τῶν ἡδέων Σ μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν ἐναντίων τάττουσιν, ὡς Ἰσοκράτης· δέδοικα EV μή τι κακὸν ἀπολαύσαιμι. καὶ Μαρκελλῖνος περὶ Θουκυδίδου φησίν· οὔτε Κλέων οὔτε Βρασίδας, ὁ αἴτιος τῆς συμφορᾶς, ἀπήλαυσε λοιδορίας, ὡς ἂν τοῦ συγγραφέως ὀργιζομένου.

Rhet. 3378 Ἀπολαχεῖν: τὸ διανείμασθαι τὰ πατρῷα καὶ ἄλλα κοινὰ δόντα πρός τινας καὶ ἀπολαβεῖν. διαλαχεῖν δὲ τὸ διανεμεῖσθαι οἱ ῥήτορες εἰρήκασιν. Ἀντιφῶν· ὁπόταν ἄνθρωποι βούλοιντο χρήματα διαλαγχά-
Harp. νειν. Ἀπολαχεῖν, ἀντὶ τοῦ διαλαχεῖν. οὕτως Λυσίας καὶ Ἀριστοφάνης καὶ Ἀντιφῶν.

Ar. 3379 Ἀπολάψεις: ἐὰν διὰ τοῦ ε ἀπολέψεις, τουτέστιν ἀπολεπίσεις. ἀπολέψαντα τὸ λέμμα. ἀπολεπίσαντα ὥσπερ ὠοῦ. ἐὰν δὲ ἀπολάψεις, ἐκπίῃς. ἀπὸ τῶν κυνῶν ἡ μεταφορά, καὶ ὅσα λάπτοντα πίνει. καὶ καταστρέφει δὲ εἰς τὸ ἀποκερδανεῖς, ἀφαρπάσεις, ἀποσπάσεις. Ὅμηρος· λάψοντες γλώσσῃσι. καὶ Ἀριστοφάνης Νεφέλαις· γνοὺς ἀπολάψεις ὅτι πλεῖστον δύναται ταχέως.

E 3380 Ἀπολεγόμενος: παραιτούμενος. Πολύβιος· ὁ δὲ παρητεῖτο τοὺς Ἀχαιοὺς ἀπολεγόμενος τὴν ἀρχήν. καὶ Ἀπολέγοντα, ἀπα-
EL γορεύοντα, ἀποτρέποντα. γράμματά τε ἄντικρυς ἀπολέγοντα τοῖς πρέσβεσιν ἔγραφε, μηδαμῶς προῖεσθαι τὰ φρούρια Πέρσαις.

E 3381 Ἀπόλεκτοι: ἐξαίρετοι. Ξενοφῶν· αἱ δὲ εἰς τοὺς δεσπότας ἀποκείμεναι ἀπόλεκτοι ἦσαν.

Δ 3382 Ἀπολωλεκώς.

Harp. 3383 Ἀπολελοιπότες: ἀντὶ τοῦ νενικηκότες. ἡ μεταφορὰ ἀπὸ τῶν δρομέων. οἱ γὰρ νικῶντες ἀπολείπουσι τοὺς ἡττωμένους. οὕτως Σωκράτης ἐν Παναθηναϊκῷ καὶ Πανηγυρικῷ.

3376 l. = Ambr. 2841 καί sq. = Deut. 32, 15 c. gl. 3377 γενικῇ = Synt. Laur. ἀπολαύειν alt.—ἀπολαύσαιμι = Ba 127, 4; Isocr. 8, 81 οὔτε pr. sq. Marcell. 26 = EV 2, 31, 12—14 3378 — ἀπολαβεῖν = Bk. 217, 3; Antiph. fr. 65 vs. 11 ἀπολαχεῖν sq. Harp. = Ba 127, 9; Lys. fr. 214, Ar. fr. 494, Antiph. fr. 65 3379 — ἀπολεπίσεις + ἐὰν δέ sq. Ar. Nu. 811 c. sch., Π 161; ἀπολέψαντα—ὠοῦ Ar. Av. 673 c. sch. 3380 ὁ—ἀρχήν Polyb. fr. 16 γράμματα sq. Proc. bell. 1, 22, 11 = EL 93, 22—3 3381 Ξενοφῶν sq. An. 2, 3, 15 cf. Ath. 14, 651b 3383 Harp. = An. Ox. 2, 490, 18, Ba 127, 19; Isocr. 12, 41; 4, 50

3376—8 Z 265 3376 hinc 3002 3377 Marcell. cf. 3150 3378 hinc v. διαλαχεῖν 3379 hinc 3386; cf. v. λάψοντες 3380 Vind. 51, Z 265; παραιτούμενος cf. 3126; ἀπαγορεύοντα cf. 3124—5, 3498 3381 cf. 2991 et v. B 66 3382 cf. 3412

A(GITFSM) 1. 2 τουτέστιν ἀπεσκίρτησεν om. S 2 ἀπεσκίρτησεν om. F 6 ἀπήλαυσε] ἀπέλαυσε AM^{ac} 8 κοινά] τινα AI 11 ἀπολαχεῖν nov. gl. TFS 16 καί om. SM 17 λάψοντες] λάψαντες GITM 26 νενικηκότες] νενικῶντες A 27 νικῶντες] νενικῶντες A 28 Σωκράτης] Ἰσοκράτης Harp.

3384 Ἀπολέμητον: ἀνενόχλητον. κατάραντες εἰς χώραν εὐδαίμονα καὶ πολλῶν χρόνων ἀπολέμητον. E

3385 Ἀπόλεμος: ὁ μὴ ἰσχύων ἢ εἰδὼς πολεμεῖν. ἀπόλεμος γὰρ ἦν, καὶ ὑπὸ νόσου ποδάγρας οὔτε οἱ πόδες οὔτε αἱ χεῖρες ἐτύγχανον ἄρτιοι. τίθεται δὲ καὶ ἐπὶ τῶν μηδεμίαν πρόφασιν ἐχόντων πολέμου, δρασάντων δὲ τὰ πολεμίων. Δ? Σ

3386 Ἀπολέψεις· ζήτει ἐν τῷ ἀπολάψεις ὀπίσω.

3387 Ἀπολέξαι. Δ

3388 Ἀπὸ λεπτοῦ μίτου τὸ ζῆν ἠρτῆσθαι. τοῖς οὖν ἐν τῷ τοιῷδε πλέουσιν ἀπὸ λεπτοῦ μίτου φασὶν ἠρτῆσθαι τὸ ζῆν. ἡ παροιμία ἐπὶ τῶν ἐν ἐσχάτοις κινδύνου ὄντων. Prov. Prov.

3389 Ἀπολείπομαι καὶ ἀπολειπόμεθα· γενικῇ. ἐπὶ δὲ μέλλοντος ι. Synt.

3390 Ἀπολείπουσιν· ἀλλὰ καὶ ἀπολιμπάνουσι παρὰ Λυσίᾳ. Σ

3391 Ἀπόληγε: παύου. Σ

3392 Ἀπολιβάξεις: συντόμως ἀναχωρήσεις. λιβὰς γὰρ ἡ σταγών, ἧς οὐδὲν ταχύτερον ἐν τῷ πίπτειν. Ἀριστοφάνης Ὄρνισιν· οὐκ ἀπολιβάξεις, ὦ κάκιστ' ἀπολούμενος. Ar.

3393 Ἀπολιγαίνει: θορυβεῖ, ὀξέως βοᾷ. παρὰ τὸ λιγύ. Ἀριστοφάνης· ἦν δ' ἀπολιγαίνῃ, τοὺς ἀγορανόμους καλῶ. ἀντὶ τοῦ τοὺς ἱμάντας, οὓς οἱ ἀγορανόμοι ἔχοντες ἔτυπτον. Ar.

3394 Ἀπόλιδας: ἀγεννεῖς, ὡς μὴ οἰκοῦντας ἐν πόλει, ἀπαιδεύτους. Σ?

3395 Ἄπολις: ζήτει ἐν τῷ Γενέθλιος.

3396 Ἀπολιμπάνομαι· γενικῇ. Ἀπολιμπάνω δὲ αἰτιατικῇ ἐπὶ τοῦ ἐνεργητικοῦ. Synt.

3397 Ἀπολινάριος, Λαοδικεὺς τῆς Συρίας, γεγονὼς ἐν ἡμέραις Κωνσταντίου καὶ Ἰουλιανοῦ τοῦ Παραβάτου καὶ ἕως τῆς ἀρχῆς Θεοδοσίου τοῦ μεγάλου, σύγχρονος Βασιλείου καὶ Γρηγορίου, τῶν ἐκ Καππαδοκίας θαυμαζομένων. ἐγένετο δὲ καὶ γνώριμος ἀμφοτέρων καὶ Λιβανίου τοῦ σοφιστοῦ καὶ ἄλλων τινῶν. οὗτος οὐ μόνον γραμματικὸς καὶ τὰ ἐς τὴν ποίησιν δεξιός, ἀλλὰ πολλῷ πλείω καὶ ἐς φιλοσοφίαν ἐξήσκητο καὶ ῥήτωρ ἦν ἀμφιδέξιος. οὗτος ἔγραψε καταλογάδην κατὰ Πορφυρίου τοῦ δυσσεβοῦς τόμους λ', καὶ δι' ἡρώων ἐπῶν πᾶσαν τὴν τῶν Ἑβραίων γραφήν. ἔγραψε δὲ ἐπιστολὰς καὶ ἄλλα πολλὰ εἰς τὴν Γραφὴν ὑπομνήματα. τοῦ δέ γε Ἀπολιναρίου καὶ Φιλοστόργιος μνή- Hesy.

3384 κατάραντες sq. Polyb. 3, 90, 7 3385 τίθεται sq. = Ba 127, 7 3388 — ἠρτῆσθαι pr. + ἡ παροιμία sq. = Philol. Suppl. 6, 259, n. 196 τοῖς—ζῆν Synes. ep. 4, p. 162a 3389 cf. Synt. Laur. 3390 = Ba 127, 11; Lys. fr. 306 3391 = Ba 127, 13, Σ^a, H 3392 Ar. Av. 1467 c. sch. 3393 Ar. Ach. 968 c. sch. 3396 cf. Synt. Laur. 3397 — vs. 32 λ' cf. Hieronym. vir. ill. 104 Φιλοστόργιος sq. p. 111—3 cf. p. LXXVI, Wentzel TU 13, 6 sq., 17—22

3388 cf. v. μίτος 3392 cf. v. οὐκ ἀπολιβάξεις; Z 265 3397 cf. v. B 150, v. Γ 449

3 εἰδὼς] μὴ ss. T 3386 ex A 11 κινδύνου] κινδύνοις I^{ac}TFM^{ac} A(GITFSM) 3389 ex GIM 12 ἐπί—ι om. G δέ om. M 14 παύου] παίου A 15 et 16 Ἀπολιβάξεις] Ἀπολιβάζεις FS ἀναχωρήσεις] ἀναχωρεῖς GITM 17 ἀπολούμενος] ἀπολούμενε M^{ac} 33 δέ] δὲ καί M

μην πεποίηται ἐν τῇ κατ' αὐτὸν ἱστορίᾳ καί φησιν· Ἀπολινάριος γὰρ ἤκμαζε κατ' ἐκείνους τοὺς χρόνους ἐν τῇ Λαοδικείᾳ τῆς Συρίας, καὶ Βασίλειος ἐν Καισαρείᾳ τῆς Καππαδοκίας, καὶ Γρηγόριος ἐν τῇ Ναζιανζῷ· σταθμὸς δὲ οὗτος ὁ τόπος ἐστὶ τῆς αὐτῆς Καππαδοκίας. τρεῖς δὴ οὗτοι ἄνδρες τότε τοῦ ὁμοουσίου προὐμάχουν κατὰ τοῦ ἑτεροουσίου, μακρῷ πάντας παρενεγκόντες τοὺς πρότερον καὶ ὕστερον ἄχρις ἐμοῦ τῆς αὐτῆς αἱρέσεως προστάντας, ὡς παῖδα παρ' αὐτοῖς κριθῆναι τὸν Ἀθανάσιον. τῆς τε γὰρ ἔξωθεν καλουμένης παιδεύσεως ἐπιπλεῖστον οὗτοι προεληλύθεισαν καὶ τῶν ἱερῶν γραφῶν, ὁπόσα εἰς ἀνάγνωσιν καὶ τὴν πρόχειρον μνήμην ἐτέλει, πολλὴν εἶχον τὴν ἐμπειρίαν, καὶ μάλιστά γε αὐτῶν ὁ Ἀπολινάριος. οὗτος γὰρ δὴ καὶ τῆς Ἑβραΐδος διαλέκτου ἐπαΐειν οἷός τ' ἦν. καὶ μὴν καὶ συγγράφειν ἕκαστος αὐτῶν ἐς τὸν ἑαυτοῦ τρόπον ἦν ἱκανώτατος. τῷ μέν γε Ἀπολιναρίῳ τὸ ὑπομνηματικὸν εἶδος τῆς λέξεως μακρῷ ἄριστα εἶχε, Βασίλειος δὲ πανηγυρίσαι λαμπρότατος ἦν, τῷ δέ γε Γρηγορίῳ καὶ παρ' ἀμφοτέροις ἐξεταζομένῳ μείζω βάσιν εἰς συγγραφὴν εἶχεν ὁ λόγος· καὶ ἦν εἰπεῖν Ἀπολιναρίου μὲν ἁδρότερος, Βασιλείου δὲ σταθερώτερος. τοσαύτης δὲ αὐτοῖς ἐν τῷ λέγειν καὶ γράφειν δυνάμεως οὔσης, καὶ τὸ ἦθος οὐδὲν ἧττον οἱ ἄνδρες παρείχοντο πρὸς τὴν τῶν πολλῶν θέαν ἐπαγωγότατον· ὥστε καὶ οἷς ὠρῶντο καὶ οἷς ἔλεγον καὶ ὁπόσα γράφοντες διεδίδοσαν, διὰ πάντων ἥρουν εἰς τὴν ἑαυτῶν κοινωνίαν τοὺς καθ' ὁτιοῦν αὐτῶν εὐμαρέστερον ἁλίσκεσθαι δυναμένους. τοσαῦτα περὶ αὐτῶν ὡς ἐν παραδρομῇ Φιλοστόργιος ὁ Ἀρειανὸς ἔγραψεν.

EV 3398 Ἀπολινάριος· οὗτος ἀνεφάνη μετὰ Παῦλον τὸν Σαμοσατέα, πρόεδρος Λαοδικείας τῆς Συρίας, ματαιοφροσύνης ἑτέρας ἡγησάμενος. τῶν γὰρ Ἀρειανῶν ἄψυχον πάντη λεγόντων τὴν τοῦ κυρίου σάρκα, αὐτὸς ἔφη, ὅτι σάρκα μὲν ἐμψυχωμένην ψυχῇ ζωτικῇ ἀνέλαβεν ὁ κύριος, νοῦν δὲ τὸν ἡμέτερον οὐ προσήκατο. μηδὲ γὰρ δεηθῆναί φησι τὴν σάρκα ἐκείνην ἀνθρωπείου νοὸς, ἡγεμονευομένην ὑπὸ τοῦ αὐτὴν ἐνδεδυκότος θεοῦ λόγου, ἀλλὰ μηδὲ χωρεῖν αὐτῇ ἄλλην δύναμιν παρὰ τὴν θείαν. ταῦτα ὑποθέμενος διατείνεται μίαν εἶναι φύσιν τοῦ λόγου καὶ τῆς σαρκὸς, ὡς ἅτε τῆς σαρκὸς ἀτελοῦς οὔσης εἰς τὸ εἶναι ἄνθρωπον, διὰ τοῦτο μὴ ἄξιον φύσιν ὀνομάζεσθαι. μεθ' ὃν ἀναφαίνεται

E Θεόδωρος, ὁ Μοψουεστίας πρόεδρος τῆς Κιλικίας. ἐγένοντο δὲ Ἀπολινάριοι δύο, πατὴρ καὶ υἱός. ὁ μὲν πατὴρ Ἀλεξανδρεύς· γήμας δὲ εἰς Λαοδίκειαν τῆς Συρίας ἴσχει υἱὸν Ἀπολινάριον. ἅμφω δὲ συνήκμαζον Ἐπιφανίῳ τῷ σοφιστῇ, ὃν ἀκμάζοντα τότε ἠσπάζοντο. Θεό-

3398 — vs. 34 Κιλικίας Georg. 470, 21—471, 9 = EV 143, 4—16 vs. 34 ἐγένοντο —p. 305, 7 δογματίζοντα Socr. h. e. 2, 46

3398 Georg. cf. v. Θεόδωρος 6

A(GITFSM) 5 δή] δέ IS 9 προεληλύθειεαν TM, v. Γ 449, προεληλύθηεαν AGI 13 ἑαυτοῦ] αὐτοῦ AM 27 αὐτός] καὶ αὐτός SM 29 ἀνθρωπείου] ἀνθρωπίνου TM 31 φύσιν] τὴν φύσιν M 33 ὅν] ὧν A 34 ὁ AS om. GITM

δοτος δὲ, ὁ τῆς Λαοδικείας ἐπίσκοπος, μηδενὶ τρόπῳ ἀποσπάσαι αὐτοὺς ἐξ αὐτοῦ δυνηθεὶς ἄμφω τῆς κοινωνίας ἐζημίωσεν. ὕβριν τε ἡγεῖται ὁ παῖς Ἀπολινάριος τὰ γενόμενα καὶ τῇ ἐννοίᾳ τοῦ σοφιστικοῦ θαρρῶν καινοτομεῖ καὶ αὐτὸς αἵρεσιν, ἣ νῦν ἐπιπολάζει, τὸ ὄνομα τοῦ εὐρόντος ἔχουσα. οἱ δέ φασι διενεχθῆναι αὐτοὺς πρὸς Γεώργιον, ἑώρων γὰρ αὐτὸν ἀλλόκοτα δογματίζοντα. οὗτος δὲ ὁ Ἀπολινάριος βαθμοὺς ἐπὶ τῆς θείας φύσεως δοξάζειν ἐτόλμησε καὶ μύθους τινὰς ταῖς θείαις ἐπαγγελίαις συνέζευξεν. E

3399 Ἀπολιταργιεῖς: ἀποδραμῇ, ἀποσκιρτήσειας ἀπὸ τῆς θύρας. Ar.

ἔνεστι δὲ ἐν τῇ λέξει τὸ ἀργὸν, ὅπερ ἐστὶ τὸ ταχὺ, καὶ τὸ λίαν. οὐ ταχέως οὖν, φησὶν, ἀποδραμῇ; λιταργισμοὺς δὲ ἐκάλουν καὶ τὰ σκιρτήματα. Ἀριστοφάνης Νεφέλαις· οὔκουν ἀνύσας τι θᾶττον ἀπολιταργιεῖς ἀπὸ τῆς θύρας; ἔστι καὶ Ἀπολιταργεῖν. Δ

3400 Ἀπολογίζω: τὸ ἀποδιώκω καὶ ἀποβάλλω ὅπερ οὐ προσδέχομαι. σημαίνει δὲ καὶ τὸ ἀπολογαριάζω. καὶ Ἀπολογίσασθαι, τὸ ἐπεξελθεῖν ἕκαστα. Δημοσθένης. Δ Σ

3401 Ἀπολογισμός· Πολύβιος· ὁ δὲ Ξάνθιππος παραγενόμενος εἰς χεῖρας ἔφερε τοῖς ἄρχουσι τοὺς ἀπολογισμοὺς, παρὰ τί νῦν σφαλείησαν, καὶ πῶς δύναιντο τοὺς ἐναντίους νικᾶν. E

3402 Ἀπόλογος Ἀλκίνου: ἐπὶ τῶν φλυαρούντων καὶ μακρὸν ἀποτεινόντων λόγον. Prov.

3403 Ἀπολογοῦμαί σοι· δοτικῇ. Synt.

3404 Ἀπολλόδωρος, Ἀθηναῖος, κωμικός. ἐποίησε δράματα μζ′, ἐνίκησεν ε′. Hesy.

3405 Ἀπολλόδωρος, Γελῷος, κωμικὸς, σύγχρονος τοῦ κωμικοῦ Μενάνδρου. δράματα αὐτοῦ Ἀποκαρτερῶν ἢ Φιλάδελφοι, Δευσοποιὸς, Ἱέρεια, Γραμματόδειπνος, Ψευδαίας, Σίσυφος, Αἰσχρίων. Hesy.

3406 Ἀπολλόδωρος, Ταρσεὺς, τραγικός, δράματα αὐτοῦ Ἀκανθοπλὴξ, Τεκνοκτόνος, Ἕλληνες, Θυέστης, Ἱκέτιδες, Ὀδυσσεύς. Hesy.

3407 Ἀπολλόδωρος, Ἀσκληπιάδου, γραμματικὸς, εἷς τῶν Παναιτίου τοῦ Ῥοδίου φιλοσόφου καὶ Ἀριστάρχου τοῦ γραμματικοῦ μαθητῶν, Ἀθηναῖος τὸ γένος· ἦρξε δὲ πρῶτος τῶν καλουμένων τραγιάμβων. Hesy.

3408 Ἀπολλοκράτης: ὄνομα κύριον. Δ

3398 οὗτος sq. = An. Par. 2, 97, 24—28 cf. Thdr. h. e. p. 280, 10
3399 — vs. 13 θύρας Ar. Nu. 1253 c. sch. cf. Ba 128, 16, H ἀπολιταργεῖν cf. Et. M. 127, 8 3400 — ἀπολογαριάζω cf. Ambr. 2840 ἀπολογίσασθαι—ἕκαστα = Ba 127, 15; Dem. 24, 108 3401 Polyb. 1, 32, 4 3402 = Diogen. II 86, fr. com. ad. 743b (3, 755 K.) 3403 = Synt. Laur. 3408 = Ambr. 2464

3399 hinc v. λιταργισμούς 3400 Z 266

2 ἐξ αὐτοῦ] ἐκ τοῦ σοφιστοῦ τοῦ Ἐπιφανίου S; ἤγουν τοῦ σοφιστοῦ ss. M A(GITFSM)
4 ἐπιπολάζει] ἐπιπολιάζει A 13 ἔστι] ἔστι δέ S 27 Ψευδαίας Poll. 10, 138 Ψευδέας omnes Αἰσχρίων AF Αἰσχίων GITM om. S 31 μαθητῶν M μαθητής rell.

Hesy. 3409 Ἀπολλοφάνης, Ἀθηναῖος, κωμικὸς ἀρχαῖος. δράματα αὐτοῦ Δάλις, Ἰφιγένων, Κρῆτες, Δανάη, Κένταυροι.

Δ 3410 Ἀπολώλαμεν καὶ Ἀπολώλασιν Ἀττικῶς. Ἀπολώλεισαν δὲ ὑπερσυντελικός.

Δ 3411 Ἀπόλλων, Ἀπόλλωνος. καὶ ἡ κλητική, ὦ Ἄπολλον. ὅτι ὁ Suid. Ἀπόλλων ὑποφήτης ἐστὶ τοῦ πατρὸς καὶ παρ' ἐκείνου λαμβάνει τὰς μαντείας καὶ τοῖς ἀνθρώποις ἐκφέρει. καὶ ζήτει ἐν τῷ Διὸς φήμη.

Δ 3412 Ἀπολωλεκώς: ἀπολέσας. καὶ Ἀπολώλεκεν.

3413 Ἀπολωλώς· ἀρσενικῶς. καὶ Ἀπολωλός, οὐδετέρως.

Δ 3414 Ἀπολλώνεια ἔργα: τοῦ Ἀπόλλωνος.

EV 3415 Ἀπολλωνιάς, Ἀττάλου, τοῦ πατρὸς Εὐμένους τοῦ βασιλέως, γαμετή· ἥτις δημότις οὖσα βασίλισσα ἐγεγόνει καὶ ταύτην διεφύλαξε τὴν ὑπεροχὴν μέχρι τῆς τελευταίας ἡμέρας, οὐχ ἑταιρικὴν προσφερομένη πιθανότητα, σωφρονικὴν δὲ καὶ πολιτικὴν σεμνότητα καὶ καλοκἀγαθίαν. τέτταρας γὰρ υἱοὺς γεννήσασα πρὸς πάντας τούτους ἀνυπέρβλητον ἐφύλαξεν εὔνοιαν καὶ φιλοστοργίαν μέχρι τελευτῆς, καίτοι χρόνον οὐκ ὀλίγον ὑπερβιώσασα τἀνδρός. πλὴν οἵγε περὶ τὸν Ἄτταλον ἐν τῇ παρεπιδημίᾳ καλὴν περιεποιήσαντο φήμην, ἀποδιδόντες τῇ μητρὶ τὴν καθήκουσαν χάριτα καὶ τιμήν. ἄγοντες γὰρ ἐξ ἀμφοῖν τοῖν χεροῖν μέσην αὐτῶν τὴν μητέρα παρήεσαν τά θ' ἱερὰ καὶ τὴν πόλιν μετὰ τῆς θεραπείας. ἐφ' οἷς οἱ θεώμενοι μεγάλως τοὺς νεανίσκους ἀπεδέχοντο καὶ κατηξίουν, καὶ μνημονεύοντες τῶν περὶ Κλέοβιν καὶ Βίτωνα συνέκρινον τὰς αἱρέσεις αὐτῶν, καὶ τὸ τῆς προθυμίας τῆς ἐκείνων λαμπρὸν τῷ τῆς ὑπεροχῆς τῶν βασιλέων ἀξιώματι συναναπληροῦντες. ταῦτα ἐτελέσθη ἐν Κυζίκῳ μετὰ τὴν διάλυσιν τὴν πρὸς Προυσίαν τὸν βασιλέα.

3416 Ἀπολλωνιὰς λίμνη· ὅτι Ἄτταλος, ὁ τῆς Ἀσίας βασιλεύς, Νικομήδει τῷ Μονόδοντι πολεμήσας ἐκράτησε τῆς αὐτοῦ χώρας. ἀλλ' ὁ μὲν Ῥωμαίους ἐπικαλεσάμενος ἀνέλαβε τὴν ἀρχήν. Ἄτταλος δὲ τὴν ἑαυτοῦ μητέρα Ἀπολλωνιάδα μεταλλάξασαν κατὰ τὸ μέγιστον ἱερὸν Περγάμου κατέθετο, ὅπερ αὐτὸς ἐδείματο, τήν τε γείτονα λίμνην αὐτῇ προσωνόμασεν.

Δ 3417 Ἀπολλωνιάτης· καὶ Ἀπολλωνῖτις χώρα.

3410 ἀπολώλασιν sq. cf. Ambr. 2748 3411 Ἀπόλλωνος—Ἄπολλον = Ambr. 2491 3412 cf. Ambr. 2731—2 3415 Polyb. 22, 20 = E V 2, 168, 6—25 3416 Io. Antioch. Ἑλλ. 1, 13, 2—7 (Polybio attr. Schweigh.) 3417 Ἀπολλωνιάτης = Ambr. 2484; Ἀπολλωνῖτις sq. cf. Ambr. 2608

3411 ὅτι sq. ex v. Διὸς φήμη 3412 cf. 3382 3417 cf. Z 243

A(GITFSM) 4 ὑπερσυντελικός om. S 5 ὅτι—7 φήμη om. TFS, post 3412 A, post 3413 GIM 8 καὶ ἀπολώλεκεν om. TFS 3413 om. AFS post 3414 M 9 ἀρσενικῶς GIT ἀρσενικόν M οὐδετέρως T οὐδέτερον M cp. GI 10 τοῦ] τὰ τοῦ SM 17 τἀνδρός] τοῦ ἀνδρός A 19 τοῖν AF Exc. ταῖν rell. 24 τῆς] τῶν A

3418 Ἀπολλώνιον: βραχέως, τὸ ἱερὸν τοῦ Ἀπόλλωνος. οὕτως Σ καὶ παρὰ Θουκυδίδῃ ἀναγνωστέον. καὶ Ποσειδώνιον, τὸ τοῦ Ποσειδῶνος. ὡς Ἀθήναιον, τὸ τῆς Ἀθηνᾶς· καὶ Διονύσιον καὶ Δημήτριον καὶ πάντα τὰ τοιαῦτα, ὁμώνυμα τοῖς ἀνδρωνυμικοῖς. τὸ δὲ Ποσειδάνειον δῆλον ὅτι Δωριαῖον.

3419 Ἀπολλώνιος, Ἀλεξανδρεύς, ἐπῶν ποιητής, διατρίψας ἐν Hesy. Ῥόδῳ, υἱὸς Σιλλέως, μαθητὴς Καλλιμάχου, σύγχρονος Ἐρατοσθένους καὶ Εὐφορίωνος καὶ Τιμάρχου, ἐπὶ Πτολεμαίου τοῦ Εὐεργέτου ἐπικληθέντος, καὶ διάδοχος Ἐρατοσθένους γενόμενος ἐν τῇ προστασίᾳ τῆς ἐν Ἀλεξανδρείᾳ βιβλιοθήκης.

3420 Ἀπολλώνιος, Τυανεύς, φιλόσοφος, υἱὸς Ἀπολλωνίου καὶ Hesy. μητρὸς πολίτιδος τῶν ἐπιφανῶν, ὃν κύουσα ἡ μήτηρ ἐπιστάντα δαίμονα ἐθεάσατο λέγοντα, ὡς αὐτὸς εἴη ὃν κύει, εἶναι δὲ Πρωτέα τὸν Αἰγύπτιον· ὅθεν ὑπειλῆφθαι αὐτὸν Πρωτέως εἶναι υἱόν. καὶ ἤκμαζε μὲν ἐπὶ Κλαυδίου καὶ Γαΐου καὶ Νέρωνος καὶ μέχρι Νέρβα, ἐφ' οὗ καὶ μετήλλαξεν. ἐσιώπησε δὲ κατὰ Πυθαγόραν ε' ἔτη. εἶτα ἀπῆρεν εἰς Αἴγυπτον, ἔπειτα εἰς Βαβυλῶνα πρὸς τοὺς μάγους, κἀκεῖθεν ἐπὶ τοὺς Ἄραβας, καὶ συνῆξεν ἐκ πάντων τὰ μυρία καὶ περὶ αὐτοῦ θρυλούμενα μαγγανεύματα. συνέταξε δὲ τοσαῦτα· Τελετὰς ἢ περὶ θυσιῶν, Διαθήκην, Χρησμούς, Ἐπιστολάς, Πυθαγόρου βίον. εἰς τοῦτον ἔγραψε Φιλόστρατος ὁ Λήμνιος τὸν φιλοσόφῳ πρέποντα βίον. ὅτι Ἀπολλώνιος ὁ Τυανεὺς ἐς σωφροσύνην ὑπερεβάλλετο τοῦ Σοφοκλέους. ὁ μὲν γὰρ λυττῶντα ἔφη καὶ ἄγριον δεσπότην ἀποφυγεῖν, ἐλθόντα ἐς γῆρας, ὁ δὲ Ἀπολλώνιος ὑπ' ἀρετῆς καὶ σωφροσύνης οὐδὲ ἐν μειρακίῳ ἡττήθη τούτων. ὅτι Φιλόστρατος λέγει περὶ Ἀπολλωνίου, θειότερον ἢ ὁ Πυθαγόρας τῇ σοφίᾳ προσελθεῖν τυραννίδων τε ὑπεράραντα καὶ γενόμενον κατὰ χρόνους οὔτ' ἀρχαίους οὔτ' αὖ νέους. ὃν οὕπω οἱ ἄνθρωποι γινώσκουσιν ἀπὸ τῆς ἀληθινῆς φιλοσοφίας, ἣν φιλοσόφως τε καὶ ὑγιῶς ἐπήσκησεν. ἀλλ' ὁ μὲν τὸ, ὁ δὲ τὸ ἐπαινεῖ τάνδρός· οἱ δὲ, ἐπειδὴ μάγοις Βαβυλωνίων καὶ Ἰνδῶν Βραχμᾶσι καὶ τοῖς ἐν Αἰγύπτῳ Γυμνοῖς συνεγένετο, μάγον ἡγοῦνται αὐτὸν καὶ διαβάλλουσιν ὡς μὴ σοφὸν, κακῶς γινώσκοντες. Ἐμπεδοκλῆς τε γὰρ καὶ Πυθαγόρας αὐτὸς καὶ Δημόκριτος ὁμιλήσαντες μάγοις καὶ πολλὰ δαιμόνια

3418 = Ba 127, 23; — ἱερόν cf. Ambr. 2651; Thuc. 2, 91, 1 (cf. sch.) 3419 cf. Westerm. Biogr. 50—51 3420 — vs. 21 βίον cf. Philostr. 1, 4 etc. vs. 21 ὅτι—25 τούτων Philostr. 1, 13; vs. 25 ὅτι Φιλόστρατος—p. 308, 19 ἀκηκοώς Philostr. 1, 2

3418 hinc 730, v. Δημήτρειος καρπός, v. Ποσειδώνειον 3419 cf. v. Σιλλεύς 3420 Hesy. cf. Ps. Hesych. 1. Philostr. 1, 13 cf. v. Σοφοκλῆς 2

5 Ποσειδάνειον] Ποσειδώνειον GIT Δωριαῖον] Δωριέων M^{ec} 8 Εὐφο- A(GITFSM)
ρίωνος AF Ἐφορίωνος GITM 11 υἱός—p. 308, 28 ἀνθρώποις] καὶ τὰ ἑξῆς F 18 θρυλούμενα AM θρυλλούμενα rell. 22 ὑπερεβάλλετο A cf. v. Σοφοκλῆς, ὑπερέβαλλε G ὑπερέβαλε ITM τοῦ AG τοῦ ss. το I τοῦτο TM 25 τούτων AGIT, v. Σοφοκλῆς, τούτου SM Philostr. ὅτι—p. 308, 28 ἀνθρώποις om. T 26 ὁ om. M 28 οἱ AM om. GI

εἰπόντες οὔπω ὑπήχθησαν τῇ τέχνῃ. Πλάτων δὲ βαδίσας ἐς Αἴγυπτον καὶ πολλὰ τῶν ἐκεῖ προφητῶν τε καὶ ἱερέων ἐγκαταμίξας τοῖς ἑαυτοῦ λόγοις καὶ καθάπερ ζωγράφος ἐσκιαγραφημένοις ἐπιβαλὼν χρώματα οὕτω μαγεύειν ἔδοξε, καίτοι πλεῖστα ἀνθρώπων φθονηθεὶς ἐπὶ σοφίᾳ. οὐδὲ γὰρ τὸ αἰσθέσθαι πολλὰ καὶ προγνῶναι διαβάλλοι ἂν τὸν Ἀπολλώνιον, ἐφ' οἷς προὔλεγεν, ἐς τὴν σοφίαν ταύτην, ὡς διαβεβλήσεται καὶ Σωκράτης ἐφ' οἷς προὔλεγε, καὶ Ἀναξαγόρας, ὃς Ὀλυμπίασιν, ὁπότε ἥκιστα ὗοι, προελθὼν ὑπὸ κωδίῳ ἐς τὸ στάδιον ἐπὶ προρρήσει ὄμβρου. καὶ ἄλλα τινὰ ὑπὲρ Ἀναξαγόρου προτιθέντες ἀφαιροῦνται τὸν Ἀπολλώνιον τὸ κατὰ σοφίαν προγινώσκειν. δοκεῖ οὖν μοι μὴ περιϊδεῖν τὴν τῶν πολλῶν ἄνοιαν, ἀλλ' ἐξακριβῶσαι τὸν ἄνδρα τοῖς τε χρόνοις, καθ' οὓς εἶπέ τι ἢ ἔπραξε, τοῖς τε τῆς σοφίας τρόποις, ὑφ' ὧν ἔψαυσε τοῦ δαιμόνιός τε καὶ θεῖος νομισθῆναι. ξυνείλεκται δέ μοι τὰ μὲν ἐκ πόλεων, ὁπόσαι αὐτοῦ ἤρων, τὰ δὲ ἐξ ἱερῶν, ὁπόσα ὑπ' αὐτοῦ ἐπανήχθη παραλελυμένα τοὺς θεσμοὺς ἤδη, τὰ δὲ ἐξ ὧν ἕτεροι πρὸς αὐτὸν ἢ αὐτὸς πρὸς ἄλλους ἔγραφεν. ἐπέστελλε δὲ βασιλεῦσι, σοφισταῖς, φιλοσόφοις, Ἠλείοις, Δελφοῖς, Ἰνδοῖς, Αἰγυπτίοις, ὑπὲρ θεῶν, ὑπὲρ ἡθῶν, ὑπὲρ νόμων, παρ' οἷς ὅ τι ἂν
Suid. πράττοι· τὰ δὲ ἀκριβέστερα παρὰ Δάμιδος ἀκηκοώς. οὗτος Ἀπολλώνιος ὁ Τυανεὺς διαμνημονικός τις ἦν εἴπερ τις ἄλλος, ὃς τὴν μὲν φωνὴν σιωπῇ κατεῖχε, πλεῖστα δὲ ἀνελέγετο, καὶ τὸ μνημονικὸν ἑκατοντούτης γενόμενος ἔρρωτο ὑπὲρ τὸν Σιμωνίδην. καὶ ὕμνος αὐτῷ τίς ἐστιν εἰς μνημοσύνην, ὃν ᾖδεν, ἐν ᾧ πάντα μὲν ὑπὸ τοῦ χρόνου μαραίνεσθαί φησιν, αὐτόν γε μὴν τὸν χρόνον ἀγήρω τε καὶ ἀθάνατον ὑπὸ τῆς μνημοσύνης εἶναι. ζήτει περὶ Ἀπολλωνίου καὶ ἕτερα προγνωστικὰ αὐτοῦ ἐν τῷ Τιμαίῳ. ὅτι Ἀπολλώνιος οὗτος τάδε περὶ Ἀναξαγόρα ἔφη· καὶ γὰρ Κλαζομένιον ὄντα καὶ ἀγέλαις καὶ καμήλοις τὰ ἑαυτοῦ ἀναθέντα εἰπεῖν, προβάτοις μᾶλλον ἢ ἀνθρώποις φιλοσοφῆσαι. ὁ δὲ Θηβαῖος Κράτης κατεπόντωσε τὴν οὐσίαν, οὔτε προβάτοις ποιήσας ἐπιτήδειον, οὔτε ἀνθρώποις.

Hesy. 3421 Ἀπολλώνιος ἕτερος, Τυανεὺς, φιλόσοφος νεώτερος, γεγονὼς ἐπὶ Ἀδριανοῦ τοῦ βασιλέως, ὡς Ἀγρέσφων ἐν τῷ περὶ ὁμωνύμων.

Hesy. 3422 Ἀπολλώνιος, Ἀλεξανδρεὺς, ὁ κληθεὶς Δύσκολος, πατὴρ Ἡρωδιανοῦ τοῦ τεχνογράφου, γραμματικός· ὃς ἔγραψε τάδε. Περὶ μερισμοῦ τῶν τοῦ λόγου μερῶν βιβλία δ', Περὶ συντάξεως τῶν τοῦ

3422 cf. vita Apoll. Gramm. Gr. II 3 p. XI

3420 vs. 7—9 cf. 1981; vs. 19 οὗτος—24 εἶναι ex 2245 sive ex v. Σιμωνίδης; vs. 25 ὅτι Ἀπολλώνιος sq. ex 1981

A(GITFSM) 3 ἐπιβαλών GIM ἐπιβάλλων A ἐπιλαβών S 9 προτιθέντες AM προστιθέντες GIS, rec. in A, Philostr. 12 τῆς AG om. ISM 19 οὗτος—28 ἀνθρώποις om. S οὗτος—24 εἶναι post p. 307, 25 τούτων A; post p. 307, 21 βίον I οὗτος—25 Τιμαίῳ post p. 307, 25 G οὗτος] ὅτι φῑ ὁ A 20 διαμνημονικός AM, 2245, μνημονικός GI, v. Σιμωνίδης 24 ζήτει—28 ἀνθρώποις om. A 25 Τιμαίῳ M Σιμαίῳ GI Ἀναξαγόρα] Ἀναξαγόρου M^{ac} 30 Ἀγρέσφων] Ἀγρεόφων Bechtel in Fick, Griech. Personennamen^3 45, 1 cf. etiam Pap. Cahir. Zen. 59003, 4 31 πατὴρ—p. 309, 10 συζυγίας om. F 32 γραμματικός Daub Rh. Mus. 35, 68 γραμματικῶς I γραμματικοῦ rell. 33 τῶν pr.] ἢ τῶν Daub, Studien z. d. Biogr. d. S. 77 συντάξεως] συντάξεων A

λόγου μερῶν δ′, Περὶ ῥήματος ἤτοι Ῥηματικὸν ἐν βιβλίοις ϵ′, Περὶ τῶν εἰς μι ληγόντων ῥημάτων παραγωγῶν βιβλίον α′, Περὶ ὀνομάτων ἤτοι Ὀνοματικὸν α′, Περὶ ὀνομάτων κατὰ διάλεκτον, Περὶ τῆς ἐν θηλυκοῖς ὀνόμασιν εὐθείας α′, Περὶ παρωνύμων α′, Περὶ συγκριτικῶν, καὶ Περὶ διαλέκτων, Δωρίδος, Ἰάδος, Αἰολίδος, Ἀτθίδος, Περὶ σχημάτων Ὁμηρικῶν, Περὶ κατεψευσμένης ἱστορίας, Περὶ παθῶν, Περὶ τόνων κατηναγκασμένων βιβλία β′, Περὶ τόνων σκολιῶν βιβλίον α′, Περὶ προσῳδιῶν ϵ′, Περὶ στοιχείων, Περὶ προθέσεων, Περὶ τῶν Διδύμου πιθανῶν, Περὶ συνθέσεως, Περὶ διφορουμένων, Περὶ τοῦ τίς, Περὶ γενῶν, Περὶ πνευμάτων, Περὶ κτητικῶν, Περὶ συζυγίας.

3423 Ἀπολλώνιος, Ἀρχεβούλου ἢ Ἀρχιβίου. ἔγραψε περὶ λέξεων Ὁμηρικῶν κατὰ στοιχεῖον. Hesy.

3424 Ἀπολλώνιος, Ἀφροδισιεὺς, ἀρχιερεὺς καὶ ἱστορικός. γέγραφε Καρικά, Περὶ Τράλλεων, Περὶ Ὀρφέως καὶ τῶν τελετῶν αὐτοῦ. Hesy.

3425 Ἀπόλλωνος ἄγαλμα· κιθάραν ἐπὶ χειρῶν πλάττουσι τοῦ Ἀπόλλωνος ἄγαλμα, οἱονεὶ τὸν ἥλιον, τὴν τοῦ παντὸς ἁρμονίαν· κιρνώμενος γὰρ τοῖς λοιποῖς ἀστράσι καὶ κτίζει καὶ ζῳογονεῖ.

3426 Ἀπολλῶς, Ἀπολλῶ: ὄνομα κύριον. Ἀττικῶς. Δ

3427 Ἀπολοίμην εὐκτικῶς. καὶ Ἀπόλοιντο. ὡς ἀπόλοιτο ἡ κακία. Ἀπολλύειν δὲ καὶ ἀπολλύναι, διττῶς λέγουσι. καὶ ἀποδεικνύναι, καὶ ἀποδεικνύειν, καὶ πάντα τὰ ὅμοια. Δ Σ

3428 Ἀπὸ λύκου θύρας: ἐπὶ τῶν ἀπράκτως εὐθὺς ἀπιόντων. οἱ δὲ ἐπὶ τῶν ἀπηνῶν καὶ ἀγρίων. Prov.

3429 Ἀπολυμαίνεσθαι: ἀποκαθαίρεσθαι. Σ

3430 Ἀπολυόμενος: ὑπεραπολογούμενος. ὁ δὲ πρεσβείας διεπέμπετο ἀπολυόμενος τὰς διαβολὰς, ἃς κατ' αὐτοῦ γίνεσθαι ἐπυνθάνετο. E

3431 Ἀπολύων· αἰτιατικῇ. τῷ θανάτῳ παραπέμπων. ὁ Δαβίδ· κύριε, ἀπολύων ἀπὸ γῆς διαμέρισον αὐτοὺς ἐν τῇ ζωῇ αὐτῶν. ἄλλος δὲ ἑρμηνεὺς ἀπὸ ὀλίγων φησίν. Thdr.

3432 Ἀπομαγδαλία: τὸ σταῖς, ᾧ ἀπομάττονται οἱ μάγειροι, ὅπερ ἐκάλουν χειρόμακτρον, ὃ μετὰ τὴν ἐργασίαν ἀπέρριπτον τοῖς κυσίν. Ar.

3425 = Preger 153, 3—6 3426 — κύριον = Ambr. 2462 3427 — ἀπόλοιντο cf. Ambr. 2664 ἀπολλύειν—ἀποδεικνύναι = Ba 127, 29 3428 Philol. Suppl. 6, 259, n. 198 3429 = Ba 127, 14, Σ[a], H, sch. A 313 3430 ὁ sq. Polyb. attr. Valck. 3431 αἰτιατικῇ = Synt. Laur. et Gud. τῷ sq. Thdr. in Ps. 16, 13—14, PG 80, 969c, 972a 3432 Ar. Eq. 413—4 c. sch. cf. H; κ 217

3425 hinc 132 3430—1 Z 266 3432 Z 243

1 δ′] βιβλία δ′ S ἤτοι—βιβλίοις om. T ἤτοι Ῥηματικόν om. S 2 περί—10 συζυγίας] καὶ περὶ ἄλλων πολλῶν S περί—3 ἤτοι om. T ὀνομάτων Kust. ῥημάτων omnes 7 τόνων alt.] τῶν GIF 9 διφορουμένων] διαφορουμένων GI 13 γέγραφε] ἔγραψε S 14 καί S Port. κατά rell. τῶν om. S 15 χειρῶν AF Preger χειρῶν ἔχοντα I χειρῶν ἔχον rell. 29 ἐν—αὐτῶν om. S Zon. 32 δ] καὶ GIT A(GITFSM)

ἢ ἡ τῶν κυνῶν τροφὴ, ἥτις ἦν σταῖς καὶ λίπος· ὡς καὶ ὁ ποιητής· ἀεὶ γάρ τε φέρει μειλίγματα θυμοῦ. μετὰ γὰρ τὸ δεῖπνον εἰς τὸ σταῖς ἀπεψῶντο τὸ λίπος καὶ τοῖς κυσὶν ἐρρίπτουν. καὶ αὖθις Ἀριστοφάνης· πλὴν ὑπερβαλεῖσθαι σ' οἶομαι τούτοισιν· ἢ μάτην γ' ἂν ἀπομαγδαλίας σιτούμενος τοσοῦτος ἐκτραφείην.

Σ 3433 Ἀπόμακτρα σκυτάλων, ἀπεσκοτημένα δὲ ἐσκιοτροφημένα.

Σ 3434 Ἀπομάττεσθαι: ἀναλαβεῖν, μιμεῖσθαι, καὶ ἀποτυποῦν. καὶ
Harp. Ἀπομάττων Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. οἱ μὲν ἀντὶ τοῦ ἀποψῶν, ἄλλοι δὲ ἀντὶ τοῦ περιπλάττων τὸν πηλὸν καὶ τὰ πίτυρα τοῖς τελουμένοις. ἀπομάττεσθαι τὸν ἀνδριάντα τῷ πηλῷ.

3435 Ἀπόμαχος: ὁ ἐκτὸς τοῦ πολέμου γεγονώς. ὁ δὲ πλήττε-
E ται βέλει τὸν μηρὸν, ὡς μικροῦ δεῖν μελλῆσαι ἀπόμαχος ἔσεσθαι.
E καὶ αὖθις· ὁ δὲ ὑπὸ τῆς λύπης κατακλυζόμενος ἀπόμαχος ἦν. καὶ
E Ἀπόμαχοι, οἱ μὴ ἐξισχύοντες μάχεσθαι. οἱ μὲν ἀπόμαχοι ἑαυτοὺς κατεχρήσαντο, οἱ δὲ ἐν τῇ ἡλικίᾳ ἐς τοὺς ἐναντίους ἀθρόοι ὥρμησαν καὶ προθύμως κατεκόπησαν. ἢ οἱ ἔξω τῆς μάχης. ὡς δὲ αὐτῷ
E ἐξηγγέλλετο, ὡς ἔσοιτο ὁ Θεοδώριχος ἡπατημένος ἀπόμαχος, ὁπίσω ἀναχωρεῖ. καὶ Ἀπομαχομένου, ἀνθισταμένου, παραιτουμένου.
E ἀπομαχομένου δὲ τοῦ Φαβίου καὶ πολλὰς ποιουμένου δεήσεις, ἵνα τῆς ἀρχῆς ἀπολυθείη.

Synt. 3436 Ἀπομάχομαι· δοτικῇ.

Σ 3437 Ἀπομηνίσας: ἀποχωρήσας δι' ὀργὴν, ἢ παυσάμενος τῆς ὀργῆς.
Prov.? 3438 Ἀπὸ μηχανῆς: ἐπὶ τῶν παραδόξων καὶ παραλόγων. οἱ γὰρ τῶν τραγῳδιῶν ποιηταὶ, ὅταν εἰσήγαγον εἰς τὴν σκηνὴν ἢ τόλμαν ὥστε συγχυθῆναι τοὺς θεατὰς πρὸς τὰ εἰρημένα καὶ ἐλεεῖν τοὺς ἠτυχηκέναι δόξαντας, ὡς ἀνάξια πεπονθότας, ἢ μισῆσαι τοὺς πεποιηκότας ἢ παρανομήσαντας, εἰώθασι θεοὺς εἰσάγειν, οὐκ ἐπ' αὐτῆς τῆς σκηνῆς ὁρμωμένους, ἀλλ' ἐξ ὕψους ὑπό τινος μηχανῆς, ἣν ἔβλεπον μὲν πρότερον οἱ θεαταὶ, κατ' ἐκείνην δὲ τὴν ἡμέραν στρεφόμενος ἐδείκνυε τὸ τοῦ θεοῦ πρόσωπον. καὶ τοῦτο καταστολὴν εἶναι τοῦ δράματος. ἐλέγετο δὲ θεὸς ἀπὸ μηχανῆς.

Σ 3439 Ἀπόμισθος: ἄμισθος, ὁ μισθοῦ ἔργον τι διαπραξάμενος καὶ
Harp. ἄμισθος ἀφειμένος. κεῖται ἡ λέξις παρὰ Λυσίᾳ ἐν τῷ πρὸς Καλλικλέα. Ἀπόμισθοι δὲ παρὰ Δημοσθένει, οἱ μισθὸν μὴ λαβόντες.

3433 = Ba 129, 1; Ar. fr. 712 3434 — ἀποτυποῦν = Ba 128, 18 ἀπομάττων sq. Harp. = Ba 128, 20; Dem. 18, 259 3435 vs. 11 ὁ—12 ἔσεσθαι Agath. 5, 23, p. 329 vs. 13 ὁ—ἦν Th. Simoc. 2, 9, 17 3437 = Ba 128, 24, Σ^a 3438 cf. Diogen. II 84, Philol. Suppl. 6, 259, n. 202, sch. Pl. Clitoph. 407a, sch. Luc. 164, 2 3439 — Λυσίᾳ (fr. 138) = Ba 128, 26; ἄμισθος = Σ^a; ὁ—ἀφειμένος = Bk. 215, 31 ἀπόμισθοι sq. Harp. = Ba 128, 28, An. Ox. 2, 490, 21; Dem. 4, 46; 23, 154

3433 hinc v. ἐσκιοτροφημένα; cf. 3061 3434 Z 268 3438 cf. v. θεὸς ἀπὸ μ. 3439 cf. Z 233

A(GITFSM) 4 πλὴν del. Port., sed cf. Ar. 412 (πληγάς) 16 αὐτῷ] αὐτῶν M 25 τούς pr.] αὐτούς M 27 ἐπ'] ἀπ' M^{ac} 29 στρεφόμενος AGIT στρεφόμενοι F στρεφομένη M 33 ἢ] δέ ἡ F

3440 Ἀπομιμοῦμαι· αἰτιατική. Synt.
3441 Ἀπομνημονεύω· αἰτιατική. Synt.
3442 Ἀπομώμοκα: ἀντὶ τοῦ ὁρκωμοσίαν πρὸς γυναῖκας πεποίηκα. καὶ Ἀπομωμοκότας, ἀποταξαμένους. πολλοὺς δ' ἀπομωμοκότας παῖδας πρὸς τέρμαςιν ὥρας διεμήριςαν ἄνδρες ἐρασταί. Ἀριστοφάνης Ὄρνιςιν. Ar.
3443 Ἀπομορξάμενον: ἀποπαυςάμενον. Σ
3444 Ἀπομόςαι καὶ κατομόςαι: τὸ μὲν ἀρνητικὸν, τὸ δὲ καταφατικόν. Σ
3445 Ἀπόμοιρα: μέρος. ἀπόμοιρα δὲ τῆς ςτρατιᾶς ἀςκοὺς ἐπιφερόμενοι ςποδιᾶς καὶ τέφρας πεπληρωμένους, ξιφιδίοις τούτους διέρρηξαν καὶ τὸν ἀέρα ἐθόλωςαν. καὶ Ἀγαθίας· ἀπόμοιρα δὲ ἦν τῶν Φράγκων, καὶ ἀνὰ τὰ τῇδε πεδία ἐφοίτα χιλοῦ ἕνεκα. Δ E E
3446 Ἀπομυρίζω: ἀποςτομίζω. Δ
3447 Ἀπόν: ἀπρεπές. ςημαίνει καὶ τὸ μὴ παρόν. ΣΔ
3448 Ἀπὸ Ναννάκου: ἐπὶ τῶν ςφόδρα παλαιῶν καὶ ἀρχαίων. Prov.
3449 Ἀπόνας θαι: κατατρυφᾶν, ἢ ὠφελεῖςθαι. οὐ μὴν ἀπόνας θαί γε ξυνέβη τῆς βαςιλείας αὐτῷ· τελευτᾷ γὰρ νόςῳ ἑπτὰ ταῖς πάςαις ἡμέραις. Σ E
3450 Ἀπονέμου τῆς ἁμάξης, τῶν δὲ ὄνων οὐδὲν μέλει: παροιμία ἐπὶ τῶν τὰ οἰκεῖα τημελούντων, τῶν δὲ ἀλλοτρίων ἀμελούντων· παρόςον οἱ ἰδίαν ἔχοντες ἅμαξαν, ὄνους δὲ μιςθούμενοι, ἀμελοῦςιν αὐτῶν. Prov.
3451 Ἀπονεύειν: ἐκκλίνειν, τρέπεςθαι. cυνέβαινε τοὺς Αἰνίους πάλαι μὲν ςταςιάζειν, προςφάτως δὲ ἀπονεύειν, τοὺς μὲν πρὸς Εὐμένη, τοὺς δὲ πρὸς Μακεδονίαν. E
3452 Ἀπόνειμαι: ἀπόδος. ἀπόνεμε δέ. Σ
3453 Ἀπονέμω· δοτική. Synt.
3454 Ἀπονητί: ἄνευ πόνου. Ἀπνευςτὶ, ἀνιδρωτὶ, ἀκμητὶ, ἀμεταςτρεπτί· πάντα ταῦτα καὶ ἐκτείνεται καὶ cυςτέλλεται. λέγεται δὲ καὶ Ἀπονητότατα. Δ Σ Δ

3440 = Synt. Laur. 3441 = Synt. Laur. 3442 — πεποίηκα sch. Ar. Lys. 903; ἀπομωμοκότας sq. Ar. Av. 705—6 c. sch. 3443 = Ba 128, 30, Σ^{a} 3444 = Ba 129, 18 3445 — μέρος cf. H ἀπόμοιρα sec.—ἐθόλωςαν ad fragm. in v. κονιορτός (et in v. αἰθάλη) rett. Bhd. Ἀγαθίας sq. 1, 17, p. 51 3446 cf. Ambr. 2826, 2829 3447 — ἀπρεπές = Ba 129, 20, Σ^{a} 3448 = Paroem. ed. Gsf. 13, n. 140 3449 — ὠφελεῖςθαι = Ba 129, 21, Σ^{a}; — κατατρυφᾶν = H; ὠφελεῖςθαι cf. Ambr. 2767 οὐ sq. Aelian. fr. 236 3450 Philol. Suppl. 6, 259, n. 200 3451 cυνέβαινε sq. Polyb. 22, 6, 7 3452 — ἀπόδος = Σ^{a}, Ba 129, 23 3453 = Synt. Gud. 3454 — πόνου = Ambr. 2880 ἀπνευςτί—cυςτέλλεται = Ba 129, 25; ἀνιδρωτί, ἀκμητί = Σ^{a}

3442 Z 268; Ar. cf. v. διεμήριςαν et v. τέρμα 3448 hinc v. Νάννακος 3452 Z 268 3454 hinc 909 fin., 1560 fin., 2455

3 γυναῖκας] τὰς γ. M 15 καί] δὲ καί A 24 Αἰνίους] ἐθνικόν ss. I, mg. M A(GITFSM) 27 ἀπόνεμε δέ ex I (post l.), M 28 Ἀπονέμω IM καὶ Ἀ. mg. ad 3454 A 31 ἀπονητότατα] ἀπονητότατος FS

Ar. 3455 Ἀπόνιπτρον· Ἀριστοφάνης· ὥςπερ ἀπόνιπτρον ἐκχέοντες ἑςπέρας. εἰώθαςι δὲ οἱ ἀρχαῖοι, εἴ ποτε ἐκχέοιτο ἀπόνιπτρον ἀπὸ τῶν θυρίδων, ἵνα μή τις βραχῆ λέγειν τῶν παριόντων, ἐξίτω. καὶ
Σ Ἀπονίψαcθαι μετὰ τὸ δεῖπνον ἔλεγον, πρὸ τοῦ δείπνου δὲ κατὰ χειρός.

Harp. 3456 Ἀπονομή: ἡ ἀπόμοιρα, ὡς μέρος τι τῶν περιγινομένων ἐκ τῶν μετάλλων λαμβανούςης τῆς πόλεως. ἢ ὡς διαιρουμένων εἰς πλείους μιcθωτάς, ἵν' ἕκαστος λάβοι τι μέρος.

Σ 3457 Ἀπονοcτήcει: ἐπανελεύcεται.

Σ 3458 Ἀπονοcφίζεcθαι: ἀποχωρίζεcθαι.

Ar. 3459 Ἀπ' ὄνου καταπεcών: παροιμία ἀπὸ τῶν ἱππικῆ ἐπιχειρούντων, μὴ δυναμένων δὲ μηδὲ ὄνοις χρῆcθαι. Ἀριστοφάνης Νεφέλαις· τί δῆτα ληρεῖς, ὥcπερ ἀπ' ὄνου καταπεcών; ὁ δὲ φιλόcοφος Πλάτων οὐκ ἀπὸ τοῦ ζώου τὴν παροιμίαν λέγεcθαι, ἀλλ' ἀπὸ τοῦ νοῦ οὕτωc· καὶ μὴ καθάπερ ἀχάλινον κεκτημένον τὸ cτόμα, βίᾳ ὑπὸ τοῦ λόγου φερόμενον κατὰ τὴν παροιμίαν ἀπό τινος νοῦ καταπεcεῖν.

Σ 3460 Ἀπόνοια: ἄνοια, ὕβρις. Προκόπιοc· ἀδικούμενοι εἰώθαcιν
E εἰc ἀπόνοιαν τρέπεcθαι οἱ ἄνθρωποι, ὅπερ ἔπαθον καὶ οἱ Βένετοι ἐπὶ Ἰουcτινιανοῦ. καὶ πρῶτα μὲν τοῖc cταcιώταιc τὰ ἀμφὶ τὴν κόμην ἐc νεώτερόν τινα παραβέβληται τρόπον. ἀπεκείροντο γὰρ αὐτὴν οὐδὲν ὁμοίωc τοῖc ἄλλοις. τοῦ μὲν γὰρ μύcτακοc καὶ τοῦ γενείου οὐδαμῆ ἥπτοντο, ἀλλ' αὐτὸν κατακομᾶν ἐπὶ πλεῖcτον ὥcπερ οἱ Πέρcαι ἐc ἀεὶ ἤθελον. τῶν δὲ ἐν τῇ κεφαλῇ τριχῶν τὰ ἔμπροcθεν ἄχρι ἐc τοὺc κροτάφουc ἀποτεμνόμενοι, τὰ ὄπιcθεν ἀποκρέμαcθαί cφιcιν ἐπὶ μακρότατον λόγῳ οὐδενὶ εἴων, ὡc οἱ Μαccαγέται. διὸ καὶ Οὐννικὸν ἐκαλεῖτο τὸ αὐτὸ εἶδοc. καὶ τὰ ἱμάτια εὐπάρυφα ἠξίουν εἶναι. καὶ αὖθιc Ἰουλιανόc· τὸ μὴ προιδέcθαι τό τε δυνατὸν καὶ τὸ ἀδύνατον ἐν πράγμαcι τῆc ἐcχάτηc ἀπονοίαc ἐcτὶ cημεῖον.

Ar. 3461 Ἀπονυχιῶ cου τὰν πρυτάνη cιτία: ἀντὶ τοῦ ἀφαιρήcομαι· ἀπὸ μεταφορᾶc τῶν ὀνυχιζομένων. ἀφαιρήcομαι γάρ φηcι τὴν
Σ cίτηcιν. Ἀπονυχίcαι μᾶλλον λέγουcιν ἢ ὀνυχίcαι.

Σ 3462 Ἀποξένοιcιν: ἀπὸ τοῖc ξένοις.

3455 — ἐξίτω Ar. Ach. 616 c. sch. ἀπονίψαcθαι sq. = Ba 130, 4 cf. sch. Ar. Vsp. 1216, Arist. Byz. ap. Ath. 9, 408f 3456 Harp. = Ba 129, 29 3457 = Ba 129, 28, Σ[a] cf. H 3458 = Ba 130, 6, Σ[a], H 3459 Ar. Nu. 1273 c. sch. cf. Philol. Suppl. 6, 230, n. 4; 259, n. 201; καὶ μή sq. Pl. Leg. 701c 3460 — ὕβριc = Ba 129, 27, Σ[a] ἀδικούμενοι—vs. 26 εἶναι Proc. h. a. 7, 5, 8—11 τὸ μή sq. Iul. ep. fr. 165a 3461 Ar. Eq. 709 c. sch. cf. Philol. Suppl. 6, 259, n. 203 ἀπονυχίcαι sq. = Ba 130, 7 3462 = Ba 130, 9, Σ[a]

3459 cf. v. ληρεῖc 3460 Z 244; Proc. hinc v. γενείας; cf. v. εὐπάρυφα 3461 hinc v. ὀνυχίζεται; Z 268

A(GITFSMB) 3 λέγειν post παριόντων coll. Kust. cf. sch. ἐξίτω] ἐξίcτω Ar. Ach. 617, sch. 11 ἀπό] ἐπί IS 12 μηδέ] μή F om. S 14 οὐκ] ὡc κ' M ὡc οὐκ B 23 ἄχρι] ἄχριc M cf. Proc. 27 προιδέcθαι AF προειδέcθαι rell. 28 πρυτάνῃ] πρυτανείῳ Ar. Kust. cf. v. ὀνυχίζεται 30 ἀπό] ἐκ SM

3463 Ἀποξύονται: ἀποτίθενται. Σ

3464 Ἀπὸ ξυστοῦ· ὁ δὲ Ὅμηρος ἀπὸ ξυστοῦ εἶπεν.

3465 Ἀποξυστροῦνται: ἐπικάμπτονται, ἐπιστρέφονται. Πολύβιος· αἱ γὰρ μάχαιραι τῶν Γαλατῶν ταῖς κατασκευαῖς μίαν ἔχουσιν τὴν πρώ- E
την καταφορὰν καιρίαν, ἀπὸ δὲ ταύτης εὐθέως ἀποξυστροῦνται, καμπτόμεναι κατὰ μῆκος καὶ πλάτος ἐπὶ τοσοῦτον ὥστε, ἂν μὴ δῷ τις ἀναστροφὴν τοῖς χρωμένοις ἐρείσαντας πρὸς τὴν γῆν ἀπευθῦναι τῷ ποδὶ, τελέως ἄπρακτον εἶναι τὴν δευτέραν αὐτῶν πληγήν.

3466 Ἀποπάλλω· γενικῇ. Synt.

3467 Ἀπὸ παραγγέλσεως· οἱ δὲ ἀπὸ παραγγέλσεως πορευόμενοι E
ἀφικνοῦνται ἅμα ἡμέρᾳ πρὸς τὸ ὄρος.

3468 Ἀποπάτημα: αὐτὸ τὸ σκύβαλον. Εὔπολις Χρυσῷ γένει· τί Σ
γάρ ἐστ' ἐκεῖνος; ἀποπάτημ' ἀλώπεκος. Κρατῖνος Δραπέτισι· τὸν Κερκύονά τε ἔωθεν ἀποπατοῦντ' ἐπὶ τοῖς λαχάνοις εὑρὼν ἀπέπνιξα.

καὶ Ἀποπατησόμενοι, τὴν κόπρον κενώσοντες. πάτος δὲ ἡ ὁδός. Ar. + x
Ἀριστοφάνης· οὐδεὶς θύει τοπαράπαν οὐδ' εἰσέρχεται, πλὴν ἀποπατησόμενοί γε πλεῖν ἢ μύριοι. Ἀπόπατος γὰρ ἡ κένωσις τῆς γαστρός. καὶ Ἀριστοφάνης περὶ Κλεωνύμου φησίν· εἰς ἀπόπατον ᾤχετο στρατιὰν λαβὼν κἄχεζεν ὀκτὼ μῆνας ἐπὶ χρυσῶν ὄρων. πόσου δὲ τὸν πρωκτὸν χρόνου ξυνήγαγε; τῇ πανσελήνῳ.

3469 Ἀπόπατον καὶ κοπρῶνα λέγουσιν. ὁ δ' ἀφεδρὼν καὶ λυτρώ- Σ
νων βάρβαρα.

3470 Ἀποπέμψατ' ἐφ' ἕνδεκα κώπαις· αἰτιατικῇ. ἀπὸ τῶν Ar.
ναυτικῶν. κέλευσμα γάρ ἐστι ναυτικὸν ἐφ' ἕνδεκα κώπαις λεγόμενον. Ἀριστοφάνης φησίν.

3471 Ἀπὸ πέντε ἅλλεσθαι πετρῶν εἰς κῦμα: ἐπὶ τῶν δι' ἃ Prov.
πάσχουσιν αἱρουμένων μᾶλλον ἑαυτοὺς ἐμβάλλειν εἴς τινα δυσκολίαν.

3472 Ἀποπεπιστευκότες: εἰς πίστιν ἐλθόντες. ἤδη πάντες ἀναπεπτώκασι διὰ τὴν ὑποκειμένην ἑορτὴν ἀποπεπιστευκότες τοῖς εἰσ- E
ιοῦσιν. ἀντὶ τοῦ θαρρήσαντες, βεβαιωθέντες.

3473 Ἀποπεπόνηκας: τῶν πόνων ἔληξας. Ar.?

3463 = Ba 130, 10, Σ[a] 3465 αἱ sq. Polyb. 2, 33, 3 3466 = Synt. Laur. 3467 Xen. An. 4, 1, 5 3468 — ἀπέπνιξα = Ba 130, 27, Et. M. 132, 12; Eup. fr. 284; Cratin. fr. 49 πάτος—ὁδός cf. Et. M. 132, 10, sch. Ar. Ach. 81; οὐδεὶς —μύριοι Ar. Pl. 1182—4; ἀπόπατος—γαστρός cf. Et. M. 132, 9; Ἀριστοφάνης sq. Ach. 81—84 3469 = Ba 130, 30 3470 Ar. Eq. 546 c. sch. 3471 = Philol. Suppl. 6, 259, n. 204 3472 ἤδη—εἰσιοῦσιν fort. Aelian. 3473 fort. sch. Ar. Th. 245

3465 Z 269 3468 Ar. Pl. 1184 cf. v. πλεῖν 3469 hinc 4574 et v. λυτρώτης 3470 cf. v. ἐφ' ἕνδεκα 3473 Z 269

12 Χρυσῷ γένει Gsf. Χρυσογένει omnes, Et. Ba 13 ἐκεῖνος] ἐκεῖνο T Ba A(GITFSM) Δραπέτισι GITM Δραπέτηισι AF Ba Et. 14 ἀποπατοῦντ'] ἀποπατοῦντες TF 15 κενώσοντες] κενώσαντες GIM 17 πλεῖν] πλὴν AI 21 λυτρώνων]· λυτρῶν Ba 28 πάντες AGIT πάντα M

Σ 3474 Ἀποπερατοῦσαν: συμπληροῦσαν. καὶ Ἀποπεραίνον-
Ε τες, τελειοῦντες. παιδαρίων τε καὶ γυναικῶν φληνάφους διαπλέκοντες καὶ ἀποπεραίνοντες.

Σ 3475 Ἀποπεφασμένον: ἀπειρημένον. ἢ ἀντὶ τοῦ ἀποδεδειγμέ-
Harp. νον καὶ πεφανερωμένον. οὕτως Δείναρχος καὶ Λυσίας καὶ Δημοσθέ- 5
νης ἐν τῷ κατὰ Νεαίρας.

Σ 3476 Ἀποπεφοίτηκεν: ἀπῆλθεν.

Δ 3477 Ἀπόπειρα: δοκιμασία. Δαμάσκιος· τῷ γὰρ ὄντι συνέβαινε τοὺς τῷ ὄντι φιλοσοφίας ἐρῶντας τῶν νέων ὥσπερ ἐν πυρὶ χρυσὸν δοκιμάζεσθαι. εἰ δὲ μὴ ὡμολόγει τὴν ἀπόπειραν, αὐτὸ τοῦτο μάλιστα 10
δι' ἣν ἡ ἀπόπειρα, σπουδή τις εἶναι προσποιουμένη καὶ ἐλλοχῶσα τὰς νεοπρεπεῖς ᾀττούσας κινήσεις. ἐμὲ γοῦν διεκώλυεν ὡς χαλεπωτάτου
Synt. ὄντος τοῦ πράγματος. καὶ Ἀποπειρῶμαι· γενικῇ.
Synt. 3478 Ἀποπηδῶ· γενικῇ. καὶ αἰτιατικῇ δέ· ἀποπηδᾶν λόγον σοφὸν μὴ δυνά-
μενον παρὰ δῆμον. 15
Synt. 3479 Ἀποπλανῶ· γενικῇ.

ΔΣ 3480 Ἀποπληξία: θλῖψις. μανία, ἄνοια. ὅτι Μάρκος Βῆρος,
Ε Ἀντωνίνου ἀδελφὸς, βασιλεὺς Ῥωμαίων, ἀδοκήτως διαφθείρεται, πλήθους ἰχῶρός τε καὶ πνεύματος ἐπισχόντος οἱ τὴν ἀναπνοήν· δ δὴ
Δ πάθος ἀποπληξίαν παῖδες ἰατρῶν ὀνομάζουσι. καὶ Ἀπόπληκτος, 20
ὁ πεπονθώς.

3481 Ἀποπλήσας· ἑνί γε τρόπῳ τὸν προσδιαλεγόμενον ἀποπλήσας ἐξέπεμπεν.

Synt. 3482 Ἀποπνέω· γενικῇ. Ἀποπνεῖν καὶ διαπνεῖν τὸ πέρδεσθαι, εὐσχημο-
Suid. νέστερον τοῦ ἀποψοφεῖν. 25

Δ 3483 Ἀποπομπαῖος: ὁ χίμαρος, ὁ τράγος. καὶ Ἀποπομ-
Harp. παῖοι, θεοί τινες οὕτως ἐκαλοῦντο. καὶ Ἀποπομπή, ἀντὶ τοῦ
Σ ἀποτροπή.

Ε 3484 Ἀποπορευτέα· Ἀγαθίας· τοιγαροῦν ἀποπορευτέα αὐτῷ ἐδόκει ἐπὶ Φάσιν ποταμὸν, καὶ τῶν ἐκείνῃ δυσχωριῶν. ἀντὶ τοῦ ἐπανακτέον, 30
ὑποστρεπτέον.

3474 — συμπληροῦσαν = Ba 130, 13, Σ^a, gl. Dionys. PG 4, 24 παιδαρίων sq. cf. ad 3100 3475 — ἀπειρημένον = Ba 130, 14, Σ^a, H ἀντί sq. Harp. = Ba 130, 15; Dinarch. 1, 6; Lys. 10, 19; Dem. 59, 67 3476 = Ba 130, 18, Σ^a, H 3477 — δοκιμασία cf. Ambr. 2550 τῷ—πράγματος Dam. fr. 88 ἀποπειρῶμαι sq. = Synt. Laur. 3478 = An. Ox. 4, 282, 18 3480 l. = Ambr. 2597 μανία, ἄνοια = Ba 130, 20, Σ^a, H ὅτι—ὀνομάζουσι Aelian. fr. 206, sed cf. Eutrop. 143 3482 — γενικῇ = Synt. Laur. 3483 — τράγος = Ambr. 2419 ἀποπομπαῖοι—ἐκαλοῦντο Harp. = Ba 130, 19 ἀποπομπή sq. = Ba 130, 17 3484 — δυσχωριῶν Agath. 2, 22, p. 112

3474 cf. 3100 3475—6 Z 269 3480 Z 244, 235 3482 ἀποπνεῖν sq. ex 3059 3483 Z 235, 244 3484 Z 250, 269

A(GITFSM) 11 δι' ἣν] δὴ ἣν Bekk. 12 νεοπρεπεῖς] νεοπρεπῶς Bekk. 3478—9 om. GTFS post 3480 A 19 ἀναπνοήν] ἀποπνοήν M 23 ἐξέπεμπεν] ἐξέπεμψεν FSM 3482 ex IM 29 Ἀγαθίας Bas. ἀγαθά omnes, Zon.

3485 Ἀποπορεία: ἡ ἐπαναχώρησις. ἐκκελεύσασθαι δὲ τοῖς ἑπο- Δ
μένοις οἰκέταις ἐπιταχῦναι τὴν ἀποπορείαν. τὴν ἀποστροφήν, τὴν Ε
ἐπάνοδον. Προκόπιος· ὁ δὲ Χοσρόης οὐκ ἐβούλετο τὴν ἀποπορείαν, Ε
ἥπερ ἐληλύθει, ποιήσασθαι. τουτέστι τὴν ἐπάνοδον.
3486 Ἀποπρεσβεύει: ἀπαγγέλλει πρεσβείαν. Σ
3487 Ἀποπρίω: ἀντὶ τοῦ ὤνηται καὶ ἀπόδοσ ἀντὶ τῆς ἀπολωλυίας. Ar.
3488 Ἀποπταίη: πετασθῇ. Δ
3489 Ἀπόπτολις: ἔρημος, ἄπολις. Soph.
3490 Ἄποπτον: πόρρωθεν ὁρώμενον. ἢ ἀθεώρητον, ὑψηλότατον. ΔΣ
3491 Ἄποπτος· ἐξικέτευσε, τῆς ἐμῆς χειρὸς θιγών, ἀγροὺς σφε Soph. + Σ
πέμψαι κἀπὶ ποιμνίων νομάς, ὡς πλεῖστον εἴη τοῦτ' ἄποπτος ἄστεος.
ἄποπτος γὰρ ὁ ἀθεώρητος. Σοφοκλῆς· ὡς εὐμαθές σου, κἂν ἄποπτος
ᾖς, ὅμως φώνημ' ἀκούω.
3492 Ἀποπτύω· αἰτιατικῇ. Synt.
3493 Ἀποπυργίζοντας λόγους· οὓς ἔγραψε Διαγόρας ὁ Ἄθεος, ἀναχώ- Suid.
ρησιν αὐτοῦ καὶ ἔκπτωσιν ἔχοντας τῆς περὶ τὸ θεῖον δόξης.
3494 Ἀπορραγείς: ἀντὶ τοῦ ἀποκοπείς. καὶ παροιμία· Ἀπορ- Δ
ραγήσεται τεινόμενον τὸ καλώδιον· ἐπὶ τῶν βίᾳ τι καὶ Prov.
ἀνάγκῃ ποιούντων.
3495 Ἀπορρέξαντες: ἀπομερίσαντες, ἀπόμοιραν δόντες. Harp.
3496 Ἀπορεῖν καὶ σφακελίζειν τῷ δεινῷ: τὸ μὲν σφακελίζειν Σ
φλεγμαίνειν ἐστὶ καὶ διὰ τοῦτο σπᾶσθαι. Κρατῖνος.
3497 Ἀπορρήγνυμι· γενικῇ. Synt.
3498 Ἀπορρηθέν: ἀπαγορευθέν. ἐπὶ τοῦ κελεύειν τι μὴ γενέσθαι. Σ + Rhet.
καὶ Ἀπορρηθῇ, ἀντὶ τοῦ ἀποκηρυχθῇ. Πλάτων. Σ
3499 Ἀπορρῆξαι τὴν ψυχήν: ἐκπνεῦσαι. ἀπορρῆξαι τὴν ψυχὴν Ε
διψῶντα μόλις καὶ ὀψὲ τούτου τυχόντα. καὶ Ἀπορρήξουσι,
λαλήσουσι. Πισίδης· οὔς εἰ σιωπήσαιμεν, οἱ λίθοι τάχα φωνὰς ἀπορ-
ρήξουσι τῶν πεπραγμένων.

3485 l. = Ambr. 2584 ὁ δέ—ποιήσασθαι Proc. bell. 2, 12, 3 3486 = Ba 130, 21, Σ^a 3487 sch. Ar. Ran. 1227 3488 = H cf. Ambr. 2707 3489 sch. Soph. OC 208 3490 — ὁρώμενον = Ambr. 2630, H ἀθεώρητον sq. = Ba 130, 22, Σ^a cf. H 3491 — ἄστεος Soph. OT 760—2; ἀθεώρητος cf. ad 3490; ὡς sq. Soph. Ai. 15—16 3492 = Synt. Laur. et Gud. 3494 — ἀποκοπείς cf. ad 3176 ἀπορραγήσεται sq. = Diogen. II 89 3495 Harp. = An. Ox. 2, 490, 22, Ba 131, 17 3496 = Ba 131, 2; Cratin. fr. 342 3498 — ἀπαγορευθέν cf. Ba 131, 5; ἐπί—γενέσθαι = Bk. 216, 30 cf. 28 ἀπορρηθῇ—ἀποκηρυχθῇ = Ba 131, 27; Πλάτων Leg. 11, 929 a 3499 ἀπορρῆξαι alt.—τυχόντα Aelian. fr. 10 Πισίδης sq. exp. 3, 39—40

3485 Z 244 3486 Z 269 3488 Z 269 3490 cf. 2804 3493 ex v. πυργίσκος vel ex v. Διαγόρας 1 3495 Z 269 3498 Z 269; ἀπαγορευθέν cf. 3124—5, 3880 3499 Aelian. cf. v. τηκεδόνι

3491 om. S 10 Ἄποπτος] Ἄποπτον A σφε pr. φε omnes A(GITFSM)
11 πέμψαι κἀπί] ἐξέπεμψε κατά GIT 12 κἂν] κἂν γάρ GI 3493 om. GTF post vs. 17 ἀποκοπείς A post p. 316, 7 Θεσμοφοριαζούσαις S 24 γενέσθαι] γίνεσθαι S 26 τὴν ψυχήν non ad l. codd.

Σ 3500 Ἀπορηςία: ἀντὶ τοῦ ἀπορία. οὕτως Εὔβουλος. καὶ Ἀπόρρηςιν, ἀπαγόρευςιν. ὁ δὲ οὐκ ἤνεγκε τὴν ἀπόρρηςιν, ἀλλὰ θυμοῦ πληρωθεὶς ἔφη. καὶ αὖθις· τὴν γενομένην ἀπόρρηςιν τοῦ γάμου.

Σ σημαίνει δὲ καὶ ἀποκήρυξιν παιδός.

Σ 3501 Ἀπόρρητα: ἀκατάληπτα, ἀπόκρυφα. ἀπόρρητα ἔλεγον τὰ
Ar. ἀπειρημένα ἐξάγεσθαι, οὐ μόνον τὰ ἀπηγορευμένα. ἀπόρρητά τε τοῖςιν ἐχθροῖςι τοῖς ἡμετέροις λέγουςιν. Ἀριστοφάνης Θεςμοφοριαζούςαις. Ἀπόρρητα, τὰ ἀπειρημένα ἐν τοῖς νόμοις. οὕτως Δη-
Harp. Σ μοσθένης ἐν τῷ ὑπὲρ Κτηςιφῶντος. πάντα τὰ ἀπειρημένα καὶ ἀπηγορευμένα λέγουςιν. Ἀριστοφάνης· οὔ τι τ' ἀπόρρητα δρᾶν ἐςτι μέλλει. διόπερ καὶ τὰ μὴ ἐξαγώγιμα ὀνομάζουςιν οὕτω.

Δ 3502 Ἀπορριπτεῖ· αἰτιατικῇ. ἀποβάλλει. καὶ Ἀπορρίπτεςθαι. αἰτιατικῇ.

Σ 3503 Ἀπορροῆς: ςταγόνος.

Σ 3504 Ἄπορος χώρα: ἀντὶ τοῦ ἀπόρευτος. λέγεται δὲ ἄπορος καὶ ὁ μὴ δυνάμενος μηχανήν τινα εὑρεῖν, ὁ ἐνδεής.

3505 Ἀποροῦντι: ἐρωτῶντι. ἀποροῦντι δὲ αὐτῷ, τίνι μηχανῇ ἀνεβίω, τόνδε φάναι.

Ar. 3506 Ἀπορῶ, γράφω, παρατίλλομαι, λογίζομαι, ἀποβλέπων εἰς τὸν ἀγρόν: γράφω μὲν ἀντὶ τοῦ καταγράφω καὶ ζωγραφῶ ἐπὶ τῆς γῆς, ξύω τῷ δακτύλῳ καί τινι τοιούτῳ παιδιάς τινας. παρατίλλομαι δὲ τὰς ἐκ τῶν μυκτήρων τίλλω τρίχας ἢ τῶν μασχαλῶν. ταῦτα δὲ πάντα ποιοῦςιν οἱ προςδεχόμενοι μέν τι, τὸν δὲ χρόνον δαπανῶντες εἰς ἀπορίας καὶ ἀμηχανίας, μὴ τυγχάνοντες τοῦ προςδοκωμένου λογιςμοῦ. ὅτε γὰρ αὐτοὶ ἐφ' ἑαυτῶν διατίθενται, ἀλύοντες ἐπιγράφουςιν. εἰς τὸν ἀγρὸν δὲ ἀποβλέπουςιν ἐπιθυμοῦντες ἐν αὐτῷ εἶναι.

Synt. 3507 Ἀπορῶ πλούτου καὶ χρημάτων. γενικῇ.

Σ 3508 Ἀπορρῶγας: ἐξοχὰς ἀπεςχιςμένας. ἐπειδή τινας ἀπορρῶΕ γας εὗρε πάροδον διδόντας, καὶ αὐτὰς ἀπέκλειςεν ὁ Διοκλητιανός.

3500 — Εὔβουλος (fr. 141; 2, 213 K.) = Ba 131, 13 cf. H; ἀπόρρηςιν, ἀπαγόρευςιν = Ba 131, 5 cf. Tim., Poll. 2, 127, Phryn. 47, 8 τὴν—γάμου fort. Iambl. σημαίνει sq. = Ba 131, 5 3501 — ἀπόκρυφα = Ba 131, 7, Σ[a] ἀπόρρητα sec. —ἐξάγεσθαι sch. Ar. Ran. 362; οὐ—λέγουςιν Ar. Th. 363 c. sch. vs. 8 ἀπόρρητα—Κτηςιφῶντος Harp. cf. Ba 131, 19; Dem. 18, 123 πάντα sq. = Ba 131, 19; Ar. fr. 622 3502 αἰτιατικῇ = Synt. Laur. et Gud. 3503 = Ba 131, 8, Σ[a] 3504 = Ba 131, 10 3505 ἀποροῦντι alt. sq. Dam. fr. 116, sed melius Burn. ad Pythagoram h. e. ad Pyth. vitam rettulit 3506 Ar. Ach. 31—2 c. sch. 3507 γενικῇ = Synt. Laur. 3508 — ἀπεςχιςμένας = Ba 131. 12, Σ[a] cf. H

3500 Z 244 3502 cf. 3047; Z 269 3503—4 Z 244 3505 Z 269 3506 cf. v. Γ 440 et v. παρατίλλεται 3508 Call. cf. 1517. Ar. cf. v. Τιμών 3; hinc v. Σούνιον

A(GITFSM) 1 ἀπορία Ba Zon. εὐπορία omnes 10 οὔ τι] ὅτι T οὕτως τι Ba τ'] γ' GI 12 καί—13 αἰτιατικῇ om. F 13 αἰτιατικῇ om. GITS 18 ἀνεβίω] ἐν βίῳ χρήςαςθαι S 22 τίλλω IF τίλλων rell. 24 ἀμηχανίας] ἀμηχανίαν FM[ac], v. παρατίλλεται 26 ἐν om. A 3507 om. FS 30 διδόντας] διδούςας I[ac]TM[ac]

καὶ Ἀπορρώξ, ἀπόσπασμα ὄρους. καὶ γένους ἀπογονή. οὗτος ΣΔ
δὲ ἦν ἄρα Ἐριννύων ἀπορρώξ. πᾶσα δ' ἀπορρὼξ πέτρη ἔην ὑπέ- E
νερθε, καὶ ἄμβασις οὐ νύ τις ἦεν. Τίμων ἦν τις ἀΐδρυτος ἀβάτοι- Call.
σιν εὐσκώλοισι περιειργμένος, Ἐριννύων ἀπορρώξ. ὁ λεγόμενος μισάν- Ar.
θρωπος, ὃν φησι Νεάνθης ἀπὸ ἀχράδος πεσόντα χωλὸν γενέσθαι· μὴ
προσιέμενον δὲ ἰατροὺς, ἀποθανεῖν σαπέντα, καὶ μετὰ τὴν τελευτὴν
αὐτοῦ τὸν τάφον ἄβατον γενέσθαι, ὑπὸ θαλάσσης περιρραγέντα καὶ
ἐν ὁδῷ τῇ ἐκ Πειραιῶς εἰς Σούνιον φυγούσῃ. ἀβάτοις δὲ ἀντὶ τοῦ
ἄβατος καὶ ἄστατος καὶ οἷον ἀκάνθαις τετριχωμένος. καὶ σκληρὸς ἢ
σκόλοψι καὶ παττάλοις ἠφανισμένος. ἀντὶ τοῦ σκυθρωπὸς καὶ μισάν-
θρωπος.

3509 Ἀπορώτατος: ἀντὶ τοῦ πρὸς ὃν οὐδένα πόρον ἔστιν εὑρεῖν. Harp.
οὕτως Ἰκαῖος ἐν τῷ ὑπὲρ τῆς Μνησαίου θυγατρός.

3510 Ἀπόρροια: ἡ ἀπορροὴ τοῦ ὕδατος. Δ

3511 Ἀπορρύει: ἀπορρύπτει, ἀπονίπτει. καὶ Ἀπορρυήσεται, Σ
ἀντὶ τοῦ ἀποπεσεῖται. Δ

3512 Ἀπορρυφθείς: ἀντὶ τοῦ ἀπονιφθείς. Δ

3513 Ἀπορρύψαι καὶ Ἀπορρυφθῆναι. Suid.

3514 Ἀποκαλεύσας: παρὰ Θουκυδίδῃ ἀντὶ τοῦ ἀποφυγὼν ἐκ τοῦ Thuc.
λιμένος καὶ κάλῳ ὁμιλήσας, τουτέστι τῷ ἁλιμένῳ τόπῳ, ἔνθα κάλος
γίνεται.

3515 Ἀποκάξαντα: Δείναρχος ἀντὶ τοῦ φράξαντα τὸ τρῆμα. Harp.

3516 Ἀποκαφοῦντες: διαρρήδην κηρύττοντες. οἵ τε ὀφθαλμοὶ
Ἰκιδώρου τὸ τῆς διανοίας εὔτροχον ἀποκαφοῦντες.

3517 Ἀποκεμνύνει· αἰτιατικῇ. γεραίρει. Ἀποκεμνυνεῖται Σ
δὲ ἀπονοεῖται σιωπῶν, ὑπερηφανεῖ. κεμνότητος γὰρ ἕνεκα ἐπιπολὺ Ar.
ἐσιώπα Αἰσχύλος ἐν τοῖς θεάτροις εἰσιών· καὶ ἐν ταῖς ἀρχαῖς τῶν δρα-
μάτων ἐτερατεύετο. καὶ Ἀριστοφάνης Βατράχοις· ἀποκεμνυνεῖται
πρῶτον, ἅπερ ἑκάστοτε ἐν ταῖς τραγῳδίαις ἐτερατεύετο.

3518 Ἀποκείομαι· αἰτιατικῇ. Synt.

3508 ἀπορρώξ—ὄρους = Ba 131, 14, Σ[a] cf. H γένους ἀπογονή aliter Ambr. 2551 οὗτος—ἀπορρώξ fort. Eunap. πᾶσα—ἦεν Call. fr. 111 K., an. 7 S. cf. Babr. p. 219 Τίμων sq. Ar. Lys. 808—811 c. sch.; Neanth. fr. 35, FGrHist 84 3509 Harp. = Ba 131, 23; Isae. fr. 104 3510 cf. Ambr. 2551 3511 — ἀπονίπτει = Ba 131, 9, Σ[a] 3514 sch. Thuc. 1, 137, 2 = Et. M. 125, 4 3515 Harp. = Ba 132, 25; Dinarch. fr. LXXXIX 10 3516 οἱ sq. Dam. fr. 80 = Phot. bibl. 341b 30—31 3517 γεραίρει = Ba 131, 29, Σ[a] ἀποκεμνυνεῖται sq. Ar. Ran. 833—4 c. sch. 3518 = Synt. Laur. et Gud.

3513 ἀπορρύψαι ex 4112 3514 Z 262, 269 3515 Z 269 3516 cf. v. εὔτροχον

2 ὑπένερθε] ὑπένερθεν GTSM 4 εὐσκώλοισι] εὐκώλοισι F δυσκόλοισι S; ἕνι σκώλοισι ss. M, v. Τίμων A(GITFSM)
5 ἀπό SM, v. Τίμων, sch. ὑπό rell. 6 μετά v. Τίμων, sch., Port., κατά omnes 8 φυγούσῃ] φυγούσιν A[ec] φερούσῃ Kust. ἀγούσῃ pr. 13 Μνησαίου] Μνησιθέου T cf. Harp. 16 ἀποπεσεῖται] Δαβίδ (Ps. 1, 3) add. M; mg. ad 3510 A 3513 om. AFS

Σ 3519 Ἀποσημήνασθαι: ἀφομοιοῦσθαι. καὶ Ἀποσημήναςα,
Ε φανερώσαςα, ἐξειποῦςα. Ἰώσηπος· ἀποσημήναςα δὲ τοῖς ἄρχουσι τῶν
Suid. Παλαιστηνῶν ἐνήδρευε στρατιωτῶν ἔνδον τινάς. Παλαιστῖνος δέ.
Σ 3520 Ἀποσιμῶσαι: τὸ ἐπικύψαι καὶ τὴν πυγὴν προθεῖναι γυμνήν.
Φίλιππος. Θουκυδίδης δὲ τὸ μετεωρίσαι τὰς ναῦς.
Ar. 3521 Ἀποσιώπησις: σχήματος εἶδος· ὡς παρὰ Ἀριστοφάνει· ὦ
μηδαμῶς. ἔστι δὲ καὶ παρὰ Δημοσθένει τὸ ὅμοιον. ἀλλ' ὦ τί ἄν σέ
τις προσειπὼν ὀρθῶς προσείποι; εἰρηκότος γὰρ αὐτοῦ μηδαμῶς, εἶπεν,
ὦ μηδαμῶς.
Σ 3522 Ἀπόσιτος: ἄσιτος, ἄτροφος. ὁ δὲ καὶ ἀπόσιτος ἡμέρας τε
Ε καὶ νύκτας δύο πολλάκις ἔμενε, καὶ ταῖς τοῦ Πάσχα ἡμέραις ἀπόσιτος
Δ ἦν, ὕδατι βραχεῖ ἀποζῶν. καὶ Ἀποσιτῶ, τὸ καταλιμπάνω τὸν
σῖτον.
Σ 3523 Ἀποσκευαζόμενος: ἀποβαλλόμενος, ἀπορριπτῶν, ἀπογυμ-
Ε νῶν. ὁ δὲ γράφει παντὶ τρόπῳ τὸν Ἀλκιβιάδην ἀποσκευάσασθαι.
καὶ Ἀποσκευαζόμενοι, ἀποτιθέμενοι βάρος καὶ ἀποβάλλοντες. ἐκ
μεταφορᾶς τῶν διὰ τὴν ζάλην τῆς θαλάσσης ναυτῶν τὰ σκεύη νηὸς
Ε ἀπορριπτούντων. καὶ αὖθις· ἀποσκευάζονταί τε τὸν κίνδυνον, εἶναι
Ῥωμαῖοι βεβαιωσάμενοι.
Σ 3524 Ἀποσκευάζοντες: ἀποφέροντες. καὶ γὰρ κινδυνεύσειν
Ε ἔμελλεν, εἰ μὴ φθάσας τὸ μειράκιον ἀποσκευάσαιτο. ἀντὶ τοῦ ἀποθοῖτο
Σ ἀνελών. καὶ Ἀποσκευάσαι τὴν τράπεζαν, καθαρὰν ποιῆσαι.
Synt. 3525 Ἀποσκευάζομαι· αἰτιατικῇ.
3526 Ἀποσκευή: ἡ ἐπὶ τῶν ἐπιτηδείων κομιδή, τὸ παρ' ἡμῖν λεγό-
Ε μενον τοῦλδον. τὰ σαγμάρια. μετὰ δὲ τὰς δυνάμεις πάσας συν-
ἐταξε τούτοις καὶ τὴν ἀποσκευὴν, ἵνα πρὸς τὸ παρὸν εὐπορῶσι τῶν
ἐπιτηδείων. πρὸς γὰρ τὸ μέλλον ἀφροντίστως εἶχε περὶ τῶν σκευο-
φόρων λογιζόμενος ὡς, ἐὰν ἅψηται τῆς πολεμίας, ἡττηθεὶς μὲν οὐ
προσδεήσεται τῶν ἀναγκαίων, κρατῶν δὲ τῶν ὑπαίθρων οὐκ ἀπορήσει
τῶν ἐπιτηδείων.

3519 — ἀφομοιοῦσθαι = Ba 131, 28, Σ^{A} ἀποσημήναςα alt. sq. Ios. Ant. 5, 309 3520 = Ba 132, 4 cf. Paus. Att. fr. 61 ex Eust. I. 965, 44; Φίλιππος fr. com. 2, 215 K.; Θουκυδίδης sq. cf. sch. Thuc. 4, 25, 5 3521 sch. Ar. Ach. 334; ἀλλ'—προσείποι Dem. 18, 22 3522 — ἄτροφος = Ba 131, 32, Σ^{a}, Bk. 83, 17 ὁ—ἀποζῶν Proc. h. a. 13, 29—30 3523 — ἀπογυμνῶν = Ba 132, 1, Σ^{A} cf. H ἀποσκευαζόμενοι—ἀπορριπτούντων fort. sch. Greg. ἀποσκευάζονται sq. Th. Simoc. 3, 7, 4 3524 — ἀποφέροντες = Ba 132, 3, Σ^{A} cf. H ἀποσκευάσαι sq. = Ba 133, 10 3525 = Synt. Laur. 3526 μετά sq. Polyb. 3, 79, 1—2

3519 Ios. cf. v. Παλαιστηνός, ex quo Παλαιστῖνος δέ 3520 Z 270; Θουκυδίδης sq. Eust. I. 965, 45 3523 cf. 3059; Th. cf. 3257 3526 hinc v. σαγμάρια; Z 244

A(GITFSM) 3 Παλαιστηνῶν] Παλαιστινῶν A Ios. Παλαιστῖνος δέ ex mg. AIM 5 Φίλιππος] Φιλιππίδης Valck. sed cf. Mein. fragm. com. 1, 340—3 13 σῖτον] περὶ Ἰουστινιανοῦ add. S 17 νηός] τῆς νεώς F 21 ἐμελλεν] ἔμελλον M 24 ἐπί om. M Zon.

3527 Ἀποσκλαίη: ἀποθάνοι. καὶ Ἀποσκλῆναι, ἀποθανεῖν. Σ
3528 Ἀποσκιρτᾷ: ἀποπηδᾷ. Σ
3529 Ἀποσκοπιεῖσθαι λέγουσιν, οὐ σκοπεύειν. Σ
3530 Ἀπὸ σκοποῦ: μάτην, ἢ περιττῶς, ἢ ἐναντίως. Σ
3531 Ἀποσκορακίζει: εὐτελίζει, ἐξορίζει, διώκει. οἱ δὲ εἶπον ἀντὶ τοῦ ἀπορρίψει. Δαβίδ· βοηθός μου γενοῦ, μὴ ἀποσκορακίσῃς με. ἀπὸ ἱστορίας· τὸ γὰρ ἐς κόρακας ὕβρις ἦν παρὰ τοῖς παλαιοῖς. Σ Thdr.
3532 Ἀποσκυδμαίνω: ὀργίζομαι. Δ
3533 Ἀποσκυθίσαι: κυρίως μὲν τὸ ἐπιτεμεῖν τὸ ἐπικεφάλαιον δέρμα σὺν θριξί, καταχρηστικῶς δὲ τὸ ἀποκεῖραι. Σ
3534 Ἀποσμήχει· αἰτιατικῇ. ἀποκαθαίρει. Δ
3535 Ἀποσμιλεύουσι: τῇ σμίλῃ ξέουσιν, ἐκκαθαίρουσι. καὶ Ἀποσμιλεύματα, τὰ τῇ σμίλῃ ἐκβαλλόμενα ἀποξύσματα. ἵνα μὴ εὐθύνας ὑπόσχωσι τοῖς πανδέκταις, τοῖς ἀποσμιλεύουσι τὰ ὀνόματα. Ar.
3536 Ἀποσοβεῖ· αἰτιατικῇ. ἀποδιώκει. ὁ δὲ ἀνέστη ὡς ἀποσοβήσων τῆς κεφαλῆς αὐτὸν ἐπιπετόμενον. καὶ Ἀποσοβῶμεν, ἀποτρέχωμεν. Μένανδρος. Ar. E Σ
3537 Ἄποσον: τὸ ἄμετρον. Ἄπωσον δὲ διὰ τοῦ ω μεγάλου, τὸ ἔκπεμψον. Δ
3538 Ἀποσπάδας καὶ Ἀποσπάδοντας: ἀποσπάδας μὲν τοὺς ἀποσπασθέντας, ἀποσπάδοντας δὲ τοὺς ἐκκοπέντας. Δ?
3539 Ἀποσπάσας· ὁ δὲ καὶ ἐντεῦθεν ἀποσπάσας ἔξαινε κατ' αὐτοῦ πληγάς. καὶ Ἀποσπάσαι. Δ
3540 Ἀποσπεύδοντας. κωλύοντας. καὶ Ἀποσπευδούσης, κωλυούσης, ἐμποδιζούσης. ἀποσπευδούσης δὲ καὶ τῆς γυναικὸς καὶ τῶν παίδων· καὶ γὰρ οὗτοι συνῆσαν αὐτῷ. ὁ δὲ τὴν Ἑλένην ἀπέσπευδε τοὺς Τρῶας ἀποδοῦναι. Σ x + E E?

3527 = Ba 132, 29, 133, 1, Σ[a]; ἀποθάνοι = H; ἀποσκλῆναι sq. sch. Ar. Vsp. 160 3528 = Ba 133, 2, Σ[a] 3529 = Ba 133, 8 3530 = Ba 133, 3, Σ[a] 3531 — διώκει = Ba 133, 4, Σ[a] οἱ δέ sq. Thdr. in Ps. 26, 9, PG 80, 1053b c; ἀπορρίψει cf. An. Ox. 2, 460, 23; ἀπό—κόρακας cf. Ba 133, 5 3532 = Ambr. 2770 cf. sch. Ω 65, H, Ap. S. 39, 29 3533 = Ba 133, 6, Et. M. 125, 55, Σ[a]; ἐπιτεμεῖν cf. H 3534 αἰτιατικῇ = Synt. Gud. ἀποκαθαίρει cf. Ambr. 2703—5 3535 ἀποσμιλεύματα—ἐκβαλλόμενα sch. Ar. Ran. 819 ἵνα sq. Synes. ep. 101 p. 240d 3536 αἰτιατικῇ = Synt. Gud. ἀποδιώκει sch. Ar. Eq. 60 = H cf. Ba 134, 13, Σ[a] ὁ—ἐπιπετόμενον cf. Io. Antioch. fr. 49, FHG 4, 557 ἀποσοβῶμεν sq. = Ba 134, 14; Men. com. fr. 997 3537 — ἄμετρον cf. Ambr. 2614 3540 Ἀποσπεύδοντας = Σ[a] cf. G. G. A. 1893, 45

3531 hinc v. μὴ ἀποσκορακίσῃς 3533 hinc 3062; Z 282 3535 Z 271; Synes. cf. v. πανδέκται 3538 Z 239, 271 3540 Z 271

1 Ἀποσκλαίη T[oc] Σ[a] Ἀποσκλαίει rell. Ba 3 Ἀποσκοπεῖσθαι] Ἀποσκοπεῖσθαι F Ba cf. Thom. M. 7, 15 (interpol. in F) 9 ἐπιτεμεῖν] ἀποτεμεῖν add. mg. A, ss. M (= Zon.) 16. 17 ἀποτρέχωμεν] ἀποτρέχομεν M Ba 18 διά—τό] ἀντὶ τοῦ S 21 ἀποσπασθέντας] ἀποσπάστους GIT ἐκκοπέντας AS ἀποκοπέντας GITM Zon. κοπέντας F 23 καὶ ἀποσπάσαι AM καὶ σπάσαι S ἀποσπάσαι καί (cum 3540 coniunct.) GIT, om. F A(GITFSM)

Ar. 3541 Ἀποσποδῆσαι: ἀφανίσαι. ἀπὸ τῆς σποδοῦ. αὕτη γὰρ ἀφανίζει τὴν προϋπάρξασαν ὕλην τῶν ξύλων. ἢ ἀποκροῦσαι καὶ ἀφανίσαι, τυπτόμενον ἐκβαλεῖν. Ἀριστοφάνης Ὄρνισιν· ἀποσποδῆσαι τοὺς ὄνυχας τῶν δακτύλων.

3542 Ἀπόσπονδον: ἐχθρὰν, μισητήν. Πισίδης· ταύτην ἀφέντες τὴν ἀπόσπονδον μέθην καὶ πᾶσαν ἰλὺν ἀλλοφύλων ᾀσμάτων.

Σ 3543 Ἀποσπουδάζων: παυόμενος τῆς σπουδῆς, ἀμελῶν.

x+E 3544 Ἀποσπώντων· γενικῇ. βιαίως ἑλκόντων. αἱ δὲ καταφεύγουσιν ἐπὶ τὴν Ἄρτεμιν, βαρβάρου πικρῶς ἐγκειμένου, καὶ τῶν δορυφόρων ἀποσπώντων κἀκείνων ἁπρὶξ ἐχομένων, διασπᾶται ὁ κατὰ τοῦ τραχήλου ὅρμος.

Σ 3545 Ἀπόστα· οὐ μόνον ἀπόστηθι λέγουσιν, ἀλλὰ καὶ παράστα. Μένανδρος Παιδίῳ· ἐνταῦθ' ἀπόστα μικρόν. Δὶς ἐξαπατῶντι· ἐμοὶ παράστα· τὴν θύραν κόψας ἐγὼ καλῶ τιν' αὐτῶν.

3546 Ἀπόστασις: ἀποχώρησις ἐκ διαστήματος. Πολύβιος· οὐδενὸς E ἐπεγνωκότος τῶν πολιτῶν τὸ συμβαῖνον διὰ τὴν ἀπόστασιν, ἅτε μεγάλης οὔσης τῆς πόλεως. Ἀπόστασις καὶ ἡ Ἀποστασία ἀπό E? τινος πρός τινα. ὁ δὲ ἀμείβεται τὸν εὐεργέτην ἀποστάσει. καὶ Σ Ἀποστασίου δίκη, ἡ κατὰ τῶν ἀπελευθέρων, ὅταν ἀποστῶσι τῶν Harp. ἀπελευθερωσάντων. Ἀποστασίου δίκη τίς ἐστι κατὰ τῶν ἀπελευθερωθέντων δεδομένη τοῖς ἀπελευθερώσασιν, ἐὰν ἀφιστῶνται ἀπ' αὐτῶν ἢ προστάτην ἕτερον ἐπιγράφωνται, καὶ ἃ κελεύουσιν οἱ νόμοι μὴ ποιῶσι. καὶ τοὺς μὲν ἁλόντας δεῖ δούλους εἶναι, τοὺς δὲ νικήΣ σαντας τελέως λοιπὸν ἐλευθέρους. Ἀποστασίου δίκη· ὅταν δοῦλος ὑπὲρ ἐλευθερίας ἐνίσταται, φάσκων μὴ προσήκειν τοῖς δοῦλον αὐτὸν ἀντιποιουμένοις. Ἀπροστασίου δὲ· τῶν μετοίκων ἕκαστος προστάτην ἔχουσι κατὰ νόμον ἕνα τῶν ἀστῶν, καὶ δι' αὐτοῦ τό τε μετοίκιον τίθεται κατὰ ἔτος καὶ τὰ ἄλλα διοικεῖται. ὅταν οὖν τις δοκῶν εἶναι μέτοικος προστάτην μὴ ἔχῃ ἢ μὴ δῷ τὸ μετοίκιον ἢ ἀστὸς εἶναι φάσκῃ παρεγγεγραμμένος εἰς τὴν πολιτείαν, ὁ βουλόμενος δίκην εἰσάγει πρὸς αὐτὸν, ἥτις λέγεται ἀπροστασίου.

Δ+E 3547 Ἀποστατήσω· γενικῇ. ἀποχωρισθῶ. Ἀρριανός· ἀποστατήσω E οὐδὲ ἐγὼ τοῦ ἔργου. καὶ αὖθις· οὐκ ἔστιν ὅστις ἀποστατῆσαι τοῦ τείχους ἐλέγετο.

3541 Ar. Av. 8 c. sch. 3542 Πισίδης sq. fr. 62 3543 = Ba 134, 16, Σ^a 3544 αἱ sq. Aelian. fr. 46 3545 = Ba 134, 5 (cf. Cohn, Neue Jb. Suppl. 12, 296); Men. com. fr. 375 et 124 3546 οὐδενός—πόλεως Polyb. 8, 37, 12 (= fr. 17) vs. 18 ὁ—ἀποστάσει fort. Aelian. vs. 19 ἀποστασίου—ἀπελευθερωσάντων cf. Bk. 201, 5 vs. 20 ἀποστασίου—24 ἐλευθέρους Harp. = Ba 132, 6 vs. 24 ἀποστασίου sq. = Ba 132, 13 3547 l. cf. Ambr. 2793 γενικῇ = Synt. Laur. ἀποστατήσω alt.—ἔργου Arr. An. 5, 23, 7

3543 cf. 3065; Z 271 3544 — ἑλκόντων cf. 3064; Aelian. cf. v. θεοκλυτήσαντες et v. προσκείμενοι 3546 fin. cf. 3703 3547 Z 271; ἀποχωρισθῶ cf. 3066

A(GITFSM) 9 δορυφόρων] δορυφορούντων SM 20 ἀπελευθερωσάντων Port. ἀπελευθέρων omnes 24 ἀποστασίου non nov. gl. AM, nov. gl. GIF 25 δοῦλον] δουλοῦν Ba

3548 Ἀποσταυροῦντες: σταυροῖς περικλείοντες. κύκλῳ τὸ νηςίζον x + E
τῆς χερρονήςου ὠχύρουν ἀποσταυροῦντες καὶ περιχαρακοῦντες.
3549 Ἀποσταίην: μακρὰν γενοίμην.
3550 Ἀποστέγειν· μήτε μὴν τειχῶν ἔχειν περίβολον, οἷον ἀπο- E
στέγειν καὶ ἀναστέλλειν τοὺς πολεμίους καρτερόν. οἷον ἀπερύκειν, κωλύειν.
3551 Ἀποστέλλω· δοτικῇ. Synt.
3552 Ἀποστεροῦμαι· γενικῇ. ἔστι δὲ καὶ αἰτιατικῇ Ἀποστερῶ. Synt.
3553 Ἀποστέρηcις: τὸ τὰ ἀλλότρια λαβόντας κατέχειν. καὶ ὅταν ἐλεημοςύνην μὴ παράςχωμεν, ἐν ἴcῳ τοῖς ἀποστεροῦcι κολαζόμεθα.
3554 Ἀποστερητρίδα· Ἀριστοφάνης Νεφέλαις· οἶμοι· τίς ἂν δῆτ' ἐπιβάλοι Suid.
ἐξ ἀρνακίδων γνώμην ἀποστερητρίδα; ἔπαιξε δὲ πρὸς τὸ ἀρνεῖcθαι, παρονομάcας ἀπὸ τῶν ἀρνῶν καὶ τοῦ ἀρνεῖcθαι τοὺς δανειστάς. τὸ δὲ ἀποστερητρίδα, ἅμα μὲν ἀπὸ τοῦ ἀποστερεῖν, ἅμα δὲ καὶ ἀντὶ τοῦ περιβόλαιον.
3555 Ἀποστέρξας· αἰτιατικῇ. καρτερικῶς ὑπομείνας. ὁ δὲ τροφὴν οὐ προcέμενος, ἀλλ' ἀποστέρξας εὐγενῶς τὸν βίον κατέστρεψεν.
3556 Ἀπόcτηθι: ἀποχώρει. καὶ Ἀποcτῆναι, ἀποχωριcθῆναι. Δ
τὸ γὰρ ἀποστῆναι χαλεπὸν ἀεὶ φύcεως, ἣν ἔχει τις ἀεί. καίτοι πολλοὶ Ar.
ταῦτ' ἔπαθον· ξυνόντες γνώμαις ἑτέρων μετέβαλον τοὺς τρόπους.
3557 Ἀποcτῆναι· γενικῇ. Synt.
3558 Ἀποcτηcάμενον: ἀντὶ τοῦ πρὸς ταθμὸν παραλαβόντα Δη- Harp.
μοcθένης ἐν τῷ πρὸς Τιμόθεον. καὶ Ἀποστήcονται, οἷον Σ
ταθμῷ λάβωcιν ἴcον. καὶ Ἀποστήcαcθαι, ἀποδοῦναι χρέος.
3559 Ἀποστολαί: ἀποπέμψεις, δῶρα. καὶ Ἀπόcτολος, ὁ Σ
ἀποστελλόμενος μετὰ cτρατιᾶς εἰς πόλεμον παραcκευῆς. τῶν δὲ Rhet.
πλοίων τὰ μὲν cυντριβόμενα ταῖς ἀποστολαῖς. τουτέστι ταῖς ἀπο- E + Σ
πέμψεcι. καὶ Ἀποστελλόμενοι· οὐ μόνον οἱ πεμπόμενοι ἐκ Rhet.
προcταγμάτων τῶν ἀπολυόντων, ἀλλὰ καὶ οἱ παραπεμπόμενοι ἀποδημεῖν μέλλοντες, ἀποστελλόμενοι ἐλέχθηcαν. καὶ Ἀποστολεῖc, Harp.
οἱ ἐπὶ τῆς ἐκπομπῆς τῶν τριήρων ἀποδεδειγμένοι. Ἀπόcτολοι δὲ

3548 κύκλῳ sq. Polyb. 4, 56, 8 3550 — καρτερόν Aelian. fr. 53 3551 = Synt. Laur. et Gud. 3552 cf. Synt. Laur. et Gud. 3555 αἰτιατικῇ = Synt. Laur. et Gud. 3556 ἀπόcτηθι = Ambr. 2762 τό sq. Ar. Vsp. 1457—61 3557 cf. Ambr. 2762 3558 — Τιμόθεον Harp. = Ba 132, 27; Dem. 49, 52 ἀποστήcονται—ἴcον = Σ^a, Ba 134, 17; ἀποστήcαcθαι sq. = Ba 134, 15, H 3559 — δῶρα = Ba 134, 19, Σ^a, H ἀπόστολος—παραcκευῆς = Bk. 217, 26 τῶν—ἀποστολαῖς Diod. 13, 67, 2; ἀποπέμψεις v. supra ἀποστελλόμενοι pr.—ἐλέχθηcαν = Bk. 216, 32 ἀποστολεῖς sq. Harp.; Dem. 18, 80 et 4, 35

3548 cf. 3067 3549—50 Z 271 3550 κωλύειν cf. 2328 3553 hinc v. ἐλεημοcύνη et v. εὐποιΐα 3554 ex 3982 3555 Z 271 3558 Z 271 3559 Z 244, 236; sch. Dem. ed. 1570 p. 36

1 σταυροῖς] καὶ περιχαρακοῦντες. Ἀποcτ. lac. A (cf. vs. 2) 5 καρτερόν] κατὰ A (GITFSM) τὸ καρτερόν Hercher, Philol. 8, 726 οἷον—6 κωλύειν om. S 8 ἔcτι—ἀποcτερῶ ex GIM, om. A 9 λαβόντας] λαβόντα S 3554 om. TF post 3555 ASM post 3552 GI 16 προcέμενος AFS προιέμενος rell. 17 ἀποχωριcθῆναι] καὶ ἀ. A 22 ἀποστήcονται] ἀποστήcωνται Ba Zon. Hes. 23 σταθμῷ] σταθμόν AF Zon. 29 μέλλοντες GIF sch. Dem. μέλλοντος ATM

αἱ τῶν νεῶν ἐκπομπαί. οὕτως Δημοσθένης, τὸ μὲν ἐν τῷ ὑπὲρ Κτησιφῶντος, τὸ δὲ ἐν α′ Φιλιππικῶν.

E 3560 Ἀποστολικὴ πολιτεία: τουτέστιν ὀφθαλμῶν ἀκρίβεια, γλώσσης ἐγκράτεια, σώματος δουλαγωγία, φρόνημα ταπεινόν, ἐννοίας καθαρότης, ὀργῆς ἀφανισμός. ἀγγαρευόμενος προστίθει. τυπτόμενος ἐπίβαλλε. ἀποστερούμενος μὴ δικάζου, μισούμενος ἀγάπα, διωκόμενος ἀνέχου, βλασφημούμενος παρακάλει, νεκρώθητι τῇ ἁμαρτίᾳ, συσταυρώθητι τῷ Χριστῷ, ὅλην τὴν ἀγάπην μετάθες ἐπὶ τὸν κύριον.

Σ 3561 Ἀποστοματίζειν: ἀπὸ μνήμης λέγειν. καὶ Ἀπὸ στόμα-
Σ+E τος, ἄνευ γραμμάτων. ὁ δὲ κελεύει ἀπὸ στόματος φράζειν τοῖς ἡγεμόσι
Σ τῶν Μάρδων. καὶ Ἀπὸ στόματος, ὡς ἡμεῖς τὸ μὴ διὰ γραμμάτων, ἀλλ' ἀπὸ μνήμης. Φιλήμων Νεμομένοις· ἀπὸ στόματος ἅπαντ', ἐὰν βούλησθ', ἐρῶ. Κρατῖνος δὲ ταυτὸ τοῦτ' ἀπὸ γλώττης, Νόμοις· ἀλλὰ, μὰ Δί', οὐκ οἶδ' ἔγωγε γράμματ' οὐδ' ἐπίσταμαι, τὰ ἄλλα ἀπὸ γλώττης φράσω σοι· μνημονεύω γὰρ καλῶς. Θουκυδίδης ζ′· καὶ ἥκοντες εἰς τὰς Ἀθήνας οἱ ἀπὸ τοῦ Νικίου, ὅσα τε ἀπὸ γλώττης εἴρητο αὐτοῖς εἶπον. Πλάτων Θεαιτήτῳ· ἀτὰρ τίνες ἦσαν οἱ λόγοι; ἔχοις ἂν διηγήσασθαι; οὐ μὰ τὸν Δί' οὔκουν, οὔτε ἀπὸ στόματος, ἀλλ' ἐγραψάμην μὲν τοῦτ' εὐθὺς οἴκαδ' ἐλθὼν ὑπομνήματα. καὶ Ἀποστοματίζειν φασὶ τὸν διδάσκαλον, ὅταν κελεύῃ τὸν παῖδα λέγειν ἅττα ἀπὸ στόματος.

x+E 3562 Ἀποστομοῦν: ἀποφράττειν. προέθετο τὰς διώρυγας ἀποστομοῦν τὰς ἐπιφανεστάτας.

Σ 3563 Ἀποστρακισθῆναι· αἰτιατικῇ. ἐξορισθῆναι. ἐν ὀστράκοις γὰρ τὸ πρὶν ἐγράφοντο αἱ ἐξορίαι. ὅτι ἀποστρακισθῆναί φασι Κίμωνα τῇ ἀδελφῇ Ἐλπινίκῃ συγκοιμηθέντα ὑπὸ Ἀθηναίων. ἀντὶ τοῦ ἐξορισθῆναι.

Synt. 3564 Ἀποστρέφομαι· αἰτιατικῇ.

Harp. 3565 Ἀποστροφή: ἀντὶ τοῦ καταστροφή.

ΣE 3566 Ἀποστυγοῦντες: μισοῦντες. Ἰώσηπος· Ἀντίοχος ἀποστυγήσας. Φαβρίκιος ἡγεμὼν καθίσταται τοῦ πρὸς τὸν Πύρρον πολέμου.

3560 Georg. 1, 342, 5—11 (e Basil. PG 31, 440b) cf. Herm. 21, 9 3561 — λέγειν Tim. = Ba 134, 24 vs. 10 ὁ—Μάρδων Arr. Parth. p. 20 R. vs. 11 ἀπὸ στόματος—15 καλῶς = Ba 133, 26 cf. Phryn. 38, 3; Philem. fr. 48 (2, 490 K.); Cratin. fr. 122; Thuc. 7, 10; Pl. Theaet. 142d; ἀποστοματίζειν sq. cf. Poll. 2, 102; Phryn. 45, 8 3562 προέθετο sq. Polyb. fr. 117 3563 αἰτιατικῇ = Synt. Gud. ἐξορισθῆναι—ἐξορίαι = Ba 134, 20, Σ[a] cf. H 3564 = Synt. Laur. et Gud. 3565 Harp. cf. Ba 134, 18, An. Ox. 2, 490, 23 3566 — μισοῦντες = Ba 134, 22, Σ[a], H Ἰώσηπος? Φαβρίκιος sq. Eutrop. p. 37 = Exc. Plan. (Io. Antioch.) ap. Cass. D. 1, p. CXVIII

3560 Z 244 3561 Z 250, 271 3562 Z 271 3563 hinc v. Κίμων 2; cf. v. ὀστρακισμός 3566 Φαβρίκιος sq. cf. v. et v. ὑφιστάμενος

A(GITFSM) 5 τυπτόμενος ἐπίβαλλε om. ATF Georg.; περισσόν ss. M 15 μνημονεύω] μνημονεύων A 16 ἥκοντες S ἥκοντ' rell. 25 ὅτι] ὅπερ GIT 29 καταστροφή] καταφυγή Harp. Ba

ἀντικαθεζομένων γὰρ ἀλλήλοις τῶν στρατοπέδων, νύκτωρ φυλάξας τις ὡς τὸν Φαβρίκιον ἀφικνεῖται δηλητηρίῳ φαρμάκῳ ἀνελεῖν τὸν Πύρρον ὑφιστάμενος, ἦν τις δοθείη πρὸς αὐτοῦ χρημάτων ὠφέλεια. ὃν ὁ Φαβρίκιος ἀποστυγήσας τῆς ἐπιχειρήσεως ἀποπέμπει τῷ Πύρρῳ δέσμιον. ἀγασθεὶς δὴ τὸ πραχθὲν ὁ Πύρρος ἀναβοῆσαι λέγεται· οὗτός ἐστι καὶ οὐκ ἄλλος Φαβρίκιος, ὃν δυσχερέστερον ἄν τις παρατρέψοι τῆς οἰκείας ἀρετῆς ἢ τῆς συνήθους πορείας τὸν ἥλιον.

3567 Ἀποσυκάζεις: συκοφαντεῖς, δοκιμάζεις. ἀποσυκάζειν γὰρ τὸ τὰ πέπειρα σῦκα διαλέγειν. διόπερ προσέθηκε, πιέζων. ἐκθλίβοντες γὰρ δοκιμάζομεν τὰ σῦκα, εἰ πέπειρά ἐστιν ἢ μή. ἐπεὶ τοίνυν συκάζειν λέγεται καὶ τὸ συκοφαντεῖν καὶ τὸ σῦκα κλέπτειν, ἅπαξ εἰπὼν τὸ συκάζεις, ἐπήνεγκε τὸ πιέζων, ἅμα μὲν ὡς ἐπὶ σύκων, ἅμα δὲ ἐπεὶ καὶ αὐτὸς θλίβει τοὺς συκοφαντουμένους· καὶ πιέζει δωροδοκῶν καὶ διασείων τοὺς ὑπευθύνους, τουτέστι τοὺς μὴ λογισμοὺς προσεσχηκότας τῆς ἀρχῆς, ἧς ἐπιστεύθησαν. ἐχρήσατο οὖν τῇ λέξει, ἀφ' οὗ καὶ συκοφάντης κέκληται. τὸ γὰρ παλαιὸν τίμια παρὰ τοῖς Ἀθηναίοις ἦν τὰ σῦκα, καὶ εἴ τις διεβλήθη κλέπτων σῦκα ἐκολάζετο. φαίνειν δὲ ἔλεγον καὶ τὸ κατηγορεῖν. Ar.

3568 Ἀποσυστῆσαι: οὐδὲν πλέον τοῦ συστῆσαι σημαίνει. Σ

3569 Ἀπόσσυτος καὶ Ἀπέσσυτο· σεύω τὸ ὁρμῶ, καὶ σύω, ἀφ' οὗ τὸ σῦμι, ὅθεν καὶ τὸ ἔσσυτο καὶ ἀπέσσυτο καὶ ἀπόσσυτος. Suid.

3570 Ἀποσφαλεῖς: παρατραπεὶς, ὀλισθήσας, τῆς εὐθείας ἐκτραπείς.

3571 Ἀποσφαλμήσας: ἀποπηδήσας, ἀποσκιρτήσας. Πολύβιος· ὁ δὲ ἵππος ἀπὸ τῆς πληγῆς ἀποσφαλμήσας ἐφέρετο ῥύδην διὰ τοῦ μεταξὺ τόπου τοῦ στρατοπέδου. ἢ ἀντὶ τοῦ σφαλείς. καὶ ἀλλαχοῦ· ὁ δὲ ἵππος ὁ τοῦ Σκιπίωνος ἐδυσχρήστησε μὲν ἀπὸ τῆς πληγῆς, οὐ μὴν ὁλοσχερῶς ἐσφάλμησε. διόπερ ὀρθὸς ἀπέπεσεν ἐπὶ τὴν γῆν ὁ Σκιπίων. Πολύβιος. E E

3572 Ἀπὸ σφείων: ἀφ' ἑαυτῶν. Δ

3573 Ἀποσφήλωσις: ἡ ἀποτυχία. Δ

3574 Ἀποσφύδου καρτερεῖν. Σ

3575 Ἀποσχεδιάζειν: εἰκῇ καὶ παραχρῆμα λέγειν. καὶ Ἀποσχεδιάσας, συντομεύσας, ἢ ψευσάμενος. καὶ Ἀποσχεδιάζουσιν, ἀντὶ τοῦ ἐκ τοῦ παρατυχόντος λέγουσιν. καὶ μέντοι ὠμοτάτην κατὰ Δ+Σ, Σ+E

3567 sch. Ar. Eq. 259 3568 = Ba 134, 11, Phryn. fr. 253 3571 vs. 24 ὁ—στρατοπέδου Polyb. fr. 18 vs. 26 ὁ sq. Polyb. 35, 5, 2 3572 = Ambr. 2416, H, sch. Δ 535 3573 = Ambr. 2546 3574 = Ba 134, 12 3575 ἀποσχεδιάσας, συντομεύσας cf. H, Ambr. 2768; ψευσάμενος = Ba 134, 23, Σ[a] καὶ μέντοι sq. Th. Simoc. 1, 13, 11—12

3567 Z 271; φαίνειν sq. cf. v. φαίνω 3569 ex 3074 3571 Z 272; Polyb. 35, 5 cf. v. ὑπεραλγής 3575 Z 272

5 δὴ AM δέ F om. GIT cf. v. Φαβρίκιος 12 δέ] δέ ὡς F 15 οὖν] A(GITFSM) δέ S, sch. 19 Ἀποσυστῆσαι] Ἀποστῆσαι AS 3569 ex I (post 3567), M 22 τῆς—ἐκτραπείς om. S εὐθείας] ἐλευθερίας F 26 ἐδυσχρήστησε Port. ἐδυσχρήστησε omnes 31 Ἀποσφύδου] Ἀποσφάδου GIT 32 Ἀποσχεδιάζειν om. GIT, non nov. gl. SM 33 ἀποσχεδιάζουσιν] ἀποσχεδιάσασιν GI

τῶν αἰχμαλώτων ἀποσχεδιάζουσι ψῆφον καὶ πάντας ἀνεῖλον ἄρρενάς τε καὶ θηλείας· τοὺς δὲ παῖδας διέσωζον διὰ τὸ ἄωρον τῆς ἡλικίας.

Δ+Σ 3576 Ἀπόσχῃ: αὐθυπότακτον. ἀντὶ τοῦ ἀποσχέσθαι ποιήσεις.

Σ 3577 Ἀποσχῆναι: ἀπενεχθῆναι.

Synt. 3578 Ἀποσχίζω· γενικῇ. καὶ Ἀπόσχω· γενικῇ.

Σ 3579 Ἀποσχοινίσαντες: ἀποστερήσαντες.

Σ 3580 Ἀποταμιεύεται: ἀποκλείει.

Harp. 3581 Ἀπόταξις: τὸ χωρὶς τετάχθαι τοὺς πρότερον ἀλλήλοις συντεταγμένους εἰς τὸ ὑπηρετεῖν τὸν ὡρισμένον φόρον. Ἀντιφῶν ἐν τῷ ὑπὲρ τοῦ Σαμοθρᾳκῶν φόρου.

Synt. 3582 Ἀποτάσσομαι· δοτικῇ.

Σ 3583 Ἀποταυρούμενος: θρασυνόμενος.

Harp. 3584 Ἀπόταφος: ὁ ἀπεστερημένος τῶν προγονικῶν τάφων. οὕτως Δείναρχος.

3585 Ἀποτάτω: πορρωτάτω. διὰ τοῦ ω μεγάλου. καὶ ζήτει εἰς τὸ ω μέγα.

Ar. 3586 Ἀποτεθρίακεν: ἀντὶ τοῦ ἔτιλεν, ψιλὸν εἰργάσατο. κυρίως δὲ ἀπεφύλλισε συκᾶς· θρία γὰρ τὰ φύλλα τῆς συκῆς. Ἀριστοφάνης· τίς τῶν Ὀδομάντων τὸ πέος ἀποτεθρίακεν; Ὀδόμαντες δὲ ἔθνος Θρᾳκικόν. ἐλεαίνοντο δὲ καὶ ἀπετίλλοντο οἱ Θρᾷκες τὰ αἰδοῖα καὶ ἀποκεκυρμένα εἶχον αὐτά. φασὶ δὲ αὐτοὺς Ἰουδαίους εἶναι. καὶ

Σ Ἀποτεθρυωμένοι, ἀπηγριωμένοι. εἴρηται δὲ κατὰ μεταφορὰν τὴν ἀπὸ τῶν τεθρύων, ἅπερ ἐστὶν ἄγρια καὶ ἄγονα φυτά.

3587 Ἀποτέλειοι: οἱ κατὰ πόλεις ἡγεμόνες τῶν Ἰουδαίων.

Synt. 3588 Ἀποτέμνω· αἰτιατικῇ. τὸ ἀποκόπτω.

Σ 3589 Ἀποτεμεῖται: ἀποχωρίσειεν.

Δ 3590 Ἀποτετικέναι: ἀποδοῦναι.

Σ 3591 Ἀποτεύξασθαι: ἀποτυχεῖν.

Σ 3592 Ἀποτείνεται· αἰτιατικῇ. ἐκτείνεται, φιλονεικεῖ.

Σ 3593 Ἀποτειχίζων: ἀποφράσσων. ἀποτειχίσας δὲ τὴν γαστέρα οὐδενὶ τῶν φαρμάκων ἔτι εἰμὶ ἁλώσιμος, οὐδ' ἂν ἄδην ἐμφορῶμαι

3576 — αὐθυπότακτον cf. Ambr. 2857; ἀποσχέσθαι sq. = Ba 134, 25, Σ^a 3577 = Ba 134, 26, Σ^a 3579 = Σ^a, H, Ba 134, 27 3580 = Ba 135, 1, Σ^a, H 3581 Harp., Antiph. fr. 56 3582 = Synt. Laur. 3583 = Ba 135, 3, Σ^a, H 3584 Harp. = An. Ox. 2, 490, 24, Ba 135, 8, Et. M. 131, 44; Dinarch. fr. XVI, 5 3586 — εἶναι Ar. Ach. 158 c. sch. 158 et 156 ἀποτεθρυωμένοι sq. Tim. = Ba 134, 28, sch. Pl. Rep. 495e 3588 αἰτιατικῇ cf. Synt. Gud. 3589 = Ba 135, 6, Σ^a 3590 = Ambr. 2765 3591 = Ba 135, 7, Σ^a, H 3592 αἰτιατικῇ = Synt. Gud. ἐκτείνεται sq. = Ba 135, 4, Σ^a, H 3593 — ἀποφράσσων = Ba 135, 5, Σ^a

3577 Z 272 3579 cf. 3079; Z 272 3581 Z 244 3583 Z 272 3585 cf. 3678 3586 cf. v. Ὀδόμαντες et v. πέος; Z 272; τεθρύων sq. hinc v. τέθρια 3587 Z 237 3589 cf. 3081

A(GITFSM) 2 τε om. SM 7 ἀποκλείει] ἀποκλείστι A 3585 om. GTF post 3582 I 15 Ἀποτάτω A Ἀπωτάτω IM Ἀπωτάτω καί S διά—μέγα om. IS 18 Ὀδομάντων etc.] Ὀδοντομάντων GIT 21 ἀποτεθρυωμένοι AF Tim. ἀποτεθριωμένοι rell. 22 τεθρύων] τεθρίων GIT cf. v. τέθρια ἄγρια καὶ ἄγονα] ἄγονα καὶ ἄκαρπα S 23 Ἰουδαίων] Ἀχαιῶν Hemst. Toup. coll. Polyb. 16, 36, 3 3588 om. GTFS post 3589 I 25 ἀποχωρίσειεν GIT Ba Σ^a ἀποχωρήσειεν rell.

τοῦ φαρμάκου. καὶ Ἀποτειχίσαι, τὸ λαβεῖν τειχίον, καὶ ἀποτειχίσαι καὶ ἀποκλεῖσαι τῆς ἐξόδου. καὶ Ἀποτετειχισμένος, ὁ ἀπειλημμένος, ὁ ἀποκεκλεισμένος τῷ τείχει. οὕτως Ἀντιφῶν καὶ Θουκυδίδης. καὶ Ἀποτείχισις, ἡ τῶν τειχῶν ἀφαίρεσις. Harp. Δ

3594 Ἀπὸ τῆς ἴσης· Θουκυδίδης· οὐδ' αὐτοὶ ἀπὸ τῆς ἴσης κοινὰς E
στρατιὰς ἐποιοῦντο. οἷον ἀπὸ τῆς ἰδίας ἕκαστος οὐσίας τὸ φθάνον. Thuc.

3595 Ἀποτίθημι καὶ Ἀποτίθεμαι· αἰτιατικῇ. Synt.

3596 Ἀποτίμησιν: τέλος, ἢ φόρον. Σ

3597 Ἀποτιμηταὶ καὶ Ἀποτίμημα καὶ Ἀποτιμᾶν καὶ τὰ ἀπ' Harp.
αὐτῶν. οἱ μισθούμενοι τοὺς τῶν ὀρφανῶν οἴκους παρὰ τοῦ ἄρχοντος ἐνέχυρα τῆς μισθώσεως παρείχοντο· ἔδει δὲ τὸν ἄρχοντα πέμπειν τινὰς ἀποτιμησομένους τὰ ἐνέχυρα. καὶ ἐλέγοντο τὰ μὲν ἐνέχυρα ἀποτιμήματα, οἱ δὲ ἀποτιμησάμενοι ἀποτιμηταὶ, τὸ δὲ ἔργον ἀποτιμᾶν. καὶ οἱ προῖκα γυναικὶ γαμουμένῃ δόντες ᾔτουν παρὰ τοῦ ἀνδρὸς ὑπὲρ τῆς προικὸς ἐνέχυρον, οἰκίαν ἢ χωρίον ταύτης ἄξιον. ἐλέγετο δὲ ὁ μὲν δοὺς τὸ ἀποτίμημα ἐνεργητικῶς ἀποτιμᾶν, ὁ δὲ λαβὼν ἀποτιμᾶσθαι. ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων ὀφλημάτων, ὡς καὶ Δημοσθένης ἐν τῷ κατὰ Ὀνήτορος δευτέρῳ.

3598 Ἀπότιμος: οὕτως Σοφοκλῆς ἀπότιμον θεὸν τὸν λοιμόν, τουτ- Soph.
έστι τὸν μὴ μετέχοντα τῆς τιμῆς τῶν θεῶν. θεῶν γάρ ἐστι τὸ εὐεργετεῖν τοὺς ἀνθρώπους· ὁ δὲ φθείρει καὶ ἀπόλλυσιν.

3599 Ἄποτις, ἀπότιδος. Δ

3600 Ἀποτίσεις χοῖρε γίγαρτα: οἷον ὧν κατέφαγες ἀποδώσεις Prov.
πλείονα. ἐπὶ τῶν μείζονα τιμωρίαν ὧν ἥμαρτον διδόντων.

3601 Ἀποτολμᾷ· αἰτιατικῇ. Synt.

3602 Ἀποτομία: τραχύτης, ἐναντίωσις. οἱ δὲ διὰ τὴν ἀποτομίαν Δ
τῆς ἀποκρίσεως οὐ τὸ τυχὸν δέος εἶχον περὶ αὐτούς. καὶ Ἀπό- E
τομον, σκληρόν. Δ

3603 Ἄποτον· ζήτει ἐν τῷ ἄγευστος θοίνης.

3604 Ἀπὸ τουδί: ἀπὸ τοῦ νῦν. Ἀριστοφάνης Νεφέλαις. Ar.

3605 Ἀπὸ τοῦ κρατίστου: μετὰ δυνάμεως. ἅτε πεπειθαρχηκό- E
των Καρχηδονίων ἀπὸ τοῦ κρατίστου πᾶσι τοῖς ἐπιταττομένοις. καὶ E

3593 vs. 1 ἀποτειχίσαι—Θουκυδίδης (1, 64?) Harp. = Ba 135, 23, An. Ox. 2, 490, 26; Antiph. fr. 9 ἀποτείχισις sq. = Ambr. 2557 3594 — ἐποιοῦντο Thuc. 1, 15, 2 οἷον sq. sch. Thuc. 1, 15, 2 3595 ἀποτίθεμαι sq. = Synt. Gud. 3596 = Ba 135, 26, Σ[A] 3597 Harp. = Ba 135, 10; Dem. 31, 3 3598 sch. Soph. OT 215 3599 cf. Ambr. 2563 3600 — πλείονα = Diogen. III 32 3602 οἱ—οὐ Diod. 29, 4 = EL 398, 27—28 ἀπότομον sq. = Ambr. 2642 cf. H v. ἀποτόμως 3604 sch. Ar. Nu. 431 3605 ἅτε—ἐπιταττομένοις Polyb. fr. 118

3596—7 Z 241 3597 cf. 3083 3604 cf. v. Γ 335

1 τό—τειχίον om. S 3 ὁ—τείχει om. S; τειχομαχεῖον δέ mg. add. M 5 Θουκυδίδης om. S 3595 om. GTFS 7 καὶ ἀποτίθεμαι IM, om. A 19 οὕτως] οὕτως φησί GlTM 25 Ἀποτολμᾷ M Ἀποτολμῶ I 3602 om. F 31 πεπειθαρχηκότων] πειθαρχηκότων FM A(GITFSM)

Πολύβιος· καὶ τὸ μὲν παλαιὸν ἀπὸ τοῦ κρατίστου ἐγίνετο παρὰ Ῥωμαίοις ἡ μοναρχία· ἐν δὲ τοῖς καθ' ἡμᾶς πολλαὶ ὁδοὶ εὕρηνται.

Harp. 3606 Ἄπο τοῦ πράγματος: ἀντὶ τοῦ ἄποθεν.

Ar. 3607 Ἀπὸ τοῦ φρονεῖν ἀποσπάσας: τουτέστι τὴν φρόνησιν αὐτῶν ἀφελόμενος.

E 3608 Ἀπὸ τῶν οὐχ ὁμοίων: ἐξ ἀνομοίων. ἀμυνόμενοι ἀπὸ τῶν οὐχ ὁμοίων ὅπλων ὅμως τῇ οἰκείᾳ ἀλκῇ θαρροῦντες.

E 3609 Ἀποτραχηλίζοντες: ἀπάγχοντες. Εὐνάπιος· καὶ οἱ μὲν αὐτοὺς

Ar. διέφθειρον σχοίνοις ἀποτραχηλίζοντες. καὶ αὖθις· οὐ μὴ παύσησθε τῶν ψηφισμάτων, πρὶν ἂν ὑμᾶς τοῦ σκέλους λαβών τις ἐκτραχηλίσῃ.

Σ 3610 Ἀποτραχύνεται: θρασύνεται.

Synt. 3611 Ἀποτρέπω· αἰτιατικῇ.

3612 Ἀποτρέχει τοῦ ἐπιτρέχειν διαφέρει.

Synt. 3613 Ἀποτρίβω· αἰτιατικῇ· καὶ Ἀποτρίβεσθαι· αἰτιατικῇ.

Σ 3614 Ἀπότριψις, μέλλησις, ἀπάγγελσις, ἀγώνισις, προάγγελσις, τέκμαρσις, κάθεξις, πλάνησις, διάφευξις, ἐφόρμησις, ὅπλισις, ξένισις, κούφισις, βλάψις, ἐπαίνεσις, ψόφησις, διάρπασις, γυναίκισις, λάλησις, ὁμοιοκατάληκτα ὀνόματα. καὶ Ἀποτριβόμενος, ἀντὶ τοῦ ἐμ-

E ποδίζων, ἀπείργων. ὁ δὲ Ἀννίβας ἐν κακοῖς ὢν ἔμενε τοὺς πολεμίους ἀποτριβόμενος.

Σ 3615 Ἀποτρόπαιοι: φευκτοὶ, μισεῖσθαι ἄξιοι· ἢ ἀποτρέποντες τὰ

EL κακά. οὕτω γὰρ ἐδόκουν ἀποτρόπαιοί τινες εἶναι καὶ ἀλεξίκακοι.

3616 Ἀποτροπιαζόμενοι: ἀποτρεπόμενοι καὶ ἀποστρεφόμενοι καὶ

Soph. μισοῦντες. εἰώθασι τῶν ἀναιρουμένων εἰς τὰς κεφαλὰς ἀπομάσσειν τὰ ξίφη, ὥσπερ ἀποτροπιαζόμενοι τὸ μύσος τὸ ἐν τῷ φόνῳ. καὶ

Σ Ἀποτροπίασμα, ἐξίλασμα, ἀποτρέπον τὰ μὴ προσήκοντα. ἢ τὸ ἀποτροπῆς ἄξιον, οἷον ἀποτρόπαιον.

3617 Ἀποτρόφους: τοὺς μὴ ὄντας τροφίμους τῆς φιλοσοφίας.

Suid. 3618 Ἀπότρωκτον· ἄλφιτον· τοῦτο δέ φασι τὸ ἀπότρωκτον πρῶτον εὑρεῖν Ἐπίχαρμον.

3605 καί sq. Polyb. fr. 19 3606 Harp. = Ba 135, 27 3607 Ar. Ran. 962 c. sch. 3609 καὶ οἱ—ἀποτραχηλίζοντες Eunap. fr. 95, FHG 4, 54 οὐ sq. Ar. Lys. 704—5 3610 = Ba 135, 28, Σ[a], H 3611 cf. Synt. Gud. 3613 cf. Synt. Gud. 3614 — λάλησις = Ba 135, 30 cf. Lobeck in Phryn. 351 ὁ sq. Polyb. 3, 102, 5 3615 — ἄξιοι = Ba 135, 29, Σ[a], sch. Luc. 3, 11 cf. sch. Pl. Leg. 854 b, H; ἀποτρέποντες τὰ κακά = sch. Pl. Leg. 854 b cf. H, sch. Luc. 87, 14 οὕτω sq. Men. Prot. fr. 20, FHG 4, 227 = EL 193, 7—8 3616 εἰώθασι—φόνῳ sch. Soph. El. 445 ἀποτροπίασμα—τά = Σ[a] cf. H; — ἐξίλασμα = Ba 136, 1; ἢ sq. = Ba 136, 1; ἀποτροπῆς sq. cf. Ambr. 2636

3609 Ar. cf. v. ψηφοφορία 3612 cf. v. ἐπιτρέχειν 1 3614 — κάθεξις Z 245; ἀποτριβόμενος sq. Z 273 3615 Z 238 3616 sch. Soph. cf. v. μαχαλισθῆναι 3617 Z 237 3618 ex 1451

A(G ITFSM) 1 καὶ τὸ μέν] τὸ γάρ S 2 μοναρχία ATS μονομαχία GIFM 5 αὐτῶν] αὐτοῦ GIT 9 σχοίνοις] σχοινίοις pr. 3611—2 ex M 3613 ex I[mg] M 14 αἰτιατικῇ alt. om. I 17 ψόφησις] ψίφησις S; ψήφισις add. TM; περισσόν ss. M 25 τό ἐν] τῷ ἐν AG 3618 om. TF mg. A post 3614 G post 3616 S

3619 Ἀποτρύειν· Σοφοκλῆς· οὐκ ἀποτρύειν ἐλπίδα τὴν ἀγαθὴν χρῆναί σε, ἀνάλγητα γὰρ οὐδ' ὁ πάντα κραίνων βασιλεὺς ἐπέβαλε θνητοῖσι Ζεύς. Soph.

3620 Ἀποτυμπάνισον: ἀνηλεῶς τι φόνευσον. ζήτει ἐν τῷ τυμπανίζεται. Σ

3621 Ἀποτύχω· γενικῇ. καὶ Ἀποτυγχάνω· γενικῇ. Synt.

3622 Ἀπ' οὐατος ἄγγελος ἔλθοι: παρὰ Καλλιμάχῳ. τουτέστι δύσφημος, μὴ ἄξιος τοῦ μὴ ἀκουσθῆναι. Call.

3623 Ἀπουργοὶ γωνίαι: εὐτελεῖς, εἰς ἃς τὰ σαρώματα συνῆγον. Σ

3624 Ἀπουρία: ἡ ἐξ ἀνίσων γάμων σπορά, ἀπὸ δούλης ἢ δούλου γεννωμένη.

3625 Ἀπουρώσαντας· Πολύβιος· τότε μὲν ἐς τὴν Μυνδίαν ἀπουρώσαντας καθορμισθῆναι. μὴ χρωμένους οὐρίῳ πνεύματι. EV

3626 Ἀπουσιάσει· ὁ δὲ εἰς τὴν ἑαυτοῦ θυγατέρα ἀπουσιάσει. τῆς οὐσίας μέρος δώσει.

3627 Ἀποφαντικός: σημαίνει κυρίως τὸν ἐκφαίνοντά τι νόημα, εἴτε διὰ καταφάσεως εἴτε δι' ἀποφάσεως. σημαίνει δὲ ἰδικῶς καὶ τὸν μὴ συγκατατιθέμενον. Σ

3628 Ἀποφαντόν· ἢ καταφαντόν. ζήτει ἐν τῷ ἀξίωμα. Suid.

3629 Ἀπόφασις: Δημοσθένης ἐν τῷ πρὸς Φαίνιππον τὸ ἀποφαίνειν διὰ γραμμάτων κατὰ μέρος ὁπόσην οὐσίαν ἔχει, ὅπερ ἐν ταῖς ἀντιδόσεσι μάλιστα γίνεται. καλεῖται δὲ αὐτὸ καὶ ἀπογραφή. Harp.

3630 Ἀποφάσκει: ἀπαγορεύει ἢ ἀποφαντικῶς λέγει τι. Σ

3631 Ἀποφαίνει: φανεροποιεῖ. Ἀποφένει δὲ διὰ τοῦ ε ψιλοῦ, ἀντὶ τοῦ φονεύει. Σ Δ

3632 Ἀποφέρειν: ἀποδιδόναι. Ἀριστοφάνης· καὶ ταῦτ' ἀποφέρειν πάντα, κοὐκ ἀποστερεῖν. τὰ δεδανεισμένα. Ar.

3633 Ἀποφεύγειν· αἰτιατικῇ. καὶ Ἀποφυγγάνειν· ἐν τῷ κατὰ Ἀριστοκράτους Δημοσθένης. Σ

3634 Ἀπόφημι: ἀποφαίνομαι. καὶ Ἀποφῆναι, ἀποδεῖξαι. Σ

3619 Soph. Trach. 124—8 3620 — φόνευσον = Ba 136, 13, Σ^{a} 3621 ἀποτυγχάνω sq. = Synt. Laur. 3622 Call. fr. 117 K., 301 S. c. sch. 3623 = Ba 131, 15 cf. H 3624 = gl. Rom. Barocc. 50 3625 — καθορμισθῆναι Polyb. 16, 15, 4 = EV 2, 146, 6—7 3626 — ἀπουσιάσει alt. Artem. 1, 78 (p. 75, 22 Herch.) 3627 = Ba 136, 16, Σ^{a} 3629 Harp. = Ba 136, 24; Dem. 42, 1 3630 = Ba 136, 19, Σ^{a} cf. gl. Dionys. PG 4, 24; — ἀπαγορεύει = H 3631 — φανεροποιεῖ = Σ^{a}, H 3632 — ἀποστερεῖν Ar. Eccl. 449 c. sch. 3633 = Ba 136, 22, Bk. 79, 4; Dem. 23, 74 αἰτιατικῇ = Synt. Laur. et Gud. 3634 = Ba 136, 20, 21, Σ^{a}, H; ἀποφαίνομαι cf. sch. H 362

3624 Z 245 3625—6 Z 273 3627 Z 237 3628 ex 2827 3629 Z 245 3634 Z 273

6 Ἀποτύχω A Ἀποτρύχω I γενικῇ alt. A, om. I 8 μή pr. del. Bhd. τοῦ om. S μή alt. om. F 11 γεννωμένη] γενομένη TS 12 Μυνδίαν] λιμὴν ἡμέραν ss. AGIM 16 Ἀποφαντικός AM Ἀποφαντικῶς rell. 3628 om. GTFS mg. AI A(GITFSM)

Δ 3635 Ἀπόφημον: δύσφημον. ἢ γλῶττα ἡ ἀπαίδευτος καὶ ἀμαθὴς
Ε τῇ τε ἄλλῃ καὶ ταύτῃ ἐπίσπαστα παλαμᾶται, καὶ μέντοι καὶ ἐς τὸ ἀπόφημόν τε καὶ βλάσφημον κατολισθάνει.

Σ 3636 Ἀποφθεγγόμενος: μαντευόμενος.

Suid. 3637 Ἀποφθέγματα Χρυσίππου ἀπόρρητα· ζήτει ἐν τῷ Χρύσιππος.

Δ Anth. 3638 Ἀποφθίμενον: ἀποθανόντα. δέξαι μ' ἀποφθίμενον τὸν
x + Soph. κύνα Διογένη. καὶ Ἀποφθίσειεν, ἀνελεῖν, θανατῶσαι. Τεῦκρός φησι πρὸς τὸν νεκρὸν τοῦ Αἴαντος· εἶδες, ὡς χρόνῳ ἔμελλέ σ' Ἕκτωρ καὶ θανὼν ἀποφθίσειν;

Harp. 3639 Ἀποφορᾶν: ἀντὶ τοῦ ἀπενεγκεῖν καὶ διάστημα ποιῆσαι μεταξύ.
Hdt. οὕτως Ἰσαῖος. καὶ Ἀποφορὴ παρὰ Ἡροδότῳ, ἡ τελουμένη παρὰ τῶν δούλων τοῖς δεσπόταις.

Δ 3640 Ἀποφορτίσασθαι: ἀποβαλεῖν φορτίον.

Σ 3641 Ἀποφώλιοι: ξένοι, οἱ φυλὴν μὴ νέμοντες. οὕτως Αἰσχύλος.

Hom. ἢ ἀπαίδευτοι. φωλεοὶ γὰρ τὰ παιδευτήρια, ὥς φασιν οἱ Ἴωνες.

Σ 3642 Ἀποφράδες ἡμέραι: ἐν αἷς τοῖς κατοιχομένοις χοὰς ἐπι-
Ε φέρουσιν. ἢ αἱ πρὸς πράξεις ἀνεπιτήδειοι. Ἀππιανός· μέγα τοῦτο Ῥωμαίοις πάθος ἐγένετο καὶ πλήθους ἕνεκα καὶ ἀξιώματος εὐγενοῦς οἴκου καὶ πανωλεθρίας. καὶ τὴν ἡμέραν ἀποφράδα τίθενται.

Σ ἢ Ἀποφράδες, μιαραὶ ἡμέραι, μάλιστα ἐν αἷς τὰ ἐναγίσματα.

ΣΔ? 3643 Ἀποφοιβάζων: ἀποκαθαίρων. ἢ χρησμῳδῶν, μαντευόμενος.

Synt. 3644 Ἀποφροντίζω· αἰτιατικῇ.

Σ 3645 Ἀποφοιτᾶν: ἀποπηδᾶν, ἀναχωρεῖν.

Σ 3646 Ἀποφυσήσας τὴν σποδὸν τῶν ἐγκρυβομένων ὠπτημένων.
Σφηξὶν Ἀριστοφάνης· κἄπειτ' ἀνελών μ' ἀποφυσήσας εἰς ὀξάλμην ἔμβαλε θερμήν.

Σ 3647 Ἀποχετεύονται: μεταφέρονται.

3635 — δύσφημον cf. Ambr. 2634 ἡ sq. Aelian. fr. 60 3636 = Ba 137, 16, Σ[a] 3638 — ἀποθανόντα = H cf. Ambr. 2657; δέξαι—Διογένη Anth. 7, 67, 3—4 εἶδες sq. Soph. Ai. 1026—7 3639 — Ἰσαῖος (fr. 113) Harp. = Ba 136, 31 ἀποφορή sq. gl. Hdt. 2, 109 3640 l. cf. Ambr. 2828 3641 — Αἰσχύλος (fr. 287) = Ba 137, 10, H v. ἀποφύλιοι ἀπαίδευτοι—παιδευτήρια sch. ϵ 182 = Eust. O. 1529, 52, Et. M. 130, 47 cf. Ap. S. 39, 7, Ba 137, 12; ἀπαίδευτοι cf. H, Ambr. 2406 3642 — ἀνεπιτήδειοι Tim. = sch. Pl. leg. 800 d, Ba 136, 28 cf. Bk. 204, 31, H, Et. M. 131, 13, Ambr. 2553 μέγα—τίθενται App. Ital. fr. 6 ἢ ἀποφράδες sq. = Ba 136, 29 cf. Bk. 204, 31, H 3643 — ἀποκαθαίρων = Ba 137, 5, Σ[a] 3644 = Synt. Gud. 3645 = Ba 137, 6, Σ[a], H 3646 = Ba 137, 1; Ar. Vsp. 330—1 cf. sch. 3647 = Ba 137, 18, Σ[a]

3635 Z 237 3636 Z 273 3638 cf. v. B 114 et v. ὀκριόεις 3641 cf. v. φωλεόν; Z 237 cf. 253 3642 App. cf. v. ἐλεεινός 3645 Z 273 3647 Z 273

A(GITFSM) 3 κατολισθάνει] κατολισθαίνει GT 3637 om. TFS mg. A 5 ζήτει—Χρύσιππος om. GI 7 ἀποφθίσειεν] ἀποφθίσειν T 16 ἡμέραι non ad l. AG 20 ἢ ἀποφράδες om. A (sed ἀποφράδες post vs. 15 Ἴωνες posuit) 26 Σφηξίν Bas. Σφιγξίν omnes, Ba; οὐ post add. S

3648 Ἀποχειροβίων: τῶν ἐκ χειρῶν ζώντων καὶ ταῖς τέχναις προσκαθημένων.

3649 Ἀποχειροτονηθῆναι· γενικῇ. ἀποστραφῆναι, ἀποδοκιμασθῆναι. Ἀριστοφάνης· σπονδῶν φέρουσα τῇ πόλει κίστην πλέαν ἀποχειροτονηθῆναι τρὶς ἐν τῇ ἐκκλησίᾳ. ἐπὶ Κλεωνύμου γὰρ πρεσβευσαμένων Λακεδαιμονίων ἐστασίασαν ἐν τῇ ἐκκλησίᾳ, ἀντειπόντος Κλέωνος. καὶ αὖθις· ὁ δὲ Φιλιππικὸς ἀποχειροτονεῖται παραυτίκα καὶ Κομεντίολον ὁ βασιλεὺς στρατηγὸν ἀνίστησιν. Ar. E

3650 Ἀποχώρησις: ἀντὶ τοῦ ἀποστροφή. Σ

3651 Ἀποχωρίζομαι· γενικῇ. καὶ Ἀποχωρῶ· γενικῇ. Synt.

3652 Ἀποχρᾶν: ἐξαρκεῖν. Ἡρόδοτος. καὶ Ἀποχρῶν, ἐξαρκοῦν. τοῖς τε ἄλλοις ἐπάρας, καὶ ὅτι ἀποχρῶν ἔσται τοῖς ἀμφ' αὐτὸν ὠνεῖσθαι τὰ ἐπιτήδεια τῆς ξυμβαινούσης τιμῆς. καὶ Ἀποχρώσης, ἀρκούσης. ΣΔ E Σ

3653 Ἀπόχρη· δοτικῇ. ἀρκεῖ. Δ

3654 Ἀποχρησάμενος· τῶν βαρβάρων ἐξαίτησιν σπονδῶν ποιησαμένων, ὧν μεταδοὺς, οὐκ ἀποχρησάμενος τοῖς προτερήμασι, μεγίστην παρὰ τοῖς βαρβάροις δικαιοσύνης ἀπέλειπε δόξαν. ἀντὶ τοῦ οὐ κατεπαρθείς. καὶ αὖθις· οἱ δὲ περὶ Πόπλιον ἠπείγοντο σπεύδοντες συνάψαι καὶ συναποχρήσασθαι ταῖς τῶν βαρβάρων ὁρμαῖς. EV E

3655 Ἀποχρώντως: αὐτάρκως. ἱκανῶς. Ἀριστοφάνης Ταγηνισταῖς· ἀλλὰ στεφάνωσαι. καὶ γὰρ ἡλικίαν ἔχεις ἀποχρῶσαν ἤδη. ὁ δὲ ἦν δεινὸς ἀνὴρ καὶ παιδείας ἀποχρώντως ἔχων. Δ Σ

3656 Ἀποψηφίζονται: Δείναρχος ἐν τῷ κατὰ Ἀρχεστράτου ἀντὶ τοῦ καταδικάζουσιν αὐτὸν μὴ εἶναι πολίτην. καὶ τὸ πρᾶγμα δὲ Δημοσθένης ἀποψήφισιν καλεῖ. Harp.

3657 Ἀποψηφίζω· γενικῇ. ἀλλὰ νομίζεις ἡμᾶς ἀποψηφιεῖσθαί σου. Synt.

3658 Ἀποψηφισθέντα· εἴ τις ξένος ἔδοξεν εἶναι καὶ οὐ πολίτης, τοῦτον ἐν ταῖς διαψηφίσεσι τῶν δήμων ἀπεψηφίζοντο οἱ δημόται, καὶ Σ

3649 σπονδῶν—Κλέωνος Ar. Pac. 666—7 c. sch. ὁ sq. Th. Simoc. 3, 5, 16 3650 = Ba 137, 17 3651 ἀποχωρῶ sq. = Synt. Laur. 3652 — Ἡρόδοτος (1, 66, 1?) = Ba 137, 19, sch. Luc. 214, 26 cf. Bk. 81, 31 ἀποχρῶν, ἐξαρκοῦν cf. Ambr. 2610, H v. ἀποχρῶσιν τοῖς—τιμῆς Arr. p. 76 R. ἀποχρώσης sq. = Ba 137, 24, Σ^a, Ambr. 2772 3653 = Bk. 124, 17; δοτικῇ = Synt. Laur. et Gud. ἀρκεῖ = Ambr. 2860, Et. M. 127, 55 cf. Ba 137, 20, Σ^a, H, gl. Dionys. PG 4, 24, Bk 197, 8, sch. Ar. Av. 1603 3654 — δόξαν Io. Antioch. fr. 170, FHG 4, 603 = EV 198, 5—8 cf. Eutrop. 175 οἱ sq. Polyb. fr. 119 3655 — αὐτάρκως = Ambr. 2872, H ἱκανῶς—ἤδη = Ba 137, 21; ἱκανῶς = Σ^a, H, Et. M. 129, 1; Ar. fr. 489 vs. 23 ὁ sq. cf. Agath. praef. 8, 1, Byz. Zt. 23, 14 3656 Harp. = Ba 138, 9; Dinarch. fr. L; Dem. 57, 2 3657 = Bk. 122, 26; Dem. 21, 204 3658 — Ἀντιφῶντα = Ba 138, 1 cf. Bk. 201, 17; Dem. 18, 132

3648 hinc v. χειρόβιος, Z 237 3649 Th. hinc v. Κομεντίολος 3652 Arr. cf. v. ἐπάρας et v. ξυμβαινούσης 3652—8 cf. 3108 3656 Z 273

1 χειρῶν] χειρός S 5 Κλεωνύμου AF (lac.) νύμου S Κλενέμου GIM A(GITFSM) 11 ἀποχρῶν] οὐδετέρως ss. M cf. Ambr. 18 ἀπέλειπε] ἀπέλιπε GITM οὐ κατεπαρθείς FM οὐκ ἐπαρθείς S κατεπαρθείς AGIT 23 ἀποχρώντως] ἀποχρῶντος AF 3657 om. TFS mg. A post 3655 M

ἐλέγετο ἀπεψηφισμένος. εἶτα εἰσήγετο εἰς τὸ δικαστήριον καὶ ἐκρίνετο ξενίας, καὶ εἰ μὲν ἑάλω, ἐπιπράσκετο ὡς ξένος· εἰ δὲ ἐκράτει, ἀνελαμβάνετο εἰς τὴν πολιτείαν. οὕτως Δημοσθένης· τίς γὰρ ὑμῶν οὐκ οἶδεν ἀποψηφισθέντα Ἀντιφῶντα; ζήτει ἐν τῷ διαψήφισις.

Σ 3659 Ἀποψοφιεῖν: τὸ πέρδεσθαι, εὐσχήμως λέγων. εὐσχημονέστερον δὲ διαπνεῖν καὶ ἀποπνεῖν.

Σ 3660 Ἀποψώμενον. καὶ Ἀποψώμεθα, καθαίρομεν τὴν πυγήν.

Ar. Ἀριστοφάνης Πλούτῳ· ἀποψώμεθα δ' οὐ λίθοις ἔτι ἀλλὰ σκορόδοις. τουτέστι τοῖς τῶν σκορόδων φύλλοις.

Σ 3661 Ἀποψύχειν: τὸ ἀποθνήσκειν ἐν πρώτῃ Θουκυδίδης. σημαίνει δὲ καὶ τὸ ξηραίνειν. ὡς τό, ἀποψύχειν ἐν τῷ κλιβάνῳ λίνα τὰ ὑγρανθέντα.

Δ 3662 Ἀπώγωνες: οἱ μὴ ἔχοντες πώγωνα.

ΔΣ 3663 Ἀπῳδὸν μέλος: τὸ μὴ ἀρέσκον. τὸ τῆς ᾠδῆς ἀλλότριον.

Δ καὶ Ἀπῳδός, ὁ κακόηχος, ὁ ἀπὸ τῆς ᾠδῆς.

Σ 3664 Ἄπωθεν: χωρὶς ἢ πόρρωθεν. Ῥουφῖνος δέ οἱ μεταξὺ

EL ἐπανήκων ἐνέτυχε πόλεως Νισίβιδος οὐ μακρὰν ἄπωθεν.

Δ 3665 Ἀπώθησαν: ἐξέβαλον.

Δ 3666 Ἀπώθητον: τὸ ἐξωθούμενον. καὶ Ἀπωθοῦ, περισπωμένως ἀντὶ τοῦ ὤθησον. Ἀπόθου δὲ ἀντὶ τοῦ ἀποβαλοῦ, διὰ τοῦ ο μικροῦ.

Synt. 3667 Ἀπῳκισμαι· γενικῇ.

Prov. 3668 Ἀπώλεσας τὸν οἶνον ἐπιχέας ὕδωρ: ἐπὶ τῶν τὰ καλῶς πρότερον γενόμενα ὕστερον μικροῦ τινος ἕνεκεν κακοῦ ἀνατρεπόντων. ἢ ἐπὶ τῶν ἃ χαρίζονται δολούντων καὶ μὴ ἀκέραια παρεχομένων. αὕτη δὲ ἡ παροιμία γέγονεν ἐκ τοῦ Ἀριστίου Κύκλωπος, ὥς φησι Χαμαιλέων ἐν τῷ περὶ Σατύρων.

E 3669 Ἀπωλεύτων: ἄνευ πώλων. τὰ τέκνα αὐτῶν ἀθροίσαντες εἴς τινα ἄλω καὶ ἱππαγέλην ἐπελάσαντες ἀπωλεύτων, μάλα ἀνοίκτως ἁλοῶντες διέφθειραν.

Δ 3670 Ἀπώλεια: ἡ διαφθορά.

3659 = Ba 137, 28, Phryn. fr. 254 3660 Ἀποψώμενον = Ba 137, 30, Σ^{a} ἀποψώμεθα sq. Ar. Pl. 817—8 c. sch. 3661 — Θουκυδίδης (1, 134, 3) = Ba 138, 13 cf. Bk. 210, 17 3662 cf. Ambr. 2441 3663 — ἀρέσκον = Ambr. 2864 cf. 2611 τὸ τῆς—ἀλλότριον = Ba 139, 19, Σ^{a} ἀπῳδός sq. = Ambr. 2437 cf. 2611 3664 cf. ad 3313 3665 = Ambr. 2667 3666 ἀπωθοῦ sq. cf. Ambr. 2668—9 3667 = Synt. Laur. 3668 cf. Diogen. II 32, Philol. Suppl. 6, 260, n. 215; Aristiae fr. 4 (p. 727 N.) 3669 τά sq. Aelian. fr. 135 3670 = Ambr. 2581

3659 hinc 3482 et v. διαπνεῖν; Z 273 3660 Ar. cf. 3110 et v. σκορόδοις 3661 Z 273 3662 cf. 3270, partim hinc 3664 cf. 3313 3666 cf. 3322 3668 hinc 3907 3669 Z 237

A(GITFSM) 5 Ἀποψοφιεῖν] Ἀποψηφιεῖν FSM Ἀποψοφεῖν 3482 εὐσχήμως] εὐσχημόνως M Zon. λέγων] λέγεται Borries 10 σημαίνει—11 ὑγρανθέντα om. FS 15 et 16 ἄπωθεν FGIT (Ba), ἄποθεν ASM (Σ^{a}) 16 Νισίβηδος A Νισίαιδος M ad 3666 ἀπωθοῦ ὤθησεν· ἀπόθου δὲ ἀποβαλοῦ mg. add. A 22 γενόμενα] γενόμεθα A 23 χαρίζονται] χωρίζονται M δολούντων] δηλούντων IF δουλούντων M

3671 Ἀπωλλύμην: παρατατικός. ἀπωλωλέκει. Δ
3672 Ἀπώμοτον: ἀπηγορευμένον, φευκτόν· καὶ ἀποίητον. τί δ' Σ
ἔστ' Ἀθηναίοισι πρᾶγμα ἀπώμοτον; Εὔπολις ἐν ταῖς Πόλεσι. καὶ
Ἀπώμοτον, ἀπὸ ὠμότητος μὴ γίνεσθαι, καὶ ἐξόμνυσθαι.
3673 Ἀπ' ὤμοιϊν: ἀπὸ τῶν ὤμων. Δ
3674 Ἀπώνατο: εὐεργετεῖτο, ὠφελεῖτο. Ἀγαθίας· ἀπώνατο οὖν Σ + E
τῆς προπετείας οὐκ ἐν καλῷ. περὶ Θευδέρτου λέγων τοῦ Φράγγων
βασιλέως. καὶ Ἀπώνητο, ὠφελείας ἔτυχεν, ἀπήλαυσεν, ὠφελήθη. Hom. + Δ
Αἰλιανός· οὐ μὴν ἀπώνητο οὐδέν, ἀλλὰ ἐξέζεσε ζῶν κακοῖς θηρίοις, E
οἱ μὲν εὐλαῖς, οἱ δὲ ὅτι οὐ ταύταις, φθειρσί γε μήν.
3675 Ἀπωξύνθαι. Δ
3676 Ἄπωσον: τὸ δίωξόν, ὤθησον. καὶ Ἀπῶσμαι. κἀγὼ εἶπον Δ
ἀπῶσμαι.
3677 Ἀπωστός: ἐκδεδιωγμένος. καὶ Ἀπωστόν, τὸ ἀπωθητόν. Δ
3678 Ἀπωτέρω: πόρρω. μακράν. ὑπὲρ γὰρ οὐχὶ τῶν ἀπω- ΣΔ
τέρω φίλων, ἀλλ' αὐτὸς αὑτοῦ τοῦτ' ἀποσκεδῶ μύσος. ὅστις γὰρ ἦν Soph.
ἐκεῖνος ὁ κτανών, τάχ' ἂν κἄμ' ἂν τοιαύτῃ χειρὶ τιμωρεῖν θέλοι.
τουτέστιν οὐ μόνον ὑπὲρ τοῦ ἀνῃρημένου βασιλέως ἄξιον ποιήσασθαι
τὴν ἀναζήτησιν, ἀλλὰ καὶ αὐτοῦ ἐμοῦ. ὁ γὰρ ἐκείνῳ ἐπιχειρήσας ἴσως
κἀμοὶ ἐπιβουλεύσει. καὶ Ἀπώτερος, ὁ μακρότερος. Ἀπω- Δ
τάτω, πόρρω, μάκραν, διὰ τοῦ ω μεγάλου.
3679 Ἀπωστός: ἐκδεδιωγμένος. Σοφοκλῆς· τέλος δ' ἀπωστὸς Soph.
γῆς ἀπορριφθήσομαι· Τεῦκρός φησιν Αἴαντος ἀναιρεθέντος. δοῦλος
λόγοισιν ἀντ' ἐλευθέρου φανείς. καὶ αὖθις· ἀπωστὸς πρότερον ὑπὸ
Θησέως ἐξ Ἀθηνῶν γενόμενος. καὶ Ἀπωστόν, τὸ ἀπωθητόν. Δ
3680 Ἀπραγμάτευτον: ἀνεπινόητον. δείσαντες οὖν τὸ ἀπραγμά- E
τευτον, λυπρᾶς οὔσης αὐτῶν τῆς γῆς, καὶ πάσης ἀθρόον ἀγορᾶς δια-
κλεισθέντες, ἐν ἀκαρεῖ χρόνῳ ἐκινδύνευον διαφθαρῆναι.

3671 — παρατατικός = Ambr. 2665 3672 — Πόλεσι = Ba 139, 21; — φευκτόν = Σ^{a}, sch. Pl. Leg. 814 a cf. H; Eupol. fr. 217; l. = Ambr. 2648; vs. 4 ἀπώμοτον sq. cf. Phryn. 34, 7, Et. M. 133, 57 e Diogeniano 3673 = Ambr. 2420, 2665 3674 — ὠφελεῖτο cf. Ba 139, 24, Σ^{a} Ἀγαθίας—καλῷ Agath. 1, 4, p. 21 ὠφελείας cf. sch. π 120; ἀπήλαυσεν cf. sch. P 25; ὠφελήθη = Ambr. 2744 οὐ μὴν sq. Aelian. fr. 53 3676 — δίωξον cf. Ambr. 2670; ἀπῶσμαι cf. Ambr. 2752; κἀγώ sq. cf. Ierem. Thr. 3, 53 3677 ἀπωστόν sq. = Ambr. 2632 3678 — πόρρω = Ba 139, 26, Σ^{a} cf. Ambr. 2433 vs. 15 μακράν cf. Ambr. 2861—2, H v. ἀπωτάτω (cf. Wentzel GGA 1893, 45) ὑπέρ—ἐπιβουλεύσει Soph. OT 137—141 c. sch. ἀπώτερος, ὁ μακρότερος cf. Ambr. 2433 ἀπωτάτω sq. cf. H 3679 τέλος—φανείς Soph. Ai. 1019—20 3680 δείσαντες sq. [Polyb. fr. 120] fort. Aelian.

3671 Z 273 3673 Z 237 3674 Aelian. cf. v. εὐλαί 3675 Z 273
3677 cf. 3679 3678 cf. 3585 3680 cf. v. διακλεισθέντες et v. ἐδωδίμων

1 παρατατικός om. G ss. I ἀπωλωλέκει iterum mg. A, om. FS Zon., ἀπωλωλύκειν M 4 γίνεσθαι] γίγνεσθαι AFM 7 Θευδέρτου] Θευδιβέρτου ex Agath. Kust. cf. v. τολμητίας Φράγγων mg. AM Φράγκων S Φρατίων AM (textu), GTF 15 Ἀπωτέρω] Ἀποτέρω S 17 τιμωρεῖν inc. rursus V 20 ἀπωτάτω—21 μεγάλου ex A mg. ἀπωτάτω] ἀποτάτω A 27 πάσης] πᾶσαν V A(GITFSM)

3681 Ἀπραγμόνως: ἐλευθέρως, ἄνευ τινὸς ἐξετάσεως. Ἰάμβλιχος· εἶτα ἐάσατε οὕτως ἀπραγμόνως ἀποθανεῖν.

Δ 3682 Ἀπραγμοσύνη: ἡ καταφρόνησις, ἡ ἀμέλεια. ὁ δὲ Ἰου-
EL στινιανὸς ἄδικον αὐτῶν ἀπεκάλει τὴν ἐς Κουτριγούρους ἀπραγμοσύνην.

Ar. καὶ Ἀπραγμοσύνη, εἶδος ἄνθους. Ἀριστοφάνης Νεφέλαις· μίλακος ὄζων καὶ ἀπραγμοσύνης. ἀντὶ τοῦ πάσης εὐωδίας ὄζων καὶ ἀσφαλείας. ἢ οὐ πολυπραγμονῶν. οἱ δὲ ὅτι ἀπραγμοσύνη φυτὸν ἐν Ἀκαδημίᾳ φυόμενον.

Σ 3683 Ἀπράγμων: ἄπονος. ἀπράγμονας δεῖ εἶναι τοὺς σπουδαίους,
Phil. ἐκκλίνειν τε τὸ πράττειν τι παρὰ τὸ καθῆκον. καὶ οἰνωθήσεσθαι μὲν, οὐ μεθυσθήσεσθαι δέ. ἔτι δὲ οὐδὲ μανήσεσθαι· προσπεσεῖσθαι μέντοι αὐτῷ φαντασίας ἀλλοκότους διὰ μελαγχολίαν ἢ λήρησιν, οὐ κατὰ τὸν
Ar. τῶν αἱρετῶν λόγον, ἀλλὰ παρὰ φύσιν. Ἀπράγμων οὖν ἐπιεικὴς, μέτριος τοὺς τρόπους, οἷον οὐ φιλόνεικος, ἢ φιλοπράγμων. ἢ ἀνειμένος ἢ μωρός.

x + E 3684 Ἀπραγούντων: μηδὲν ἐνεργούντων. καὶ τὴν ἡσυχίαν ἀναγκαζομένων ἄγειν, ἀλλὰ καινοτομήσειν τι πάλιν κατ' ἐκείνων.

3685 Ἄπρακτα: ἀνεκδίκητα, ἀτιμώρητα. ἀλλὰ ταῦτα μὲν οὐχ οἷά
E τε εἶναι ἄπρακτα γενέσθαι, ἐπείπερ οἱ θεοὶ ἀτιμώρητα αὐτὰ περιεῖδον ἐκ σφῶν γενόμενα.

3686 Ἀπραίδευτοι: τουτέστιν ἀζήμιοι.

Σ 3687 Ἀπριάτην: ἄνευ πράσεως.

Σ 3688 Ἀπρίξ: ὅλῃ δυνάμει, ἰσχυρῶς, ἀσφαλῶς. Ἀπρίξ, προσπεφυκότως, ὃ οὐχ οἷόν τε πρίσαι διὰ τὴν σύμφυσιν.

Harp. 3689 Ἀπροβούλευτον: τὸ μὴ πρότερον εἰς τὴν βουλὴν, ἀλλ' εὐθὺς εἰς τὸν δῆμον εἰσαχθὲν ψήφισμα. οὕτως Δημοσθένης.

3690 Ἀπροθέτως: ἄνευ προθέσεως. Πολύβιός· τὰ μὲν οὖν ἀπρο-
E θέτως ἐν τοῖς πολεμικοῖς συμβαίνοντα πράξεις μὲν οὐδαμῶς ἁρμόζει λέγειν, περιπετείας δὲ συγκυρήσεις μᾶλλον.

Anth. 3691 Ἀπροϊδής: ἀπροόρατος. Ἄϊδος ἀπροϊδὴς ἀμφεκάλυψε μυχός. λέγεται καὶ Ἀπροϊδής, ὁ ἀπρόοπτος. ἐν Ἐπιγράμμασι· ἀγρονόμῳ

3681 εἶτα sq. Iambl. fr. 23 3682 ὁ—ἀπραγμοσύνην Proc. bell. 8, 18, 18 = EL 117, 19—20 vs. 5 ἀπραγμοσύνη sq. Ar. Nu. 1007 c. sch. cf. H 3683 — ἄπονος = Ba 139, 7 ἀπράγμονας — φύσιν Laert. 7, 118 vs. 13 ἀπράγμων—φιλοπράγμων sch. Ar. Eq. 261 3684 l. + καί sq. Polyb. 3, 70, 4 3685 ἀλλά sq. Aelian. fr. 220 3687 = Ba 138, 15, Σ^{a}, H, Et. M. 132, 46, sch. A 99 3688 — ἀσφαλῶς = Ba 138, 16, Σ^{a}, Et. M. 132, 52; ἰσχυρῶς = H, Ambr. 2870; ἄπριξ alt. sq. = sch. Pl. Theaet. 155e, H cf. Et M. 132, 52 3689 Harp. = An. Ox. 2, 490, 28, Ba 138, 25; Dem. 22, 5 3690 Πολύβιος sq. 9, 12, 6 3691 Ἄϊδος —μυχός Anth. 7, 213, 6; ἀγρονόμῳ sq. Anth. 6, 72, 3—4

3681 Z 285 3682 Z 245; Proc. hinc v. Κουτριγούρους; Ar. cf. 774 et v. μίλαξ 3683 hinc v. οἰνωθήσεσθαι, Z 238 3684 Z 273 3685 Z 250; Aelian. cf. v. οὐχ οἷα 3686 Z 238 3688 hinc v. προσπεφυκότως 3689 Z 251

A(GITFVM) 4 αὐτῶν AV αὐτόν rell. cf. Proc., Exc. 11 οὐ] ὡς V ἔτι δέ A Laert. ἔτι rell. 13 λόγον] λόγων AI 21 ἀζήμιοι] ἀζημίᾳ A

δ' ἀγόρευσα, καὶ ἔδρακεν· ἀπροϊδὴς δὲ ἐγκέφαλον πλήξας ἐξεκύλισε λίθῳ.

3692 Ἀπρόϊτος: ὁ τῆς οἰκίας μὴ ἐξερχόμενος. Δ

3693 Ἀπροόπτως: ἀπροοράτως, ἀπροσδοκήτως. οἱ δὲ κατάσκοποι ὑπὸ τοῦ ἀπροόπτου ἁλίσκονται. Σ Ε

3694 Ἀπρόσβλητον: γενναῖον, ᾧ οὐδεὶς δύναται προσβαλεῖν. οὐκ ἔχοντα λόγον μεθοδικόν. Σ

3695 Ἀπροσδεής: ὁ μηδενὸς ἐνδεής. Δ

3696 Ἀπροσέλευστος: ἀπροσπέλαστος, ἀδιεξίτητος. τὸ γὰρ ἐξόπισθεν καὶ ἀπροσέλευστον ἦν διὰ τὸν παραρρέοντα ποταμόν. Δ Ε

3697 Ἀπροσήγορος ἄνθρωπος: ὃν οὐχ οἷόν τε προσαγορεῦσαι διὰ τρόπου τραχύτητα. Σ

3698 Ἀπρόσιτος: ἀπροσπέλαστος. ἀπρόσιτον ἀκαταλήπτου διαφέρει. ἀκατάληπτον γάρ ἐστιν, ὅταν ἐρευνηθὲν καὶ ζητηθὲν μὴ καταληφθῇ παρὰ τῶν ζητούντων αὐτό· ἀπρόσιτον δέ ἐστιν, ὃ μηδὲ ἐρεύνης ἀνέχεται τὴν ἀρχήν. ἀκατάληπτον γὰρ πέλαγος καὶ τὸ βάθος, ἀπρόσιτον δὲ ὃ μηδὲ τὴν ἀρχὴν δυνατὸν ἐρευνηθῆναι, οἷον περὶ θεοῦ οὐσίας. Σ

3699 Ἀπρόσκλητον: τὴν οὐ προσκεκλημένην. Ἀπρόσκλιτον δὲ τὸ ἀπροσπαθές. Harp.

3700 Ἀπρόσκοπος. Δ

3701 Ἀπρόσμαχοι: ἀκαταγώνιστοι. καὶ Ῥωμαίους ἐν πεδίοις ἀναπεπταμένοις καὶ ἐν τῇ ἐκείνων οἰκείᾳ γῇ αἰσθέσθαι, ὅτι οὐκ ἀπρόσμαχοι εἶεν Πάρθοι. Ε

3702 Ἀπρόσωπον: δυσειδὲς, κακόμορφον. ὁ δὲ πρὸς τὸ κέρδος ἀπιδὼν καὶ τυφλώττων πρὸς τὸ εὐσεβὲς, ἀπρόσωπον μὲν ὅσα ἰδεῖν, μικρὸν δὲ τὸ μέγεθος, λίθου δὲ μὴ κεκριμένης τὸ ἄγαλμα ποιεῖ. Ε
ἀντὶ τοῦ ἐκλελεγμένης.

3703 Ἀπροστασίου: εἶδός ἐστι δίκης κατὰ τῶν μὴ νεμόντων προστατεῖν ἔνοικον. καὶ γὰρ ἕκαστος αὐτῶν ἠρνεῖτό τινα τῶν πολιτῶν τὸν προστησόμενον αὐτῷ περὶ πάντων τῶν ἰδίων καὶ τῶν κοινῶν. Harp.
ζήτει ἐν τῷ ἀποστασίου.

3692 cf. Ambr. 2451 3693 — ἀπροσδοκήτως = Ba 138, 17, Σ^a, Bk. 214, 29 cf. H 3694 — προσβαλεῖν = Ba 138, 18, Σ^a; — γενναῖον = H 3695 cf. H, Ba 138, 20, Σ^a 3697 = Ba 138, 21, Phryn. fr. 255 3698 — ἀπροσπέλαστος = Ba 138, 23, Σ^a, H ἀπρόσιτον sq. Io. Chrys. hom. 3 de incompr. PG 48, 721 b 3699 — προσκεκλημένην Harp. = Ba 138, 24 3700 = Ambr. 2435 3701 καί sq. App. attrib. Tittm. 3702 ὁ—ποιεῖ Aelian. fr. 62 3703 — κοινῶν Harp. = Ba 138, 28

3692 Z 238 3697 Z 238 3700 cf. 3706 3701 Z 238 3702 Z 251 3703 cf. v. νέμειν προστάτην

1 ἐξεκύλισε AIF ἐξεκύλιcce rell. cf. Anth. 13 ἀπρόσιτον nov. gl. GIT A(GITFVM) 14 γάρ om. V ὅταν] καὶ ὅταν A 19 ἀπρόσκλιτον—20 ἀπροσπαθές om. TFV 3700 om. FV 28 ἀντὶ τοῦ ἐκλελεγμένης om. TF mg. VM ss. GI 29. 30 προστατεῖν AGITVM, Ba Harp. mss. ET, προστάτην F, Harp. mss. rell. 30 ἠρνεῖτο omnes, Ba, ἠρεῖτο Harp.

Harp. 3704 Ἀπρότων· Δείναρχος ἐν τῷ κατὰ Πυθέου· ἐμπεπηδηκότων τῶν ῥητόρων ὥσπερ ἀπρότων εἰς τὸ ἐμπόριον. ἔν τισι δὲ ὥσπερ παρνόπων γέγραπται. οἱ δὲ πάρνοπες εἶδος ἀκρίδος.

Σ 3705 Ἄπροικον: τῇ προσῳδίᾳ ὡς ἄνθρωπον οἱ Ἀττικοί.

Δ 3706 Ἄπταιστος: ἀπρόσκοπος.

Δ+E 3707 Ἀπτέα: ἀντὶ τοῦ ἐπιχειρητέον. τούτῳ δὲ ἐδόκει ἀπτέα τοῦ ἔργου, πρὶν καὶ τῶν λοιπῶν ἐπαρθῆναι εἰς τὸ νεωτερίζειν τὰς γνώμας.

Σ 3708 Ἅπτεσθαι· γενικῇ. λαμβάνεσθαι. Ἅπτει καὶ τὰ ἄλλα τὰ ἐπὶ τοῦ ἐνεστῶτος χρόνου διὰ τοῦ ει λεγόμενα τῶν νεωτέρων μᾶλλον Ἀττικῶν ἐστιν.

Δ 3709 Ἀπτῆσι: τοῖς μὴ πετομένοις.

Δ 3710 Ἀπτοεπής: ἀπτόητος ἐν τῷ λέγειν.

ΣΔ 3711 Ἁπτόν: ψηλαφητόν. Ἅπτων δὲ δεσμεύων. ἢ κρατῶν. ζήτει ἐν τῷ ἀντιτυπῆσαι.

Δ 3712 Ἄπτωτος: ὁ ἄφοβος.

Δ 3713 Ἀποίκησις: ἡ μετοίκησις. Ἀποικίζω δὲ τὸ ῥῆμα. καὶ Thuc. Ἀποικίσαι, κτίσαι πόλιν ἐν ἐρήμῳ. καὶ Ἄποικοι, οἱ ἐν ἐρήμῳ τόπῳ πεμπόμενοι οἰκῆσαι. ἔποικοι δὲ ἐν πόλει παρὰ Θουκυδίδῃ.

Harp. 3714 Ἀποικοδομεῖς: ἀντὶ τοῦ ἀποφράττεις. οὕτως Δημοσθένης ἐν τῷ πρὸς Καλλικλέα.

Ar. 3715 Ἀποίμωξόν με τοῦ τριωβόλου τὸν ζῶντα μᾶλλον. τἀμὰ γὰρ διοίχεται: ἀντὶ τοῦ ἀπόλωλα. καὶ Αἰσχύλος ἐν Μυρμιδόσιν· Ἀντίλοχον ἀποίμωξόν με τοῦ τεθνηκότος τὸν ζῶντα μᾶλλον.

Σ 3716 Ἄποινα: λύτρα, ἃ δίδωσί τις ὑπὲρ φόνου ἢ σώματος. οὕτως Σόλων ἐν νόμοις.

Δ 3717 Ἄποιος: ὁ δίχα ποιοῦ. Ἄπυος δὲ διὰ τοῦ υ ψιλοῦ, ὁ δίχα ἕλκους.

Σ 3718 Ἀποίσετε: ἀπενέγκατε.

3704 Harp. = Ba 139, 1; Dinarch. fr. VI 1 3706 cf. Ambr. 2435 3707 τούτῳ sq. Arr. Parth. p. 57 R. 3708 γενικῇ = Synt. Laur. λαμβάνεσθαι = Ba 139, 13, Σ^{a}, sch. B 152 3709 cf. H, Ambr. 2549, 2458 3710 = Ambr. 2427 cf. sch. Θ 209, Et. M. 133, 47, Ap. S. 40, 16, H 3711 — δεσμεύων = Ba 139, 14. 15, Σ^{a}; — ψηλαφητόν = H κρατῶν aliter Ambr. 2428 3712 cf. Ambr. 2622, 2428 3713 — μετοίκησις = Ambr. 2547; ἀποικίζω—ῥῆμα cf. Ambr. 2817, 2836 ἀποικίσαι—ἐρήμῳ sch. Thuc. 1, 12, 4; ἄποικοι sq. sch. Thuc. 2, 27, 1 3714 Harp. = Ba 124, 30, An. Ox. 2, 490, 17; Dem. 55, 5 3715 Ar. Eccl. 392—3 c. sch.; Aeschyl. fr. 138 3716 = Ba 125, 1 cf. Et. M. 132, 29; — λύτρα = Σ^{a}, H 3717 cf. Ambr. 2402—3, 2620—1 3718 = Ba 125, 3, Σ^{a} cf. H

3704 cf. v. πάρνοπες 3710 Z 236 3713 cf. v. ἔποικος; Z 246, 273, 238 3714 Z 273 3717 hinc 3721 3718 Z 273

A(GITFVM) 2 ὥσπερ pr.] ὡς A ἐμπόριον] ἐμπορίων A 3 παρνόπων] παρρόνπων A παρόντων FV 5 ἀπρόσκοπος FV, om. rell. cf. Ambr. 6 ἐπιχειρητέον] ἐπιχειρητέα GIT 7 τῶν λοιπῶν] τὸ λοιπόν M 9 ἅπτει nov. gl. TFS 11 Ἀττικῶν GIT Ἀττικόν rell. ἢ Ἀττικῶν Dr. 15 ἀντιτυπῆσαι M ἀντιτυπῆναι AGI

3719 Ἀποιχόμενα: παρερχόμενα. Ἀριστοφάνης· παῦε, παῦε. Σ
νεκρὸν γὰρ ὄντα ἐλοιδόρει. ἔθος δὲ ἦν τοῖς ἀρχαίοις τοὺς ἀποιχο- Ar.
μένους μὴ λοιδορεῖν.

3720 Ἀπύλωτον στόμα: ἀθύρωτον ἀλλ' οὐκ ἀπύλωτον Ἀριστοφάνης ἐν Suid.
Βατράχοις. καὶ Φρύνιχος. οἱ δὲ γράφοντες ἀπύλωτον ἀντὶ τοῦ ἠνεῳγμένον καὶ
πύλην μὴ ἔχον, τουτέστι μὴ χαλιναγωγούμενον μηδὲ κρατούμενον.

3721 Ἄπυος: ὁ δίχα ἕλκους. Suid.

3722 Ἄπυρα εἶτα· ὁ δὲ παρήγγελε τοῖς Μακεδόσι τριῶν ἡμερῶν E
εἶτα παρασκευάζειν ἄπυρα. καὶ Ἄπυρος τροφή, ἡ δι' ὀπώρας
καὶ λαχάνων. ὁ δὲ Ζήνων ἀπύρῳ τροφῇ ἐκέχρητο καὶ τρίβωνι
λεπτῷ. καὶ Ἄπυρος οἶνος, ὁ μὴ ἐφθός. καὶ ὁ ἀναδενδρίτης.

3723 Ἄπυστα: ἀνήκουστα. καὶ ἄπυστοι οἱ Ἀθηναῖοι ἀπὸ Θηςέως. Σ|

3724 Ἀπφά: ἀδελφῆς καὶ ἀδελφοῦ ὑποκόρισμα. καὶ Ἀπφὺς Σ
ὑποκοριστικῶς, ὁ πατήρ, παπύς τις ὢν καὶ ἀπφύς. Ecl.?

3725 Ἀπφώ: ἀντὶ τοῦ καὶ νῦν.

3726 Ἀπφώ: δ σημαίνει τοῦ ἀποκρύφου ἢ τοῦ ἀποκρυβέντος. Ἑλικαῖος ὁ
Προφήτης φησί· ποῦ ἐστιν ὁ θεὸς Ἡλιοῦ Ἀπφώ. ἐπάταξε γὰρ τὰ ὕδατα τῇ τοῦ
Ἡλιοῦ μηλωτῇ καὶ οὐ διηρέθη.

3727 Ἄρα: συλλογιστικὸς σύνδεσμος. καὶ ἀντὶ τοῦ δή, καὶ ὡς ἔοικεν, Σ
καὶ ὡς φαίνεται. οὕτως Πλάτων.

3728 Ἄραβες: ὄνομα ἔθνους. καὶ Ἀραβίζω, τὰ τῶν Ἀράβων Δ
φρονῶ. Ἀράβησε δὲ ἀντὶ τοῦ ἤχησεν.

3729 Ἀράβιος ἄγγελος· Μένανδρος ἐν Ἀνατιθεμένῃ ἢ Μεσσηνίᾳ. Σ
παρὰ τὴν παροιμίαν, Ἀράβιος αὐλητής. Ἀράβιον ἄρ' ἐγὼ κεκί-
νηκα αὐλόν· τίθεται δὲ ἐπὶ τῶν ἀπαυστὶ διαλεγομένων. τὸ παλαιὸν
δέ φασι τοὺς ἐλευθέρους μὴ μανθάνειν αὐλεῖν διὰ τὸ βάναυσον. τῶν
δὲ ἀνδραπόδων τὰ πολλὰ εἶναι βάρβαρα καὶ Ἀράβια, ἐφ' ὧν ἐλέχθη
παροιμία· δραχμῆς μὲν αὐλεῖ, τεττάρων δὲ παύεται. καὶ Ἀράβιος

3719 — παρερχόμενα = Σ^{A} cf. Ba 125, 4 παῦε sq. Ar. Pac. 326 c. sch. 3722 — ἄπυρα alt. Diodor. 19, 96, 4 ὁ—λεπτῷ Laert. 7, 26 ἄπυρος οἶνος sq. Ath. 1, 31d 3723 — ἀνήκουστα = Ba 139, 16, Σ^{A}, sch. Soph. OC 489 cf. H, Et. M. 133, 48, sch. δ 675 3724 — ὑποκόρισμα = Ba 139, 18 cf. H, Σ^{A}, Eust. I. 565, 22; 971, 33 (cf. Cohn, N. Jb. Suppl. 12, 316); ἀπφύς pr. sq. = Et. M. 133, 53 cf. sch. Theocr. 15, 13c = Eust. I. 565, 21, 971, 32, 886, 36; H 3725 gl. 4 Basil. (in mss. Cyr.), Lagarde 185, 93 3727 = Ba 139, 28, Phot. Amphil. (Hermes 26, 257) 3728 ἀραβίζω—φρονῶ = Ambr. 3361; ἀράβησε sq. = Ambr. 3345, sch. Δ 504 cf. H, Et. M. 134, 30 3729 —p. 336, 2 τοῦτον Atticistis iure attr. Wentzel, verisim. Paus. cf. H, Bk. 214, 30, Steph. Byz. v. Ἀραβία, Eust. in Dion. 939, Zen. II 58; Men. com. fr. 32

3719 Ar. cf. v. παῦε 3720 ex 772 3721 ex 3717 3724 Z 246
3727 Z 310 3728 — ἔθνους cf. Z 286 3729 hinc v. δραχμῆς et v. τεττάρων

3720 om. FV post 3721 A post 3722 GIT 3721 ex A (post 3719), M A(GITFVM)
7 Ἄπυος M Ἄποιος A 8 παρήγγελε] παρήγγειλε TF Diodor. 11 ὁ alt. om. FV 12 ἀπό] διά F, πρό Kust. 3725 om. FV post 3722 A post 3720 GIT 15 Ἀπφώ] Ἀμπφώ GIT 3726 om. TF post 3723 GI post vs. 19 καί pr. A 16 Ἀπφώ—Ἑλικαῖος om. A 21 Ἄραβες etc.] Ἀρραβες GIT 23 Ἀράβιος—24 παροιμίαν om. F 24 Ἀράβιον nov. gl. VM, sed cf. v. δραχμῆς et v. τεττάρων 28 τεττάρων] τεττάρων Hes. Steph. Paroem. cf. v. δραχμῆς

αὐλητής, ἐπὶ τῶν ἀκαταπαύστων. Κάνθαρος Μηδείᾳ· κιθαρῳδὸν
Suid. ἐξηγείρατε Ἀράβιον τὸν χορὸν τοῦτον. οἱ δὲ Ἀράβιοι ἀρετῇ πολὺ τῶν ἄλλων διαφέρουσιν· οἳ βέλεσιν ἀνδρομήκεσιν χρώμενοι, ἀντὶ τῶν χειρῶν τῷ ποδὶ ἐμβαίνοντες ἐς τὴν νεῦραν, κυκλοῦσι τὸ τόξον.

Ar. 3730 Ἆρά γε τοῦτ' ἄρ' ἐγώ ποτ' ἐπόψομαι; ἀντὶ τοῦ εὐδαιμονήσω.

Ar. 3731 Ἄρα γρυκτόν ἐστιν ὑμῖν; τουτέστιν ἆρα γρύξαι ὀφείλετε, ἢ παρρησίαν ἄγειν.

Σ 3732 Ἀράμενοι: ἐπάραντες. καὶ Ἀραμένη, ἀντὶ τοῦ ἐπάραςα
Ar. τὴν ὑδρίαν.

Thuc. 3733 Ἄραντες· παρὰ Θουκυδίδῃ ἐπὶ θαλάσσης εἴρηται. ἔστι δὲ ὅτε καὶ ἐπὶ γῆς.

ΔΣ 3734 Ἀράξης, Ἀράξου. ὄνομα ποταμοῦ. καὶ Ἀράξαι, συντρῖψαι.

Soph. 3735 Ἄραρέ με: ἤρεσέ μου ταῖς φρεσίν. ἀντὶ τοὺ σύμφωνα πράσσομεν ἐγώ τε καὶ ἡ αἰδὼν ἕνεκα τοῦ θρηνεῖν. οἷον ἥρμοσταί μου ταῖς φρεσίν.

Σ 3736 Ἄραρε: κέκριται. οἷον βεβαίως οὕτως ἔχει καὶ ἀμετακινήτως.

Δ καὶ Ἄραρον, ἥρμοσαν. καὶ Ἀραρίσκω, ἁρμόζω. καὶ Ἀρα-

Σ ρυῖαν, ἡρμοσμένην.

Δ 3737 Ἀραρώς, καὶ κλίνεται Ἀραρώ. Ἀθηναῖος, υἱὸς Ἀριστο-
Hesy. φάνους τοῦ κωμικοῦ καὶ αὐτὸς κωμικός, διδάξας τὸ πρῶτον Ὀλυμπιάδι ρα'. ἔστι δὲ τῶν δραμάτων αὐτοῦ Καινεύς, Καμπυλίων, Πανὸς γοναί, Ὑμέναιος, Ἄδωνις, Παρθενιδικόν.

3738 Ἀραρώς, Ἀραρώ· ὥσπερ ἀμνώς, ἀμνώ· καὶ τυφώς, τυφώ.

Σ 3739 Ἀραρώς: πάγιος ἢ βέβαιος.

Δ 3740 Ἀράσιμος: ὁ καταράσιμος.

Σ | 3741 Ἄρασθαι: ἀπενέγκασθαι. ἢ λαβεῖν, φορτίσασθαι. ὅσῳ δὲ ηὔξετο τῆς διαδοχῆς τὸ μέγεθος ἐν τῷ λόγῳ, τοσούτῳ μᾶλλον οὗτος

3729 Canthar. fr. 1 (1, p. 764 K.) 3730 Ar. Nu. 465 c. sch. 3731 Ar. Lys. 656 c. sch. 3732 — ἐπάραντες = Ba 140, 1, Σ[a], H ἀραμένη sq. sch. Ar. Lys. 332 3733 sch. Thuc. 2, 25, 3 3734 — ποταμοῦ = Ambr. 3153 ἀράξαι sq. = Ba 140, 2, Σ[a], H cf. Ap. S. 44, 11 3735 sch. Soph. El. 147 3736 — ἥρμοσαν = Ba 140, 3, 6; — κέκριται = Σ[a]; ἄραρον, ἥρμοσαν = Σ[a], sch. Π 214 ἀραρίσκω, ἁρμόζω = Ambr. 3335, Zon. 307 ἀραρυῖαν sq. = Ba 140, 8, Σ[a], H 3739 = Ba 140, 7, Σ[a] cf. H, Tim. 3740 = Ambr. 2910 3741 — ἀπενέγκασθαι = Ba 140, 27, Σ[a] ὅσῳ sq. Dam. fr. 150; — φορτίον = Phot. bibl. p. 346a 14—17; Pind. O 1, 83

3729 οἱ—τόξον ex v. ἐμβαίνοντες 3731 hinc v. Γ 468 3735 cf. 651 et 4397; Z 306 3740 Z 286 3741 Z 306

A(GITFVM) 2 ἐξηγείρατε] ἐξηγείρατο F οἱ—4 τόξον om. TFV post 3726 A, post p. 335,21 ἔθνους I post p. 336,1 αὐλητής GM 5 εὐδαιμονήσω] εὐδαιμονήτω A 7 γρυκτόν] γε γρυκτόν GTM 13 ποταμοῦ] τόπου F 16 τε GIM, 651, om. AFV sch. 21 καί—Ἀραρώ om. F 23 ρα' cf. Capps, Amer. Journ. of Philol. 28, 199 Καινεύς] καὶ νεύει A 24 Ἄδωνις] Ἀδώνης AFV Παρθενιδικόν pr. Παρθενιδίκ omnes (praeter Παρθενίκαι V), Παρθενίδιον Bas. 3738 om. FV mg. A, post vs. 21 Ἀραρώ GITM 28 ὅσῳ ed. pr., Phot., ὅσον omnes (praeter ἴσον F) 29 τοσούτῳ] τοσοῦτον V

πρὸς τὴν πειθὼ συνεστέλλετο, μεῖζόν γε ὂν ἢ καθ' ἑαυτὸν ἄρασθαι φορτίον. καὶ γὰρ εἴ τίς με, ἔφη, πρὸς ἱερωσύνην ἐκάλει, ὁμολογῶν εἶναι τὸ χρῆμα θεοφιλέστατόν τε καὶ ὁσιώτατον, ὅμως τὸ ἐμαυτοῦ δέος ὡμολόγησα ἂν τῆς ἀσθενείας· ὑποκατακλινόμενός τε καὶ δυσωπούμενος πρὸς τὸ μέγα τοῦτο καὶ πάμμεγα τῆς ἱερωσύνης ἀφίσταμαι κατὰ Πίνδαρον, οὐ μέντοι τοῦ χείρονος, ὡς ἐκεῖνος, ἀλλὰ τοῦ κρείττονος κατ' ἐμαυτόν.

3742 Ἀρασσόμενα: προσρηγνύμενα, προσκρουόμενα. ἐν Ἐπιγράμμασι· νῦν θαμινοῖς πατάγοισι μάτην τὸ μέτωπον ἀράσσεις. Σ Anth.

3743 Ἀρᾶται: εὔχεται, ἢ καταρᾶται, ἢ ἐπιθειάζει. Φερεκράτης Μυμηκανθρώποις· ὕστερον ἀρᾶται, κἀπιθειάζει τῷ πατρί. Σ

3744 Ἄρατος· στρατηγὸς, ὥς φησι Πολύβιος, ὃς ἦν τὰ μὲν ἄλλα τέλειος ἀνὴρ εἰς τὸν πραγματικὸν τρόπον· καὶ γὰρ εἰπεῖν καὶ διανοηθῆναι καὶ στέξαι τὸ κριθὲν δυνατός, καὶ μὴν ἐνεγκεῖν τὰς πολιτικὰς διαφορὰς πρᾴως καὶ φίλους ἐνδήσασθαι καὶ συμμάχους προσλαβεῖν οὐδενὸς δεύτερος, ἔτι δὲ πράξεις, ἀπάτας, ἐπιβουλὰς συστήσασθαι κατὰ τῶν πολεμίων, καὶ ταύτας ἐπὶ τέλος ἀγαγεῖν διὰ τῆς αὐτοῦ κακοπαθείας καὶ τόλμης δεινότατος. ὁ δ' αὐτὸς οὗτος, ὁπότε τῶν ὑπαίθρων ἀντιποιήσασθαι βουληθείη, νωθρὸς μὲν ἐν ταῖς ἐπινοίαις, ἄτολμος δὲ ἐν ταῖς ἐπιβουλαῖς, ἐν ὄψει δ' οὐ μένων τὸ δεινόν. διὸ καὶ τροπαίων ἐπ' αὐτὸν βλεπόντων ἐπλήρωσε τὴν Πελοπόννησον, καὶ τῇδέ πῃ τοῖς πολεμίοις ἀεί ποτ' ἦν εὐχείρωτος. οὕτως αἱ τῶν ἀνθρώπων φύσεις οὐ μόνον τοῖς σώμασιν ἔχουσί τι πολυειδὲς, ἔτι δὲ μᾶλλον ταῖς ψυχαῖς, ὥστε τὸν αὐτὸν ἄνδρα μὴ μόνον ἐν τοῖς διαφέρουσι τῶν ἐνεργημάτων πρὸς ἃ μὲν εὐφυῶς ἔχειν, πρὸς ἃ δὲ ἐναντίως, ἀλλὰ περί τινα τῶν ὁμοειδῶν πολλάκις τὸν αὐτὸν καὶ συνετώτατον εἶναι καὶ βραδύτατον, ὁμοίως δὲ καὶ τολμηρότατον καὶ δειλότατον. οὐ παράδοξα ταῦτά γε, συνήθη δὲ καὶ γνώριμα τοῖς βουλομένοις συνεφιστάνειν. τινὲς μὲν γὰρ ἐν ταῖς κυνηγίαις εἰσὶ τολμηροὶ πρὸς τὰς τῶν θηρίων συγκατασπάσεις, οἱ δ' αὐτοὶ πρὸς ὅπλα καὶ πολεμίους ἀγεννεῖς, καὶ τῆς τε πολεμικῆς χρείας τῆς κατ' ἄνδρα μὲν καὶ κατ' ἰδίαν εὐχερεῖς καὶ πρακτικοί, κοινῇ δὲ καὶ μετὰ πολεμικῆς ἐνίων συντάξεως ἄπρακτοι. EV

3745 Ἄρατος, Σολεὺς τῆς Κιλικίας (ἔστι γὰρ καὶ ἐν Κύπρῳ πόλις Σόλοι), υἱὸς Ἀθηνοδώρου. ἀδελφοὶ δὲ αὐτοῦ Μύρις, Καλώνδας, Ἀθηνό- Hesy.

3742 — προσκρουόμενα = Ba 140, 28, Σ^a cf. H · νῦν sq. Anth. 5, 247, 5 3743 = Ba 140, 30; — καταρᾶται = Σ^a, H; — εὔχεται = sch. I 240; Pherecr. fr. 118 3744 Polyb. 4, 8, 1—9 = EV 2, 92, 8—93, 8 3745 — p. 338, 13 καταλογάδην cf. Westerm. Biogr. 52—60

3742 Z 306 3743 Eust. O. 1438, 37 3744 hinc v. κυνηγός 3745 Hesy. hinc v. Μύρις et v. Καλώνδας sed cf. 4112

9 μέτωπον] πρόσωπον GIT 3744 om. F 14 στέξαι] στέρξαι VM A(GITFVM) 15 ἐνδήσασθαι A Polyb., ἐνδύσασθαι rell. 16 δέ] δὲ καί V ἀπάτας] ἀπάσας A 21 αὐτόν] αὐτῶν A 30 συγκατασπάσεις] συγκατασταστάσεις IM^{ac} Polyb. 34 ἔστι—p. 338, 14 κρούων om. F

δωρος. ἀκουστὴς δὲ ἐγένετο γραμματικοῦ μὲν τοῦ Ἐφεσίου Μενεκράτους, φιλοσόφου δὲ Τίμωνος καὶ Μενεδήμου, γεγονὼς ἐν τῇ ρκδ' Ὀλυμπιάδι, ὅτε ἦν Ἀντίγονος βασιλεὺς Μακεδονίας, υἱὸς Δημητρίου τοῦ Πολιορκητοῦ, ὁ Γονατᾶς κληθείς· καὶ συνῴκει τε αὐτῷ καὶ παρ' αὐτῷ ἐτελεύτησε, σύγχρονος Ἀνταγόρᾳ τῷ Ῥοδίῳ καὶ Ἀλεξάνδρῳ τῷ Αἰτωλῷ· ἐποποιός. συνέταξε δὲ βιβλία ταῦτα· τὰ Φαινόμενα, ὧν θαυμάσιος ἡ εἰσβολὴ καὶ ὁ ζῆλος Ὁμηρικός· ὕμνους εἰς Πᾶνα, Σπονδοφόρους, Παίγνια, Ἀστρολογίαν καὶ Ἀστροθεσίαν, Σύνθεσιν φαρμάκων, Θηριακῶν ἐπιτήδεια, Ἀνθρωπογονίαν, Ἐπιθυτικόν, εἰς Θεόπροπον, εἰς Ἀντίγονον, Ἠθοποιΐας, ἐπιστολὰς, ἐπιγράμματα εἰς Φίλαν τὴν θυγατέρα Ἀντιπάτρου, γυναῖκα δὲ Ἀντιγόνου, Ἀνατομὴν, εἰς Παυσανίαν τὸν Μακεδόνα, Ἐπικήδειον τὸν Κλεομβρότου, Διόρθωσιν Ὀδυσσείας, ἐπιΣ + Soph. στολὰς ὁμοίως καταλογάδην. Ἄρρατον δὲ ἰσχυρὸν, στερεόν. οὕτως Πλάτων. Ἀράττων δὲ πλήττων, κρούων.

Harp. 3746 Ἀραφήνιος: δῆμος Αἰγηΐδος.

Δ 3747 Ἀραχὶ καὶ Ἀρχί: ἐπιρρήματα.

Δ 3748 Ἀραχίων: ὄνομα κυρίον.

Δ 3749 Ἀράχνειον νῆμα καὶ Ἀραχναῖος μίτος, ὁ λεπτότατος.

Anth. ἐν Ἐπιγράμμασι· ἀραχναίοιο μίτου πολυδινέα λάτριν ἄτρακτον.

Δ 3750 Ἀράχνη: θηλυκῶς τὸ ὕφασμα. ἀράχνης δὲ ἀρσενικῶς, τὸ

Anth. ζωῦφιον· παρὰ τὸ ἀραιὰ ἴχνη ἔχειν. τρισσαὶ θέσαν ἄλλικες, ἴσον

Σ ἀράχνᾳ τεῦξαι λεπταλέον μίτον ἐπιστάμεναι. εἴρηται δὲ ἀράχνης καὶ παρ' Ἡσιόδῳ καὶ παρὰ Πινδάρῳ καὶ παρὰ Καλλίᾳ. λέγουσι δὲ καὶ ἀραχνικὰ, ἀπὸ τῆς ἀράχνης ὀρθῆς. Καλλίας Κύκλωψιν· ὥσπερ ἀραχνικὸς τὴν ὁδὸν προφορούμενα. θηλυκῶς δὲ Σοφοκλῆς Ἰνάχῳ· πάντα δ' ἐρίθων ἀραχνᾶν βρίθει. Καλλίμαχος· ἔργον ἀράχνα. Κρατῖνος δὲ Πυτίνῃ· ἀραχνίων μεστὴν ἔχεις τὴν γαστέρα. Φερεκράτης Τυραννίδι· ἄρ' ἀράχνια ὥσπερ ταῖς κυκυαῖσι ταῖς κεναῖς. Νικόφρων Ἀφροδίτης γοναῖς· ἄρ' ἀράχνιόν τι φαίνεται ἐμπεφυκέναι.

3745 vs. 13 ἄρρατον—στερεόν Tim. = sch. Pl. Rep. 536 b; ἰσχυρόν = Ba 141, 3, sch. Pl. Crat. 407 d, Phryn. 41, 5, Et. M. 148, 49; πλήττων cf. sch. Soph. Ai. 725 (GGA 1893, 45); κρούων = Ba 140, 29, Σ^a, H 3746 Harp. = Ba 140, 5 3747 = Ambr. 3371—2 3748 = Ambr. 3062 3749 — νῆμα = Ambr. 3290 ἀραχναίοιο sq. Anth. 6, 39, 3—4 3750 — ἔχειν = Et. M. 135, 3 cf. Et. Gud., Ammon., Thom. 38, 8 τρισσαί—ἐπιστάμεναι Anth. 6, 174, 1—2 vs. 22 ἀράχνης—26 βρίθει = Ba 140, 15; Hesiod. Op. 475 (cf. Et. M. 135, 2); Pind. fr. 296; Calliae fr. 2 (1, 694 K.), Soph. fr. 264; Call. fr. 118 K., 304 S (dubium an ex Hecale); Cratin. fr. 190; Pherecr. fr. 142; Nicophont. fr. 3 (1, 775 K.)

3745 ἄρρατον sq. Z 301 3747 Z 310 3749 Z 286, 301; Anth. cf. 4378 et v. μίτος 3750 Z 286, 295; Pherecr. cf. v. κυκυαῖσι

A(GITFVM) 9 Θηριακῶν ἐπιτήδεια] θηριακῷ ἐπιτηδείων Bekk. Ἐπιθυτικόν] ἔτι Θυτικόν coll. Psell. ap. Boiss. An. 3, 210, vs. 195 (Θυτικά) Bhd. 11 Ἀνατομὴν cf. περὶ ἀνατολῆς Westerm. p. 56, 11 13 δέ AGM, om. (nov. gl.) ITV 20 θηλυκῶς] cp. AV ἀρσενικῶς ITF Et. ἀρσενικόν AGVM 21 θέσαν FVM θέσσαν GI θέαν A 28 κυκυαῖσι] κικυαῖσι V Νικόφρων] Νικοφῶν Mein. ad 3750 Ζήτει ἐν τῷ ἀνερριχῶντο mg. M

3751 Ἀραχώσιοι: ἐθνικόν. καὶ Ἀραχωσία, χώρα. Δ

3752 Ἀρβαζάκιος, Ἴσαυρος, ἐπὶ Ἀρκαδίου τοῦ βασιλέως, ὃν Ἀρ- E
παζάκιον ἐκάλουν διὰ τὸ πλεονεκτικόν. ἦν μὲν γὰρ ἐξ Ἀρμενίας, τοῖς τριςὶν ἅμα συγκατειλημμένος πάθεσιν, ὥσπερ Ἡφαιστείοις δεσμοῖς ἀρρήκτοις ἀλύτοις, καὶ ἔμενέ γε ἐν αὐτοῖς ἔμπεδον. ταῦτα δὲ ἦν ἐρωτομανία καὶ μέθη καὶ πλεονεξία. οὕτω δὲ εἰς ἔσχατον ὅρον τὰς ἑαυτῷ δοκούσας ἀρετὰς ἐπετήδευεν, ὥστε οὐκ ἄν τις ἐπίστευσε πειραθεὶς, ὅτι τὰς τρεῖς ἐκείνας οὕτως εἰς ἄκρον ἐξήσκησε. μουσουργοῖς μὲν γὰρ συνέζη τοσαύταις, ὅσας οὔτε ἐκεῖνος ἀριθμεῖν εἶχεν οὔτε ἕτερός τις τῶν διακονουμένων. καὶ οἵγε προσήκοντες αὐτῷ λογισταὶ τῶν στρατιωτικῶν ἔργων τὸν μὲν ἀριθμὸν τῶν στρατιωτῶν ᾔδεσαν· τὸ δὲ πλῆθος τῶν ἑταιρῶν καὶ τὸν ἐκ τῶν χειρῶν ἀριθμὸν αὐτοῦ διέφυγεν. ὥσπερ οὖν Ὀρόντην τὸν Πέρσην φασὶν εἰπεῖν, ὅτι τῶν δακτύλων ὁ μικρότατος καὶ μύρια σημαίνει καὶ ἕνα ἀριθμόν, οὕτω κἀκεῖνοι τὰς ἑταίρας κατὰ μονάδας καὶ μυριάδας ἠρίθμουν.

3753 Ἀρβάκης, βασιλεὺς Μήδων ἐπὶ Σαρδαναπάλου, ἀνὴρ τόν τε EV
βίον σώφρων καὶ πραγμάτων εἰ δή τις ἔμπειρος, τετριμμένος τε ἐν κυνηγεσίοις καὶ πολέμοις καὶ πολλὰ μὲν πάλαι γενναῖα ἐξειργασμένος, μείζω δὲ τότε διανοούμενος. οὗτος ἀκηκοὼς τόν τε βίον καὶ τὰ ἤθη οἷς χρῆται βασιλεὺς ἐς νοῦν ἐνεβάλετο, καὶ ἐνεθυμήθη ἄρα, ὅτι ἀπορίᾳ γενναίου ἀνδρὸς οὗτος ἔξοι τὰ τῆς Ἀσίας κράτη· καὶ βουλὴν συντίθεται περὶ ὅλης ἀρχῆς.

3754 Ἀρβάλαι: πόλισμα Σικελικὸν ἡ Ἀρβέλη. οἱ δὲ ἐνοικοῦντες Prov.
ἐκεῖσε ἐδόκουν εὐεξαπάτητοι εἶναι. καὶ παροιμία· τὶ οὐ γενήσῃ ἰὼν ἐς Ἀρβέλας;

3755 Ἄρβηλα: ὄνομα τόπου. καὶ Ἀρβήλοις, Ἀθηναίοις. Ἀρβύλη Δ
δὲ τὸ ὑπόδημα.

3756 Ἀργαλέον φρονέοντα παρ' ἄφροσι πόλλ' ἀγορεύειν· Prov
Εὐριπίδου λόγος Βάκχαις. καὶ Ἀργαλέον, χαλεπόν. εἴρηται δὲ Ar.
ἀπὸ τοῦ ἄλγους, ἀλγαλέον καὶ τροπῇ τοῦ λ εἰς τὸ ρ. ἔργον δὲ παρὰ τοῖς παλαιοῖς τὸ δυσχερές. ἐκ τούτου παραγωγὸν ἐργαλέον, καὶ

3751 = Ambr. 3180 et 3267 cf. Nicet., Jahns Jb. 133, 660 3752 Eunap. fr. 84, FHG 4, 51 3753 Nic. Dam. fr. 2, FGrHist 90 = EV 329, 25—330, 5 3754 = Paroem. ed. Gsf. p. 112, n. 903, Philol. Suppl. 6, 265, n. 619 3755 — τόπου = Ambr. 3245; Ἀρβήλοις cf. Ambr. 3184; ἀρβύλη sq. cf. Et. M. 135, 16, Ambr. 3206 et 3289, H 3756 — ἀγορεύειν = Diogen. II 90; Εὐριπίδου Theognid. 625 vs. 29 ἀργαλέον—p. 340, 2 δυσχερές sch. Ar. Pl. 1 cf. Et. M. 135, 17; — χαλεπόν = sch. Δ 471, Ambr. 3287

3751 Z 295 3752 cf. v. Ἡφαίστειος et v. μουσουργοί; hinc v. Ὀρόντης 3754 hinc v. τί οὐ γενήσῃ, cf. v. τίς οὐ γενήσῃ 3755 Z 295

1 ἐθνικόν] ἐθνικοί AV 7. 8 πειραθείς] μὴ πειραθείς Port. 9 εἶχεν] A(GITFVM) ἔσχεν A 19 μείζω] μεῖζον GIT δέ om. V 20 ἐνεβάλετο] ἐνεβάλλετο A 23 ἡ Ἀρβέλη om. FV Paroem. δέ—24 ἐκεῖσε om. FV 26 ἀρβύλη] ἀρβώλη A 30 ἀλγαλέον] ἀργαλέον AV τό om. FV

τροπῆ· ὡς ἀπὸ τοῦ ἔπω ἀπύω, τὸ φωνῶ. ἀργαλέον δὲ, δύσκολον,
Δ δυσχερές. καὶ 'Αργαλέως ἐπιρρηματικόν. καὶ 'Αργαλεώτερον.
3757 'Αργὰ ῥήματα: ὅσα ὄνησιν οὐ φέρει ψυχῆς.
Δ 3758 'Αργανθώνη: ὄνομα κύριον. καὶ 'Αργανθώνειος κλίνη.
καὶ 'Αργανθώνιον δὲ ὄρος τῆς Κίου νήσου.
Δ 3759 'Αργαριζίν: ὄνομα ἔθνους.
Σ 3760 'Αργάς: ὁ δεινότατος παρ' ἡλικίαν ἀργὰς καλεῖται. τούτῳ
ἀφομοιοῦσθαι ὑπὸ Αἰσχίνου τὸν Δημοσθένην. ἄλλοι δὲ τὸν δεινότατον
Harp. καὶ θηριώδη τὸν τρόπον. καὶ μάλιστα 'Αργεῖοι τὸν ὄφιν ἀργὰν
ἐκάλουν. Τίμαρχος δὲ ὁ Ῥόδιος οὐ κατὰ γλῶτταν οὕτω καλεῖσθαί
φησιν, ἀλλὰ γένος εἶναι ὄφεων τοὺς ἀργάς.
Δ 3761 'Αργαῖον: τὸ Καισαρείας ὄρος.
3762 Ἄργελλα: οἴκημα Μακεδονικὸν, ὅπερ θερμαίνοντες λούονται.
Ar. 3763 'Αργελόφους· 'Αριστοφάνης· σὺ δὲ τῆς ἀρχῆς ἀγαπᾷς τῆς
σῆς ἀργελόφους περιτρώγων.
Suid. 3764 'Αργέου υἱός· καί πως ὁ 'Αργέου υἱὸς ἀλλαχόσε βουλόμενος βαλεῖν,
τἀδελφοῦ δυστυχῶς τῶν στέρνων τυγχάνει καὶ ἀναιρεῖ αὐτόν. ὅτι τῷ Θηραμένει,
τῷ Ἰσοκράτους διδασκάλῳ, πολλὰ μὲν καὶ ἄλλα παρανενόμηται, δύο δὲ τὰ μέγιστα
καὶ σχετλιώτατα, ἥ τε τῶν ἐν 'Αργεννούσῃ στρατηγῶν ἀπαγωγὴ, ἣν αὐτὸς συν-
εστήσατο μετὰ Καλλιξένους, ἥ τε τῶν λ' ἐπὶ καταλύσει τοῦ δήμου κατάστασις.
ζήτει ἐν τῷ δεξιός.
Hom. 3765 'Αργεννῆσι: λευκαῖς.
Δ 3766 'Αργεία: Ἥρα. ἢ ἡ τῶν 'Αργείων γῆ.
Δ 3767 'Αργείων: ὄνομα κύριον. καὶ 'Αργεῖοι, οἱ Ἕλληνες.
Δ 3768 'Αργεινός: ὁ λαμπρός· καὶ 'Αργεινόεις.
Δ 3769 'Αργειόδους: ὁ λευκοὺς ὀδόντας ἔχων.
Prov. 3770 'Αργείους ὁρᾷς: παροιμία ἐπὶ τῶν ἀτενῶς καὶ καταπληκτικῶς
ὁρώντων.
Σ 3771 'Αργεῖοι φῶρες: ἐπὶ τῶν προδήλως πονηρῶν. οἱ γὰρ 'Αργεῖοι
ἐπὶ κλοπῇ κωμῳδοῦνται. 'Αριστοφάνης 'Αναγύρῳ.

3756 ἀργαλέως cf. Ba 141, 10, Σ[a] ἀργαλεώτερον cf. Ambr. 3127
3757 Matth. 12, 36 c. gl. 3758 — κλίνη = Ambr. 3226 et 3276; 'Αργανθώνιον sq. cf. Et. Sym. (= Zon.) ap. Gsf. Et. M. 135, 25, Ambr. 3326 3759 cf. Ambr. 3171
3760 — Δημοσθένην cf. Ba 141, 14, H, Bk. 206, 7, lex. Patm. 155 καὶ μάλιστα sq. Harp. = Ba 141, 17 3763 Ar. Vsp. 672 3765 sch. Γ 141 = H cf. Ap. S. 41, 30, Et. M. 135, 39 3766 — Ἥρα = Ambr. 3279, Stud. An. 269; ἡ sq. cf. Ambr. 3253 3767 — κύριον = Ambr. 3028; 'Αργεῖοι sq. = H cf. sch. A 79, Ambr 3144 3768 = Ambr. 2886 3769 = Ambr. 2914 3770 cf. Paroem. ed. Gsf. 69, n. 585 = App. Prov. III 35 3771 — κωμῳδοῦνται = Macar. II 28 cf. 38; Ar. fr. 57

3759 Z 302 3760 Z 287 3761 Z 302 3762 Z 296 3764 — αὐτόν ex 1594. ὅτι sq. ex v. Δ 234 3765 Z 296 3768 cf. Z 286 ἀργεός

A(GITFVM) 2 ἐπιρρηματικόν] ἐπιρρηματικῶς F cp. AV 5 'Αργανθώνιον AGIT Ambr. 'Αργανθώνειον FV δέ om. FVM 6 'Αργαριζίν] 'Αργαρίζειν 'Αργαριζίν A 13 λούονται] λύονται A. 3764 om. TF 17 ὅτι—20 κατάστασις mg. V 19 'Αργεννούσῃ sch. Ar. Ran. 541, 'Αργεννοῦ omnes, v. Δ 234, 'Αργινούσῃ pr. 20 κατάστασις] κατάστρωσις GIM 21 ζήτει—δέξιος om. V 23 'Αργείων] 'Αρ A 27 παροιμία om. IF ἀτενῶς] ἀτελῶς A

3772 Ἀργειφόντης: ὁ Ἑρμῆς. Δ
3773 Ἀργείης: ὁ λευκός. Δ
3774 Ἀργής: ὁ κεραυνός. καὶ Ἀργῆσκος, ὄνομα κύριον. Δ
3775 Ἀργιλλώδης: ὁ ῥυπαρός. ἢ Ἀργιλώδης γῆ, λευκὴ καὶ καθαρά. ἀκρίδα Δημοκρίτου μελεσίπτερον ἄδε θανοῦσαν ἄργιλος δολιχὰν ἀμφὶ κέλευθον ἔχει. Δ Σ Anth.
3776 Ἀργίνη: ὄνομα πόλεως. Δ
3777 Ἀργινόεις, ἀργινόεντος: λευκοῦ. πηγαὶ δ' ἀργινόεντος ἀναθλίβοιντο γάλακτος. Δ Anth.
3778 Ἀργίννουσα: νῆσος. Δ
3779 Ἀργιόδοντα: λευκὸν, ἢ ὀξυόδοντα. Σ
3780 Ἀργίποδες: ταχεῖς, ὀξύποδες. Σ
3781 Ἀργόλαι: εἶδος ὄφεων, οὓς ἤνεγκε Μακεδὼν Ἀλέξανδρος ἐκ τοῦ Ἄργους τοῦ Πελασγικοῦ εἰς Ἀλεξάνδρειαν καὶ ἐνέβαλεν εἰς τὸν ποταμὸν πρὸς ἀναίρεσιν τῶν ἀσπίδων, ὅτε μετέθηκε τὰ ὀστᾶ Ἱερεμίου τοῦ προφήτου ἐξ Αἰγύπτου εἰς Ἀλεξάνδρειαν· οὓς ὁ αὐτὸς προφήτης ἀπέκτεινεν. ἀργόλαι οὖν ἐκ τοῦ Ἄργους λαιοί.
3782 Ἀργοναῦται: οἱ ἐν τῇ Ἀργοῖ νηῒ πλέοντες. Δ
3783 Ἀργὸν ἔτος: κατὰ ἑπταετίαν ἤγετο παρὰ Ἰουδαίοις ὁμοίως ταῖς ἑβδομάσιν ἡμέραις. καὶ Ἀργός, ἐπὶ θηλυκοῦ. Ἀριστοφάνης Νεφέλαις· οὐ μὴν ἐρῶ γ' ὡς ἀργὸς ἦν, ἀλλ' ἐσπάθα. Ar.
3784 Ἄργουσα: πόλις τῆς Εὐβοίας ἐν τῇ Χαλκιδικῇ κειμένη. Harp.
3785 Ἀργώ: ναῦς. καὶ Ἀργοναῦται. καὶ τῇ Ἀργοῖ, δοτικῇ.
3786 Ἀργῶς· λύσις ὀνείρου. ἀργῶς κινεῖσθαι δυστυχεῖς ποιεῖ τρίβους. On.
3787 Ἀργυραμοιβός: ὁ κέρμα ἀντὶ ἀργύρου ἀλλασσόμενος, ὁ τραπεζίτης, ὁ ἀργυροπράτης, κολλεκτάριος. Σ
3788 Ἀργυρέα: ἀργυρᾶ. καὶ παροιμία· Ἀργυρέαις λόγχαισι μάχου καὶ πάντα νικήσεις. ἐπὶ τῶν δώροις τινὰ πείθειν πρὸς τὰ Δ Prov.

3772 = Ambr. 3202, Stud. An. 268 3773 = Ambr. 2904 3774 — κεραυνός = Ambr. 2921 cf. 2938; Ἀργῆσκος sq. = Ambr. 2987 cf. 2951 3775 — ῥυπαρός = Ambr. 2906 ἀργιλώδης—καθαρά Tim. = Ba 141, 12 cf. Ps. Herodian. 212 ἀκρίδα sq. Anth. 7, 194, 1—2 3776 = Ambr. 3236 3777 πηγαί sq. Anth. 7, 23, 3 3779 = Ba 141, 11, Σ[a] cf. H = sch. I 535, K 264, Ambr. 2914 3780 = Ba 141, 13, Σ[a] cf. sch. Ω 211 3781 cf. Prophet. vit. ed. Schermann 71, 3—72, 4; 44, 17—45, 4 3782 cf. Ambr. 2908 3783 ἀργός sq. Ar. Nu. 53 c. sch. 3784 Harp. = Ba 142, 6 3786 Astr. 3787 — ἀλλασσόμενος Tim. = Ba 141, 5 cf. Phryn. 30, 10 (falso fr. 260); ὁ τραπεζίτης sq. = Ba 141, 7, 8, Σ[a] cf. H 3788 ἀργυρέαις —p. 342, 2 Ἑλλάδος cf. Diogen. II 81, Philol. Suppl. 6, 260, n. 227

3774 Eust. I. 906, 46 3775 Z 287 3776 Z 296 3778 Z 296 3780—1 Z 287 3784 Z 296 3785 cf. Z 296 3786 cf. v. δρόμοις 3787 hinc v. κολλεκτάριος

7 πόλεως] κύριον F 12 ὀξύποδες] ἢ ὀ. FV 15 ποταμόν] πόντ A A(GITFVM) τόπον F 18 Ἀργοῖ pr. Ἀργῷ omnes 22 Ἄργουσα] Ἄργουσαι A 3785 om. FV post 3781 GITM 23 Ἀργοῖ] Ἀργοῷ A 24 Ἀργῶς ed. pr. AM om. I 25 τραπεζίτης] τραπεζίῳ A

δυσκατόρθωτα παραινούντων. τοῦτον γὰρ τὸν χρησμὸν ἡ Πυθία ἔχρησε
Suid. Φιλίππῳ αἰνιττομένη διὰ προδοσίας περιέσεσθαι τῆς Ἑλλάδος. χρείω, τὸ μαντεύομαι διὰ διφθόγγου· ὁ μέλλων χρήσω διὰ τοῦ η· χρίω δὲ τὸ ἀλείφω.
Δ 3789 Ἀργύρειος σταυρός. Ἀργυρίδιον δὲ ὡς ἡμεῖς. Εὔπολις
Σ Δήμοις· ἐγὼ δὲ συμψήσασα τἀργυρίδιον. Ἀργύριον δὲ τὸ λεπτὸν νόμισμα καλοῦσιν, ὡς Ἀριστοφάνης Δαναΐσιν.
Δ 3790 Ἀργυρῖνοι: ὄνομα ἔθνους.
Suid. 3791 Ἀργυρίππη: πόλις, ἣν κτίζει Διομήδης. καὶ ζήτει ἐν τῷ Βενεβενδός.
Harp. 3792 Ἀργυρὶς θήκη καὶ Ἀργυρῖτις γῆ καὶ Χρυσῖτις, ἡ ἐργαζομένη χρυσὸν καὶ ἄργυρον. διττὰ ἦν γραμματίδια, οἷς ἐχρῶντο Ἀθηναῖοι, τὰ μὲν ὥστε γράφειν μόνον ἑαυτοῖς, τὰ δὲ ὥστε καὶ ἀργυρίδιον καταπίθεσθαι, ἃ καὶ κιβώτια ἐκάλουν, τὰ δ' ἄλλα μαρτύρια. καὶ Ἀργυρῖται ἐλέγοντο οἱ ἀργυρίου εὐπορούντες.
Σ 3793 Ἀργυρογνώμων: δοκιμαστής.
Σ 3794 Ἀργυροδίνης: καλὰς δίνας ἔχων. δῖναι δὲ αἱ τῶν ὑδάτων συστροφαί.
Δ 3795 Ἀργυρόηλον: τὸ ἀργυροῦς ἥλους ἔχον.
Harp. 3796 Ἀργυροκοπεῖον: ἐν ᾧ κόπτεται τὸ νόμισμα· ὃ νῦν τινες ἡμαντήριον καλοῦσιν.
Δ + Hom. 3797 Ἀργυρόπεζα: ἡ ἀργυροῦς πόδας ἔχουσα. πέζα γὰρ ὁ ποῦς.
Harp. καὶ Ἀργυρόποδα δίφρον. ὁ Ξέρξου δὲ δίφρος, ὃς αἰχμάλωτος ἐπεκαλεῖτο, ἀνέκειτο δ' εἰς τὸν Παρθενῶνα τῆς Ἀθηνᾶς.
Prov. 3798 Ἀργύρου κρῆναι λαλοῦσιν: ἐπὶ τῶν ἀπαιδεύτων μὲν, διὰ δὲ πλούτου ὑπερβολὴν παρρησιαζομένων καὶ λαλούντων.
Σ 3799 Ἀργυροῦν καὶ Χρυσοῦν: τὸ δ' ἀργύρεον καὶ χρύσεον Ἰακὰ, τὸ δὲ χρύσειον κτητικόν. Θουκυδίδης α′· χρῆσίν τ' ἔχει τῶν χρυσείων μετάλλων. ὥσπερ καὶ ἀργύρεια λέγεται δευτέρᾳ. μέχρι Λαυρίου, οὗ τἀργύρεια μέταλλά ἐστιν Ἀθηναίοις.
Σ 3800 Ἀργυρώματα καὶ Χρυσώματα: ὁμοίως ὡς ἡμεῖς. Λυσίας.
Δ 3801 Ἀργυρώνη. καὶ Ἀργυρώνητος, δοῦλος.

3789 — σταυρός = Ps. Herod. 172 ἀργυρίδιον sq. = Ba 140, 22, 24; Phryn. fr. 257—8; Eupol. fr. 113; Ar. fr. 262 3790 = Ambr. 3176 3792 — θήκη + διττά—μαρτυρία Harp. 55, 12 = Ba 141, 23; ἀργυρῖτις—ἄργυρον Harp. 56, 4 cf. Ambr. 3215 ἀργυρῖται sq. = Ba 140, 26 3793 = Ba 141, 20, Σ^a cf. H 3794 = Ba 142, 8, Σ^a; δῖναι sq. = sch. B 753 3795 = Ambr. 3291, H, Et. M. 137, 27 3796 Harp. = Ba 141, 27 3797 — ἔχουσα = Ambr. 3208; πέζα—ποῦς = sch. A 538, H ἀργυρόποδα sq. Harp. = Ba 141, 29 3798 = Diogen. II 93 3799 cf. Phryn. ecl. 207; Thuc. 4 (non 1), 105, 1 et 2, 55, 1 3800 = Ba 140, 20 cf. Poll. 10, 174, 7, 103 et 104, Ath. 6, p. 231b; Lys. fr. 148 3801 = Ambr. 3216 et 2885

3788 χρείω sq. ex v. χρείω 2 3792 cf. v. χρυσῖτις 3793 Z 287 3796 hinc v. ἡμαντήριον; Z 302 3797 cf. v. πέζα; Z 296

A(GITFVM) 2 χρείω—3 ἀλείφω ex mg. VM 3 διὰ τοῦ η M om. V 3791 ex IM^{mg}. 8 καί—Βενεβενδός om. I 11 ἀργυρίδιον] ἀργύριον V cf. Harp. 19 ἡμαντήριον A Ba, ἡμαυτήριον rell. 21 Ξέρξου] Ξέρξης AFV^{ac}M^{ac} δέ AM om. rell. 26 α′ om. F, δ′ de Boor, Byz. Zt. 23, 36, 1 27 οὗ Thuc. οὐ omnes 30 καί] ἡ δούλη καί G, ἡ lac. καί I, ἡ καί M

3802 Ἀρτύφεον: τὸ μέλαν. ἢ τὸ λαμπρόν. Δ Hom.

3803 Ἀρδαβούριος, υἱὸς Ἄσπαρος, γενναῖος τὸν θυμὸν καὶ τοὺς E
τὴν Θρᾴκην πολλάκις καταδραμόντας βαρβάρους εὐρώστως ἀποκρουσά-
μενος. τούτῳ οὖν γέρα ἀριστειῶν ὁ βασιλεὺς Μαρκιανὸς παρέχετο
τὴν ἕω στρατοπεδαρχίαν. καταλαβὼν δὲ ἐν εἰρήνῃ ταύτην ὁ στρα-
τηγὸς πρὸς ἄνεσιν ἐτράπη καὶ ῥᾳστώνην θηλυδριῶτιν. ἔχαιρε γὰρ
μίμοις καὶ θαυματοποιοῖς καὶ πᾶσι σκηνικοῖς ἀθύρμασι, καὶ τοῖς τοιούτοις
διημερεύων αἰσχροῖς ἡλόγει πάμπαν τῶν πρὸς εὔκλειαν τεινόντων.
Μαρκιανοῦ δὲ τοῦ βασιλέως χρηστοῦ μὲν γεγονότος, θᾶττον δὲ ἐκ-
βεβιωκότος, αὐτοκελεύστῳ γνώμῃ Ἄσπαρ Λέοντα διάδοχον αὐτοῦ γενέ-
σθαι παρεσκεύασεν.

3804 Ἀρδάνιον: κεράμιον, γάστρα, ὅθεν τὰ θρέμματα πίνει. καὶ Σ
εἴρηται παρὰ τὸ ἄρδειν. ἐτίθετο δὲ καὶ πρὸ τῆς θύρας τῶν τετελευτη-
κότων τοῖς εἰσιοῦσιν καὶ ἐξιοῦσιν ἵνα περιρραίνωνται. ἐχρῶντο δὲ καὶ
αἱ γυναῖκες τῷ ἀρδανίῳ, αἱ τὴν κρόκην τρίβουσαι ἐπ' αὐτοῦ.

3805 Ἀρδεᾶται: ὄνομα ἔθνους. Δ

3806 Ἄρδην: κατὰ δύναμιν τῆς λέξεως ἀντὶ τοῦ ἀθρόους. τὸ γὰρ Ar.
ἄρδην ὅμοιόν ἐστι τῷ φοράδην ἐνέγκαι· ἡ γὰρ ἄρσις τοῦτο δηλοῖ.
ἀντὶ τοῦ πάντας ὁμοῦ αἴρω.

3807 Ἀρδήττης, Ἀρδήττου: ὄνομα κύριον. καὶ Ἀρδηττὸς Δ
τόπος ἐστὶν Ἀθήνησιν, ἐν ᾧ πάντες Ἀθηναῖοι δημοσίᾳ ὤμνυον τὸν Harp.
ὅρκον τὸν Ἡλιαστικόν. Θεόφραστος δὲ ἐν τοῖς περὶ νόμων καταλελύ-
σθαι τὸ ἔθος τοῦτο λέγει.

3808 Ἀρδιαῖος: ὄνομα ἔθνους. Δ

3809 Ἄρδιν: ἀκίδα βέλους, ἢ τὰ ἐκ χειρὸς ὅπλα. Ἡρόδοτος. καὶ Hdt.
Ἄρδις πληθυντικῶς, ἀντὶ τοῦ φαρέτρας.

3810 Ἀρδομένην: ποτιζομένην. καὶ Ἄρδω· αἰτιατικῇ. Ar. Synt.

3811 Ἄρδυς, Ἄρδυος. Ζήτει ἐν τῷ Γύγης. Suid.

3812 Ἄραι: τὸ ῥῆμα, ἀρῶ. καὶ διᾶραι.

3813 Ἀραὶ κατὰ οἰχομένων· Ζήτει ἐν τῷ τοία Στυγός σε μελανοκάρδιος.

3802 — μέλαν = Ambr. 3286 λαμπρόν sch. Σ 50 = H, Et. M. 137, 40
3803 Men. Prot. fr. 20 (fort. Prisc. cf. EL 583, 15 vel Candid.) FHG 4, 100; ἔχαιρε—θαυματοποιοῖς cf. Diodor. E V 1, 312, 17—18 3804 = Ba 140, 9 cf. Ael. D. et Paus. Att. fr. 66 ap. Eust. I. 707, 33, H, Poll. 8, 65—66
3805 = Ambr. 3177 3806 sch. Ar. Th. 274 3807 — κύριον = Ambr. 3015 Ἀρδηττός sq. Harp. = Ba 142, 12 cf. Bk. 207, 2; 183, 4, Ba 142, 15
3808 = Ambr. 3179 3809 — ὅπλα gl. Hdt. 4, 81; ἄρδις sq. gl. Hdt. 1, 215 cf. Et. M. 137, 48, Lex. Vind. 128, Ambr. 3213 3810 — ποτιζομένην fort. sch. Ar. Nu. 282 cf. Ps. Herodian. 269 ἄρδω sq. = Synt. Gud.

3802 Z 302 3803 hinc 4201; ἔχαιρε—θαυματοποιοῖς cf. v. προδείκτης
3804 Z 302 3809 Z 297

3 εὐρρώστως A 5 ἕω] τῆς ἕω V, ἑῴαν pr. 7 σκηνικοῖς GIMA(GITFVMB) σκηνικῶν A σκηνῶν V 13 ἄρδειν B, Ba, Eust., ἄρδην rell. 20 Ἀρδήττης] Ἀρδήτης cett. F cf. Harp. 27 καί—αἰτιατικῇ om. GTVF 3811 om. AGTF mg. V 28 ζήτει—Γύγης om. V 3812 om. AGTFV 29 διᾶραι M διῶξαι I
3813 ex I (non nov. gl.), M (post 3817)

Hom. 3814 Ἀραιὴν χεῖρα: τὴν ἀσθενῆ· καὶ δασύνεται.

Δ 3815 Ἀραῖνος: ὄνομα ποταμοῦ.

Δ 3816 Ἀραῖος: ἀρᾷ ὑποκείμενος. μὴ νῦν ὀναίμην, ἀλλ' ἀραῖος,
Soph. εἴ σέ τι δέδρακ', ὀλοίμην. καὶ Σοφοκλῆς· εἰ δὲ μή, μενῶ σ' ἐγὼ καὶ
νέρθεν ἀραῖος εἰσαεὶ βαρύς. ὁ Ἡρακλῆς φησι τελευτῶν πρὸς τὸν υἱὸν
Δ αὐτοῦ. Ἀραιὸς δὲ ὁ ἀσθενής. Ἀραιῶς δὲ ἐπιρρηματικῶς μὴ
Ε ῥρμοσμένως. εὗρον δὲ τὴν θύραν τοῦ μνήματος ἀραιῶς ἐπικει-
μένην.

Σ 3817 Ἀραῖς: κατάραις. οὐ μὴν ἔμελλον αἱ ἀραὶ λήθη δοθήσεσθαι.
Ε λοιμὸς γὰρ τῇ τῶν Ἐφεσίων πόλει ἐνήκμαζεν οἷος βαρύτατος. καὶ
αὖθις· ἐν ἀρᾶς ἔθηκε μέρει· συριττοίμην ὡς ἐκεῖνος.

Δ 3818 Ἄρραιστος: ὁ ἄφθαρτος.

Δ 3819 Ἄραιτο: λάβοι, κομίσειεν. Εὐριπίδης· οὐκ ἔστιν οὐδὲν δεινὸν
Ar. ὧδ' εἰπεῖν ἔπος οὐδὲ πάθος οὐδὲ ξυμφορὰ θεήλατος, ἧς οὐκ ἂν
ἄραιτ' ἄχθος ἀνθρώπου φύσις. καὶ αὖθις· οὓς οὐκ ἂν ἄραιντ' οὐδ'
ἑκατὸν Αἰγύπτιοι., πολλαχοῦ ὡς ἀχθοφορούντων Αἰγυπτίων μέμνηνται.

Δ 3820 Ἀρεάδνη: ὄνομα κύριον.

Greg. 3821 Ἀρέθουσα: πηγὴ κατὰ τὴν νῆσον Σικελίας, ἐν ᾗ εἰσβάλλει
Ἀλφειὸς, ποταμὸς τῆς Ἀρκαδικῆς πόλεως, δυόμενος διὰ τῆς Ἀδριάδος
θαλάσσης τὸ πέλαγος καὶ μηδαμοῦ τῇ ἁλμυρίδι μιγνύμενος, ὡς ἂν τῆς
τοιαύτης πηγῆς ἐρώμενος.

Σ 3822 Ἄρρεν, καὶ ἀρρενικῶς, καὶ ἡμίανδρος, καὶ ἡμιγύναιξ, καὶ δι-
γενὴς, καὶ θηλυδρίας, καὶ ἑρμαφρόδιτος, καὶ ἴθρις, οὗ ἡ ἰσχὺς τεθέρι-
σται, καὶ Ἀρρενωπός, ὁ ἀνδρόγυνος, καὶ ὁ ἀνδρεῖος, ὁ στερρός.
λέγουσι δ' οὕτω τὰ μὲν ἄλλα γύνιδας, ἔχοντας δέ τι ἀνδρόμορφον.
Ἱππώναξ δὲ ἡμίανδρον, τὸν οἷον ἡμιγύναικα. λέγεται δὲ καὶ ἀπόκο-
πος, καὶ βάκηλος, καὶ ἀνδρόγυνος, καὶ γάλλος, καὶ γύννις, καὶ Ἄττις,
καὶ εὐνουχώδης.

Δ 3823 Ἀρεόβινδος: ὄνομα κύριον.

Δ 3824 Ἀρεοπαγίτης: διφορεῖται. καὶ παροιμία, Ἀρεοπαγίτης,
Prov. ἐπὶ τῶν σκυθρωπῶν καὶ ὑπερσέμνων καὶ σιωπηλῶν. καὶ Ἄρεως

3814 = sch. BT in Ε 425; ἀσθενῆ = sch. D; H, Et. M. 134, 21 3815 = Ambr. 3158 3816 l. = Ambr. 2911 μὴ—ὀλοίμην Soph. OT 644—5; εἰ—βαρύς Soph. Tr. 1201—2 vs. 6 ἀραῖος—ἀσθενής = Ambr. 2950 εὗρον sq. Iambl. Rh. Mus. 45, 281 3817 — κατάραις = Ba 139, 30, Σ^a cf. H v. ἀρά οὐ—βαρύτατος Aelian. fr. 49 3818 = Ambr. 2903 3819 — λάβοι = H Εὐριπίδης—φύσις Eur. Or. 1—3; οὕς sq. Ar. Ran. 1406 c. sch. 3820 = Ambr. 3229 3821 cf. sch. Greg., PG 36, 995a 3822 Atticistis iure attr. Gsf.; ἀρρενωπός, ἀνδρεῖος = Et. M. 149, 10, gl. Dionys. PG 4, 24 cf. Ba 145, 30; Hippon. fr. 114 3823 = Ambr. 2973 3824 — διφορεῖται cf. Ambr. 3187 Ἀρεοπαγίτης alt.—σιωπηλῶν = Macar. II 30; Philol. Suppl. 6, 260, n. 220; Ἄρεως pr.—θρασυτάτων = Macar. II 31, Philol. Suppl. 6, 260, n. 219, 230, n. 7

3814 cf. 3836; Z 295 3815 Z 286 3818 Z 286 3819 Ar. cf. 4702 3821 cf. 1449; Z 297 3823 Z 288 3824 διφορεῖται cf. 3838 fin.

A(GITVFM) 2 ποταμο0] πόλεως F 11 ἀρᾶς] ἀραῖς AF 16 μέμνηνται] μέμνηται GI, sch. 21 τοιαύτης] ταύτης GIT, 1449 22 Ἄρρεν] Ἄρρενι A 23 ἡ om. VM 24 ὁ ἀνδρόγυνος] καὶ ἀ. FV 30 Ἀρεοπαγίτης utrob.] Ἀρεωπαγίτης $G^{ac}I^{ac}T^{ac}V^{ec}$

νεοττὸς, καὶ Ἄρεως παιδίον, ἐπὶ τῶν θρασυτάτων. κέχρηται Σ
τῷ μὲν πρώτῳ Πλάτων Πεισάνδρῳ, τῷ δὲ δευτέρῳ Ἀλεξανδρίδης
Πεισάνδρῳ.

3825 Ἀρρεπής: κούφη.

3826 Ἄρες· ἄρον δέ.

3827 Ἀρέσκεια. καὶ Ἀρέσκω· πρὸς αἰτιατικὴν σύνταξιν καὶ Δ
Σοφοκλῆς καὶ Ἀριστοφάνης· cὲ δὲ ταῦτ' ἀρέσκει. καὶ ἀρέσει τῷ θεῷ Soph.
ὑπὲρ μόχθον γέον. δοτική. Synt.

3828 Ἀρεστήρ: πόπανον τὸ ἐν ταῖς θυσίαις ἐπιτιθέμενον. παρὰ τὸ Rhet.
ἀρεστόν.

3829 Ἄρ' ἔστιν; οὐκ ἔνεστιν; ἡ γνώμη πλανᾷ; καὶ φημὶ Soph.
κἀπόφημι, κοὐκ ἔχω τί φῶ.

3830 Ἀρετή: διάθεσις ὁμολογουμένη καὶ αὐτὴ δι' αὐτὴν οὖσα αἱρετή, Phil.
οὐ διά τινα φόβον ἢ ἐλπίδα ἤ τι τῶν ἔξωθεν· ἐν αὐτῇ τέ ἐστιν εὐ-
δαιμονία, ἅτε οὖσῃ ψυχῇ πεποιημένῃ πρὸς τὴν ὁμολογίαν παντὸς
βίου. καὶ διαστρέφεσθαι δὲ τὸ λογικὸν ζῷον, ὁτὲ μὲν διὰ τὰς τῶν
ἔξωθεν πραγματειῶν πιθανότητας, ὁτὲ δὲ διὰ τὴν κατήχησιν τῶν
συνόντων· ἐπεὶ ἡ φύσις ἀφορμὰς δίδωσιν ἀδιαστρόφους. ἡ ἀρετὴ δὲ
τέλειός ἐστιν, ὥσπερ ἀνδριάς· καὶ ἡ ἀθεώρητος, ὥσπερ ὑγεία· ἡ θεω-
ρηματικὴ, ὡς φρόνησις. καὶ ἐπιστημονικαὶ μέν εἰσι καὶ θεωρηματικαὶ
αἱ ἔχουσαι σύστασιν ἐκ θεωρημάτων, ὡς φρόνησις καὶ δικαιοσύνη·
ἀθεώρητοι δὲ αἱ κατὰ παρέκτασιν θεωρούμεναι ταῖς ἐκ τῶν θεωρημά-
των συνεστηκυίαις, καθάπερ ὑγεία καὶ ἰσχύς. τῇ γὰρ ἀφροσύνῃ τε-
θεωρημένῃ ὑπαρχούσῃ συμβαίνει ἀκολουθεῖν καὶ παρεκτείνεσθαι τὴν
ὑγείαν, καθάπερ τῆς ψαλίδος οἰκοδομίᾳ τὴν ἰσχὺν ἐπιγίνεσθαι. καλοῦν-
ται δὲ ἀθεώρητοι, ὅτι μὴ ἔχουσι συγκαταθέσεις, ἀλλ' ἐπιγίνονται, ὡς
ὑγεία καὶ ἀνδρεία. τεκμήριον δὲ τοῦ ὑπαρκτὴν εἶναι τὴν ἀρετὴν, τὸ
γενέσθαι ἐκ προκοπῆς τοὺς περὶ Σωκράτην, Διογένην, Ἀντισθένην.
εἶναι δὲ καὶ τὴν κακίαν ὑπαρκτὴν διὰ τὸ ἀντικεῖσθαι τῇ ἀρετῇ. δι-
δακτήν τε εἶναι τὴν ἀρετὴν, καὶ δῆλον ἐκ τοῦ γίνεσθαι ἀγαθοὺς ἐκ
φαύλων. εἰσὶ δὲ δύο ἀρεταί, θεωρητικὴ καὶ πρακτική. οἱ δὲ γ',

3824 κέχρηται sq. Atticistis attr. Wentzel; Plat. com. fr. 104; Anaxandrid. fr. 38 (2, 150 K.) 3827 Ἀρέσκεια = Ambr. 3255 ἀρέσκω sq. cf. sch. Soph. El. 147, sch. Ar. Ran. 103, Pl. 72; Ἀριστοφάνης sq. Ran. 103 καὶ ἀρέσει—νέον Ps. 68, 31; δοτικὴ cf. An. Ox. 4, 286, 5 3828 — ἐπιτιθέμενον = Bk. 215, 29 cf. Ba 142, 20 3829 Soph. OC 316—7 3830 — p. 346, 5 κακίαι Laert. 7, 89—93

3826 cf. 3992 3828 Z 288 3830 cf. v. Γ 148; Z 297

2 Ἀλεξανδρίδης] Ἀναξανδρίδης Hemst. sed cf. p. 5, 26 3 Πεισάνδρῳ] A(GITFVM) Πανδάρῳ Mein. hist. cr. 1, 373 3825 ex Img.M 4 κούφη M om. I 3826 ex Img.M (post 3827) 7 καί—8 δοτικὴ om. AFV post 3825 M ἀρέσει IM Ps. ἀρέσκει GT 12 κοὐκ] οὐκ AF 17 κατήχησιν Laert. κατίχησιν F κατίσχησιν AIVM κατίσχυσιν GT 19 ἐστιν GITF εἶναι VM om. A ἀνδριάς] ἀνδρεία V 20 ὡς] ὥσπερ V 23 ἀφροσύνῃ] εὐφροσύνῃ pr. 25 οἰκοδομίᾳ] οἰκονομίᾳ F 26 ἔχουσι] ἐχούσης A 28 Διογένην Ἀντισθένην] καὶ Δ. καὶ Ἀ. F Laert. 31 θεωρητή A, ss. M

λογικὴν, φυσικὴν, ἠθικήν, οἱ δὲ περὶ Ποσειδώνιον δ', οἱ δὲ πλείονας, οἱ δὲ μίαν, τὴν φρόνησιν. πρώτας δὲ ἀνδρείαν, φρόνησιν, δικαιοσύνην, σωφροσύνην, τὰς δὲ λοιπὰς ὑποτεταγμένας ταύταις, μεγαλοψυχίαν, ἐγκράτειαν, καρτερίαν, ἀγχίνοιαν, εὐβουλίαν. ἀνάλογοι δὲ καὶ αἱ κακίαι. τὸν δὲ ἐνάρετον χρὴ θεωρητικὸν εἶναι καὶ πρακτικὸν ποιητέων. τὰ δὲ ποιητέα καὶ αἱρετέα ἐστὶ καὶ ὑπομενετέα καὶ ἐμμενετέα, ὥστε εἶναι τὰ μὲν αἱρετῶς ποιεῖν, τὰ δὲ ὑπομονητικῶς, τὰ δὲ ἐμμενετικῶς, φρόνιμός τέ ἐστι καὶ ἀνδρεῖος καὶ δίκαιος καὶ σώφρων. κεφαλαιοῦσθαι δὲ ἑκάστην τῶν ἀρετῶν περί τι ἴδιον κεφάλαιον, οἷον τὴν ἀνδρείαν περὶ τὰ ὑπομενετέα, τὴν φρόνησιν περὶ τὰ ποιητέα καὶ μὴ καὶ οὐδέτερα· ὁμοίως καὶ τὰς ἄλλας περὶ τὰ οἰκεῖα τρέπεσθαι. ἀρετὴ δέ ἐστι βελτίστη ἕξις, ἢ ἕξις ἀφ' ἧς αὐτό τε τὸ οὗ ἐστιν ἄριστόν ἐστι καὶ τὰς ἐνεργείας τὰς οἰκείας ἄριστα ἀποδίδωσιν. ἀρετὴ κατὰ φύσιν· κακία παρὰ φύσιν. ὅτι οὐ πᾶσα ἀρετὴ ἐπιστήμη· ἔστι γὰρ ἡ μὲν διανοητική, ἡ δὲ ἠθική· αἱ δὲ ἠθικαὶ οὐκ ἔχουσιν ἐν τῇ γνώσει τὸ εἶναι. ὅτι φασὶν οἱ Στωϊκοὶ μηδὲν μεταξὺ εἶναι ἀρετῆς καὶ κακίας, οἱ δὲ Περιπατητικοὶ μεταξὺ λέγουσιν εἶναι τὴν προκοπήν. ὡς γὰρ δεῖν φασιν οἱ Στωϊκοὶ ἢ στρεβλὸν εἶναι ξύλον ἢ ὀρθόν, οὕτως ἢ δίκαιον ἢ ἄδικον, οὔτε δικαιότερον, οὔτε ἀδικώτερον· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. ὅτι αἱ πολιτικαὶ ἀρεταὶ κατακοσμοῦσιν ἡμᾶς καὶ ἀμείνους ποιοῦσιν, ὁρίζουσαι καὶ μετροῦσαι τὰς ἐπιθυμίας, καὶ ὅλως τὰ πάθη μετροῦσαι, καὶ ψευδεῖς δόξας ἀφαιροῦσαι, τῷ ὅλως ἀμείνονι καὶ τῷ ὡρίσθαι καὶ τῶν ἀμέτρων καὶ ἀορίστων ἔξω εἶναι. τὰς δὲ πολιτικὰς ἀρετὰς ὁ Πλάτων ἀλλαχοῦ καθάρσεις λέγει. δ' ἀρεταί. ὅτι ἕπεται τῇ φρονήσει εὐβουλία καὶ σύνεσις, τῇ δὲ σωφροσύνῃ εὐταξία καὶ κοσμιότης, τῇ δὲ δικαιοσύνῃ ἰσότης καὶ εὐγνωμοσύνη, τῇ δὲ ἀνδρείᾳ ἀπαραλλαξία καὶ εὐτονία.

Harp. Phil. 3831 Ἀρετή: Ἀνδοκίδης καὶ Θουκυδίδης ἀντὶ τοῦ εὐδοξία. ὅτι ἀποβλητὴ ἡ ἀρετὴ διὰ μέθην ἢ μελαγχολίαν, ἀναπόβλητος δὲ διὰ βεβαίαν κατάληψιν· καὶ αὐτάρκη δὲ αὐτήν φασιν εἶναι. οἱ δὲ οὐκ αὐτάρκη εἶναι, ἀλλὰ χρεία ἐστὶν ἰσχύος καὶ ὑγείας καὶ χορηγίας. ὅτι ἡ ἀρετὴ τῶν ἀντικειμένων ἐστίν· ἀντικείμενα δέ εἰσιν, ὅσα τῇ ἀναιρέσει τῶν ἐναντίων συνίσταται· τυφλότης, ὄψις, κατάφασις, ἀπόφασις καὶ τὰ ὅμοια. E ζήτει ἐν τῷ ὑπερήφανος. ὅτι ἀρετῆς κτῆμα, ὅταν ἀπίδοι τις εἰς τὴν Ῥωμαίων εὐταξίαν, ἐπιγνώσεται εἶναι ἀρετῆς κτῆμα, οὐ τύχης δῶρον.

3830 vs. 5 τόν—11 τρέπεσθαι Laert. 7, 126; vs. 11 ἀρετή—ἀποδίδωσιν Alex. Aphr. 144, 26—7; vs. 14 ὅτι—15 εἶναι Alex. Aphr. 139, 19—21; vs. 16 μηδέν—19 ὁμοίως Laert. 7, 127; vs. 24 ἕπεται sq. Laert. 7, 126 3831 — εὐδοξία Harp. = An. Ox. 2, 490, 30, Ba 142, 21; Andoc. fr. 6 Blass; Thuc. 1, 33, 2 ἀποβλητή—31 χορηγίας Laert. 7, 127—8 vs. 34 ἀρετῆς sq. Ios. bell. 3, 71

A(GITFVM) 5 ποιητέων] ποιητέον A 6 αἱρετέα] αἱρετά FV 6 (et 10) ὑπομενετέα] ὑπομονετέα TV 8 τέ ἐστι] ἐστί τε A, δέ ἐστι F 10 οὐδέτερα] οὐδετέρως A (cp.), F 20 αἱ om. A 22 τῷ alt.] τό AF ὡρίσθαι] ὠνεῖσθαι A 31 χρεία ἐστὶν AFM χρῄζειν GIT ἐστιν V

3832 Ἀρετῶ: τὸ ἀρετῆς ἐπιμελοῦμαι. Προκόπιος· ἀμφότεροι δὲ, Δ
οἱ μὲν θανατῶντες, οἱ δὲ ἀρετῶντες, ἐπὶ τοὺς πέλας πολλῷ ἵεντο. E
3833 Ἀρζανηνή: τόπος. Δ
3834 Ἀρειανός. ἰστέον, ὅτι ἐγένοντο καὶ ἐν Ἀρειανοῖς διαιρέσεις Δ
διʼ αἰτίαν τοιαύτην. καθʼ ἑκάστην παρʼ αὐτοῖς ἐριστικαὶ ζητήσεις εἰς E
ἄτοπά τινα τοὺς λόγους αὐτῶν προήγαγον. ἐπεὶ γὰρ ἐν τῇ ἐκκλησίᾳ
πιστεύεται ὁ θεὸς πατὴρ εἶναι τοῦ υἱοῦ τοῦ λόγου, ζήτημα ἐνέπεσεν
εἰς αὐτοὺς, εἰ δύναται καὶ πρὸ τοῦ ὑποστῆναι τὸν υἱὸν ὁ θεὸς καλεῖ-
σθαι πατήρ. ἐπεὶ γὰρ τὸν τοῦ θεοῦ λόγον οὐκ ἐκ πατρὸς γεννᾶσθαι,
ἀλλʼ ἐξ οὐκ ὄντων ὑποστῆναι ἐδόξαζον, περὶ τὸ πρῶτον καὶ ἀνωτάτω
κεφάλαιον σφαλέντες εἰκότως περὶ ψιλοῦ ὀνόματος εἰς ἄτοπον φιλο-
νεικίαν ἐξέπεσον. Δωρόθεος μὲν ἐκ τῆς Ἀντιοχείας ὑπʼ αὐτῶν μετα-
σταλεὶς ἔλεγε μὴ δύνασθαι πατέρα εἶναι ἢ καλεῖσθαι μὴ ὑφεστῶτος
υἱοῦ. Μαρῖνος δὲ, ὃν ἐκ Θρᾴκης πρὸ Δωροθέου κεκλήκειαν, καιροῦ
δραξάμενος ἀφορμῆς (ἐλυπεῖτο γὰρ ὅτι αὐτοῦ Δωρόθεος προεκέκριτο)
τοῦ ἐναντίου λόγου προΐστατο. καὶ γίνεται εἰς αὐτοὺς διαίρεσις διὰ
τὸ προλεχθὲν λεξείδιον, καὶ κατʼ ἰδίαν ἑκάτερος τὰς συναγωγὰς ἐποι-
οῦντο, λέγοντες τὸν πατέρα εἶναι πατέρα καὶ μὴ ὑφεστῶτος υἱοῦ.
ἐκαλοῦντο δὲ οὗτοι Ψαθυριανοί, ὅτι Θεόκτιστός τις, ψαθυροπώλης,
Σύρος, διαπύρως τῷ λόγῳ τῷδε συνίστατο. ἐπηκολούθησε δὲ αὐτοῖς
καὶ Σελενᾶς ὁ τῶν Γότθων ἐπίσκοπος. καὶ οὗτοι μικρὸν ὕστερον
διῃρέθησαν, Μαρίνου πρὸς Ἀγάπιον διενεχθέντος, ὃν αὐτὸς εἰς ἐπί-
σκοπον Ἐφέσου προβέβλητο. οὗτοι δὲ οὐ περὶ θρησκείας ἀλλὰ περὶ
προεδρίας μικροψυχήσαντες ἐπολέμουν ἀλλήλοις. ἐχωρίζοντο δὲ ἀλ-
λήλων ἐπὶ ἔτη λεʹ ἕως τοῦ νέου Θεοδοσίου.
3835 Ἀρειανὸς καὶ Ἀρειανίζω καὶ Ἀρειανισταὶ καὶ τὰ τούτοις Δ+x
ὅμοια, ἀπὸ Ἀρείου τοῦ αἱρεσιάρχου· ὃς ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου
ἐν τοῖς ἱερωμένοις πρεσβυτέροις τεταγμένος, ἐπειδὴ τὰ πάντα συγχεῖν
ἐβούλετο, καταδικασθεὶς ὑπὸ τῆς ἐν Νικαίᾳ τῶν τιηʹ ἁγίων πατέρων
συνόδου, διεφθάρη ἀήθει καὶ καινῷ τοῦ θανάτου τρόπῳ. ἐν γὰρ τῷ
τῆς πόλεως φόρῳ, ἐπειχθείσης οἱ τῆς γαστρὸς, ἀποκλίνας εἰς ἀπό-
πατον ἅμα σὺν τοῖς διαφορήμασι πάντων ἐκενώθη τῶν ἐντὸς ἀναγκαίων.
καὶ ἐξ αὐτοῦ καὶ Ἀρειόφρονες.
3836 Ἀρειή: ἡ ἀπειλή. ἢ ἀσθενής. ὃ καὶ δασύνεται. Δ Hom.

3832 ἀμφότεροι sq. Proc. bell. 8, 35, 21 3833 = Ambr. 3244 3834 l. = Ambr. 3058 ἰστέον sq. Socr. h. e. 5, 23 3835 — Ἀρείου cf. Ambr. 3058, 2898, 3182, Ps. Herod. 185 3836 — ἀπειλή = Ambr. 3211, H, sch. P 431, Ap. S. 42, 16 cf. Ét. M. 139, 23 ἀσθενής sq. cf. ad 3814

3832 Z 307; Vind. 52 3833 Z 297 3834 cf. v. Ψαθυριανοί 3836 cf. 3814

3 Ἀρζανηνή] Ἀρξανηνή A Ἀρζαρηνή GT 3834—5 om. F 7 τοῦ alt.] A(GITFVM)
καί V 14 κεκλήκειαν] κεκλήκαει V 23 προβέβλητο] προεβέβλητο IT
25 ἐπί om. V 26 καὶ τά—27 ὅμοια om. V 29 ἐβούλετο] ἠβούλετο VM^{ac}
30 τῷ] ἔτῳ A 31 ἐπειχθείσης] ἐπειχθείσης A 33 Ἀρειόφρονες] αἱρετικοί
add. V cf. Ambr. 2898 34 ὃ om. V

Δ 3837 Ἀρειμάνειος: ὁ ἐν τῷ Ἄρει μαινόμενος. Ἀρειμένης δὲ ὄνομα κύριον.

Σ 3838 Ἄρειος πάγος: δικαστήριον Ἀθήνησιν. ἐν αὐταῖς βουλαὶ β′, ἡ μὲν τῶν φ′ καθ' ἕκαστον ἐνιαυτὸν κληρουμένη βουλεύειν, ἡ δὲ εἰς μίαν τῶν Ἀρεοπαγετῶν. ἐδίκαζε δὲ καὶ τὰ φονικὰ καὶ τὰ ἄλλα πολιτικὰ διῴκει σεμνῶς. ἐκλήθη δὲ Ἄρειος πάγος, ἤτοι ὅτι ἐν τῷ πάγῳ ἐστὶ καὶ ἐν ὕψει τὸ δικαστήριον· Ἄρειος δὲ, ἐπεὶ τὰ φονικὰ δικάζει· ὁ δὲ Ἄρης ἐπὶ τῶν φόνων· ἢ ὅτι ἔπηξε τὸ δόρυ ἐκεῖ ἐν τῇ πρὸς Ποσειδῶνα ὑπὲρ Ἁλιρροθίου δίκῃ, ὅτε ἀπέκτεινεν αὐτὸν βιασάμενον Ἀλκίππην τὴν αὐτοῦ καὶ Ἀγραύλου τῆς Κέκροπος θυγατρὸς, ὥς φησιν Δ Ἑλλάνικος ἐν α′. καὶ Ἄρειον τεῖχος καὶ Ἀρειοπαγίτης.

Δ 3839 Ἀρήγω: τὸ βοηθῶ.

Δ 3840 Ἀρηΐδηλος: ὁ φανερός.

Δ 3841 Ἀρηΐθοος: ὁ ἐν πολέμῳ ταχύς.

Δ 3842 Ἀρηΐλυκος: ὄνομα κύριον. καὶ Ἀρηϊλύκοιο.

Δ 3843 Ἀρήϊος: ὁ πολεμικός. καὶ Ἀρήϊοι. Ἀλκαῖος· ἀνδρες Soph. πόλεως πύργοι ἀρήϊοι. καὶ Ἀρηΐοις, τοῖς τοῦ πολέμου. εἶναι Ε ἔλεγε νεότητα ἐπίλεκτον καὶ ἀρηΐοις ὅπλοις πεφράχθαι.

Δ 3844 Ἀρηΐφατος: ὁ ἐν πολέμῳ ἀνῃρημένος.

Δ 3845 Ἀρηΐφιλος: ὁ φίλος τοῦ Ἄρεως.

Δ 3846 Ἀρημένος: ὁ βεβλαμμένος. καὶ Ἀρήμεναι.

Δ 3847 Ἀρήνη: ὄνομα πηγῆς.

Harp. 3848 Ἀρρηνοφορεῖν: δ′ μὲν ἐχειροτονοῦντο τῶν εὐγενῶν, δύο δὲ ἐκρίνοντο, αἵτινες ἦρχον τῆς ὑφῆς τοῦ πέπλου καὶ τῶν ἄλλων τῶν περὶ αὐτήν. λευκὴν δὲ ἐσθῆτα ἐφόρουν. εἰ δὲ χρυσία περιέθεντο, ἱερὰ ταῦτα ἐγίνετο.

Δ 3849 Ἀρήνωρ: ὁ φύλαξ.

Δ 3850 Ἀρήρει: εὖ ἥρμοστο. καὶ Ἀρηρός, τὸ εὐάρμοστον. Ἀρηρὼς δὲ ὁ ἡρμοσμένος.

3837 — μαινόμενος = Ambr. 2892; Ἀρειμένης sq. = Ambr. 2965 cf. 2963 3838 — vs. 11 α′ = Ba 142, 22 cf. Et. M. 139, 7, sch. Pl. Phaedr. 229 d, Bk. 197, 22, H; Hellanic. fr. 38, FGrHist 4 Ἄρειον τεῖχος = Ambr. 3304; Ἀρειοπαγίτης cf. Ambr. 3187 b 3839 = Ambr. 3329 cf. Et. M. 141, 5, H 3841 = Ambr. 2918, Et. M. 139, 57 3842 = Ambr. 2969 3843 — πολεμικός = Ambr. 2923, sch. B 698, Et. M. 139, 42, H Ἀλκαῖος (fr. 23)—ἀρήϊοι alt. sch. Soph. OT 56 3844 = Ambr. 2883 cf. sch. Ω 415, Et. M. 140, 2, Ba 143, 20, H 3845 cf. Ambr. 2896 3846 = Ambr. 3331 et 3342 cf. sch. Σ 435, H 3847 = Ambr. 3282 3848 Harp. = Ba 145, 24 cf. Bk. 202, 3 3849 = Ambr. 2894 3850 ἥρμοστο = Ambr. 3330, sch. Γ 338, Et. M. 141, 23 cf. H; ἀρηρός cf. Ambr. 3292; ἀρηρὼς sq. = Ambr. 3336

3837 cf. Z 290 3838 cf. 1243 fin. et 3824 3840 cf. 3876 3844 Z 289 3846 Z 307 3847 Z 297

A(GITFVM) 1 Ἀρειμάνειος AGITF Et. Gud., Ἀρειμάνιος VM Et. M. cf. Ambr. Ἀρειμένης AGITF Ἀρειμάνης VM cf. Hes., Ἀριμεάνης Ambr. 3053 6 δέ] δὲ καί M ἤτοι] ἢ F Et. 15 Ἀρηϊλύκοιο] Ἀρηϊλύκοις A 18 ἔλεγε] ἔλεγον GI καί om. M 20 Ἄρεως] Ἄρεος GI^{ac}TV^{ac}M^{ac}

3851 Ἀρηρομένη: ἠροτριασμένη. Hom.

3852 Ἄρης: κυρίως ὁ σίδηρος. βαψαμένη κοίλων ἐντὸς Ἄρη Ecl. Anth.
λαγόνων. σημαίνει δὲ καὶ τὸν πόλεμον. παρὰ τὸ ῥῶ τὸ λέγω, Ecl.
ὁ μέλλων ῥήσω, ῥῆς, καὶ μετὰ τοῦ στερητικοῦ α Ἄρης. ἐν γὰρ
πολέμῳ οὐ λόγων ἀλλ' ἔργων χρεία. καὶ Ὅμηρος· ἐν γὰρ χερσὶ τέλος
πολέμου, ἐπέων δ' ἐνὶ βουλῇ. τὸ α καὶ μακρὸν καὶ βραχύ. Ὅμηρος·
Ἄρες, Ἄρες βροτολοιγέ. κλίνεται δὲ Ἄρης, Ἄρου, καὶ Ἄρης, Ἄρητος,
καὶ Ἄρης, Ἄρεος. Ἄρης γάρ ἐστι καὶ ταράττει τὴν κλίσιν.

3853 Ἄρης τύραννος: ἐπὶ τῶν μετὰ βίας τι διαπραττομένων. Prov.

3854 Ἀρρήσιος, μοναχός· ὃς τοὺς νέους πταίσαντας οὐκ ἀφώριζεν, E
ἀλλὰ τοὺς προκόψαντας λέγων, ὅτι ὁ νέος ἀφορισθεὶς καταφρονητὴς
γίνεται, ὁ δὲ προκόψας τῆς ἐκ τοῦ ἀφορισμοῦ ὀδύνης ταχεῖαν λαμβάνει
τὴν συναίσθησιν.

3855 Ἀρήτη: ὄνομα κύριον. Δ

3856 Ἀρήτιον. Δ

3857 Ἀρητῖνοι: ὄνομα ἔθνους. Δ

3858 Ἀρήσασθαι: εὔξασθαι. Δ

3859 Ἀρητήσιον πεδίον. Δ

3860 Ἀρητόν: τὸ βλαβερόν. Ἄρρητον δὲ λόγον, κακόφημον, Δ
μὴ ῥηθῆναι ὀφείλοντα. Σοφοκλῆς· πῶς δῆτα λέγω λόγον ἄρρητον. Soph.
ἀρρήτων ἀρρητότερον καὶ κακῶν πέρα γεγραφὼς ἢ καὶ πεπραχώς.
τίς οὖν οὐ μισήσειεν ὑπερβολὴν ἀρρητουργίας ἑτέροις μὴ ἀπολε-
λεῖφθαι; λαμβάνεται δὲ ἡ λέξις καὶ ἐπὶ ἀκαταληψίᾳ, ὡς τό· ἄρ-
ρητον τὸ θαῦμα τῆς σῆς κυήσεως, μητροπάρθενε.

3861 Ἀρρητοποιΐα: ἀσέλγεια, αἰσχρουργία. Δ

3862 Ἄρητος: ὄνομα κύριον. Δ

3863 Ἀρρηφορία: θυσία. εἰ μὲν διὰ τοῦ ἄλφα ἀρρηφορία, Δ
ἐπειδὴ τὰ ἄρρητα ἐν κίσταις ἔφερον τῇ θεῷ αἱ παρθένοι· εἰ δὲ διὰ Ar.
τοῦ ε ἐρσεφορία· τῇ γὰρ Ἕρσῃ ἐπόμπευον τῇ Κέκροπος θυγατρί.
καὶ Ἀρρηφόροιο. καὶ Ἀρρηφόροι, αἱ τὰ ἄρρητα φέρουσαι Δ
μυστήρια. ἀρρηφόροι καὶ παναγεῖς γυναῖκες. Σ+E

3851 sch. Σ 548 cf. H, Ambr. 3334, Apion 3852 — σίδηρος + σημαίνει— vs. 6 βουλῇ cf. Et. M. 140, 17; σίδηρος cf. Artem. 5, 87; κλίνεται—Ἄρεος cf. Herodian. gramm. 2, 638, 26, Ambr. 2960; Π 613, Ε 31 vs. 2 βαψαμένη—λαγόνων Anth. 7, 531, 2 3853 = Macar. II 39 cf. H 3854 Socr. h. e. 4, 23, PG 67, 512c 3855 = Ambr. 3228 3856 cf. Ambr. 3316 3857 = Ambr. 3178 3858 = Ambr. 3337, H cf. sch. Z 115 3859 = Ambr. 3317 3860 — βλαβερόν = Ambr. 3295 cf. sch. P 37, H vs. 19 ἄρρητον—20 ἄρρητον Soph. Ai. 214 c. sch. ἀρρήτων—πεπραχώς Iul. or. 7, 210d 3862 = Ambr. 3057 3863 εἰ pr.—θυγατρί sch. Ar. Lys. 642 cf. Et. M. 149, 13, Herodian. gramm. 2, 479, 3 ἀρρηφόροι pr. —μυστήρια cf. Ba 146, 3, Et. M. 149, 15; ἀρρηφόροι alt. sq. Aelian. fr. 310

3852 Z 289 3863 hinc. v. ἑρσεφορία; Aelian. cf. v. παναγές

4 Ἄρης] ἄρεις A cf. Et. M. 140, 26 5 λόγων] λόγῳ A 11 προ- A(G1TFVM)
κόψαντας] προκοίψαντας A προκόπτοντας V 3856 non nov. gl. A om. GT
3858 extra ord. 27 Ἀρρηφορία] Ἀρρητοφορία V utrob. cf. Ambr. 3325
30 Ἀρρηφόροιο] Ἀρρηφόροις pr. Ἀρρηφόροι] Ἀρρητοφόροι V

Δ 3864 Ἀρία: ὄνομα πόλεως.

Suid. 3865 Ἀριάδνη: γυνὴ τοῦ Θησέως. καὶ ζήτει ἐν τῷ Αἰγαῖον πέλαγος.

Δ 3866 Ἀριαμένης: ὄνομα κύριον.

Hesy. 3867 Ἀρριανός, ἐποποιὸς, μετάφρασιν τῶν Γεωργικῶν τοῦ Βεργιλλίου ἐπικῶς ποιήσας· Ἀλεξανδριάδα· ἔστι δὲ κατὰ τὸν Μακεδόνα ἐν ῥαψῳδίαις εἴκοσι καὶ τέσσαρσιν· εἰς Ἄτταλον τὸν Περγαμηνὸν ποιήματα.

Hesy. 3868 Ἀρριανός, Νικομηδεὺς, φιλόσοφος Ἐπικτήτειος, ὁ ἐπικληθεὶς νέος Ξενοφῶν. ἦν δὲ ἐν Ῥώμῃ ἐπὶ Ἀδριανοῦ καὶ Μάρκου καὶ Ἀντωνίνου τῶν βασιλέων, καὶ ἀξιωμάτων μεταλαβὼν καὶ μέχρις αὐτοῦ τοῦ ὑπατεῦσαι, καθά φησιν Ἑλικώνιος, διὰ τὴν τῆς παιδείας δεξιότητα. ἔγραψε δὲ βιβλία παμπληθῆ.

Δ 3869 Ἀριαράθης: ὄνομα κύριον.

Σ 3870 Ἀρύβαλλος: οὐ μόνον παρὰ Στησιχόρῳ καὶ ἄλλοις Δωριεῦσιν, ἀλλὰ καὶ ἐν Ἱππεῦσιν Ἀριστοφάνης· εἶτα κατασπένδειν κατὰ τῆς κεφαλῆς ἀρυβάλλῳ.

Δ 3871 Ἀριβαρζάνης: ὄνομα κύριον.

Hesy. 3872 Ἀριγνώτη, μαθήτρια Πυθαγόρου τοῦ μεγάλου καὶ Θεανοῦς, Σαμία, φιλόσοφος Πυθαγορική. συνέταξε τάδε· Βακχικά· ἔστι δὲ περὶ τῶν Δήμητρος μυστηρίων· ἐπιγράφεται δὲ καὶ Ἱερὸς λόγος. ἔγραψε δὲ καὶ Τελετὰς Διονύσου καὶ ἄλλα φιλόσοφα.

Δ 3873 Ἀρίγνωτος: ὁ εὐδιάγνωστος.

Δ 3874 Ἀριδαῖος: ὄνομα κύριον.

Δ 3875 Ἀρίδες: ἡ εὐθεῖα ἀρίς, τὸ τεκτονικὸν ἐργαλεῖον. καὶ γυρὰς ἀμφαδέτους ἀρίδας. καὶ αὖθις· αἵ τ' ἀρίθες ξυστήρ τε. Ἄρις δὲ, ὁ μὴ ἔχων ῥῖνα.

Anth.

Δ Hom. 3876 Ἀριδείκετος: ὁ διάδηλος. καὶ ἔνδοξος. Ἀρίδηλος δὲ ὁ διάδηλος καὶ φανερός.

Δ 3877 Ἀριαῖος: ὄνομα κύριον.

Δ 3878 Ἀριζήλη: ἡ διάδηλος καὶ φανερά. καὶ Ἀρίζηλος, ἀρσενικόν.

Δ? 3879 Ἀριήκοον: ὀξυήκοον, εὐπειθῆ.

3864 = Ambr. 3261 3866 = Ambr. 2964 3868 cf. Phot. bibl. 17b 11 3869 = Ambr. 2958 3870 = Ba 143, 15; Stesich. fr. 11; Ar Eq. 1094 3873 = Ambr. 2920 cf. sch. N 72 3874 = Ambr. 3055 3875 vs. 24 καί—ἀρίδας Anth. 6, 103, 2; αἱ—τε Anth. 6, 205, 5 ἄρις sq. = Ambr. 2945 3876 — διάδηλος = Ambr. 2939 cf. H ἔνδοξος sch. Λ 248 cf. H ἀρίδηλος sq. = Ambr. 2941 cf. 2890, H 3877 = Ambr. 3007 3878 φανερά = Ambr. 3224; ἀρίζηλος = Ambr. 2940

3870 Ar. cf. 4057 3871 cf. 3885 3875 hinc 3888 3876 cf. 3840 3879 Z 240

A(GITFVM) 3865 om. GF post 3866 A post 3868 T 2 καί—πέλαγος om. TV 5 κατὰ τὸν Μακεδόνα] περὶ τοῦ Μακεδόνος· κατὰ τὴν Ἰλιάδα coni. Dr. 6 ῥαψωδίαις Kust. ῥαψωδίᾳ GITF cp. AVM 9 Ἀντωνίνου] Ἀντωνίου A 12 παμπληθῆ] ὧν καὶ τὰ περὶ Ἀλέξανδρου καὶ αἱ τοῦ Ἐπικτήτου διατριβαί add. T 14 Ἀρύβαλλος] Ἀρίβαλλος I Ba (et ordo poscit) Ἄρμαλλος F; item 16 19 ἔστι] ἔτι Kust. 20 ἐπιγράφεται] ἐπιγρᾷ φέρεται GIT 30 ἀρσενικόν VM ἀρσενικῶς GITF cp. A

3880 Ἀριθμῶ· αἰτιατικῇ. καὶ Ἀριθμοῦντα, κατατάττοντα. καὶ Δ |
ἀριθμοῦντά τινας τοῖς δορυφόροις. · ὅτι οἱ Πυθαγόρειοι πάντα ἀριθμὸν x + E
προσηγόρευον. ὁ δὲ ἀριθμὸς συμπληροῦται τοῖς δέκα. ὁ δὲ δέκα σύνθεσις τῶν δ'. Suid.
καὶ διὰ τοῦτο τὸν ἀριθμὸν πάντα τετρακτὺν ἔλεγον.
3881 Ἄριμα: ὄρη. καὶ Ἀριμάνιος, θεὸς παρ' Αἰγυπτίοις. Δ
3882 Ἀριμάσπειος: τόπος. καὶ Ἀριμασπός, ἐθνικόν. Δ
3883 Ἀριματθαῖος: ἀπὸ τόπου. Δ
3884 Ἀρίμηνον: ὄνομα πόλεως. καὶ Ἀριμίνιος, ὄνομα ἐθνικόν. Δ
3885 Ἀριοβαρζάνης: ὄνομα κύριον. Δ
3886 Ἀρίων, Μηθυμναῖος, λυρικός, Κυκλέως υἱός, γέγονε κατὰ τὴν Hesy.
λη' Ὀλυμπιάδα. τινὲς δὲ καὶ μαθητὴν Ἀλκμᾶνος ἱστόρησαν αὐτόν.
ἔγραψε δὲ ᾄσματα· προοίμια εἰς ἔπη β'. λέγεται καὶ τραγικοῦ τρόπου
εὑρετὴς γενέσθαι καὶ πρῶτος χορὸν στῆσαι καὶ διθύραμβον ᾆσαι καὶ
ὀνομάσαι τὸ ᾀδόμενον ὑπὸ τοῦ χοροῦ καὶ Σατύρους εἰσενεγκεῖν ἔμ-
μετρα λέγοντας. φυλάττει δὲ καὶ ἐπὶ γενικῆς. Δ
3887 Ἀριπρεπής: ὁ διάδηλος. Δ
3888 Ἄρις: ὁ μὴ ἔχων ῥῖνα. Suid.
3889 Ἀρίσβη: πόλις τῆς Βοιωτίας. Δ
3890 Ἀρίσημος: φανερὸς ἐν πολέμοις. Δ
3891 Ἄριστα: κάλλιστα. καὶ παροιμία· Ἄριστα χωλὸς ὑφεῖ. Prov.
ἐπὶ τῶν τὰ οἰκεῖα κακὰ μᾶλλον αἱρουμένων ἢ τὰ ἀλλότρια ἀγαθά.
3892 Ἀρίσταρχος, Ἀλεξανδρεὺς θέσει, τῇ δὲ φύσει Σαμοθρᾷξ, Hesy.
πατρὸς Ἀριστάρχου. γέγονε δὲ κατὰ τὴν ρνς' Ὀλυμπιάδα, ἐπὶ Πτο-
λεμαίου τοῦ Φιλομήτορος, οὗ καὶ τὸν υἱὸν ἐπαίδευσε. λέγεται δὲ
γράψαι ὑπὲρ ω'' βιβλία ὑπομνημάτων μόνων. μαθητὴς δὲ γέγονεν
Ἀριστοφάνους τοῦ γραμματικοῦ καὶ Κράτητι τῷ γραμματικῷ Περγα-
μηνῷ πλεῖστα διημιλλήσατο ἐν Περγάμῳ. μαθηταὶ δὲ αὐτοῦ γραμ-
ματικοὶ περὶ τοὺς μ' ἐγένοντο. τελευτᾷ δὲ ἐν Κύπρῳ ἑαυτὸν ὑπ-
εξαγαγὼν ἐνδείᾳ τροφῆς, νόσῳ τῇ ὕδρωπι ληφθείς. ἔτη δὲ αὐτοῦ τῆς
ζωῆς οβ'. καὶ παῖδας μὲν κατέλιπεν Ἀρίσταρχον καὶ Ἀριστα γόραν.
ἄμφω δὲ ἐγένοντο εὐήθεις, ὥστε καὶ ἐπράθη ὁ Ἀρίσταρχος· Ἀθηναῖοι
δὲ ἐλθόντα παρ' αὐτοῖς ἐξωνήσαντο.

3880 l. = Ambr. 3353 αἰτιατικῇ = Synt. Laur. 3881 = Ambr. 3328 et 3014 3882 — τόπος cf. Ambr. 3327, 3146; Ἀριμασπός sq. = Ambr. 3175 3883 cf. Ambr. 3188 3884 l. = Ambr. 3293; Ἀριμίνιος sq. cf. Ambr. 3174, 3025 3885 = Ambr. 2998 3886 — Μηθυμναῖος et φυλάττει sq. = Ambr. 3100 3887 = Ambr. 2952 cf. sch. Θ 552 3889 = Ambr. 3234 3890 — φανερός = Ambr. 2909 3891 ἄριστα alt. sq. = Macar. II 40, Philol. Suppl. 6, 260, n. 221

3880 ὅτι sq. ex v. τετρακτύς 3881 Z 304 3885 cf. 3871 3886 cf. v. Κυκλέως 3888 ex 3875 3890 Z 290

1 ἀριθμοῦντα, κατατάττοντα] ἀριθμοῦνται, κατατάττονται GIT 2 ὅτι— A(GITFVMB)
4 ἔλεγον om. AF post. l. V 3 δ'] δύο V 4 τοῦτο GIT τοῦτον V cp. M
5 Ἀριμάνιος] Ἀριμάνος A 8 Ἀριμίνιος] Ἀριμήνιος G, Ambr. 3174, Ἀρι-
μένιος V ante 3886 φυλάττει mg. M cf. vs. 15, φησιν mg. F 11 λη'] κη' B
14 ἔμμετρα] ἔμμετρον A 15 δέ] δὲ τὸ ω pr. 3888 om. TV 27 διημιλ-
λήσατο VM διημιλλήσαςα τό A δὲ ἡμιλλήσατο GIT 32 ἐλθόντα] ἐλθόντες V

E 3893 Ἀρίσταρχος, Τεγεάτης, ὁ τῶν τραγῳδιῶν ποιητὴς, νοσεῖ τινα νόσον· εἶτα αὐτὸν ἰᾶται ὁ Ἀσκληπιὸς καὶ προστάσσει χαριστήρια τῆς ὑγείας. ὁ δὲ ποιητὴς τὸ δρᾶμα τὸ ὁμώνυμόν οἱ νέμει. θεοὶ δὲ ὑγείας μὲν οὐκ ἄν ποτε μισθὸν αἰτήσαιεν οὐδ' ἂν λάβοιεν. ἢ πῶς ἄν; εἴ γε τὰ μέγιστα ἡμῖν φρενὶ φιλανθρώπῳ καὶ ἀγαθῇ παρέχουσι προῖκα, ἥλιόν τε ὁρᾶν καὶ τοῦ θεοῦ τοῦ τοσούτου τῆς παναρκοῦς ἀμισθὶ μεταλαμβάνειν ἀκτῖνος, καὶ χρῆσιν ὕδατος καὶ πυρὸς συντέχνου μυρίας ἐπιγονὰς, καὶ ποικίλας ἅμα καὶ συνεργοὺς ἐπικουρίας, καὶ ἀέρος σπᾶν καὶ ἔχειν τροφὴν ζωῆς τὸ ἐξ αὐτοῦ πνεῦμα. ἐθέλουσι δὲ ἄρα ἐν τοῖσδε τοῖς μικροῖς μήτε ἀχαρίστους εἶναι μήτε ἀμνήμονας ἡμᾶς, καὶ ἐν τούτοις ἀμείνονας ἀποφαίνοντες. οὗτος δὲ ὁ Ἀρίσταρχος Hesy. σύγχρονος ἦν Εὐριπίδῃ· ὃς πρῶτος εἰς τὸ νῦν αὐτῶν μῆκος τὰ δράματα κατέστησε. καὶ ἐδίδαξε μὲν τραγῳδίας ο', ἐνίκησε δὲ β', βιοὺς ὑπὲρ ἔτη ρ'.

E 3894 Ἀρίσταρχος· οὗτος τὴν ἐν Ἐφέσῳ μόναρχον εἶχεν ἐξουσίαν ἐκ τῶν Ἀθηναίων ἥκων κλητός. ἐκάλουν δὲ ἄρα αὐτὸν οἱ προσήκοντες, ὅτι ἐμμελῶς τε καὶ σὺν κηδεμονίᾳ αὐτῶν ἦρξεν ἔτεσι ε'. ὑπανέστη δὲ ἐκ τῶν Ἀθηναίων, ὅτε Ἅρπαγος Κῦρον τὸν Καμβύσου παῖδα ἐπὶ τὴν σὺν Πέρσαις ἀπόστασιν ἐπάρας ἔτυχεν.

Δ 3895 Ἀρίσταχμος: ὄνομα κύριον.

Δ 3896 Ἀρισταίνετος: ὄνομα κύριον.

EV 3897 Ἀρίσταινος· Φιλοποίμην καὶ Ἀρίσταινος οἱ Ἀχαιοὶ συνέβησαν οὐ τὴν φύσιν μίαν σχεῖν, οὔτε τὴν αἵρεσιν τῆς πολιτείας. ἦν γὰρ ὁ μὲν Φιλοποίμην εὖ πεφυκὼς πρὸς τὰς πολεμικὰς χρείας καὶ κατὰ σῶμα καὶ κατὰ ψυχήν, ὁ δ' ἕτερος πρὸς τὰ πολιτικὰ καὶ λογικὰ τῶν διαβουλίων. τῇ δ' αἱρέσει κατὰ τὴν πολιτείαν τοῦτο διέφερον ἀλλήλων. τῆς γὰρ Ῥωμαίων ὑπεροχῆς ἤδη τοῖς Ἑλληνικοῖς πράγμασιν ἐμπλεκομένης ὁλοσχερῶς, κατά τε τοὺς Φιλιππικοὺς καὶ Ἀντιοχικοὺς καιροὺς Ἀρισταίνετος ἦγε τὴν ἀγωγὴν τῆς πολιτείας οὕτως, ὥστε πᾶν τὸ πρόσφορον μὲν Ῥωμαίοις ἐξ ἑτοίμου ποιεῖν, ἔνια δὲ καὶ πρὶν ἢ προστάξαι ἐκείνους. ἐπειρᾶτο μέντοιγε τῶν νόμων ἔχεσθαι δοκεῖν, καὶ τὴν τοιαύτην ἐφείλκετο φαντασίαν, εἴκων ὁπότε τούτων ἀντιπίπτοι τις προδήλως τοῖς ὑπὸ Ῥωμαίων γραφομένοις. ὁ δὲ Φιλοποίμην, ὅσα μὲν εἴη τῶν προκαλουμένων ἀκόλουθα τοῖς νόμοις καὶ τῇ συμμαχίᾳ, πάντα συγκατήνει καὶ συνέπραττεν ἀπροφασίστως, ὅσα

3893 — vs. 11 ἀποφαίνοντες Aelian. fr. 105 3895 = Ambr. 3070
3896 = Ambr. 2971 3897 Polyb. 24, 11 = EV 2, 174, 8—26

3895 hinc 3899 3895 + 3897 cf. Z 290

A(GITFVM) 1 τραγῳδιῶν AF τραγῳδῶν rell. 2 εἶτα αὐτὸν ἰᾶται] καὶ ἰᾶται αὐτόν V εἶτα] εἶτα δέ M 6 παναρκοῦς] παναλκοῦς V 7 ἀμισθὶ] ἀμιχθί V συντέχνου] ἀτέχνου GIT παντέχνου Hemsterh. 12 τὸ νῦν GT τὸν νοῦν AIM 20 Ἀρίσταχμος A Ambr. Ἀρίσταιχμος rell., 3899 cf. Zon. 290 22 Ἀχαιοί] ὁ μὲν Φιλοποίμην καὶ ἀνδρεῖος, ὁ δὲ συγκλητικὸς καὶ ἐπὶ τῆς βουλῆς ἔχων τὰ πρῶτα add. V 25 ὁ] οὐ A 27 γάρ] δέ A

δὲ τούτων ἐκτὸς ἐπιτάττοιεν, οὐχ οἷός τ' ἦν ἐθελοντὴς συνυπακούειν, ἀλλὰ τὰς μὲν ἀρχὰς ἔφη δεῖν δίκαιον ἡγεῖσθαι, μετὰ δὲ ταῦτα πάλιν ἀξιοῦν. εἰ δὲ μηδ' οὕτω πείθοιεν, τέλος οἷον ἐπιμαρτυρομένους εἴκειν καὶ τότε ποιεῖν τὸ παραγγελλόμενον.

3898 Ἀριστα῀ος: εἷς τῶν Γιγάντων, ὃς περιεσώθη. Ἀριστεὺς δὲ, Ἀριστέως. καὶ Ἀριστίων ὡσαύτως. ἔστι δὲ Σάμιος μὲν ἢ Πλαταιεὺς, ἐκ μειρακυλλίου δὲ ἑταῖρος Δημοσθένους· ἐπέμφθη δὲ ὑπ' αὐτοῦ πρὸς Ἡφαιστίωνα ἕνεκα διαλλαγῶν. μνημονεύει αὐτοῦ Ὑπερίδης ἐν τῷ κατὰ Δημοσθένους. ὅτι ἐν τῷ ὄρει τῆς Σικελίας, τῷ λεγομένῳ Αἴτνῃ, Ἀριστα῀ον μόνον τὸν Γίγαντα περισωθῆναί φασι· καὶ οὔτε πῦρ οὐράνιον ἐπ' αὐτὸν ἦλθεν, οὔτε Αἴτνη πιέζει αὐτόν.

3899 Ἀρίσταιχμος: ὄνομα κύριον.

3900 Ἀριστέας, Δημοχάριδος ἢ Καυστροβίου, Προικοννήσιος, ἐποποιὸς· τὰ Ἀριμάσπεια καλούμενα ἔπη· ἔστι δὲ ἱστορία τῶν Ὑπερβορέων Ἀριμασπῶν, βιβλία γ'. τούτου φασὶ τὴν ψυχὴν, ὅταν ἐβούλετο, ἐξιέναι καὶ ἐπανιέναι πάλιν. γέγονε δὲ κατὰ Κροῖσον καὶ Κῦρον, Ὀλυμπιάδι ν'. ἔγραψε δὲ οὗτος καὶ καταλογάδην Θεογονίαν, εἰς ἔπη ᾱ.

3901 Ἀριστερά: τὰ μωρά· δεξιὰ δὲ τὰ συνετά. Σοφοκλῆς περὶ Αἴαντός φησιν· οὔ ποτε γὰρ φρενόθεν γ' ἐπ' ἀριστερὰ, παῖ Τελαμῶνος, ἔβης.

3902 Ἀριστείδης, Ἀδριανεὺς, σοφιστὴς (Ἀδριανοὶ δὲ πόλις Μυσίας, τῆς νῦν Βιθυνίας), Πολέμωνος τοῦ Σμυρναίου ῥήτορος μαθητὴς, υἱὸς Εὐδαίμονος, φιλοσόφου τε καὶ ἱερέως γενομένου τοῦ ἐν τῇ πατρίδι αὐτοῦ ἱεροῦ τοῦ Διός. οἱ δὲ Εὐδαίμονα τὸν πατέρα αὐτοῦ γράφουσιν. ἠκροάσατο δὲ Ἡρώδου κατὰ τὰς Ἀθήνας καὶ ἐν Περγάμῳ Ἀριστοκλέους, γεγονὼς ἐπί τε Ἀντωνίνου τοῦ Καίσαρος καὶ διατείνας μέχρι Κομόδου. τῶν δὲ λόγων αὐτοῦ παρ' οὐδενὶ πέρας εὕροι τις ἄν, ἄλλως δὲ ἄλλοις ἐπιτευχθέντας.

3903 Ἀριστείδης, ὁ Λυσιμάχου, πένης ὢν διὰ τὸν τρόπον ἄνευ ὅρκων ἐπιστεύετο. καὶ Καλλίου ποτὲ κρινομένου παρελθὼν εἶπεν, ἐμοὶ τὸν ἄνδρα χαρίσασθε· καὶ ἔτυχε. τοῦ δὲ χρυσίον ἀντιπέμψαντος, παρῃτήσατο εἰπών· ὁ μὲν Καλλίου βίος τῆς Ἀριστείδου χρῄζει πενίας, ἡ δὲ Ἀριστείδου πενία καταφρονεῖ τοῦ Καλλίου πλούτου. οὕτος Θε-

3898 — περιεσώθη cf. Aelian. fr. 214 Ἀριστεύς—Ἀριστέως = Ambr. 2979 Ἀριστίων—Δημοσθένους Harp. = Ba 143, 10; Hyperid. 1, 5 3900 τούτου—πάλιν Hesychio abiudicavit Flach, Rh. Mus. 35, 204 3901 Soph. Ai. 183—4 c. sch. 3902 cf. Philostr. vit. soph. 2, 9 3903 Καλλίου—vs. 33 πλούτου cf. Plut. Arist. 25, 8

3898 ὅτι sq. ex v. Αἰτναῖος κάνθαρος 3899 ex 3895 3900 Ps. Hesych. 2 3901 cf. v. Δ 225 et v. φρενοθέν; Z 304

9 ὅτι—11 αὐτόν om. ATF mg. V 3899 om. TFV post 3900 GI A(GITFVM) 13 Ἀριστέας] Ἀρισταίας A Προικοννήσιος] Προκοννήσιος V 15 ὅταν] ὅτε M 16 ν'] η' F ὀγδόῃ V νη' Rohde, Kl. Schr. 1, 136, 2 17 Θεογονίαν] καὶ Θ. Toup. sed cf. v. διθυραμβοδιδάσκαλοι ᾱ om. V 23 Εὐδαίμονος corruptum sec. Bhd. sed cf. Philostr.

μιστοκλεῖ ποτε ἀντεπολιτεύσατο. συμπρεσβεύων δὲ αὐτῷ τὴν ἔχθραν, εἶπεν, ἔσω τῶν ὁρίων ἀφῶμεν, ὁμονοῶμεν δὲ ὑπὲρ τῆς πόλεως. οὕτω δὲ ἦν δίκαιος, ὡς μέλλοντος αὐτοῦ ἐξοστρακίζεσθαι ἀπὸ τῆς ἀγροικίας τις ὄστρακον αὐτῷ ἐπιδιδοὺς (ἠγνόει δὲ τὸν ἄνδρα) γράφειν ἠξίου τὸν ἐξοστρακισμόν. τοῦ δὲ ἐρωτήσαντος, τί Ἀριστείδης αὐτὸν λυποίη· πάνυ δίκαιος ὤν, ἔφη. καὶ γελάσας ὁ Ἀριστείδης ἔγραψε ψῆφον. ὁ αὐτὸς διέτριψεν ἐν Αἰγίνῃ φυγών. Ξέρξης δὲ ὡς αὐτὸν ἐν τῇ φυγῇ πρεσβευσαμένου καὶ τρισχιλίους δαρεικοὺς, ὅτε ἐπῄει τὴν Ἑλλάδα, διδόντος, οὐδὲν ἐπιστρέφεσθαι ἔφη τοῦ Περσικοῦ πλούτου, τοιαύτῃ χρώμενος διαίτῃ. ἔτυχε δὲ οὐκ ἐπιμελῆ τὸν ἄρτον προσφερόμενος. Ἀριστείδης
Ar. καὶ Μιλτιάδῃ μάλιστα ἐᾤκει. ἑκάτερος τούτων ἄριστος ἐγένετο, Ἀριστείδης μὲν δίκαιος, ὁ δὲ Μιλτιάδης ἐν Μαραθῶνι ἐστρατήγησε. τοῦ δὲ ἐν Μαραθῶνι πολέμου μέμνηται, διότι τὰ μὲν ἄλλα κατορθώματα κοινῇ πᾶσα ἡ Ἑλλὰς πεποίηται, τοῦ δὲ ἐν Μαραθῶνι μόνοι οἱ Ἀθηναῖοι.

Δ 3904 Ἀριστεῖον: τὸ τοῖς ἀριστεύσασι διδόμενον ἔπαθλον. καὶ Ἀρίστειος ἐκ τοῦ Ἀριστεύς.

Δ + Ar. 3905 Ἀριστήσασθε, γεύσασθε. Ἀρίστισον δὲ διὰ τοῦ ι. Ἀριστοφάνης Ὄρνισι· τούτους μὲν ἄγων μετὰ σοῦ ἀρίστισον εὖ.

Σ 3906 Ἀριστίνδην: κατ' ἐκλογὴν καὶ αἵρεσιν τῶν ἀρίστων νομοθετῶν.
3907 Ἀρίστιος Κύκλωψ· μέμνηται τούτου Χαμαιλέων ἐν τῷ περὶ Σατύρων.

Hesy. 3908 Ἀρίστιππος: Ἀριτάδου, ἀπὸ Κυρήνης, φιλόσοφος, Σωκράτους ἀκουστής· ἀφ' οὗπερ ἡ Κυρηναϊκὴ κληθεῖσα αἵρεσις ἤρξατο. πρῶτος δὲ τῶν Σωκρατικῶν μισθοὺς ἐπράξατο. Ξενοφῶντι δὲ εἶχε δυσμενῶς, καὶ ἦν ἱκανὸς ἁρμόσασθαι καὶ χρόνῳ καὶ τόπῳ. καὶ τῶν μὲν παρόντων ἀπέλαυε καὶ ἡδονὴν μετεδίωκε, πόνῳ δὲ ἀπόλαυσιν οὐδεμίαν ἐθήρα τῶν οὐ παρόντων. ὅθεν Διογένης βασιλικὸν κύνα αὐτὸν ἐκάλει. ἀποφθέγματα δὲ αὐτοῦ πλεῖστα καὶ ἄριστα. διήκουσε δὲ αὐτοῦ ἡ θυγάτηρ Ἀρήτη, ἀφ' ἧς ὁ παῖς αὐτῆς ὁ νέος Ἀρίστιππος, ὃς ἐκλήθη Μητροδίδακτος, οὗ Θεόδωρος, ὁ Ἄθεος ἐπικληθείς, εἶτα Θεός· τοῦ δὲ Ἀντίπατρος, τοῦ δὲ Ἐπιτιμήδης ὁ Κυρηναῖος, τοῦ δὲ Παραιβάτης,

3903 ἐξοστρακίζεσθαι—ψῆφον cf. l. l. 7, 7 ἑκάτερος sq. sch. Ar. Eq. 1325, 1334 3904 — ἔπαθλον = Ambr. 3303 cf. Bk. 211, 27; Ἀρίστειος sq. cf. Ambr. 3141, 2955 3905 τούτους sq. Ar. Av. 660 3906 = Ba 143, 21, Bk. 218, 31, sch. Pl. Leg. 855 c; — ἐκλογήν = Ambr. 3376 3908 — ἤρξατο cf. Laert. 2, 65 πρῶτος—ἐκάλει Laert. 2, 65—66; διήκουσε sq. Laert. 2, 86

3903 Ξέρξης—προσφερόμενος cf. v. Δ 72; vs. 10 Ἀριστείδης sq. cf. v. Μιλτιάδῃ 3904 Z 304 3907 ex 3868 3908 hinc v. Κυρηναῖος et v. Ἐπιτιμήδης

A(GITFVM) 5 ἐξοστρακισμόν] ἐξοστρακισμένον IT 7 Ξέρξης] Ξέρξου pr. 14 τοῦ] τό Bas., v. Μιλτιάδῃ, τά sch. 16 ἀριστεύσασι] ἀριστεύσι TF Ambr. Zon., οἷς ss. M 20 αἵρεσιν] διαίρεσιν A νομοθετῶν om. sch. Pl., ex Νόμων θ' ortum esse perspexit Cohn, Jb. Suppl. 13, 830, 5 3907 om. GTF post 3904 VM post 3905 I 25 ἱκανός] ἱκανῶς IM παρόντων AV πάντων GIM 26 ἀπέλαυε] ἀπέλαβε AM πόνῳ A πόνων GIVM 31 Παραιβάτης AM Laert. Παραβάτης GIV

τοῦ δὲ Ἡγησίας ὁ Πειθάνατος, τοῦ δὲ Ἀννίκερις, ὁ Πλάτωνα λυτρωσάμενος.

3909 Ἀρίστιππος, Σωκράτους ὁμιλητής, ἐν πᾶσι τὴν ἡδονὴν ἀσπασάμενος καὶ ἐπίχαρις. λέγεται δὲ ὅτι καὶ τοῦ παιδὸς αὐτῷ φέροντος ἀργύριον καὶ ἀχθομένου τῷ βάρει, τὸ βαροῦν ἀπόβαλε, ἔφη. ἐπιβουλευόμενος δὲ ἐν πλῷ δι' ἃ ἐπήγετο, εἰς τὴν θάλατταν ἐξέβαλεν αὐτά. ἡ γὰρ τούτων, ἔφη, ἀπώλεια ἐμὴ σωτηρία. ἐπέσκωπτε δ' Ἀντισθένην ἀεὶ διὰ τὴν στρυφνότητα. καὶ πρὸς Διονύσιον τὸν Σικελίας τύραννον ἐλθὼν καὶ πίνων ἐνίκα καὶ ὀρχήσεως τοῖς ἄλλοις κατῆρξεν, ἐνδὺς ἐσθῆτα ἁλουργῆ. Πλάτων δὲ προσκομιζομένης αὐτῷ τῆς στολῆς, εἶπεν Εὐριπίδου ἰαμβικά· οὐκ ἂν δυναίμην θῆλυν ἐνδῦναι στολὴν, ἄρρην πεφυκὼς καὶ γένους ἐξ ἄρρενος. Ἀρίστιππος δὲ δεξάμενος καὶ γελάσας εἶπε τοῦ αὐτοῦ ποιητοῦ· καὶ γὰρ ἐν βακχεύμασιν ὁ νοῦς ὁ σώφρων οὐ διαφθαρήσεται. ὑπὲρ φίλου δὲ ἀξιῶν καὶ μὴ τυγχάνων, τῶν ποδῶν ἥψατο καὶ ἔπεισε· καὶ οὐ ταύτης ἐγὼ τῆς κολακείας αἴτιος, εἶπεν, ἀλλὰ Διονύσιος, ὁ ἐν γόναι τὰς ἀκοὰς ἔχων.

3910 Ἀριστογένης, Θάσιος, ἰατρὸς, ἔγραψε βιβλία κδ'· ἐκρίθη δὲ Hesy. Περὶ διαίτης ἓν, Περὶ δυνάμεως α', Περὶ δακέτων α', Περὶ σπέρματος α', Ὑγιεινὸν α', Ἐπιστολικὰ, Ἐπιτομὴν φυσικῶν βοηθημάτων πρὸς Ἀντίγονον.

3911 Ἀριστογένης, Κνίδιος, ἰατρὸς, δοῦλος Χρυσίππου τοῦ φιλο- Hesy. σόφου. ἰάτρευσεν Ἀντιγόνῳ τῷ ἐπικληθέντι Γοναταῖ.

3912 Ἀριστογείτων, Κυδιμάχου ἢ Λυσιμάχου, Ἀθηναῖος, ῥήτωρ, Hesy. μητρὸς δὲ ἀπελευθερικῆς· ὅστις ἐπεκαλεῖτο κύων διὰ τὴν ἀναίδειαν αὐτοῦ. ἐφονεύθη δὲ ὑπὸ Ἀθηναίων, λόγους ποιήσας, Ἀπολογίαν πρὸς Δημοσθένην τὸν στρατηγὸν, Πρὸς Λυκοῦργον, Κατὰ Τιμοθέου, Κατὰ Τιμάρχου, Κατὰ Ὑπερίδου, Κατὰ Θρασύλλου, Ὀρφανικόν. ζήτει περὶ τοῦδε τοῦ Ἀριστογείτονος, μήποτέ ἐστιν οὗτος ὁ Ἁρμοδίου ἑταῖρος.

3913 Ἀριστογείτων, Σκυδίμου, συκοφάντης. τούτου ὁ πατὴρ E? ὀφλήσας τῷ δημοσίῳ τελευτᾷ ἐν τῷ δεσμωτηρίῳ. καὶ αὐτὸς Ἀριστογείτων μετὰ ταῦτα ὡς κληρονόμος τοῦ ὀφλήματος ἐδέθη. ἡ δὲ μήτηρ ἐπράθη ὑπὸ τοῦ δήμου. ἐν δὲ τῷ δεσμωτηρίῳ κλέψας γραμματεῖον κατεγνώσθη ὑπὸ τῶν δεσμωτῶν, καὶ τὴν ῥῖνα, οὗ τὸ γραμματεῖον ἔκλεψεν, ἔφαγε. καὶ Ζωβίαν ὑποδεξαμένην αὐτὸν φυγόντα, ἀξιοῦσαν εὖ παθεῖν, ὅτε ἴσχυεν, ἐπὶ τὸ τοῦ μετοικίου πωλητήριον ἤγαγε, καὶ τὴν ἀδελφὴν ἐπ' ἐξαγωγῇ πέπρακεν. Ὑπερίδην δὲ ἐγράψατο παρανόμων ἐπὶ τῷ μετὰ Χαιρώνειαν ψηφίσματι καὶ οὐχ εἷλεν.

3909 cf. Laert. 2, 77—79; Διονύσιον—διαφθαρήσεται cf. Sext. Empir. Pyrr. 3, 204; vs. 11 οὐκ- 12 στολὴν Eur. Bacch. 836; vs. 13 καὶ γάρ—14 διαφθαρήσεται Eur. Bacch. 317—8 3913 cf. Dem. 25, 54 sqq.

3909 hinc 1359 fin. 3913 cf. v. Ζωβία, v. ἐξαγωγή, v. μέτοικοι

5 ἀπόβαλε] ἀπέβαλε A 7 ἀπώλεια] ἐπιβόλεια A 9 τοῖς ἄλλοις AGI A(GITFVM) τῆς ἄλλης VM 12 ἄρρενος] ἄρμενος A

E 3914 Ἀριστόδημος, Ἀριστοκράτους, Κύμης τῆς Ἰταλιώτιδος τύραννος, ἀνὴρ οὐ τῶν ἐπιτυχόντων ἕνεκα γένους· ὃς ἐκαλεῖτο μαλακὸς ὑπὸ τῶν ἀστῶν καὶ σὺν χρόνῳ γνωριμωτέραν τοῦ ὀνόματος ἔσχε τὴν κλῆσιν, εἴθ' ὅτι θηλυδρίας ἐγένετο παῖς ὢν καὶ τὰ γυναικῖν ἁρμόττοντα ἔπασχεν, εἴθ' ὅτι πρᾶος ἦν φύσει καὶ μαλακὸς ἐς ὀργήν.

Hesy. 3915 Ἀριστόδημος· Ἐπιτομὴν τῆς Καθόλου Ἡρωδιανοῦ ἔγραψε πρὸς Δαναόν.

Hesy. 3916 Ἀριστοκλῆς, Μεσσήνιος τῆς Ἰταλίας, φιλόσοφος Περιπατητικός. συνέταξε Περὶ φιλοσοφίας βιβλία ι'· Πότερος σπουδαιότερος Ὅμηρος ἢ Πλάτων. καταλέγει δὲ ἐν τούτοις πάντας φιλοσόφους καὶ δόξας αὐτῶν. ἔγραψε δὲ καὶ Τέχνας ῥητορικάς, Περὶ Σαράπιδος, Ἠθικὰ βιβλία θ'.

Hesy. 3917 Ἀριστοκλῆς, Λαμψακηνός, φιλόσοφος Στωϊκός. ἔγραψεν Ἐξήγησιν τῶν Χρυσίππου Περὶ τοῦ πῶς ἕκαστα λέγομεν καὶ διανοούμεθα, βιβλία δ'.

Hesy. 3918 Ἀριστοκλῆς, Περγαμηνός, σοφιστής, γεγονὼς ἐπί τε Τραϊανοῦ καὶ Ἀδριανοῦ Τέχνην ῥητορικὴν, Ἐπιστολάς, Περὶ ῥητορικῆς βιβλία ε', Μελέτας, Πρὸς τὸν βασιλέα ἐπὶ τῇ διανεμήσει τοῦ χρυσίου.

EV 3919 Ἀριστοκράτης, Ῥοδίων στρατηγός· ὃς ἦν κατὰ τὴν ἐπιφάνειαν ἀξιωματικὸς καὶ καταπληκτικός. διόπερ ἐκ πάντων τούτων ὑπέλαβον οἱ Ῥόδιοι τελέως ἀξιόχρεων ἡγεμόνα καὶ προστάτην ἔχειν τοῦ πολέμου. διεψεύσθησαν δὲ τῶν ἐλπίδων· ἐλθὼν γὰρ ἐς τὰς πράξεις ὥσπερ ἐς πῦρ, καθάπερ τὰ κίβδηλα τῶν νομισμάτων, ἀλλοῖος ἐφάνη.

Δ 3920 Ἀριστοκρατία: ἡ κράτησις τῶν ἀρίστων.

Δ 3921 Ἀριστομάχη: ὄνομα κύριον.

Hesy. 3922 Ἀριστομένης, Ἀθηναῖος, κωμικὸς τῶν ἐπιδευτέρων τῆς ἀρχαίας κωμῳδίας, οἳ ἦσαν ἐπὶ τῶν Πελοποννησιακῶν, Ὀλυμπιάδι πζ'. ἐπεκλήθη Θυροποιός.

Suid. 3923 Ἄριστον: περὶ ὥραν γ'· παρὰ τὸ εἰς ἀριστείαν προέρχεσθαι. ζήτει ἐν τῷ δεῖπνον.

Hesy. 3924 Ἀριστόνικος, Ἀλεξανδρεύς, γραμματικός. ἔγραψε Περὶ τῶν σημείων τῶν ἐν τῇ Θεογονίᾳ Ἡσιόδου καὶ τῶν τῆς Ἰλιάδος καὶ Ὀδυσσείας· Ἀσυντάκτων ὀνομάτων βιβλία ς'.

EV 3925 Ἀριστόνικος, ὁ τοῦ Πτολεμαίου τοῦ βασιλέως Αἰγύπτου εὐνοῦχος μὲν ἦν, ἐκ παιδίου δ' ἐγεγόνει σύντροφος τῷ βασιλεῖ. τῆς δ' ἡλικίας προβαινούσης ἀνδρωδεστέραν εἶχεν ἢ κατ' εὐνοῦχον τόλμαν

3914 Dionys. Hal. 7, 2, 4 — 3919 Polyb. 33, 4 = EV 2, 200, 1—6 — 3920 l. = Ambr. 3264 — 3921 = Ambr. 3227 — 3925 Polyb. 22, 22 = EV 2, 169, 8—15

3920 Z 298 — 3923 ex v. δεῖπνον — 3925 hinc v. εὐνοῦχος

A(GITFVM) 3 ἀστῶν] αὐτῶν VM — 11 Τέχνας—Σαράπιδος ad 3918 rettulit Gutschmid — 27 Ολυμπιάδι Port. cp. A Ὀλυμπιάδων rell. — 3923 om. GV post 3919 T post 3920 I post 3924 M — 29 ζήτει — 30 δεῖπνον om. T mg. A

καὶ προαίρεσιν. καὶ γὰρ φύσει στρατιωτικὸς ἦν καὶ τὴν πλείστην διατριβὴν ἐποιεῖτο ἐν τούτοις καὶ περὶ ταῦτα. παραπλησίως καὶ κατὰ τὰς ἐντεύξεις ἱκανὸς ὑπῆρχε καὶ τὸν κοινὸν νοῦν εἶχεν, ὃ σπάνιόν ἐστι. πρὸς δὲ τούτοις πρὸς εὐεργεσίαν ἀνθρώπων ἐπεφύκει καλός.

3926 Ἀριστονομία: ἡ διανομὴ τῶν ἀρίστων. Δ

3927 Ἀριστόξενος, υἱὸς Μνησίου, τοῦ καὶ Σπινθάρου, μουσικοῦ, Hesy. ἀπὸ Τάραντος τῆς Ἰταλίας. διατρίψας δὲ ἐν Μαντινείᾳ φιλόσοφος γέγονε καὶ μουσικῇ ἐπιθέμενος οὐκ ἠστόχησεν, ἀκουστὴς τοῦ τε πατρὸς καὶ Λάμπρου τοῦ Ἐρυθραίου, εἶτα Ξενοφίλου τοῦ Πυθαγορείου καὶ τέλος Ἀριστοτέλους· εἰς ὃν ἀποθανόντα ὕβρισε, διότι κατέλιπε τῆς σχολῆς διάδοχον Θεόφραστον, αὐτοῦ δόξαν μεγάλην ἐν τοῖς ἀκροαταῖς τοῖς Ἀριστοτέλους ἔχοντος. γέγονε δὲ ἐπὶ τῶν Ἀλεξάνδρου καὶ τῶν μετέπειτα χρόνων· ὡς εἶναι ἀπὸ τῆς ρια′ Ὀλυμπιάδος, σύγχρονος Δικαιάρχῳ τῷ Μεσσηνίῳ. συνετάξατο δὲ μουσικά τε καὶ φιλόσοφα, καὶ ἱστορίας καὶ παντὸς εἴδους παιδείας· καὶ ἀριθμοῦ αὐτοῦ τὰ βιβλία εἰς υνγ′.

3928 Ἀριστόξενος, Κυρηναῖος· ὅστις ὑπὸ τῆς ἀνυπερβλήτου τρυφῆς τὰς ἐν τῷ κήπῳ θρίδακας οἰνομέλιτι ἑσπέρας ἐπότιζε, καὶ χλωροὺς πλακοῦντας ἔλεγεν ἀναπέμπεσθαι αὐτῷ.

3929 Ἀριστοτέλης, υἱὸς Νικομάχου καὶ Φαιστιάδος· ὁ δὲ Νικόμαχος Hesy. ἰατρὸς ἦν τοῦ τῶν Ἀσκληπιαδῶν γένους, ἀπὸ Νικομάχου τοῦ Μαχάονος. ἐκ Σταγείρων, πόλεως τῆς Θρᾴκης, φιλόσοφος, μαθητὴς Πλάτωνος, τραυλὸς τὴν φωνήν. καὶ ἀδελφοὺς μὲν ἔσχεν Ἀρίμνηστον καὶ Ἀριμνήστην, θυγατέρα δὲ ἀπὸ Πυθιάδος, τῆς θυγατρὸς Ἑρμείου τοῦ εὐνούχου· ὃς καὶ θλαδίας ὢν αὐτὴν ἔσπειρε. γημαμένη δὲ τρισὶν ἡ Ἀριστοτέλους θυγάτηρ τεκνώσασα προετελεύτησεν Ἀριστοτέλους τοῦ πατρός. ἔσχε δὲ καὶ υἱὸν Νικόμαχον ἐξ Ἑρπυλλίδος παλλακῆς, ἣν ἠγάγετο μετὰ Πυθιάδα παρ' Ἑρμείου τοῦ εὐνούχου· ὅστις ἦν ἄρχων Ἀταρνέως, χώρα δὲ αὕτη Τρῳάδος, Εὐβούλου δὲ τοῦ Βιθυνοῦ δοῦλος γεγονὼς ἔλαβε· καὶ αὐτοῦ Ἑρμείου παιδικὰ γενομένου Ἀριστοτέλους. ἦρξε δὲ ἔτη ιγ′ τῆς Περιπατητικῆς κληθείσης φιλοσοφίας διὰ τὸ ἐν περιπάτῳ ἤτοι κήπῳ διδάξαι ἀναχωρήσαντα τῆς Ἀκαδημίας, ἐν ᾗ Πλάτων ἐδίδαξεν. ἐγεννήθη δὲ ἐν τῇ οθ′ Ὀλυμπιάδι καὶ ἀπέθανεν ἀκόνιτον πιὼν ἐν Χαλκίδι, διότι ἐκαλεῖτο πρὸς εὐθύνας, ἐπειδὴ ἔγραψε παιᾶνα εἰς Ἑρμείαν τὸν εὐνοῦχον· οἱ δέ φασι νόσῳ αὐτὸν τελευτῆσαι βιώσαντα ἔτη ο′.

3926 l. = Ambr. 3269 3927 cf. Steph. Byz. v. Τάρας 3928 Ath. 1, 7c 3929 = vita Menagiana Arist. Westermann Biogr. 401, 1—19 cf. Laert. 5, 1, 4, 9—10, Dionys. Hal. ad Amm. 5

3926 Z 298 3929 cf. v. Ἑρμίας

15 παιδείας] καὶ π. FM ἀριθμοῦ] ἀριθμόν Daub Rh. M. 35, 67 ἀριθμοῦνται A(GITFVM) Pearson 24 Ἑρμείου ITV, vita, Ἑρμίου AM, s. v., Ἑρμαίου G 25 ἔσπειρε] ἔπειρε AM 27—30 corrupta; ἠγάγετο om. vita, del. Kust. 28 Ἑρμείου] Ἑρμίου A 30 Ἑρμείου] Ἑρμίου AIM^{ac} παιδικά] παιδικοῦ A cp. M 34 Ἑρμείαν] Ἑρμίαν AGTM^{ac}

EV 3930 Ἀριστοτέλης· Τίμαιός φησι κατὰ Ἀριστοτέλους εἶναι αὐτὸν εὐχερῆ, θρασὺν, προπετῆ· ἀλλ' οὐ σοφιστὴν ὀψιμαθῆ, μιητὸν ὑπάρχοντα, καὶ τὸ πολυτίμητον ἰατρεῖον ἀποκεκλεικότα, καὶ πρὸς πᾶσαν αὐλὴν καὶ σκηνὴν ἐμπεπηδηκότα. πρὸς δὲ γαστρίμαργον, ὀψαρτυτὴν, ἐπὶ στόμα φερόμενον ἐν πᾶσι. δοκεῖ δή μοι τὰ τοιαῦτα μόλις ἄνθρωπος ἀγύρτης καὶ προπετὴς ἐπὶ δικαστηρίου ῥιψολογῶν ἀνεκτὸς φανῆναι. ὅτι Ἀριστοτέλης τῆς φύσεως γραμματεὺς ἦν, τὸν κάλαμον ἀποβρέχων εἰς νοῦν· ὃν οὐδὲν ἴσως ἐχρῆν τῶν χρησίμων, εἰ καὶ τεχνικώτερόν ἐστι
Δ καὶ περιττότερον ἐξειργασμένον, παραιτεῖσθαι. καὶ Ἀριστοτέλειος λόγος.

Δ 3931 Ἀριστοτόκεια: ἡ ἀρίστους γεννῶσα.

Hesy. 3932 Ἀριστοφάνης, Ῥόδιος ἤτοι Λίνδιος, οἱ δὲ Αἰγύπτιον ἔφασαν, οἱ δὲ Καμειρέα· θέσει δὲ Ἀθηναῖος· ἐπολιτογραφήθη γὰρ παρ' αὐτοῖς· κωμικὸς, υἱὸς Φιλίππου, γεγονὼς ἐν τοῖς ἀγῶσι κατὰ τὴν ριδ' Ὀλυμπιάδα, εὑρετὴς τοῦ τετραμέτρου καὶ ὀκταμέτρου· παῖδας σχὼν Ἀραρότα, Φίλιππον, Φιλέταιρον, κωμικούς. τινὲς δὲ αὐτὸν καὶ ἀπόδουλον ἱστορήκασι. δράματα δὲ αὐτοῦ μδ'. ἅπερ δὲ πεπράχαμεν Ἀριστοφάνους δράματα ταῦτα· Ἀχαρνεῖς, Βάτραχοι, Εἰρήνη, Ἐκκλησιάζουσαι, Θεσμοφοριάζουσαι, Ἱππεῖς, Λυσιστράτη, Νεφέλαι, Ὄρνιθες, Πλοῦτος, Σφῆκες.

Hesy. 3933 Ἀριστοφάνης, Βυζάντιος, γραμματικός, υἱὸς Ἀπελλοῦ ἡγουμένου στρατιωτῶν, μαθητὴς Καλλιμάχου καὶ Ζηνοδότου· ἀλλὰ τοῦ μὲν νέος, τοῦ δὲ παῖς ἤκουσε· πρὸς δὲ τούτοις καὶ Διονυσίου τοῦ Ἰάμβου καὶ Εὐφρονίδα τοῦ Κορινθίου ἢ Σικυωνίου. γέγονε δὲ κατὰ τὴν ρμδ' Ὀλυμπιάδα.

Soph. 3934 Ἀριστόχειρ: ὁ γενναῖος περὶ τὰ ἀριστεῖα. καὶ ἀριστόχειρ ἀγών.

E 3935 Ἀρίστων, ὁ Πλάτωνος πατήρ. τῶν τε Πλάτωνος τοῦ Ἀρίστωνος ἀναπέπλησται δογμάτων. καὶ οὔτε ὁ Τίμαιος αὐτὸν ἀποδράσειεν ἄν, εἰ καὶ σφόδρα γραμμικῇ θεωρίᾳ πεποίκιλται καὶ τὰς τῆς φύσεως ἀνιχνεύει κινήσεις· οὔτε ὁ Φαίδων, οὔτε ὁ Γοργίας· οὐμενοῦν οὐδὲ ἄλλος τις τῶν γλαφυρῶν καὶ ἀγκυλωτέρων διαλόγων, ὁποῖος ὁ Παρμενίδης.

3930 — φανῆναι Polyb. 12, 8, 2—5 = EV 2, 126, 28—127, 10 Ἀριστοτέλειος cf. Ambr. 3301 3931 l. = Ambr. 3256 3932 cf. Herm. 14, 463, Fragm. com. ed. Kaibel 8, 41 sqq. (Westermann Biogr. 155 sqq.); παῖδας—κωμικούς cf. sch. Pl. Ap. 19c 3934 Soph. Ai. 935—6 c. sch. 3935 vs. 28 τῶν sq. Agath. 2, 28, p. 126

3931 Z 298 3932 hinc v. ὀκτάμετρον et v. τετραλογία 3934 Z 290 3935 cf. v. Χοιρόνης

A(GITVM) 2 μιητόν] καὶ μ. Exc. Kust. 5 τά] τὸ τά A 8 ὃν om. M 14 ριδ' corruptum esse vid. Kust. 15 παῖδας] παῖδαι A 16 ἀπόδουλον] ἀπὸ δούλων Nauck Mél. gr.-r. 2, 743 17 μδ' AV νδ' GIM, fr. com. ed. Kaibel p. 8, νζ' T 19 Λυσιστράτη Kust. Λυσίστρατος omnes 22 Ζηνοδότου] Ζηνοδόχου V 23 ἤκουσε] ἤκουε V 25 cf. ad p. 359, 2 30 γραμμικῇ AV, v. Χοιρόνης, γραμματικῇ GITM cf. Agath.

3936 Ἀριστώνυμος, κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν Ἥλιος Hesy.?
ῥιγῶν, ὡς Ἀθήναιος ἐν Δειπνοσοφισταῖς. βασιλεύοντος Πτολεμαίου Hesy.
τοῦ Φιλαδέλφου, καὶ τοῦ μετ' αὐτὸν τοῦ Φιλοπάτορος· καὶ προέστη
τῆς τοῦ βασιλέως βιβλιοθήκης μετὰ Ἀπολλώνιον, ἔτος ἄγων ξβ'.
διασκευασθεὶς δὲ ὡς βουλευόμενος πρὸς Εὐμενῆ φυγεῖν, ἐφυλάχθη ἐν
εἱρκτῇ χρόνον τινά. ἠφείθη δὲ καὶ ὑπὸ στραγγουρίας τελευτᾷ, ἔτη
βεβιωκὼς οζ'. συγγράμματα δὲ αὐτοῦ πάνυ πολλά.

3937 Ἀρίστρατος: ὄνομα κύριον. Δ

3938 Ἀρίστυλος· αἰσχροποιὸς ἦν. Ἀριστοφάνης· τοῦτ' ἤδη δεινὸν Ar.
ἀκοῦσαι, εἴ σε φιλήσειεν Ἀρίστυλος, φάσκων αὐτοῦ πατέρ' εἶναι. καὶ
Ἀρίστυλος κεχηνώς. Ἀριστοφάνης· σὺ δ' Ἀρίστυλος ὑποχάσκων ἑρεῖς,
ἕπεσθε μητρὶ χοῖροι. οὗτος αἰσχρὸς ποιητὴς, ὃς διὰ τὴν αἰσχρουργίαν
αὐτοῦ ἀεὶ ἐκεχήνει.

3939 Ἀρίστοιχος: ὄνομα κύριον. Δ

3940 Ἀριφράδης· οὗτος λοιδορεῖται ἀεὶ γυναιξὶ συνών. κιθαρῳδὸς Ar.
δὲ ἦν. Ἀριστοφάνης· Ἀριφράδης ἐστὶ μὲν πονηρός. ἀλλὰ τοῦτο μὲν
καὶ βούλεται· ἔστι δ' οὐ μόνον πονηρός, οὐ γὰρ οὐδ' ἂν ἠσθόμην,
οὐδὲ παμπόνηρος, ἀλλὰ καὶ προσεξεύρηκέ τι. τὴν γὰρ αὐτοῦ γλῶτταν
αἰσχραῖς ἥδον. τουτέστι τὸ αἰδοῖον τοῦ ἀνθρώπου καὶ τὸ σπέρμα.
Ἀριφράδης δὲ, Πολύμνηστος καὶ Οἰώνιχος ἀρρητοποιοί. καὶ Πολυ-
μνήστεια καὶ αὐτὴ κωμῳδεῖται ἐπ' αἰσχρότητι. εἴ τις οὖν τοιοῦτον
ἄνδρα μὴ σφόδρα φυλάττεται, μή ποτ' ἐκ τοῦ αὐτοῦ μεθ' ἡμῶν πίεται
ποτηρίου. καὶ αὖθις· Ἀρίφραδες, παῦσαι ληρῶν.

3941 Ἀρίφρων: ὁ κακῶς φρονῶν. Δ

3942 Ἀρρίχους: θηλυκῶς, τὰς ἀρρίχους, ἡ ἀρρίχη. ἐξηγοῦνται δέ Ar.
τινες κόφινον. ἡγητέον οὖν ἐκ μὲν τοῦ αὐτοῦ γένους εἶναι, διάφορον
δέ τι. λέγουσι δὲ καὶ νῦν ἔτι σωράκων τι εἶδος ἀρρίχους. ὅτι αἱ Suid.
ἀρρίχαι εἶδος κοφίνων, οὓς εἰώθασι διὰ σχοινίων ἀνιμᾶν.

3943 Ἄρθμια: φίλια. Ἡρόδοτος· Ἀθηναίων μὴ ἐόντων ἡμῖν Hdt.
ἀρθμίων, τῷ δὲ βαρβάρῳ συμμάχων. καὶ Ἀρθμήσαντες, φίλοι E
γενόμενοι. Δ

3936 Ἥλιος sq. Ath. 7, 284f, 287d **3937** = Ambr. 3060 **3938** — εἶναι Ar. Eccl. 646—7 c. sch.; vs. 11 Ἀρίστυλος pr. sq. Ar. Pl. 314—5 c. sch. **3939** = Ambr. 3071 **3940** — ἦν sch. Ar. Eccl. 129; vs. 16 Ἀριφράδης—ποτηρίου Ar. Eq. 1281—4, 1288—9 c. sch.; Ἀρίφραδες sq. Ar. Eccl. 129 **3941** cf. Ambr. 2893 **3942** — ἀρρίχους sch. Ar. Av. 1309 cf. Ba 146, 6, Bk. 208, 25 **3943** — φίλια gl. Hdt. 6, 83 Ἀθηναίων—συμμάχων Hdt. 9, 9, 2 ἀρθμήσαντες sq. = Ambr. 3338

3940 cf. v. Πολύμνηστος **3941** Z 290 **3942** ὅτι αἱ sq. ex 2313 **3943** Z 304, 308

2 βασιλεύοντος—7 πολλά ad 3933 recte rett. Meineke, Quaest. scen. 2, 41 A(GITFVM)
3 Φιλαδέλφου] φιλοσόφου M; vitium latet 5 βουλευόμενος AV βουλόμενος GIM 10 σε] γε VM 12 αἰσχρὸς ποιητὴς] αἰσχροποιός Bas. sed cf. sch. 14 Ἀρίστοιχος] Ἀρίστυχος Ambr., et ordo poscit 19 αἰσχραῖς] αἰσχροῖς V **3941** om. V 24 κακῶς] καλῶς Kust. cf. Ambr. 27 ὅτι—28 ἀνιμᾶν ex $I^{mg}T$ 30 ἀρθμίων] ἀριθμίων $A^{ac}V$

Δ 3944 Ἀρθρέμβολα: ὀνόματα βασανιστηρίων· παρὰ τὸ ἐξαρθροῦν τὸν ἐμβαλλόμενον.

Anth. 3945 Ἀρθροπέδαν· ἀρθροπέδαν στῆμόν τε καὶ ὠλεσίβωλον ἀρούρης σφῦραν.

Σ 3946 Ἀρκάδας μιμούμενοι: ἐπὶ τῶν ἑτέροις πονούντων. οἱ γὰρ Ἀρκάδες μαχιμώτατοι Ἑλλήνων γενόμενοι ἰδίᾳ μὲν οὐδένα ἐνίκησαν, ἑτέροις δὲ συμμαχοῦντες πολλούς. ταύτῃ δὲ τῇ παροιμίᾳ κέχρηται Πλάτων ἐν Πεισάνδρῳ. διὰ γὰρ τὸ τὰς κωμῳδίας αὐτὸς ποιῶν Δ ἄλλοις παρέχειν διὰ πενίαν, Ἀρκάδας μιμεῖσθαι ἔφη. Ἀρκὰς οὖν, Ἀρκάδος, Ἀρκάδι.

Δ 3947 Ἀρκαδία: χώρα. καὶ ὄνομα κύριον. ὅτι Ἀρκαδίας τῆς δευτέρας γυναικὸς Ζήνωνος στήλη ἐστὶν ἐν Ἀρκαδιαναῖς, ἐν τοῖς πλησίον μέρεσι τῶν βάθρων τῶν λεγομένων Τόπων ἐν τῷ τοῦ Ἀρχιστρατήγου· ἔνθα Ζήνων ἔκρινε τοὺς μετὰ Βασιλίσκου καὶ σέκρετον τὸν τόπον ἐποίησε. τῆς δὲ ἑτέρας αὐτοῦ γυναικὸς πρώτης Ἀριάδνης καὶ

Prov. αὐτοῦ Ζήνωνος ἐν τῇ βασιλικῇ πύλῃ. καὶ παροιμία· Ἀρκαδίην με αἰτεῖς; μέγα με αἰτεῖς, οὔ τοι δώσω· ἐπὶ τῶν τὰ μεγάλα καὶ μὴ συμφέροντα αἰτούντων.

Hesy. 3948 Ἀρκάδιος, γραμματικὸς, Ἀντιοχεύς. ἔγραψε Περὶ ὀρθογραφίας, Περὶ συντάξεως τῶν τοῦ λόγου μερῶν, Ὀνοματικὸν θαυμάσιον.

Δ 3949 Ἀρκαῖος: ὄνομα κύριον.

Δ 3950 Ἀρκεσίλαος: ὄνομα κύριον. ὁ φιλόσοφος. καὶ ζήτει ἐν τῷ φημί.

Δ+x 3951 Ἀρκεῖν: βοηθεῖν. γέγονε γὰρ οὗτος οὐδαμῶς εὐκαταφρόνητος, ἀλλ' ἱκανὸς ἀρκεῖν καὶ προστατεῖν πραγμάτων.

Δ 3952 Ἄρκειος κεφαλὴ καὶ Ἄρκειον κρέας. Ἄρκιον δὲ τὸ

Hom. ἱκανὸν καὶ ὠφέλιμον.

3953 Ἀρκούντως ἔχειν: ἀπηρτισμένως εἶναι.

Prov. 3954 Ἄρκου παρούσης τὰ ἴχνη ζητεῖς: ἐπὶ τῶν τὰ παρόντα ζητεῖν προσποιουμένων.

Suid. 3955 Ἄρκος φιλεῖν ἄνθρωπον ἐκτόπως ηὖχει. εἶθ' ὕστερον ἐρασθεῖσα αὐτοῦ ἐν παραβύστῳ. ἀντὶ τοῦ ἐν ἀποκρύφῳ, ἐν μυστηρίῳ.

3944 — βασανιστηρίων cf. H; παρά sq. = Et. M. 141, 37 cf. Ambr. 3294
3945 Anth. 6, 297, 3—4 3946 — ἔφη cf. Paus. Att. fr. 72 ap. Eust. I. 302, 30, H, Bk. 218, 19, Zen. II 59; Plat. com. fr. 99 Ἀρκάς—Ἀρκάδος = Ambr. 3004
3947 — χώρα = Ambr. 3268 Ἀρκαδίας—πύλῃ = Preger 164, 11—17 Ἀρκαδίην sq. = Diogen. II 69, Phil. Suppl. 6, 260, n. 231 3949 = Ambr. 3061
3950 — κύριον = Ambr. 3032 3951 — βοηθεῖν cf. H, sch. Φ 131, Et. M. 144, 1
3952 — κρέας = Ambr. 3277 et 3298 ἄρκιον sq. sch. B 393 cf. Et. M. 144, 2; τὸ ἱκανόν = Ambr. 3323, H 3954 cf. Diogen. II 70

3947 hinc v. στήλην 3950 ὁ sq. ex v. φημί 3952 Z 298, 304
3955 ex v. ἐκτόπως et v. ἐν παραβύστῳ

A(GITFVM) 3 ἀρθροπέδαν alt. om. A στῆμον F Anth. στεῖμον AV στεῖραν GITM 17 οὗτοι] οὕτι M οὕτω A 20 συντάξεως GITF συντάξεων AVM τῶν om. AF Ὀνοματικόν] Ὀ. καί A, Ὀνομαστικόν GT 22 ὁ—23 φημί om. FV καί—φημί om. GIT 3954 om. F 3955 om. GTFV post l. 3958 I

3956 Ἀρκῶ· δοτικῇ. ἰσχύω, ὑπομεῖναι δύναμαι. ὁ πολὺς ἤδη βίοτος ἀπολέλοιπεν, οὐδ' ἔτ' ἀρκῶ. Soph.

3957 Ἀρκτέον: δεῖ ἄρχεσθαι. Δ

3958 Ἄρκτος ἢ Βραυρωνίοις· ἀρκτευόμεναι γυναῖκες τῇ Ἀρτέμιδι ἑορτὴν ἐτέλουν, κροκωτὸν ἡμφιεσμέναι, οὔτε πρεσβύτιδες ι' ἐτῶν, οὔτε ἐλάττους ε', ἀπομειλισσόμεναι τὴν θεόν· ἐπειδὴ ἄρκτος ἀγρία ἐπιφοιτῶσα διέτριβεν ἐν τῷ δήμῳ Φλαυιδῶν· καὶ ἡμερωθεῖσαν αὐτὴν τοῖς ἀνθρώποις σύντροφον γενέσθαι. παρθένον δέ τινα προσπαίζειν αὐτῇ καὶ ἀσελγαινούσης τῆς παιδίσκης παροξυνθῆναι τὴν ἄρκτον καὶ καταξέσαι τῆς παρθένου· ἐφ' ᾧ ὀργισθέντας τοὺς ἀδελφοὺς αὐτῆς κατακοντίσαι τὴν ἄρκτον, καὶ διὰ τοῦτο λοιμώδη νόσον τοῖς Ἀθηναίοις ἐμπεσεῖν. χρηστηριαζομένοις δὲ τοῖς Ἀθηναίοις εἶπε λύσιν τῶν κακῶν ἔσεσθαι, εἰ τῆς τελευτησάσης ἄρκτου ποινὰς ἀρκτεύειν τὰς ἑαυτῶν παρθένους ἀναγκάσουσι. καὶ ἐψηφίσαντο οἱ Ἀθηναῖοι μὴ πρότερον συνοικίζεσθαι ἀνδρὶ παρθένον, εἰ μὴ ἀρκτεύσειε τῇ θεῷ. Ar.

3959 Ἀρκτεῦσαι· Λυσίας τὸ καθιερωθῆναι πρὸ γάμων τὰς παρθένους τῇ Ἀρτέμιδι ἀρκτεύειν ἔλεγε. καὶ γὰρ αἱ ἀρκτευόμεναι παρθένοι καλοῦνται, ὡς Εὐριπίδης καὶ Ἀριστοφάνης δηλοῖ. Harp.

3960 Ἀρκτῖνος, Τήλεω, τοῦ Ναύτεω ἀπογόνου, Μιλήσιος, ἐποποιός, μαθητὴς Ὁμήρου, ὡς λέγει ὁ Κλαζομένιος Ἀρτέμων ἐν τῷ περὶ Ὁμήρου· γεγονὼς κατὰ τὴν θ' Ὀλυμπιάδα, μετὰ υι' ἔτη τῶν Τρωϊκῶν. Hesy.

3961 Ἄρκτος: τὸ ζῷον· καὶ τὸ ἀεικίνητον ἀστροθέτημα. Ἀρκτοῦρος δὲ λέγεται καὶ αὐτὸς ὅλος ὁ Βοώτης, ἰδίως δὲ καὶ ὁ ὑπὸ τὴν ζώνην αὐτοῦ ἀστήρ. λέγεται καὶ Ἀρκτοφύλαξ. καὶ Ἀρκτῷος, ὁ ἀνατολικός. Harp. Suid. Δ

3962 Ἄρκυς: τὸ θηρευτικὸν δίκτυον. τὰ λίνα, ἃ ἱστᾶσι πρὸς ἄγραν τῶν λεόντων. παρὰ τὸ ἕλκω, τροπῇ τοῦ λ εἰς ρ· ἢ παρὰ τὸ ἀγρεύειν· ἢ παρὰ τὸ εἴργειν, τὸ κωλύειν. τοῦ δὲ ἄρκυς ἐκτείνεται ἡ ὑστέρα συλλαβή, ὁμοίως ἐπί τε τῆς ὀρθῆς καὶ τῆς αἰτιατικῆς πτώσεως. καὶ ἄρκυς γὰρ καὶ τὰς ἄρκυς. καὶ Ἀρκυωρός, ὁ φύλαξ, ὁ τὰς ἄρκυς, τουτέστι τὰ λίνα, φυλάττων. ἔστι δὲ ταῦτα τὰ κυνηγετικὰ πάντα λίνα. καὶ Ἀρκυωρεῖν, τὰς ἄρκυς τηρεῖν· αἵ εἰσι θηρευτικὰ λίνα. καὶ ἄρκυσιν. Ecl. Σ Harp

3956 ὁ sq. Soph. El. 185—6 3957 = Ambr. 3374 3958 sch. Ar. Lys. 645 3959 Harp. = Ba 143, 23; Lys. fr. 249, Eur. fr. 767, Ar. Lys. 645 et fr. 370 3960 Artemon. fr. 2, FHG 4, 341 3961 — ζῷον = Et. M. 144, 18 Ἀρκτοῦρος —ἀστήρ Harp. = Ba 144, 20 Ἀρκτῷος sq. = Ambr. 2928 3962 — κωλύειν cf. An. Ox. 2, 427, 5, 336, 5, Et. M. 144, 9 ἐκτείνεται—vs. 30 ἄρκυς sec. = Ba 144, 24 Ἀρκυωρός—vs. 32 λίνα Harp. = Ba 144, 22, An. Ox. 2, 490, 31; — φύλαξ = Ambr. 2917

3956 Z 308 3961 Z 291; λέγεται καὶ Ἀρκτοφύλαξ ex v. B 386

1 ἰσχύω] ἰσχύς A 6 τὴν] τόν AFV 7 Φλαυιδῶν] Φιλαϊδῶν Meursius 13 ποινάς] τινάς GΥΡITM 16 πρό] πρός A cf. Harp. 21 υι'] λ ss. V, τετρακόσια pr., cf. Unger, Abh. Bayr. Ak. 17, 3, 528 24 λέγεται καὶ Ἀρκτοφύλαξ ex ITM^{mg} 29 τῆς alt. om. TFV 33 καὶ ἄρκυσιν ex GIM A(GITFVM)

Σ 3963 Ἅρμα: τόπος τῆς Ἀττικῆς. καὶ παροιμία· ὅταν δι' Ἅρματος ἀστράψῃ. ἐπὶ τῶν χρονίως γινομένων.

Δ 3964 Ἁρμαθέμ: τόπος.

Δ Anth. 3965 Ἁρμαλιά: ἡ τροφή. ὧν ἄπο πλειοτέρην οἴσεαι ἁρμαλιήν. ὅτι τὸ ἁρμάμαξά τινες ψιλοῦσι παραλόγως.

3966 Ἁρμαμεντήρια.

Δ 3967 Ἁρμάτειος τροχός, Ἁρμάτειος δὲ νόμος, καὶ Ἁρμάτειον μέλος, ἀπὸ ἅρματος.

Ε 3968 Ἁρμάτιος· οὗτος μέγιστον ἴσχυσε παρὰ τῇ Ζηνωνίδι τῇ βασιλίσσῃ καὶ αὐτῷ Βασιλίσκῳ. ἐσφάγη δὲ ὑπὸ Ζήνωνος τοῦ βασιλέως, καὶ ὑπερήσθησαν οἱ πολῖται τῇ τούτου σφαγῇ. ἐπὶ γὰρ Λέοντος πρὸς τοὺς σταση̈άζοντας ὅσους λάβοι τῶν Θρᾳκῶν τὰς χεῖρας ἐκτέμνων ἀπέπεμπεν. Ὀνόουλφος δὲ αὐτὸν διεχρήσατο, ὄντινα ὁ Ἁρμάτιος πένητα καὶ ἄρτι ἐκ βαρβάρων ἥκοντα προσλαβὼν φιλοφρόνως τὸ μὲν πρῶτον κόμητα ἐποίησεν, ἔπειτα καὶ στρατηγὸν Ἰλλυριῶν, καὶ εἰς ἑστίασιν ἔχειν πολὺν ἄργυρον παρέσχεν. ἀντέδωκε δὲ τούτῳ τὴν βαρβαρικὴν ἁπιστίαν μετὰ χειρὸς μιαιφόνου.

Δ 3969 Ἁρματηλάτης: ὁ ἡνίοχος.

Ε 3970 Ἁρμάτος· ὅτι Βασιλίσκος ὁ βασιλεὺς, ἐπείπερ ὡς συγγενεῖ τῷ Ἁρμάτῳ ἀδεῶς ἐπέτρεπεν ἐντυγχάνειν Ζηνωνίδι τῇ βασιλίδι, τριβομένης σφίσι τῆς ὁμιλίας καὶ τοῦ κάλλους αὐτῶν οὐκ εὐπαροδεύτου ὄντος, ἄμφω ἀλλήλων ἐκτόπως ἦρων. ῥίψεις οὖν ὀμμάτων ἐπ' ἀλλήλους ἐγίνοντο καὶ παρεκστροφαὶ συνεχεῖς προσώπων καὶ μειδιαμάτων μεταδόσεις· πόνος τε μετὰ ταῦτα ἔρωτος ὑπ' ὄψιν στεγομένου. ἐπεὶ δὲ κοινωσάμενοι τὸ πάθος Δανιὴλ εὐνούχῳ καὶ Μαρίᾳ μαίᾳ ἰάσαντο τοῦτο μόλις τῇ τῆς μίξεως ἰατρείᾳ, Ζηνωνὶς Βασιλίσκον διὰ θωπείας ἦγε τοῦ τὸν ἐραστὴν ἔχειν ἐν τῇ πολιτείᾳ τὰ πρωτεῖα. ὁρῶν δὲ Θεοδώριχος τιμώμενον ἐκ πάντων Ἁρμάτον ἤσχαλλεν ὡς παρευδοκιμούμενος ἐκ νέου τριχῶν μόνον καὶ τῆς ἄλλης φροντίζοντος σωμασκίας. ὁ δ' Ἁρμάτος ἔκ τε φορᾶς χρημάτων καὶ τιμῆς ἁπλέτου τυφωθεὶς οὐδένα αὐτοῦ ᾤετο διοίσειν ἐπ' ἀνδρείᾳ. καὶ τοσοῦτον αὐτοῦ ἥδε ἡ ἄλη ἐκράτει, ὡς σκευὴν ἀναλαμβάνειν Ἀχιλλέως, οὕτω τε περιβαίνειν ἐς ἵππον καὶ κατὰ τὸν ἱππόδρομον φρυάττεσθαι τοῦ

3963 cf. Eust. I. 266, 40, Strabo 9, 11, p. 404 3964 = Ambr. 3166 3965 —τροφή = H, Et. M. 145, 8 ὧν—ἁρμαλιήν Anth. 6, 302, 8 3967 — νόμος = Ambr. 3140; ἁρμάτειον μέλος = Ambr. 3305 cf. H, Et. M. 145, 25 3968 Malch. fr. 8, FHG 4, 117 3969 = Ambr. 2953, H 3970 Malch. fr. 8, FHG 4, 117

3964 Z 291 3969 Z 291 3970 cf. 1167, 4301, v. σωμασκία, v. σύρφαξ

A(GITFVM) 3 Ἁρμαθέμ] Ἁρμαθαίμ FV^{ac}, p. 115, 26 4 οἴσεαι AV οἴσεται rell. 5 ὅτι—παραλόγως ex I (post 3963), TM 3966 ex I^{mg}T (post 3967), M 6 Ἁρμαμεντήρια IM Ἁρμαμεντάρια· Ῥωμαϊκὴ ἡ λέξις T 7 Ἁρμάτειος alt. FV Ambr. Ἁρμάτιος rell. Ἁρμάτειον F Ambr. Hes. Et. Ἁρμάτιον ATVM Ἁρμάτιος GI 31 ἐπ'] ἐν A 32 ἡ ἄλη] ἡ πλάνη ss. VM ἐκράτει AFV ἐπεκράτει GIM

οἴκου. ἐξῆρε δὲ τοῦτον πλείω πρὸς τοιαύτην δόξαν μαίνεσθαι τὸ ὑπὸ δήμου σύρφακος ἐν εὐφημίαις ἀνακαλεῖσθαι Πύρρον· ὃς εἰ μὲν οὕτως ἐβόα διὰ τὸ ἐρυθροπρόσωπον εἶναι, ἔλεγεν εἰκότα, εἰ δ' ὡς πρὸς ἔπαινον ἀνδρείας, ἔθελγεν ὡς νέον. οὐ γὰρ ἥρωας ἔβαλλεν ὡς Πύρρος, ἀλλὰ γυναιμανὴς ἦν ὡς Πάρις.

3971 Ἁρματωλία: ἡ τῶν ἁρμάτων ἡνιοχεία. καὶ τοῦ κύκλου παρέτραγον ὑφ' ἁρματωλίας. ἀντὶ τοῦ φειδόμενοι τῶν ἁρμάτων αὐτῶν. Ἁρματροχία δὲ ἡ ἐγχάραξις τοῦ ἅρματος. ἔστι καὶ Ἁματροχία. Ar. Δ

3972 Ἄρμενα: ἁρμόδια, ἐπιτήδεια. ἐν Ἐπιγράμμασι· Πανὶ τάδ' αὔθαιμοι τριτσοὶ θέσαν ἄρμενα τέχνας. καὶ Ἄρμενον, τὸ ἱστίον. Δ Anth.

ὅτι οἱ ἐνδότεροι Ἰνδοὶ καὶ Ἴβηρες καὶ Ἀρμένιοι ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου ἐβαπτίσθησαν. Suid.

3973 Ἁρμογή: εὐταξία. μαθόντες δὲ τὴν τῶν πολεμίων ἁρμογὴν τῆς πορείας. Δ E

3974 Ἁρμογή: ὡς ἡμεῖς. Εὔπολις Αἰξί· ταύτην ἐγὼ ἐζήτουν πάλαι τὴν ἁρμογήν. Σ

3975 Ἁρμόδιοι: ἀρεστοί. καὶ παροιμία· Ἁρμοδίου μέλος, ἐπὶ τῶν δυσκόλων. τὰ γὰρ εἰς Ἁρμόδιον μέλη τοιαῦτά ἐστιν. Ἁρμόδιος καὶ Ἀριστογείτων ἐπέθεντο τοῖς τυράννοις, καὶ τὸν Ἱππίαν ἀπέκτειναν Ἀθηναῖοι. Σ Prov.?

3976 Ἁρμοζόμενος: ἐπιτηδείως διατιθέμενος. ὁ δὲ νυκτὸς ἐποίει τὰς εἰσόδους ἁρμοζόμενος πρὸς τὴν ὑποκειμένην πρόθεσιν. E

3977 Ἁρμονίαν: τὸ εὖ καὶ ἐπισταμένως εἶναι τὴν νευρὰν ἐν τοῖς κρούμασι τῶν ᾀσμάτων. ὅτι ἡ ἁρμονία ἐπιγίνεται τοῖς ἡρμοσμένοις· δεῖ γὰρ εἶναι τὰς χορδάς, εἶτα τοιῶσδε ἐπιταθῆναι, καὶ οὕτως ἐπιγενέσθαι τὴν ἁρμονίαν. οὐ μάχεται δὲ τοῖς ἡρμοσμένοις, ἀλλ' ἕπεται οὕτως ἔχουσα, ὡς ἂν ἔχῃ τὰ ἡρμοσμένα. ἔστι δὲ ἁρμονία συμφωνία τῶν χορδῶν. ἀναρμοστία δέ ἐστι τοῦ ἐμψύχου σώματος νόσος καὶ ἀσθένεια καὶ αἶσχος, ὧν τὸ μὲν ἀσυμμετρία ἐστὶ τῶν στοιχείων ἡ νόσος, τὸ δὲ τῶν ὁμοιοτέρων ἡ ἀσθένεια, τὸ δὲ τῶν ὀργανικῶν τὸ αἶσχος. ἁρμονία δέ ἐστι λόγος τῶν μιχθέντων ἢ σύνθεσις. λέγεται Ar. Phil.

3971 — αὐτῶν Ar. Pac. 415 c. sch. ἁρματροχία sq. cf. Et. M. 145, 14, Ammon., Ambr. 3270 3972 — ἐπιτήδεια cf. H Πανί—τέχνας Anth. 6, 14, 1 3974 cf. Poll. 4, 57; Eup. fr. 11 3975 — ἀρεστοί cf. Ba 145, 1 3976 ὁ sq. Polyb. 8, 25, 9 3977 — ᾀσμάτων sch. Ar. Eq. 994 vs. 25 ἡ ἁρμονία—28 ἡρμοσμένα Philop. 142, 6—16; ἀναρμοστία—vs. 32 αἶσχος Philop. 145, 1—4; vs. 32 ἁρμονία—p. 364, 9 ψυχήν Philop. 148, 4—18, 25—31

3971 hinc 1509 et v. παρέτραγον, Z 299, 301 3972 Anth. cf. 4423 et v. ὀρεινόμων; ἄρμενον, τὸ ἱστίον ex v. ἱστίον 1 cf. v. λαῖφος; ὅτι sq. cf. v. Ἴβηρες et v. Ἰνδοί 3973 Z 299 3975 cf. 498

1 οἴκου] ἵππου V ἵππου τρόπον Port. ὄχλου Toup. τοῦτον] τούς GI 3 ἐρυθροπρόσωπον] ἐρυθροπρεπής GI 7 παρέτραγον] παρέτρεχον F 11 καὶ—ἱστίον om. FV 12 ὅτι—13 ἐβαπτίσθησαν ex M (post l.); similia T 14 πολεμίων] πολέμων VM 19 μέλη om. A 27 ἀλλ'—28 ἔχουσα] δεῖ γὰρ εἶναι τὰς χορδὰς A 31 ὁμοιοτέρων] ὁμοιομέρων Philop. A(GITFVM)

δὲ διχῶς. κατὰ α΄ μὲν λόγον ἡ σύνθεσις τῶν σωμάτων, ὅταν οὕτως παρατεθῇ, ὡς μὴ δύνασθαι ἄλλον ἐμβληθῆναι μεταξὺ λίθον ἢ τι τῶν συγγενῶν βαρέων σωμάτων. ἐκ δὲ τούτων μεταφέρομεν τὸ τῆς ἁρμονίας ὄνομα καὶ ἐπὶ τὸν λόγον τῶν μεμιγμένων, οἷον ἔν τε τοῖς κεκραμένοις καὶ ἐν τοῖς κατὰ μουσικήν. τὸν γὰρ λόγον τῶν μιχθέντων τὸν ἡμιόλιον ἢ τὸν ἐπίτριτον ἤ τινα ἄλλον λέγομεν ἐκ τῶν συνθέτων κατὰ μεταφορὰν ἁρμονίαν. κατὰ α΄ δὲ λόγον ἡ ἁρμονία ἐπὶ τῆς παραθέσεως λέγεται, ἐπειδὴ γνωριμωτέρα ἡμῖν ἐστιν. οὔτε σύνθεσιν οὖν οὔτε μίξιν εὔλογον ποιεῖν τὴν ψυχήν. ἐπὶ οὖν τῶν ποιητικῶν δεῖ καὶ ποιᾶς ὕλης, ἤγουν οὐσίας. ἄλλως γὰρ χαλκὸς ἠχεῖ καὶ ἄλλως σίδηρος καὶ ἄλλως μόλυβδος καὶ ξύλον. διὸ καὶ τὰ ὀψόβαφα εἰώθασιν ἐκ διαφόρου κατασκευάζειν ὕλης, ἵνα τῇ διαφορᾷ τῶν ἀπηχήσεων τὴν ἁρμονίαν ἀποτελέσωσιν. ἡ γὰρ ἁρμονία πολυμιγέων ἐστὶ καὶ δίχα φρονέοντων ἕνωσις. διὸ καὶ ἀδύνατον ἑνὸς ὄντος γενέσθαι ψόφον.

Ar. ἁρμονίαι δὲ λέγονται καὶ τὰ συμπηγνύμενα τῶν κραββάτων μέρη. τῶν ἁρμονιῶν διαχασκουσῶν. τροπικῶς δὲ τὰ ποιήματα. Ἀριστοφάνης.

Δ 3978 Ἁρμονίδης: ὄνομα κύριον.

3979 Ἁρμοσταί: οἱ ἀπὸ βασιλέως σταλλόμενοι εἰς ἔθνη. οἱ δὲ
E Φαλίσκοι οὐδενὶ προσεῖχον τῶν ἐπιχωρίων ἁρμοστῇ πάντας ὑφορώ-
Harp. μενοι. Ἁρμοσταὶ οὖν οἱ ὑπὸ Λακεδαιμονίων εἰς τὰς ὑπηκόους πόλεις ἄρχοντες ἐκπεμπόμενοι.

| Synt. 3980 Ἁρμόττων· δοτικῇ. συνάπτων. καὶ Ἁρμόζων· δοτικῇ.

Call. 3981 Ἁρμοῖ που: ἀρτίως, νεωστί. οὕτω που Καλλίμαχος ἐν Ἑκάλῃ· ἁρμοῖ που κἀκείνῳ ἐπέτρεχεν ἁβρὸς ἴουλος.

Σ 3982 Ἀρνακίδα. Ἀρνακίς, τὸ τοῦ ἀρνοῦ κῴδιον, τὸ μετὰ τῶν
Ar. ἐρίων δέρμα. Ἀριστοφάνης Νεφέλαις· οἴμοι τίς ἂν δῆτ' ἐπιβάλοι ἐξ ἀρνακίδων γνώμην ἀποστερητρίδα; ἔπαιξε δὲ πρὸς τὸ ἀρνεῖσθαι, παρονομάσας ἀπὸ τῶν ἀρνῶν, καὶ τοῦ ἀρνεῖσθαι τοὺς δανειστάς. τὸ δὲ ἀποστερητρίδα ἅμα μὲν ἀπὸ τοῦ ἀποστερεῖν, ἅμα δὲ καὶ ἀντὶ τοῦ περιβόλαιον.

Δ 3983 Ἀρναῖος: ὄνομα κύριον.

Δ 3984 Ἀρνευτήρ: κυβιστητήρ.

Δ 3985 Ἄρνη: πόλις Βοιωτίας.

3977 vs. 9 ἐπί—14 ψόφον Philop. 358, 10—16 ἁρμονίαι sq. Ar. Eq. 533 c. sch. 3978 = Ambr. 3064 3979 vs. 20 ἁρμοσταί sq. Harp. = Ba 145, 2 cf. H, Bk. 206, 16, 211, 7 3981 cf. Et. M. 144, 53; Call. fr. 42 K., 44 S. 3982 l. = Ba 145, 7 ἀρνακίς sq. Ar. Nu. 729—30 c. sch. cf. Ba 145, 7 3983 = Ambr. 3016 3984 = Ambr. 2926, Et. M. 146, 51 cf. H = sch. Π 742 3985 = Ambr. 3233 cf. sch. B 507, H, Et. M. 145, 53

3977 hinc v. ὀψόβαφα; Ar. cf. v. ἤλεκτρα 2 3979 cf. v. ἐπίσκοπος; Z 291 3981 Z 310 3982 hinc 3554, Z 299 3985 Z 299

A(GITFVM) 7 α΄] β΄ M δεύτερον V 8 οὔτε—p. 376, 28 om. F 15 συμπηγνύμενα] συμπηγνόμενα GIT cf. p. 28, 2 19 Φαλίσκοι] Φαυλίσκοι V 22 δοτικῇ pr. om. GV ss. I καί—δοτικῇ om. V ἁρμόζων] ἁρμόζω GI^{oc}T post 3982 Ἀρνός, ἀρνοῦ· καὶ ἀρνίον, ἀρνίου add. T

3986 'Αρνίον σοι λελάληκεν· ἐν Αἰγύπτῳ, ὥς φασιν, ἀνθρωπείᾳ φωνῇ ἐλάλησεν. εὑρέθη δὲ ἔχον ἐν τῇ κεφαλῇ βασίλειον δράκοντα ὑπὲρ τῆς κεφαλῆς αὐτοῦ πτερωτὸν, ἔχοντα μῆκος πήχεων δ', καί τινι λελάληκε τὰ μέλλοντα. Suid.

3987 'Αρνουφις· οὗτος Αἰγύπτιος ἦν φιλόσοφος, ὃς συνὼν Μάρκῳ, τῷ βασιλεῖ 'Ρωμαίων, τῷ φιλοσόφῳ, δίψει ποτὲ καμνόντων τῶν 'Ρωμαίων ἐξαίφνης ποιῆσαι νέφη τε ἀγερθῆναι ζοφώδη καὶ ὄμβρον ἀφεῖναι λάβρον ἅμα βρονταῖς τε καὶ σέλαcιν ἐπαλλήλοις. καὶ τοῦτο σοφίᾳ τινὶ ἐργάcασθαι 'Αρνουφιν. οἱ δέ φασιν 'Ιουλιανὸν τὸν Χαλδαῖον τοῦτο πεποιηκέναι τὸ θαυμάσιον.

3988 'Αρνυμένη: ἀντικαταλλάccουca. ζώειν γὰρ δίχα παντὸς ὀνείδεος ἤθελ' ἑκάστα, ξεῖνε, τὸν ἐκ χειρῶν ἀρνυμένα βίοτον. καὶ 'Αρνυcθαι, ἀντικαταλλάccεcθαι. ὅθεν καὶ τὸ μισθαρνεῖν, τὸν μισθὸν ἀντί τινος λαμβάνειν λέγεται. λαμβάνεται δὲ ἀντὶ τοῦ περιποιούμενος καὶ ἀντὶ τοῦ φυλάττων. οὕτως Πλάτων. Hom. + Anth. Σ

3989 'Αρομα: τὸ ἀροτρίαcμα. 'Αρωμα δὲ διὰ τοῦ ω μεγάλου τὸ μυρεψικόν. καὶ 'Αρόcιμον κλίμα, τὸ ἀροτριούμενον. Δ

3990 'Αρουραία μάντις: ἐπὶ τῶν νωθρῶν καὶ ἀπράκτων. ἔcτι δὲ ἀκρὶc δυcκίνητος, χλωρὰ, καλουμένη μάντις, ἧς τινες προσέχοντες ταῖς κινήcεcι μαντεύονται. ὅτι ἡ ἄρουρα ἔχει πόδας ν'. Prov.

3991 'Αροῦcιν: ἐπάρωcιν, ὑψώcουcιν. Ps.

3992 'Αρον· ἄρεc δέ.

3993 'Αρωγή: ἡ βοήθεια. καὶ 'Αρωγός, βοηθός. ὠφέλιμος. ΔΣ

3994 'Αρρωδία: ὁ φόβος. 'Ηρόδοτος· ἀρρωδία ἦν τὸ πεῖθον. ΔΕ

3995 'Αρρωλος: ὄνομα πόλεως. Δ

3996 'Αρωμα: θυμίαμα μυρεψικόν. 'Αρώματα οὖν οὐ τὰ θυμιάματα οἱ 'Αττικοὶ καλοῦcιν, ἀλλὰ τὰ ἐcπαρμένα. Δ Σ

3997 'Αρρώστημα νοσήματος διαφέρει· ἀρρώστημα γάρ ἐcτι νόcημα μετὰ ἀcθενείας, τὸ δὲ νόcημα οἵηcις cφοδρὰ δοκοῦντος αἱρετοῦ. καὶ ὡς ἐπὶ cώματος εὐεμπτωcίαι τινὲς λέγονται, οἷον κατάρρους, Phil.

3986 — ἀντικαταλλάccουca cf. sch. A 159, a 5, H, Et. M. 146, 40; ζώειν—βίοτον Anth. 6, 174, 7—8 ἄρνυcθαι sq. = Ba 145, 8 cf. Phot. Amphil. Herm. 26, 256; — λέγεται = Tim. cf. sch. Pl. Rep. 346c; Pl. Protag. 349a 3989 — μυρεψικόν = Ambr. 3288; ἀρόcιμον sq. cf. Ambr. 3297 3990 — μαντεύονται cf. Paroem. ed. Gsf. 19, n. 202; Phil. Suppl. 6, 260, n. 235 3991 = An. Ox. 2, 429, 9 cf. Zon. 308 3993 — βοήθεια = Ambr. 3219 cf. Ba 150, 8, Σ^{a}, H, sch. Δ 408; ἀρωγός, βοηθός = Ambr. 2933, sch. Δ 235, H ὠφέλιμος = Ba 150, 9 3994 ἀρρωδία alt. sq. Hdt. 7, 173, 4 3995 = Ambr. 3235 3996 — μυρεψικόν cf. ad 3989 ἀρώματα sq. = Ba 150, 10 3997 Laert. 7, 115

3986 ex v. τὸ ἀρνίον σοι 3987 hinc v. 'Ιουλιανός 2 3988 Anth. cf. v. ὄνειδος 3989 cf. 3996 3990 hinc v. μάντις 3992 cf. 3826 3993 cf. Z 294 3994—5 Z 301 3996 cf. 3989

3986 om. T mg. V post 3984 A 6 ἀγερθῆναι AV ἐγερθῆναι GITM cf. v. 'Ιουλιανός 10 ἀντικαταλλάccουca] ἀντὶ τοῦ καταλλάccουca V 11 ἤθελ'] ἤθελεν A τόν] τῶν V cf. Anth. 19 ἔχει πόδας] πόδας ἔχει VM ν'] ρν' Iomart ap. Hultsch., Metrol. 1, 334 3991—2 om. GTV mg. I, 3992 post 3993 A 28 αἱρετοῦ] ἑαυτοῦ GIT A(GITVM)

διάρροια, οὕτω κἀπὶ τῆς ψυχῆς εἰσι καταφοραί, οἷον φθονέρα, ἐλεημοσύνη καὶ τὰ παραπλήσια.

Δ 3998 Ἀρρωστία: ἡ ἀσθένεια. Ἀρρωστία δὲ τοῦ στρατεύειν, Σ ἀντὶ τοῦ ἀπροθυμία. Θουκυδίδης.

Synt. 3999 Ἀρπάζω· αἰτιατικῇ.

Δ 4000 Ἀρπαλέος: ὁ ἐπιθυμητικός. καὶ Ἁρπάλεια χρήματα.

Δ 4001 Ἁρπάληξ: ὄνομα κύριον.

4002 Ἁρπαστὸν καὶ Σφαῖρα: εἴδη παιδιᾶς.

ΔΣ 4003 Ἁρπεδόνες: τὰ σχοινία. Ἁρπεδόνη, ἡ διὰ σπάρτου
Anth. θήρα. ἐν Ἐπιγράμμασι· καὶ πολλοὺς ὀΐστοὺς τόξου πορφυρέης ἧκεν ἀφ' ἁρπεδόνης.

Anth. 4004 Ἁρπεδόσι: τοῖς ἱστοῖς. καλύπτειραν δὲ προσώπου, ἔργον ἀραχναίοις νήμασιν ἰσόμορον. καὶ αὖθις· τὸ δὲ προτευχθὲν ἀραχναίης εἴκελον ἁρπεδόσιν.

Δ 4005 Ἅρπη: τὸ δρέπανον, καὶ κλίνεται ἅρπης. Ἁρπὶς δὲ διὰ τοῦ ι τὸ ὑπόδημα, καὶ κλίνεται ἁρπίδος. καὶ Ἁρπηφόρος, ὁ δρεπανηφόρος. καὶ Ἁρπήνη.

Suid. 4006 Ἅρπεζον· ὅτι τὸ ἐκ χαλίκων ψκοδομημένον τειχίον ἄνευ πηλοῦ παρὰ Ἡροδότῳ τινὲς ἅρπεζον καλοῦσιν.

4007 Ἁρπήνουσα: ὄνομα νήσου.

Suid. 4008 Ἁρπίς, ἁρπίδος.

Hom. 4009 Ἅρπυιαι: ἁρπακτικαὶ δαίμονες.

4010 Ἁρποκρᾶς· οὗτος συνήθης ἦν Ἀμμωνίῳ, ἀνὴρ Αἰγύπτιος, γραμματικὸς, ἐπὶ Ζήνωνος τοῦ βασιλέως· ὃν ἀκούσας ὁ Νικομήδης τὰ ἀμφὶ τὸν Ἀμμώνιον ἐπίστασθαι συλλαβεῖν ἠπείγετο. ὁ δὲ τὰ μέλλοντα ἀπ' ἀρχῆς εἰκάσας ἢ καὶ προπυθόμενος εὐθὺς ἀφανὴς ἐγεγόνει.

Hesy. 4011 Ἁρποκρατίων, Ἀργεῖος, Πλατωνικὸς φιλόσοφος, συμβιωτὴς Καίσαρος. ἔγραψεν ὑπόμνημα εἰς Πλάτωνα ἐν βιβλίοις κδ', Λέξεις Πλάτωνος ἐν βιβλίοις β'.

Hesy. 4012 Ἁρποκρατίων, ὁ Γάϊος χρηματίσας, σοφιστής. ἔγραψε Περὶ τῶν Ἀντιφῶντος σχημάτων, Περὶ τῶν Ὑπερίδου καὶ Λυσίου λόγων, καὶ ἕτερα.

3998 — ἀσθένεια = H; l. = Ambr. 3259 ἀρρωστία alt. sq. = Ba 145, 19 cf. Phryn. 10, 15; Thuc. 3, 15, 2 3999 = Synt. Laur. 4000 Ἁρπάλεια sq. = Ambr. 3309 4001 = Ambr. 3069 4002 — σφαῖρα Artem. 1, 55 4003 — σχοινία cf. Ambr. 3212 ἁρπεδόνη – θήρα = Ba 145, 15 καί sq. Anth. 5, 193, 5—6 4004 καλύπτειραν – ἰσόμορον Anth. 6, 206, 5—6; τό sq. Anth. 6, 207, 5—6 4005 — ἅρπης = Ambr. 3210 cf. H, Ba 145, 18, sch. T 350 (= Ap. S. 42, 32), Et. M. 148, 24; ἁρπὶς—ἁρπίδος = Ambr. 3207; ἁρπηφόρος, ὁ δρεπανηφόρος = Ambr. 2913; Ἁρπήνη = Ambr. 3238 4009 sch. α 241 cf. Et. M. 148, 31 4010 Dam. fr. 177

4000 Z 292 4003 Z 300 4005 hinc 4008 4006 ex v. αἱμασιά; Z 305 4008 ex 4005 4009 Z 300 4010 cf. v. Ὡραπόλλων

A(GITVM) 1 φθονέρα] φθονερία Laert. 4006 om. GIT mg. AV 4007 om. AGT mg. I post 4009 V 4008 om. V 28 Πλάτωνα] ὑπόμνημα add. A

4013 Ἀρποκρατίων, ὁ Αἴλιος χρηματίσας, σοφιστής. ἔγραψε Περὶ τῶν δοκούντων τοῖς ῥήτορσιν ἠγνοῆσθαι, καὶ Ὑποθέσεις τῶν λόγων Ὑπερίδου, Περὶ τοῦ κατεψεῦσθαι τὴν Ἡροδότου ἱστορίαν, Περὶ τῶν παρὰ Ξενοφῶντι τάξεων, Περὶ τέχνης ῥητορικῆς, Περὶ ἰδεῶν. Hesy.

4014 Ἀρποκρατίων, ὁ Βαλέριος χρηματίσας, ῥήτωρ, Ἀλεξανδρεύς. Λέξεις τῶν δέκα ῥητόρων, Ἀνθηρῶν συναγωγήν. Hesy.

4015 Ἀρσάκης, Πάρθων βασιλεύς· ὃς δόρατι πληγεὶς ἐν τῇ μάχῃ κατὰ τὴν πλευρὰν θνήσκει, ἀνὴρ γενόμενος τό τε σῶμα κάλλιστος καὶ περιβλεπτότατος καὶ τὴν ψυχὴν βασιλικώτατος καὶ τοῖς ἐς πόλεμον ἔργοις δαημονέστατος, καὶ ἐς μὲν τὸ ὑπήκοον πᾶν πραότατος, ἐς καθαίρεσιν δὲ τοῦ ἀνθισταμένου ἐρρωμενέστατος. καὶ τοῦτον Παρθυαῖοί τε ἐς τὰ μάλιστα ἐπόθησαν. καὶ Ἀρσακίδαι, οἱ Περσῶν βασιλεῖς. Ἀρσάκης, ὁ Παρθυαῖος, τοὺς Μακεδόνας κρατήσαντας τῆς Περσῶν ἀρχῆς ἔτη σϟ ἐκβαλὼν Πάρθοις τὴν βασιλείαν παραδέδωκεν. ἔνθεν Ἀρσακίδαι ἐκλήθησαν οἱ Περσῶν βασιλεῖς. E Δ E

4016 Ἄρσενι βοᾷ δοκίμῳ: τῇ θαυμαστῇ φωνῇ καὶ δεδοκιμασμένῃ. Ar.

4017 Ἀρσεων: βασταγμάτων. φορτίων. Σ Ps.

4018 Ἀρσινόη: ὄνομα κύριον. Δ

4019 Ἀρτᾷ: ἐπικρέμαται. Σ

4020 Ἀρτάβη: μέτρον Μηδικὸν σίτου, Ἀττικὸς μέδιμνος. Σ

4021 Ἀρτασήρας: ὄνομα κύριον.

4022 Ἀρταφέρης: ἡγεμὼν Περσῶν. καὶ ζήτει ἐν τῷ ἀπεκορύφου Δ? καὶ ἐν τῷ Δάτις.

4023 Ἀρτάρια: παρ' ἡμῖν οἱ τῶν ποδῶν πῖλοι.

4024 Ἀρτεμής: ὁλόκληρος, σῶος, ὑγιής. Ἄρτεμις δὲ ἡ θεός. Δ

4025 Ἀρτεμίδωρος, Δαλδιανός (πόλις δέ ἐστι Λυδίας ἡ Δάλδις), φιλόσοφος. ἔγραψεν Ὀνειροκριτικὰ ἐν βιβλίοις δ', Οἰωνοσκοπικὰ καὶ Χειροσκοπικά. Hesy.

4026 Ἀρτεμίδωρος, ὁ Ψευδοαριστοφάνειος, ὁ ὀψαρτυτικὰς λέξεις συναγαγών. Suid.

4027 Ἀρτέμιος, ὁ καὶ Ἀναστάσιος, βασιλεὺς Ῥωμαίων, αἰσθόμενος στόλον Σαρακηνῶν ἔρχεσθαι κατὰ τῆς πόλεως, Ἰωάννην ἐφίστησιν ἡγεμόνα τοῦ πολέμου, διάκονον τῆς μεγάλης ἐκκλησίας καὶ λογιστὴν E

4015 ÷ vs. 12 ἐπόθησαν Arr. Parth. p 7 sq. R. 4016 Ar. Th. 125 c. sch. 4017 — βασταγμάτων = Ba 146, 10, H, An. Ox. 2, 429, 17 φορτίων = An. Ox. 2, 429, 17 4018 = Ambr 3230 4019 = Ba 147, 7, Σ^a 4020 = H, Et. M. 150, 7 cf. sch. Ar. Ach. 91, Ba 146, 12 4021 cf. Ambr. 2995 4022 l. cf. Ambr. 3074 4024 σῶος - Ambr. 2946 cf. H; ὑγιής = Et. M. 150, 8 cf. H, sch. Ε 515; Ἄρτεμις sq. = Ambr 3231 b, Et. M. 150, 12 4025 — Δάλδις cf. Artem. 3, 66 fin. 4027 Nicephoro attr. de Boor, ed. p. XVI

4017 Z 300 4019 Z 309 4020 cf. 4671; Z 300 4024 cf. 4028 4025 hinc v. Δ 30 4026 ex v. Τιμαχίδας cf. v. ὀψαρτυτική 4027 hinc v. Γ 149

2 τοῖς om. A 8 θνήσκει AVM ἀποθνήσκει GIT 9 τοῖς—10 ἔργοις] A(GITVM) τῶν—ἔργων Roos 12 Περσῶν] τῶν Π. V 13 κρατήσαντας] κρατήσας GIT τῆς] τῶν A 14 ἀρχῆς om. A 17 φορτίων om. V 4021 mg. AV 21 Ἀρτασήρας] Ἀρταγήρας V 22 Ἀρταφέρης] Ἀρταφέρνης $T^{ac}M$ 4023 mg. V post vs. 25 ὑγιής T 24 παρ'—πῖλοι] τὰ παρ' ἡμῖν V 4026 om. G mg. V

τῶν φόρων, ὃν Γενικὸν καλοῦσιν· ὃς πρὸς τῇ Ῥόδῳ γενόμενος καταστασιασθεὶς ὑπὸ τοῦ πλήθους ἀναιρεῖται.

Δ 4028 Ἄρτεμις: ἡ θεός.

Suid. 4029 Ἄρτεμις Λαφρία.

Ε 4030 Ἀρτεμισία· αὕτη ἠρίστευσε κατὰ Περσῶν· δι' ἣν εἶπεν ὁ βασιλεὺς, ὡς οἱ ἄνδρες γυναῖκες γεγόνασιν, αἱ δὲ γυναῖκες ἄνδρες.

Harp. Ἀρτεμισίαι δὲ δύο γεγόνασι, Καρικαὶ γένος καὶ βασιλίδες ἀμφότεραι, ὧν ἡ μὲν πρώτη γέγονε κατὰ Περσίδα, ἡ δὲ νεωτέρα, ἧς καὶ Δημοσθένης ἐν τῇ περὶ τῆς Ῥοδίων ἐλευθερίας μνημονεύει, θυγάτηρ μὲν ἦν Ἑκατόμνου, γυνὴ δὲ καὶ ἀδελφὴ Μαυσώλου.

Δ 4031 Ἀρτεμίσιος: παρὰ Μακεδόσιν ὁ Μάϊος. καὶ Ἀρτεμίσιον

Harp. ἰδίως μὲν Ὑπερίδης πολλάκις ὠνόμασε τὸ τῆς Ἀρτέμιδος ἄγαλμα. λέγεται δὲ καὶ ἀκρωτήριον τῆς Εὐβοίας, οὗ Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος μνημονεύει.

Σ 4032 Ἀρτήρ: ὑποδήματος γένος. Φερεκράτης Γραυσίν.

Δ 4033 Ἀρτησάμενος: κρεμάσας. καὶ Ἀρτῆσαι, ὁμοίως· Ἀρτίσαι δὲ τὸ τελειῶσαι καὶ Ἀπαρτίσαι διὰ τοῦ ι.

Σ 4034 Ἄρτι: τὸ μέρος τοῦ παρεληλυθότος συνάπτων τῷ νῦν ἐναντίως ἔχον τῷ αὐτίκα· τοῦτο γὰρ κατὰ τὸ μέλλον συνάπτει τῷ νῦν.

Ar. Ἀριστοφάνης Νεφέλαις· ἀνήρετ' ἄρτι. ἀντὶ τοῦ ἐξ ὑπογύου· ἵνα αὐτοσχεδιάζειν δοκῶσι, καὶ πάντα ἐξ ὑπογύου λέγειν.

Ar. 4035 Ἄρτι τοῦ ἀρτίως διαφέρει παρὰ τοῖς Ἀττικοῖς. ἄρτι μὲν ἀντὶ τοῦ νῦν, ἀρτίως δὲ ἀντὶ τοῦ πρὸ ὀλίγου. ἐκεῖνον εἶφ', ὃν ἀρτίως εἰσήγαγες, ὁ Στρεψιάδης φησὶ πρὸς Σωκράτην. καὶ ἀντὶ τοῦ νῦν

Ε τὸ ἀρτίως. ἔτι περαιουμένοις καὶ ἀρτίως ἀποβαίνουσιν ἐπιτίθεσθαι. Κρίτων ἐν Γετικοῖς.

Σ 4036 Ἄρτια: ἡρμοσμένα, τέλεια, ὑγιῆ. λέγεται δὲ ταῦτα καὶ ἄρ-

Ar. μενα. καὶ Ἀρτιάζειν, τὸ παίζειν ἄρτια ἢ περιττά. στατῆρσι δ'

Δ + κ ἀρτιάζομεν. Ἀριστοφάνης. καὶ Ἀρτιάκις. Ἄρτιος ἀριθμὸς ὁ λβ', Ἀρτιοπέριττος δὲ ὁ διχοτομούμενος εὐθέως εἰς περισσὸν ἀριθμόν, οἷον ὁ τῶν ιδ'. τούτου γὰρ τὸ ἥμισυ ἑπτά.

4028 = Ambr. 3231b, Et. M. 150, 12 4030 — ἄνδρες alt. Hdt. 8, 88, 3 Ἀρτεμισίαι sq. Harp. = Ba 147, 10; Dem. 15, 11 4031 l. = Ambr. 3160 Ἀρτεμίσιον sq. Harp. = Ba 147, 21; Hyperid. fr. 74; Dem. 18, 208 4032 = Ba 147, 6; Pherecr. fr. 38 4033 cf Ambr. 3347 et 3359 4034 — vs. 19 νῦν = Σ^{A}, Ba 146, 19, sch. Luc. 230, 13 cf. sch. Pl. Theaet. 142a, Bk. 210, 27 ἀνήρετ' sq. Ar. Nu. 144 c. sch. 4035 — εἰσήγαγες Ar. Nu. 1149 c. sch. cf. Bk. 206, 11 ἔτι sq. Criton. fr. 3, FHG 4, 374 4036 — ἄρμενα = Ba 147, 8, Σ^{A} cf. Ap. S. 42, 14, sch. Ε 326, H ἀρτιάζειν—ἀρτιάζομεν Ar. Pl. 816 c. sch. cf. sch. Pl. Lys. 206e, H ἀρτιάκις—ἀριθμός = Ambr. 3375; seqq. forte e vita Pythag. cf. Philop. in Nicomachum ed. Hoche I ξδ'

4028 cf. 4024 4029 ex v. B 26 vel 87 4031 cf. Z 292, 305 4032 Z 293 4033 cf. 2927 4035 hinc v. Γ 208 fin. 4036 cf. v. στατήρ 2

A(GITVM) 4029 ex M 11 παρὰ Μακεδόσιν om. Zon. (alibi semper interpolatum) 18 συνάπτων AVM Σ^{A} συνάπτον GIT Ba, sch. Luc. 19 ἔχον] ἔχων A 4035 non nov. gl. VM 26 Κρίτων] Κρότων GIT

4037 Ἀρτιδαεῖ: ἀρτιμαθεῖ. ἀργύριόν σοι τόνδε γενέθλιον ἐς τεὸν Anth.
ἦμαρ πέμπω, ἀρτιδαεῖ σύμπνοον ἐργασίῃ.
4038 Ἀρτίδιον: μικρὸς ἄρτος. ὁ δέ τινα τῶν βασιλικῶν παίδων Δ
αἰτήσας ἀρτίδιον κατεχρήσατο. E
4039 Ἀρτιεπής: ἀπηρτισμένος ἐν τῷ λέγειν. οὐκ ἐν ἐπαίνῳ τὸ Σ
ἀρτιεπὴς, κατὰ τὸ ἐναντίον τοῦ ἁμαρτάνειν· ἀλλ' ὁ λάλος καὶ Hom.
ἀπηρτισμένος τῷ λόγῳ.
4040 Ἀρτιζόμενοι· οἱ δὲ ἀρτιζόμενοι διεῖλον τὴν δύναμιν. ὁ δὲ E
πανοῦργος ὢν καὶ πρὸς τὸ τῆς τύχης ἄδηλον ἀρτισάμενος. E
4041 Ἀρτιθαλῆ: νεόφυτα. Σ
4042 Ἀρτικροτεῖσθαι: συμφωνεῖσθαι. ἀρτικροτοῦνθ' οἱ γάμοι· Σ
φησὶ Μένανδρος.
4043 Ἄρτι μοῦς πίττης γεύεται: ἐπὶ τῶν ὀψὲ εἰς αἴσθησιν ἐρχο- Prov.
μένων ἐν οἷς εἰσιν.
4044 Ἄρτιος καὶ Ἄρτιοι, τέλειοι, ὑγιεῖς. ὑπὸ νόσου ποδάγρας Δ + E
οὔτε αἱ χεῖρες οὔτε οἱ πόδες ἄρτιοι ἐτύγχανον οὖσαι.
4045 Ἀρτίως: τελείως, ὑγιῶς. οὐ μόνον ἄρτι, τὸ πρὸ ὀλίγου. Σ
Φερεκράτης Μυρμηκανθρώποις· ξένη γυνὴ γραῦς ἀρτίως ἀφιγμένη.
καὶ ἀντὶ τοῦ γνησίου· τοιοῦδ' ἀποβλαφθεὶς ἀρτίως φίλου. Soph.
4046 Ἀρτίπους: ὑγιεῖς τοὺς πόδας ἔχων. Σ
4047 Ἀρτίστομος: ὁ σαφὴς καὶ ὁ ἡδὺ φθεγγόμενος. οὕτως Διο- Σ
νύσιος. ὁ δὲ ἦν κάτοινος ἤδη καὶ οὐκ ἀρτίστομος ἔτι. E
4048 Ἀρτίτομος: προπαροξυτόνως ὁ τεμνόμενος νεωστί. Ἀρτι- Δ
τόμος δὲ ὁ νεωστὶ τέμνων.
4049 Ἀρτιχανῆ ῥοιάν τε, καὶ ἀρτίχνουν τόδε μῆλον· ἐν Anth.
Ἐπιγράμμασι.
4050 Ἀρτοπωλεῖον: τὸ μαγκυπεῖον, ἐν ᾧ οἱ ἄρτοι γίνονται. Ἀρ- Δ
τοπώλιον δὲ ὁ τόπος, ἔνθα οἱ ἄρτοι πιπράσκονται.
4051 Ἄρτος: ὁ ψωμός. ἔστι δὲ καὶ ὄνομα τυράννου Μεσσαπίων, Δ
καὶ πρόξενον Ἀθηναίους ποιήσασθαί φησι Πολέμων. Σ

4037 ἀργύριον sq. Anth. 6, 227, 1, 5, 6 4038 ὁ sq. fort. Iambl.
4039 — λέγειν = Ba 147, 19, Σ^a, H οὐκ sq. sch. A in X 281 4040 ὁ sq. Diodor. 14, 20, 3 4041 = Ba 147, 20, Σ^a 4042 = Ba 146, 28 cf. H; Men. com. fr. 904 4043 = Macar. II 36 4044 ὑγιεῖς cf. H v. ἄρτιον
4045 — ἀφιγμένη = Ba 147, 15; ὑγιῶς = Σ^a cf. H; Pherecr. fr. 119 καὶ ἀντί sq. Soph. Ai. 941 c. sch. 4046 = Ba 147, 25, Σ^a cf. H, Et. M. 150, 28
4047 — οὕτως = Ba 147, 26 Διονύσιος fort. Ael. D.; nec in fragmentis com. (II 423 sq. K.) nec in trag. (p. 793 sqq. Nauck) invenitur ὁ δέ sq. Aelian. fr. 315 4048 cf. Philop. diff. 4049 Anth. 6, 22, 1 4050 — μαγκυπεῖον = Ambr. 3310; ἀρτοπώλιον sq. cf. Ambr. 3314 4051 ὄνομα τυράννου = Ba 147, 18; Polem. fr. 89, FHG 3, 145

4037 Z 293 4039 Z 293 4041 Z 305 4042 Z 309 4047 Z 293; Aelian. cf. v. παιᾶνας 4048 Z 293 4050 Z 305 4051 hinc v. Μεσσαπίων

9 τῆς om. A 21 ὁ ἡδύ] ἡδὺ V Ba, ὁ ἥδη GIT Διονύσιος] Δημο- A(GITVM)
σθένης Ba 23 τεμνόμενος Zon. Bas. τεμνώμεθα A τεμνόμεθα rell.

Suid. 4052 Ἄρτος· παροιμία· Ἄννος κρίβανον· ἐπὶ τῶν καινόν τι ἐφευρηκότων. Ἄννος γὰρ Αἰγύπτιος εἰς τὴν τῶν ἄρτων ὀπτησιν ἐπενόησε τὸν κρίβανον.

Δ+Ε 4053 Ἀρτοσιτεῖ: ἄρτον ἐσθίει. Ξενοφῶν· ὅστις δὲ ἀρτοσιτεῖ, ὕδατι δεδευμένον τὸν ἄρτον.

Δ 4054 Ἀρτῶ: τὸ κρεμῶ.

Δ 4055 Ἀρτώριος: ὄνομα κύριον.

Σ 4056 Ἀρτύειν: σκευάζειν. καὶ Ἀρτύοντες, παρασκευάζοντες.

Hom.+Σ καὶ Ἀρτύναντες.

Ar. 4057 Ἀρύβαλλος: πλεκτόν τι βαλάντιον ὁ ἀρύβαλλος παρὰ τὸ ἀρύειν καὶ βάλλειν· ἢ μαρσίπιον. χεῖσθαι δὲ λέγεται οὐ μόνον τὰ ὑγρά, ἀλλὰ καὶ τὰ στερεά· ὥσπερ νῦν ἐπὶ τῆς ἀμβροσίας. εἶτα καταspένδειν κατὰ τῆς κεφαλῆς ἀρυβάλλῳ ἀμβροσίαν, κατὰ τούτου δὲ σκοροδάλμην.

Harp. 4058 Ἀρύβας, Ἀλκέτου μὲν ἦν υἱός, Μολοττῶν δὲ βασιλεύς.

Σ 4059 Ἄρρυθμος: ἀδιατύπωτος, ἀκανόνιστος, μὴ ἔχων ῥυθμόν. ῥυθμὸς γὰρ ὁ τύπος. καὶ Ἀρρύθμως. καὶ Ἀρύομαι.

Δ 4060 Ἀρυώτης: ὄνομα κύριον.

Δ 4061 Ἀρυπότατος.

Σ 4062 Ἀρυσάμενος: ἀντλήσας.

Σ 4063 Ἀρύστιχος: σκευάριόν τι.

Anth. 4064 Ἀρυστρίς· ζωμοῦ τ' ἀμφ' ὀβελοῖσιν ἀρυστρίδα.

Ar. 4065 Ἀρύταινα: χαλκοῦν σκεῦος, ᾧ τὸ ἔλαιον ἐγχέουσιν εἰς τοὺς λύχνους.

4066 Ἀρυταινοειδοῦς· ζήτει ἐν τῷ φάρυγξ.

Σ 4067 Ἀρύτεσθαι: σὺν τῷ τ λέγουσιν, οὐκ ἀρύεσθαι. Ἀριστοφάνης Νεφέλαις· εἶτ' ἄρα Νείλου προχοὰς ὑδάτων χρυσέοις ἀρύτεσθαι πρόχυσιν. καὶ Πλάτων Νόμοις· ὧν ὁ μὲν ἀρυτόμενος ὅθεν τε δὴ καὶ ὁπόσα καὶ ὁπότε.

4068 Ἀρρυτίδωτον: μὴ ἔχον ῥυτίδας, αἳ εἰσι γραμμαὶ γήρως σημαντικαί.

4053 — ἐσθίει cf. Ambr. 3358; ὅστις sq. Xen. Cyr. 6, 2, 28 4054 = Ambr. 3347 4055 = Ambr. 2991 4056 — σκευάζειν = Ba 147, 28, Σ^{a} ἀρτύοντες, παρασκευάζοντες cf. sch. λ 365; ἀρτύναντες cf. Ba 148, 1, Σ^{a}, sch. M 43, H 4057 Ar. Eq. 1094—5 c. sch. cf. H 4058 Harp. cf. Ba 148, 11 4059 — τύπος = Ba 148, 2, Σ^{a} 4060 = Ambr. 2997 4061 cf. Ambr. 3124 4062 = Ba 148, 4, Σ^{a}, H 4063 cf. Phryn. 48, 17 4064 Anth. 6, 306, 5 4065 sch. Ar. Eq. 1091 4067 — ἀρύεσθαι + Πλάτων (636 d) sq. = Ba 148, 5; εἶτ'—πρόχυσιν Ar. Nu. 272

4052 ex 2570 cf. v. κρίβανος 4054 Z 309 4056 Z 309 4057 cf. 3870; Z 294 4059 Z 293 4062 Z 309 4063 Z 294 4065 Z 300 4068 Z 305

A(GITVM) 4052 om. GTV post 4053 A 9 βαλάντιον] βαλλάντιον A^{oc} sch. 16 καί —ἀρύομαι om. GTV 4061 om. TV 26 ἄρα Νείλου Ar. ἄρ' ἂν εἶλου omnes προχοάς] προχοαῖς T cf. Ar. πρόχυσιν] πρόχουσιν T cf. Ar. 29 μή] τὸ μή GIT ἔχον] ἔχων IV

4069 Ἀρχαῖα: τὰ κεφάλαια τῶν χρεῶν. Ἀριστοφάνης Νεφέλαις· αὐτοί τε καὶ τἀρχαῖα καὶ τόκοι τόκων. Ar.

4070 Ἀρχαϊκόν· οἱ δὲ τοῦ μέρους τῆς εὐσεβείας τὸ ἁπλοῦν τῷ Σπυρίδωνι καὶ ἀρχαϊκὸν συνειδότες, προσέτι δὲ καὶ τὸ τῆς Ἑλληνικῆς παιδείας καθαρῶς ἄγευστον, ἐκύλυον εἰς μέσον ἐλθεῖν καὶ τῷ σοφιστῇ συμβαλεῖν ἐπὶ συνόδου. παλαιὸς γάρ τις καὶ ἀρχαΐζων λόγος, ἁπλοῦς καὶ ἀποίκιλος. Metaphr.

4071 Ἀρχαιόγονος, Ἀρχέγονος δέ. Δ

4072 Ἀρχαῖον: ἐχρήσαντο οἱ ῥήτορες τῷ ἀρχαίῳ ἐπὶ τοῦ δανειζομένου τὸ ἀργύριον, ὅπερ ἔνιοι κατά τινα συνήθειαν κεφάλαιον ὀνομάζουσι. Δημοσθένης ἐν τῷ κατὰ Νικοστράτου· δανείσας ἀργύριον Ἄρχιππον οὐχ οἷός τε ἦν αὐτὸ ἀπολαβεῖν, οὔτε τόκον οὔτε τὸ ἀρχαῖον. παρείληπται δὲ καὶ ἐπὶ τοῦ παλαιοῦ. Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου· ὁ δὲ Σόλων, ὁ τῶν νομοθετῶν μάλιστα εὐδοκιμῶν, γέγραφεν ἀρχαίως. καὶ πάλιν· οὕτως ἦσαν σώφρονες οἱ ἀρχαῖοι ἐκεῖνοι ῥήτορες, ὁ Περικλῆς, Θεμιστοκλῆς καὶ Ἀριστείδης. τάττεται δὲ παρὰ κωμικοῖς καὶ ἐπὶ τοῦ εὐήθους. Rhet.

4073 Ἀρχαῖον τὸ κιθαρίζειν: τουτέστιν οὐδενὸς λόγου ἄξιον, ληρῶδες, ἀνόητον. Ar.

4074 Ἀρχαῖος: ὁ παλαιός. Ἰσοκράτης μὲν ἐν τῷ Πανηγυρικῷ τὸ ἀρχαιοτρόπως εἰπεῖν, τουτέστιν ἀρχαιοτέροις ὀνόμασι χρῆσθαι· Δημοσθένης δὲ ἐν τοῖς Φιλιππικοῖς εἰπών· οὕτως δὲ ἀρχαίως εἶχον, μᾶλλον δὲ πολιτικῶς· ἀντὶ τοῦ ἁπλῶς ἔλαβεν. Δ Harp.

4075 Ἀρχαῖος: ἀντὶ τοῦ εὐήθης. Πλάτων. ἢ λῆρος. Ἀρχαίως δὲ ἀπραγμόνως, ἀπαρατηρήτως· ἢ καὶ ἠλιθίως, εὐήθως. μινυρίζοντες μέλη ἀρχαιομελισιδωνοφρυνιχήρατα. Σ + Ar.

4076 Ἀρχαιότερα τῆς διφθέρας λέγεις: ἐπὶ τῶν καθρὰ καὶ παλαιὰ λεγόντων. ἡ γὰρ διφθέρα παμπάλαιος, ἐν ᾗ δοκεῖ ὁ Ζεὺς ἀπογράφεσθαι τὰ γενόμενα. Prov.

4077 Ἀρχαιότυπος: ὁ παλαιὸς νόμος. Δ

4069 Ar. Nu. 1156 c. sch. 4070 — συνόδου Sym. Metaphr. PG 116, 433a 4071 cf. Ambr. 2932, Ps. Herodian. 167 4072 — ὀνομάζουσιν + παρείληπται— παλαιοῦ = Bk. 215, 33 cf. Ba 148, 12; Dem. 53, 20; Aeschin. 1, 183; vs. 16 εὐήθους cf. Phryn. 21, 11 et ad 4075 4073 Ar. Nu. 1357 c. sch. 4074 — παλαιός cf. H Ἰσοκράτης (4, 8) sq. Harp. = Ba 148, 14 cf. Et. M. 151, 5; Dem. 9, 48 4075 — Πλάτων = Ba 148, 14 cf. sch. Pl. Hipp. min. 371d, Phryn. 21, 11; εὐήθης, λῆρος cf. sch. Ar. Nu. 821; ἀρχαίως—ἠλιθίως = Ba 148, 20, Σ*; μινυρίζοντες sq. Ar. Vsp. 219—220 4076 cf. Diogen. III 2, Macar. II 48; fr. com. ad. 546

4069 Z 305; cf. v. ἰὼ κλαίετ' 4072 fin. cf. 4075 4073 Z 305 4074 Z 310 4075 cf. 4072 fin. et v. μινυρίζω 4076 cf. v. Ζεύς 4077 hinc 4088 fin., Z 294

4070 om. TV post 4074 G post 4073 I 4 καθαρῶς] καθαρῇ A 5 τῷ] τῇ A A(GITVM) παλαιός—6 ἀποίκιλος ante l. GI παλαιός] παλός A 9 τὸ ἀργύριον] ἀργυρίου Bk. Ba τοῦ ἀργυρίου Port. 13 Τιμάρχου pr. Τίμαρχον omnes 15 παρά] καὶ π. V 21 οὕτως] οὗτος A 29 Ἀρχαιότυπος] Ἀρχαιότατος GT

Δ 4078 Ἀρχαιρεσία: περὶ ἀρχῶν ἐκλογή. καὶ Ἀρχαιρεσίη, τὸ
Hdt. πρὸς χάριν πολλῶν ζῆν, ἢ τὸ ἐπιδόσεις χρημάτων ποιεῖσθαι. Ἡρόδοτος.

Harp. 4079 Ἀρχαιρεσιάζειν: Δείναρχος. τὸ ἀξιοῦν ἑαυτὸν αἱρεθῆναι ἄρχοντα.

4080 Ἄρχε· σὺ γὰρ γενεῇφι νεώτερος· πολέμου γὰρ ἄρχεσθαι δικαιοῖ τὸν νέον, φιλοφροσύνης δὲ τὸν πρεσβύτην.

E 4081 Ἀρχέγονος· οὐκ ἠξίωσαν ταφῆς, ἣν ἡ ἀρχέγονος φύσις νομοθετεῖ.

Hesy.? 4082 Ἀρχέδικος, κωμικός· τῶν δραμάτων αὐτοῦ ἐστι Θησαυρὸς καὶ Διαμαρτάνων, ὡς Ἀθήναιός φησιν ἐν τοῖς Δειπνοσοφισταῖς.

EV 4083 Ἀρχέδικος, κωμῳδιογράφος, ὃς κατὰ Δημοχάρους ἔγραψε τοῦ ἀνεψιοῦ Δημοσθένους.

Hesy. + x 4084 Ἀρχέλαος, Ἀπολλοδώρου ἢ Μίδωνος, Μιλήσιος, φιλόσοφος, φυσικὸς τὴν αἵρεσιν κληθείς. ὅτι ἀπὸ Ἰωνίας πρῶτος τὴν φυσιολογίαν ἤγαγεν· Ἀναξαγόρου μαθητὴς τοῦ Κλαζομενίου, τοῦ δὲ μαθητὴς Σωκράτης· οἱ δὲ καὶ Εὐριπίδην φασίν. συνέταξε δὲ φυσιολογίαν καὶ ἐδόξαζε τὸ δίκαιον καὶ αἰσχρὸν οὐ φύσει εἶναι, ἀλλὰ νόμῳ. συνέταξε

Suid. καὶ ἄλλα τινά. ὅτι Βασίλειος, ἐπίσκοπος Εἰρηνουπόλεως, τὴν φρένα καὶ τὴν ἄσκησιν τῷ ὁμωνύμῳ Βασιλείῳ Καισαρείας ἐοικώς, ἔγραψε κατὰ Ἀρχελάου πρεσβυτέρου Κολωνείας.

Δ 4085 Ἀρχέμορος: ὄνομα κύριον.

Soph. 4086 Ἀρχέπλουτον: ἄρχοντα πλούτου, καὶ τὴν ἀρχαίαν τύχην ἀπολησόμενον. Σοφοκλῆς· καὶ μή μ' ἄτιμον τῆςδ' ἀποστείλητε γῆς, ἀλλ' ἀρχέπλουτον.

Δ 4087 Ἀρχέστρατος καὶ Ἀρχεστράτειος.

ΣΔ 4088 Ἀρχέτυπον: πρωτότυπον. καὶ Ἀρχέτυπος, ὁ τὴν ἀρχὴν
Suid. διδούς. Ἀρχαιότυπον δέ.

Σ 4089 Ἀρχεῖα: ἔνθα οἱ δημόσιοι χάρται ἀπόκεινται, χαρτοφυλάκια· ἢ τὰ χωρία τῶν κριτῶν· ἢ ἀρχαῖα, ὡς Ξενοφῶν Ἱστοριῶν η'.

4078 l. = Ambr. 3263 ἀρχαιρεσίη sq. gl. Hdt. 6, 58; — ζῆν = H v. ἀρχαιρεσιάζειν, Et. M. 151, 10 cf. Ba 149, 13 4079 Harp. = An. Ox. 2, 490, 33, Ba 149, 11; Dinarch. fr. I 2 4080 Synes. ep. 142, p. 278d; Φ 439 4081 Aelian. fr. 243 4082 cf. Ath. 7, 292d, 294b, 11, 467e 4083 Polyb. 12, 13, 7 cf. 4 = EV 2, 130, 13—14 cf. 7 4084 φυσικός—ἤγαγεν + καὶ ἐδόξαζε —νόμῳ Laert. 2, 16 4085 = Ambr. 2988 (= 3067) 4086 Soph. El. 71—2 c. sch. 4087 Ἀρχεστράτειος cf. Ambr. 3148 4088 — πρωτότυπον = H; l. = Ba 148, 28, Σ[a] ἀρχέτυπος sq. cf. Ambr. 2936 4089 — vs. 30 η' = Ba 148, 22, Σ[a]; Xen. Cyr. 8, 5, 17; 8, 6, 10

4078 Z 300 4079 Z 309 4084 hinc v. δικαίωμα, Z 294; ὅτι Βασίλειος sq. ex v. B 152 4088 Z 294, 305; ἀρχαιότυπον δέ ex 4077 4089 cf. Z 305; hinc sch. in Dem. Phil. 4 ed. Reiske; τὴν ἐc sq. cf. v. Γ 437

A(GITVM) 1 περί] παρά V 4 Ἀρχαιρεσιάζειν rec. m. in G, ed. pr. Zon. Harp. ἀρχαισιάζειν omnes, Ba 6 γάρ alt.] δ' V 4082 om. G 17 Εὐριπίδην Kust. Εὐριπίδης A Εὐριπίδου ITM cp. GV 19 ὅτι—21 Κολωνείας ex A[mg]M 28 ἀρχαιότυπον δέ om. AV

τοὺς δὲ υἱέας περιῆγεν ἐς τὴν ἐς τάχος γράφουσαν μοῖραν τῆς περὶ E
τὰ ἀρχεῖα διακονίας.

4090 Ἄρχειν· κοινότερον καὶ τὰς μικρὰς ἐπιστασίας καὶ λειτουργίας Ar.
ἀρχὰς ἔλεγον, καὶ τὸ βουλεῦσαι ἄρξαι· ψιλὴ γὰρ ἐπιστασία. Ἀριστο-
φάνης· οὐκοῦν δικαστὰς ἐξεπίτηδες ἡ πόλις ἄρχειν καθίστησιν.

4091 Ἀρχή, ἡ μὲν φυσικὴ, ὡς λέοντος ἐν ζῴοις καὶ ἀετῶν ἐν ὀρνέοις· ἡ δὲ χειροτονητὴ, ὡς ἐπὶ βασιλέως ἀνθρώπων. Μαρῖνός φησι· γέγονε δὲ ἡμῖν ἡ ἀρχὴ οὐκ ἀρχὴ μόνον, οὐδὲ κατὰ τὴν παροιμίαν ἥμισυ τοῦ παντός. αὐτὸ δὲ ὅλον τὸ πᾶν.

4092 Ἀρχή. ἀρχαὶ τῶν ὅλων δύο Phil.

τὸ ποιοῦν καὶ τὸ πάσχον,
τὸ ποιοῦν δὲ τὸν ἐν τὸ μὲν οὖν πάσχον εἶναι
αὐτῇ λόγον, τὸν θεόν. τὴν ἄποιον οὐσίαν, τὴν ὕλην.

διαφέρει δὲ ἀρχαὶ καὶ στοιχεῖα· τὰς μὲν γὰρ εἶναι ἀγενήτους καὶ ἀφθάρτους, τὰ δὲ στοιχεῖα κατὰ τὴν ἐκπύρωσιν φθείρεσθαι. ἀλλὰ καὶ ἀσωμάτους εἶναι τὰς ἀρχὰς καὶ ἀμόρφους, τὰ δὲ μεμορφῶσθαι.

4093 Ἀρχή· ποιητική· εἰδική· τελική. ὁ δὲ Ἀριστοτέλης φησὶν, ὅτι Phil.
ἡ ψυχὴ οἷον ἀρχὴ τῶν ζῴων ἐστὶν, ὡς ποιητικὴ, εἰδικὴ, τελική· αὗται γάρ εἰσιν αἱ κυρίως ἀρχαί. ὡς μὲν οὖν ποιητικὴ, ὅτι αὕτη κινεῖ τὸ ζῷον μόνῃ τῇ βουλήσει καὶ οὐ δεῖται μοχλείας τινός· ὡς εἰδικὴ δὲ, ὅτι αὐτή ἐστιν ἡ εἰδοποιοῦσα τὸ ζῷον καὶ ἁπλῶς τὰ ἔμψυχα. λέγεται γὰρ τὰ ἔμψυχα εἴδη αὐτὸ τοῦτο εἶναι κατὰ τὴν ψυχήν· τὸ γὰρ κρεῖττον ἐν ἑκάστῳ τῶν φυσικῶν εἶδός ἐστιν ἑκάστου· κρεῖττον δὲ ἐν τοῖς ἐμψύχοις ἡ ψυχή. ὡς τελικὸν δὲ, ὅτι αὐτῆς ἕνεκα τὸ σῶμα· ἔστι γὰρ τὸ μὲν σῶμα ἕνεκά του, αὐτὴ δὲ οὗ ἕνεκα. ὅθεν καὶ ἡ διοργάνωσις τῶν ζῴων ἄλλη καὶ ἄλλη πρὸς τὴν ἰδιότητα τῆς ἐν ἑκάστῳ ψυχῆς. ἀλλ' ἡ μὲν ψυχὴ τῶν ζῴων πορρωτέρω ἀρχή, ἡ δὲ φύσις προσεχής. τῶν δὲ ἐξ ἀνάγκης ἑπομένων τῇ ψυχῇ τὰ μὲν αὐτῇ ἀκολουθεῖ, τὰ δὲ ὅλῳ τῷ ζῴῳ, λέγω δὴ τὸ ἐκ τῆς ζωῆς καὶ σώματος. καὶ τὰ μὲν τῆς ψυχῆς πάθη ἡ νόησις· τοῦτο γὰρ αὐτῆς ἴδιον· τὰ δ' ἄλλα πάθη, τὸ αἰσθάνεσθαι, τὸ φαντασιοῦσθαι, θυμοῦσθαι, ἐπιθυμεῖν καὶ εἴ τι τοιοῦτον, κοινά ἐστι τοῦ συναμφοτέρου. ὅτι πέντε γένη ἔλεγεν εἶναι ἀρχὰς πάντων τῶν ὄντων, οὐσίαν, ταυτότητα, ἑτερότητα,

4089 τούς sq. Procop. attr. v. Γ 487 sed cf. Byz. Zt. 21, 419 **4090** Ar. Pl. 916—7 c. sch. **4091** γέγονε sq. Marin. c. 34 **4092** Laert. 7, 134 **4093** — vs. 32 συναμφοτέρου Philop. 25, 32—26, 12; 27, 3—7; vs. 32 ὅτι πέντε sq. Philop. 74, 34—75, 15

4090 οὐκοῦν sq. cf. v. ἐξεπίτηδες **4091** Z 301

4 βουλεῦσαι] βασιλεῦσαι καί V 6 ἀετῶν] ἀετοῦ pr. 10 Ἀρχή—11 πάσχον A(GITVM) + 12 τὸ ποιοῦν—13 θεόν mg. AGITV (= auctor Suidae), textu M ἀρχαί—δύο om. A 12 τὸ μέν—13 ὕλην transposui; ante τὸ ποιοῦν δέ M Laert., in textu ante διαφέρει AGITV 13 τήν alt. Laert. Kust. γῆν AVM ἀρχήν GIT 14 διαφέρει V cp. AGITM cf. Laert. διαφέρουσι pr. τάς] τῷ τάς M γάρ om. M ἀγενήτους AV ἀγεννήτους rell. 16 ἀσωμάτους] τῷ ἀ. μέν M 22 τήν om. VM^{ac} 23 ἐστιν om. VM 26 καὶ ἄλλη om. A

κίνηςιν, ςτάςιν. γένη δὲ ταῦτα ἔλεγεν οὐχ οὕτως ὥςπερ τὰ παρὰ τοῖς Περιπατητικοῖς, ἅτινα διήρηται ὑπ' ἀλλήλων καὶ ἀφ' ἑκάστου ςειρά τις ἐκδίδοται τῶν ὑπαλλήλων γενῶν τε καὶ εἰδῶν, ἀλλ' ὡς διὰ πάντων τῶν ὄντων διήκοντα. ἔςτι γὰρ ἐν πᾶςι καὶ οὐςία, καθ' ἣν ἑκάστου ἐςτὶ τὸ εἶναι· καὶ ἔςτι ταυτότης, καθὸ ἐκ μιᾶς τῆς τῶν ὄντων ἐςμὲν ἀρχῆς. ἔχομεν δὲ καὶ ἑτερότητα, ἐπειδὴ καὶ πλῆθός ἐςτι τὰ ὄντα· ὅπου δὲ πλῆθος, ἐκεῖ ἑτερότης. ἔςτι δὲ καὶ κίνηςις ἐν πᾶςι τοῖς οὖςι· κίνηςιν δέ λέγω οὐ τὴν ἀτελῆ ἐνέργειαν, ἀλλὰ τὴν ἐνεργῆ, τὴν ἑκάστου. πάντα γὰρ ἔχει οἰκείαν ἐνέργειαν, καὶ αὐτὰ τὰ ἄψυχα· ἢ γὰρ θερμαίνουςιν ἢ ψύχουςι τὰ παρακείμενα ἢ ὑγραίνουςιν ἢ ξηραίνουςιν ἢ ἄλλο τι τοιοῦτον ποιοῦςι. καὶ ἡ ςτάςις δὲ ἐπὶ πάντων θεωρεῖται· καὶ γὰρ τὰ ἀεικίνητα ςτάςεως μετέχει, οὐ μόνον τὸ τὴν ὁλότητα ἑςτάναι, ἀλλὰ καὶ αὐτὸ τὸ μένειν ἐπὶ τῆς ἀεικινηςίας ςτάςις ἐςτί. καθὸ οὖν μένουςι τὰ κινούμενα ἢ ἀεὶ ἢ ἐπί τινα χρόνον, κατ' αὐτὸ τοῦτο ςτάςεως μετέχει.

4094 Ἀρχήν: τὰ πρῶτα, παρευθύ. Ναρςῆν μὲν γὰρ οὐδὲ τὴν
E ἀρχὴν ὑποςτήςεςθαι ᾤοντο.

Σ 4095 Ἀρχηγέτης: ἡγεμών.

Prov. 4096 Ἀρχὴ ἄνδρα δείκνυςιν: ἐπὶ τῶν πρὸ μὲν τῆς ἀρχῆς ἐπιει-
Harp. κῶν, ἐν αὐτῇ δὲ τῇ ἀρχῇ βιαίων γενομένων. Σόλωνος δὲ εἶναί φαςιν αὐτὸ ἀπόφθεγμα, Ἀριςτοτέλης δὲ καὶ Θεόφραςτος Βίαντος.

Prov. 4097 Ἀρχὴ ἥμιcυ παντός: ἐπὶ τῶν τινος ἀρχομένων καὶ προκοπτόντων.

Harp. 4098 Ἀρχὴν ἰᾶcθαι πολὺ λώϊον ἠὲ τελευτήν: δηλοῖ δὲ ἡ παροιμία, ὡς ἀρχομένου τινὸς καὶ πάθους καὶ ἄλλου τινὸς δεινοῦ μᾶλλον ἔςτι κωλύειν ἢ ἐνακμάςαντος καὶ τελειωθέντος.

Prov. 4099 Ἀρχὴν μὲν μὴ φῦναι ἐπιχθονίοιcιν ἄριcτον, μηδ' ἐcιδεῖν αὐγὰς ὀξέος ἠελίου· φύντα δ' ὅπως ὤκιcτα πύλας Ἀΐδαο περῆcαι: ἐπὶ τῶν δυcτυχῶς βεβιωκότων.

Δ 4100 Ἀρχήcαντος: ἄρξαντος.

Σ 4101 Ἀρχὴ Σκυρία: ἐπὶ τῶν εὐτελῶν καὶ μηδὲν λυcιτελὲς ἐχόντων. παρόcον πετρώδης καὶ λυπρὰ καὶ διὰ τοῦτο πενιχρὰ ἡ Σκῦροc οὐδὲν φέρουcα λόγου ἄξιον. οἱ δὲ ἀπὸ Θηcέως, ὅτι ἐπιθέμενος τῇ Λυκομήδους ἀρχῇ, ὅτι πειρῶν τὴν γυναῖκα αὐτοῦ κατακρημνιcθείη.

4094 Ναρcῆν sq. Agath. 1, 7, p. 30 4095 = Σ[a] cf. Ba 148, 29 4096 — γενομένων cf. Diogen. II 94, Philol. Suppl. 6, 260, n. 237 Σόλωνος sq. Harp. cf. sch. Soph. Ant. 175 4097 cf. Diogen. II 97, Philol. Suppl. 6, 260, n. 240 4098 Harp. cf. An. Ox. 2, 491, 1 4099 = Macar. II 45 4100 cf. Ambr. 3340 4101 Paus. Att. fr. 78 ap. Eust. I. 782, 52; — Σκῦροc = H, Zen. I 32; Theophr. fr. 131 Wimmer

4094 Z 301

A(GITVM) 12 τό] τῷ Philop. 17 ὑποςτήςεςθαι] ἀποςτήςεςθαι A 24 ἰᾶcθαι] ἰάcαcθαι V ἠέ TVM ἤ AGI 34 ὅτι] καί Eust.

ὀστρακισθῆναι δὲ πρῶτον Ἀθήνησι Θησέα ἱστορεῖ Θεόφραστος ἐν τοῖς πρώτοις καιροῖς.

4102 Ἀρχιάδας· οὗτος οἷος ἦν τὴν ψυχὴν ἀπεδείκνυτο· πλείστων γὰρ αὐτῷ χρημάτων διηρπασμένων, ἐπειδὴ ᾔσθετο Θεαγένη ἔτι παιδίον ὄντα λυπούμενον ἐπὶ τοῖς ἀπολωλόσι καὶ πεπορθημένοις, ὦ Θεάγενες, ἔφη, θαρρεῖν ἤδη σε χρὴ καὶ τοῖς θεοῖς ὁμολογεῖν σωτηρίους χάριτας ὑπὲρ τῶν σωμάτων, ὑπὲρ δὲ τῶν χρημάτων οὐκ ἀθυμητέον. εἰ γὰρ Ἀθηνᾶ ἡ Πολιὰς ἐκέλευσεν αὐτὰ ἀναλῶσαι Παναθηναίοις, πόσου ἂν ἐπριάμεθα τὴν δαπάνην ταύτην; ἀλλὰ τὸν παρόντα ἀγῶνα καὶ Παναθηναίων ἡγεῖσθαι δεῖ καὶ παντὸς ἑτέρου λαμπρότερόν τε καὶ εὐσεβέστερον.

4103 Ἀρχίας· οὗτος βουλόμενος τὴν Κύπρον προδοῦναι Δημητρίῳ EV καὶ φωραθεὶς καὶ ἐς κρίσιν ἀχθεὶς καλῳδίῳ τῶν ἐκ τῆς αὐλαίας παραπεταμένων ἑαυτὸν ἀπεκρέμασε. τῷ γὰρ ὄντι διὰ τὰς ἐπιθυμίας κενοὶ κενὰ λογίζονται κατὰ τὴν παροιμίαν. καὶ γὰρ ἐκεῖνος δόξας φ' τάλαντα προσλήψεσθαι καὶ τὰ προϋπάρχοντα χρήματα καὶ τὸ πνεῦμα προσαπέβαλεν.

4104 Ἀρχίας, Συρακούσιος καὶ Μύσκελλος Ἀχαιὸς ἦκον ἐς Δελφοὺς E ἐν τῷ αὐτῷ τοῦ χρόνου καὶ ᾔτουν ἄρα ὑπὲρ ὧν ἔμελλον οἰκίζειν πόλεων φήμην ἀγαθὴν λαβεῖν, τὸν ἐπινεσθέντα αὐτοῖς τε καὶ ταῖς πόλεσιν αὐτῶν βίον. λέγει δὲ ἡ Πυθία· χώρας καὶ πόλεως οἰκήτορα λαὸν ἔχοντες ἦλθετ' ἐρησόμενοι Φοῖβον, τίνα γαῖαν ἵκησθε· ἀλλ' ἄγε δὴ φράζεσθ' ἀγαθῶν πότερόν κεν ἕλοισθε, πλοῦτον ἔχειν κτεάνων ἢ τερπνοτάτην ὑγίειαν. ἐπεὶ τοίνυν ταῦτα ἠκουσάτην, Ἀρχίας ὧν φιλο- χρήματος πλούτου περιβολὴν αἱρεῖται, οὐδὲ ἐψεύσθη τῆς ἐλπίδος· παμπλούσιος γοῦν Συράκουσα ἡ πόλις κατὰ τὴν φήμην τὴν Πυθιάδα ἐγένετο. Μύσκελλος δὲ αἱρεῖται αὐτός τε ὑγιαίνειν καὶ ἡ πόλις· καὶ ἀπώνητο ὧν ἤτησε. δεῖγμα γοῦν τῆς ἐν Κρότωνι ὑγιείας ῥωμαλέοι τέ εἰσιν οἱ οἰκήτορες, καὶ ἀθλητῶν ἡ πόλις πολλῶν καὶ ἀγαθῶν μήτηρ ἐγένετο. πλοῦτος ἄρα καὶ ὑγίεια δῶρα ἄμφω ἑκτόν· αἵρεσις δὲ ἐρρωμένη καὶ διάνοια ὑγιαίνουσα αἱρεῖται τὰ βελτίω, καὶ ἀπέφηναν καὶ οὗτοι, ὁ μὲν συνετώτερος ὤν, ὁ δὲ οὐ πάντῃ ἐλευθέριος. τῶν γὰρ οὖν ἀγαθῶν τῶν ἀνθρωπικῶν τὸ μὲν πρεσβύτερον, τὸ δὲ δεύτερον, ὡς καὶ Πλάτων φησὶ καὶ τὸ σκολιὸν ᾄδει.

4105 Ἀρχίβιος, Ἀπολλωνίου, γραμματικός. τῶν Καλλιμάχου ἐπι- Hesy. γραμμάτων ἐξήγησιν.

4106 Ἀρχίβιος, Πτολεμαίου, Λευκάδιος ἢ Ἀλεξανδρεύς, γραμματι- Hesy. κός, τῶν ἕως Τραϊανοῦ τοῦ Καίσαρος ἐν Ῥώμῃ παιδευσάντων.

4102 Dam. fr. 282 cf. Phot. bibl. 349a 24 4103 Polyb. 33, 5, 2 = EV 2, 200, 8—13 4104 Aelian. fr. 346 cf. sch. Ar. Eq. 1091; Πλάτων Gorg. 451e

4103 cf. 4434 et v. κενοί 4104 cf. v. Μύσκελλος 1 et v. σκολιόν 2

14 παραπεταμένων] παραπετασμάτων pr. ἀπεκρέμασε] ἀπενέκρωσε V A(GITVM) 26 Συράκουσα] Συρακουσίων V 28 Κρότωνι] Κρότων A 31 καί sec.] ὡς Bas. 32 γάρ] γ' A

Hesy. 4107 Ἀρχιγένης, Φιλίππου, Ἀπαμεὺς Συρίας, ἰατρὸς, μαθητὴς Ἀγαθίνου, ἐπὶ Τραϊανοῦ ἰατρεύσας ἐν Ῥώμῃ, βιοὺς ἔτη ξγ′ καὶ συγγράψας πολλὰ ἰατρικά τε καὶ φυσικά.

Harp. 4108 Ἀρχιδάμιος πόλεμος: τοῦ Πελοποννησιακοῦ πολέμου τὰ πρῶτα ἔτη Ἀρχιδάμιος ἐκλήθη πόλεμος, ἀπὸ τοῦ Ἀρχίδαμον εἰς τὴν Ἀττικὴν ἐμβαλεῖν.

Ar. 4109 Ἀρχίδιον: ὑποκοριστικῶς ἡ ἀρχή. Ἀριστοφάνης· κἂν λαχόντες ἀρχίδιον, εἶτα βούλησθ' ἁρπάσαι τι.

Δ 4110 Ἀρχιειρεσία: κωπηλασία.

Δ 4111 Ἀρχίκλοπος: ὁ ἀρχαῖος κλέπτης.

E 4112 Ἀρχίλοχος· ὅτι τῶν σπουδαίων οὐδὲ θανόντων οἱ θεοὶ λήθην τίθενται. Ἀρχίλοχον γοῦν ποιητὴν γενναῖον τἄλλα, εἴ τις αὐτοῦ τὸ αἰσχροεπὲς καὶ τὸ κακορρῆμον ἀφέλοι, καὶ οἱονεὶ κηλίδα ἀπορρύψαι, ὁ Πύθιος ἠλέει τεθνεῶτα καὶ ταῦτα ἐν τῷ πολέμῳ, ἔνθα δήπου ξυνὸς Ἐνυάλιος. καὶ ὅτε ἦκεν ὁ ἀποκτείνας αὐτὸν, Καλώνδας μὲν ὄνομα, Κόραξ δὲ ἐπώνυμον, τοῦ θεοῦ δεόμενος ὑπὲρ ὧν ἐδεῖτο, οὐ προσήκατο αὐτὸν ἡ Πυθία ὡς ἐναγῆ, ἀλλὰ ταῦτα δήπου τὰ θρυλούμενα ἀνεῖπεν. ὁ δὲ ἄρα προεβάλλετο τὰς τοῦ πολέμου τύχας καὶ ἔλεγεν, ὡς ἦκεν ἐς ἀμφίβολον ἢ δρᾶσαι ἢ παθεῖν, ὅσα ἔπραξε, καὶ ἠξίου μὴ ἀπεχθάνεσθαι τῷ θεῷ εἰ τῷ ἑαυτοῦ δαίμονι ζῇ, καὶ ἐπηρᾶτο, ὅτι μὴ τέθνηκε μᾶλλον ἢ ἀπέκτεινε. καὶ ταῦτα ὁ θεὸς οἰκτείρει καὶ αὐτὸν κελεύει ἐλθεῖν εἰς Ταίναρον, ἔνθα Τέττιξ τέθαπται, καὶ μειλίξασθαι τὴν τοῦ Τελεσικλείου παιδὸς ψυχὴν καὶ πραῦναι χοαῖς. οἷς ἐπείσθη, καὶ τῆς μήνιδος τῆς ἐκ τοῦ θεοῦ ἐξάντης ἐγένετο. καὶ

Prov. παροιμία· Ἀρχίλοχον πατεῖς, ἐπὶ τῶν κακηγόρων καὶ λοιδόρων.

Hesy. 4113 Ἀρχιμήδης, Τραλλιανὸς, φιλόσοφος. ὑπόμνημα εἰς Ὅμηρον καὶ Μηχανικά.

Said. 4114 Ἀρχίου: τοῦ ἐπικληθέντος Φυγοθήρα.

Hesy. 4115 Ἄρχιππος, Ἀθηναῖος, κωμικὸς ἀρχαῖος, ἐνίκησεν ἅπαξ ἐπὶ τῆς ϛα′ Ὀλυμπιάδος.

Δ 4116 Ἀρχικυναγωγός: ὁ ἀρχηγός.

Synt. 4117 Ἀρχιτεκτονῶ· αἰτιατικῇ.

Synt. 4118 Ἄρχω σου· γενικῇ.

4108 Harp. = Ba 149, 18 4109 Ar. Av. 1111 c. sch. 4110 = Ambr. 3272 4111 cf. Ambr. 2922 4112 — vs. 24 ἐγένετο Aelian. fr. 80 Ἀρχίλοχον πατεῖς sq. cf. Diogen. II 95; fr. com. ad. 748 4116 l. = Ambr. 2888 4117 = Synt. Laur. 4118 = Synt. Laur.

4108 cf. v. B 519 4110 Z 301 4111 Z 294 4112 ἀπορρύψαι hinc 3513; Καλώνδας hinc v. sed cf. 3745 4114 ex v. Ὑπερίδης 1 4116 Z 294

A(GITVM) 1 Ἀπαμεύς] καὶ Ἀ. A 13 αἰσχροεπές] αἰσχροπρεπές V 18 προεβάλλετο VM προσεβάλλετο AGI 22 Τέττιξ] Τέττιγξ A 23 Τελεσικλείου] Πελεσικλείου A 4114 om. TV mg. A post l. 4115 G 4115 rursus im. F 4115, 4117, 4116, 4119, 4118 mg. A, hoc ord. 29 ἅπαξ] α′ Wilam. Phil. Unt. 30, 11 sed cf. Capps, Amer. Journ. Philol. 28, 199 30 ϛα′] ϛδ′ Capps l. l.

4119 Ἄρχων. Ἄρχοντες· οἱ ἐννέα τινές· θεσμοθέται ἓξ, ἄρχων, Δ
βασιλεὺς, πολέμαρχος. καὶ πρὸ μὲν τῶν Σόλωνος νόμων οὐκ ἐξῆν Σ
αὐτοῖς ἅμα δικάζειν, ἀλλ' ὁ μὲν βασιλεὺς καθῆστο παρὰ τῷ καλουμένῳ Βουκολείῳ· τὸ δὲ ἦν πλησίον τοῦ Πρυτανείου· ὁ δὲ πολέμαρχος ἐν Λυκείῳ, καὶ ὁ ἄρχων παρὰ τοὺς Ἐπωνύμους, οἱ θεσμοθέται παρὰ τὸ Θεσμοθέσιον. κύριοί τε ἦσαν ὥστε τὰς δίκας αὐτοτελεῖς ποιεῖσθαι. ὕστερον δὲ Σόλωνος οὐδὲν ἕτερον αὐτοῖς τελεῖται ἢ μόνον ὑποκρίνουσι τοὺς ἀντιδίκους.

4120 Ἄρχων χρότιος: ἀρχηγὸς, προηγός. ἄρχων χρόνος πημά- Soph.
των. τὸν ἄρχοντα τῶν ἀρχομένων εἵνεκα πάντα διαπράττεσθαι δεῖν. ὁ δὲ Ἡγίας ἠξίου οὐ μόνον τὸν ἄρχοντα τῶν ἀρχομένων τίθεσθαι πρόνοιαν, ἀλλὰ καὶ αὐτοῦ πρὸς ἐκείνων. ἑκάστῳ γὰρ εἶναι τὴν ἔφεσιν τοῦ ἀγαθοῦ πρὸς ἑαυτὸ μᾶλλον ἢ πρὸς ἕτερον. ὁ δὲ Ἰσίδωρός φησιν, τὸν ἄρχοντα ᾗ ἄρχοντος ἀκούειν, εἰ δὲ καὶ ἑαυτοῦ φροντίδα ποιοῖτο, ὡς ἑνός γε καὶ ἑαυτοῦ τῶν ἀρχομένων καὶ δεομένων προνοίας. τὸν γάρ τοι ἄρχοντα τῷ ἀκριβεῖ λόγῳ δεῖσθαι μηδενός· ᾗ δὲ ἄνθρωπος, ὁ τεχνίτης δέοιτο ἄν, οἷον ἰατρὸς τῆς ἰατρικῆς, εἰ νοσήσειεν. ἰατρικὴ δὲ οὐκ ἄν ποτε νοσήσειεν· οὐ τοίνυν οὐδὲ ὁ κατὰ τὴν ἰατρικὴν ἑστὼς ἰατρὸς, οὐ τοίνυν οὐδὲ ὁ κατὰ τὴν ἀρχικὴν ἐπιστήμην ἄρχων ὁρώμενος. λογικώτερον δὲ εἰπεῖν ἐπιχειρητέον, ὡς τὰ πρός τι οὐ λέγεται μόνον, ἀλλὰ καὶ ἔστι πρὸς ἄλληλα. ἄρχων ἄρα πρὸς ἀρχομένους καὶ ἀρχόμενος πρὸς ἄρχοντα καὶ λέγονται καὶ εἰσίν, ὥστε εἴ τι τὸ ἄρχειν ὠφελεῖ τοὺς ἀρχομένους, ὠφελήσει πρὸς οὓς καὶ τὸ ἄρχειν προβέβληται. ὅτι τὴν ἰατρικὴν Ἆπις ὁ Αἰγύπτιος πρῶτος εἰς τὴν Ἑλλάδα μετακομίσαι λέγεται.

4121 Ἀρχύτας, Ταραντῖνος, Ἑστιαίου υἱὸς ἢ Μνησάρχου ἢ Μνασα- Hesy.
γέτου ἢ Μνασαγόρου, φιλόσοφος Πυθαγορικός. οὗτος Πλάτωνα ἔσωσε μὴ φονευθῆναι ὑπὸ Διονυσίου τοῦ τυράννου. τοῦ κοινοῦ δὲ τῶν Ἰταλιωτῶν προέστη, στρατηγὸς αἱρεθεὶς αὐτοκράτωρ ὑπὸ τῶν πολιτῶν καὶ τῶν περὶ ἐκεῖνον τὸν τόπον Ἑλλήνων. ἅμα δὲ καὶ φιλοσοφίαν ἐκπαιδεύων μαθητὰς τ' ἐνδόξους ἔσχε καὶ βιβλία συνέγραψε πολλά. τοῦτον φανερῶς γενέσθαι διδάσκαλον Ἐμπεδοκλέους. καὶ παροιμία· Ἀρχύτου πλαταγή· ὅτι Ἀρχύτας πλαταγὴν εὗρεν, ἥτις ἐστὶν εἶδος Prov.

4119 l. = Ambr. 2935 ἄρχοντες sq. = Ba 149, 1 cf. Paus. Att. fr. 79 ap. Eust. O. 1595, 37; Bk. 184, 11 4120 — πημάτων Soph. Ai. 934—5 c. sch. τὸν ἄρχοντα—vs. 24 προβέβληται Dam. fr. 227 4121 — Ἑλλήνων cf. Laert. 8, 79 Ἀρχύτου—ἀποτελοῦντος cf. Diogen. II 98

4120 ὅτι τήν sq. ex v. Γ 415 cf. 3217 4121 εἶδος sq. cf. v. πλαταγή

3 καθῆστο παρά] καθῆτο ἐπί V 7 ὑποκρίνουσι] ἀνακρίνουσι Pearson A(GITFVM)
9 Ἄρχων pr.] ζήτει ss. M 13 ἑαυτό] ἑαυτόν Ald. 14 ᾗ] ἤ A; negationem desiderari statuit Port., lac. propter homoioteleuton Bhd. 24 ὅτι—25 λέγεται ex mg. AI (absc.) M Ἆπις M Ἄπις A 25 πρῶτος M πρῶτον A 30 ἐκεῖνον] ἐκείνων $A^{ac}M^{ec}$ 31 καί om. A

Ε ὀργάνου ἦχον καὶ ψόφον ἀποτελοῦντος. ὁ δὲ πλαταγὴν χαλκευσάμενος ἐπλατάγει.

Eol.? 4122 Ἄσσα: ὅτε σημαίνει τὸ ὅσα καὶ ἄτινα, δασύνεται· ὅτε δὲ τὸ τινὰ, ψιλοῦται. τῶν ἄσσα θυμῷ καὶ διὰ μνήμης ἔχω. καὶ ἄσσα Σ γελωτοποιεῖν, ἄτινα σκώπτειν.

Δ 4123 Ἀσάμινθος: ἡ πύελος, ἡ σκάφη. ἐν αἷς οἱ ἀρχαῖοι ἐλούοντο· Δ οὐκ ἦσαν γὰρ βαλανεῖα. παρὰ τὸ τὴν ἄσην μινύθειν.

Δ 4124 Ἀσαμωναῖος: ὄνομα κύριον.

4125 Ἄσαρ: εἶδος λαχάνου, ᾧ κέχρηνται οἱ ἰατροὶ εἰς θεραπείαν τῶν νοσούντων.

4126 Ἀσσάρια: οἱ ὀβολοί. Νούμμας, ὁ πρῶτος βασιλεὺς μετὰ Ῥωμύλον Ῥωμαίων γεγονὼς, ἀπὸ σιδήρου καὶ χαλκοῦ πεποιημένα πρῶτος ἐχαρίσατο Ῥωμαίοις, τῶν πρὸ αὐτοῦ πάντων διὰ σκυτίνων καὶ ὀστρακίνων τὴν χρείαν πληρούντων· ἅπερ ὠνόμασεν ἐκ τοῦ ἰδίου ὀνόματος νουμμία, ὥς φησι Τραγκύλιος.

Δ+Ε 4127 Ἄσατο: ἐκορέσθη, ἐνεφορήθη. περὶ Ὄχου τοῦ Πέρσου. τὸν ἐν Μένδῃ τράγον Πανὸς ἱερὸν κατέθυσέ τε καὶ σκευάσας ποικίλως ταύτην ὁ δυστυχὴς ἄρα τὴν δαῖτα ἄσατο· Αἰγυπτίων τε λεὼν πάμπολυν ἀποσπάσας γαμετῶν καὶ τέκνων ἐς Πέρσας ἤγαγεν ἀνοίκτως.

Σ 4128 Ἀσαφές: ἀνόητον, ἄδηλον.

4129 Ἀσαφείᾳ νυκτὸς ἀπολλύμενος: ὑπὸ σκοτεινοτάτης δηλαδὴ νυκτὸς, Metaphr. καθ' ἣν τίς τινα ἀναγνωρίσαι οὐ δύναται. ὅθεν καὶ τὸ, σελήνης τὸν ζόφον διασαφούσης. οὕτως γέγραπται ἐν τῷ μαρτυρίῳ τῶν ἁγίων δισμυρίων.

Δ 4130 Ἀσβαμαῖον: ὕδωρ οὕτω καλούμενον.

Σ 4131 Ἄσβεστος: ἀκατάπαυστος.

Δ+Ar. 4132 Ἀσβόλη καὶ Ἄσβολος: ἡ αἰθάλη τοῦ πυρὸς, ἡ στακτή. φεῦ, ἰοὺ τῆς ἀσβόλου. καὶ ἐπὶ δοτικῆς τῇ ἀσβόλῳ.

EV 4133 Ἀσδρούβας, ὁ Καρχηδονίων στρατηγὸς, κενόδοξος ἦν καὶ ἀλαζὼν καὶ πολὺ κεχωρισμένος τῆς πραγματικῆς καὶ στρατηγικῆς δυνάμεως. σημεῖα δὲ τῆς ἀκρισίας αὐτοῦ, ὅτι παρῆν ποτε ἐν πανοπλίᾳ

4121 vs. 1 ὁ sq. de Hercule Stymphalides abigente sec. Hemst., fort. e Nic. Dam. 4122 — ψιλοῦται cf. Bk. 197, 9, Et. M. 157, 45, sch. AT in A 554, sch. τ 218, sch. Lycophr. 8; τῶν—ἔχω Lycophr. 8 γελωτοποιεῖν sq. cf. ad 4235 4123 — σκάφη + παρά sq. cf. sch. K 576, Ambr. 3495, 3391, Et. M. 151, 52, Ap S. 45, 6, H ἐν—βαλανεῖα cf. Artem. 1, 64 init. 4124 = Ambr. 3410 4126 cf. Io. Antioch. fr. 33, FHG 4, 553 (Gelzer, Iul. Afric. 2, 380) 4127 — ἐκορέσθη cf. sch. T 307, H; περὶ Ὄχου sq. Aelian. fr. 35 4128 = Ba 150, 12, Σ[a] 4129 σελήνης sq. Metaphr. PG 116, 1077c 4130 = Ambr. 3540 cf. Philostr. 1, 6 4131 = Ba 150, 18, Σ[a], sch. A 599, H, Et. M. 152, 8 4132 ἀσβόλη + ἡ στακτή = Ambr. 3494; ἄσβολος—πυρός sch. Ar. Th. 245; φεῦ —ἀσβόλου Ar. Th. 245 cf. Ba 150, 19, Phryn. Praep. 28, 1 et Ecl. 113, H, Thom. 10, 6 4133 — p. 379, 8 ἀνάγκην Polyb. 38, 7, 1—5 = EV 2, 203, 13—204, 3

4122 Z 322; cf. 4235, 4304 4123 hinc v. B 64; cf. v. αἵματος ἅσαι et v. μινύθει 4125 Z 322 4127 ἐκορέσθη cf. 4135 4129 cf. v. διασαφούσης 4131 Z 310 4133 hinc v. Γ 368

A(GITFVM) 1 καί] ἤ M 13 ἐχαρίσατο] ἐχάραξε τότε Hultsch 4129 om. TFV 21 ὑπό] ἀπό A 24 Ἀσβαμαῖον] Ἀσκαμαῖον A 27 καί—ἀσβόλῳ om. TFV

πορφυρίδα θαλαττίαν ἐμπεπορπημένος, ἡνίκα Γολόσσῃ συνεγίνετο τῷ Νομάδων βασιλεῖ μετὰ μαχαιροφόρων ι'. καὶ ὅσον κ' πόδας ἀπέστη προβεβλημένος τάφρον καὶ χάρακα, καὶ κατένευε τῷ βασιλεῖ προσιέναι πρὸς αὐτὸν, καθήκειν γίνεσθαι τοὐναντίον. οὐ μὴν ἀλλ' ὁ Γολόσσης ἀφελῶς ἔχων Νομαδικῷ τινι τρόπῳ μόνος προσῄει πρὸς αὐτόν· καὶ προσεγγίσας ἤρετο τίνα φοβούμενος τὴν πανοπλίαν ἔχων ἥκε. τοῦ δ' εἰπόντος ὅτι Ῥωμαίους· οὐκ ἂν ἄρ', ἔφησεν ὁ Γολόσσης, ἔδωκας σαυτὸν ἐς τὴν πόλιν, μηδεμίαν ἔχων ἀνάγκην. ἦν μὲν οὖν καὶ φύσει σάρκινος, βαλὼν δὲ τὴν πανοπλίαν καὶ κοιλίαν εἰλήφει καὶ τῷ χρώματι παρὰ φύσιν ἐπικεκαυμένος ἦν, ὥστε δοκεῖν ἐν πανηγύρει που διαιτᾶσθαι παραπλησίως τοῖς σιτευτοῖς βουσὶν, ἀλλὰ μὴ τηλικούτων καὶ τοιούτων κακῶν προστατεῖν, ὧν οὐδ' ἂν ἐφίκοιτο τῷ λόγῳ διεξιὼν οὐδείς· ὥσθ' ὅτε μὲν ἐς τὰς ἀποφάσεις αὐτοῦ τις βλέψειε, θαυμάζειν τὸν ἄνδρα καὶ τὸ μεγαλόψυχον τῶν λόγων, ὅτε δὲ ἐς τὸν χειρισμὸν τῶν πραγμάτων, τὴν ἀγεννίαν καταπλήττεσθαι καὶ τὴν ἀνανδρίαν.

4134 Ἀνδρούβας, Καρχηδόνιος στρατηγός. οὗτος κατὰ τὴν τοῦ EV πολέμου συμβολὴν χαλεπῶς ἔχων τῆς ἐπὶ τὰ Μέγαρα ἐπιχειρήσεως, ὅσα Ῥωμαίων εἶχεν αἰχμάλωτα ἐπὶ τὸ τεῖχος ἀγαγὼν, ὅθεν εὐσύνοπτα Ῥωμαίοις ἔμελλε τὰ δρώμενα ἔσεσθαι, τῶν μὲν ὀφθαλμοὺς ἢ γλώττας ἢ νεῦρα ἢ αἰδοῖα σιδηρίοις ἐξεῖλκε καμπύλοις, τῶν δὲ ὑπέτεμνε τὰ πέλματα καὶ δακτύλους ἐξέκοπτεν, ἢ τὸ δέρμα τοῦ λοιποῦ σώματος ἀπέσπα, καὶ πάντας ἔμπνους ἔτι κατεκρήμνιζεν, ἀδιάλλακτα Καρχηδονίοις τὰ ἐς Ῥωμαίους ἐπινοῶν. καὶ ὁ μὲν αὐτοὺς οὕτως ἠρέθιζε τὴν σωτηρίαν ἔχειν ἐν μόνῃ τῇ μάχῃ, περιέστη δ' αὐτῷ ἐς τὸ ἐναντίον ὧν ἐπενόει. ὑπὸ γὰρ τοῦ συνειδότος οἱ Καρχηδόνιοι τῶνδε τῶν ἀθεμίστων ἔργων περιδεεῖς ἀντὶ προθύμων ἐγίγνοντο, καὶ τὸν Ἀνδρούβαν ὡς τὴν συγγνώμην σφῶν ἀφῃρημένον ἐμίσουν· καὶ μάλιστ' ἡ βουλὴ αὐτοῦ κατεβόα ὡς ὠμὰ καὶ ὑπερήφανα δεδρακότος ἐν συμφοραῖς οἰκείαις τοσαῖσδε. ὁ δὲ τῶν βουλευτῶν τινας ἔκτεινε καὶ ἐς πάντα ὧν ἤδη περιδεὴς ἐς τυραννίδα μᾶλλον ἢ στρατηγίαν περιῆλθεν, ὡς ἐν τῷδε μόνῳ τὸ ἀσφαλὲς ἔξων, εἰ φοβερὸς αὐτοῖς εἴη καὶ διὰ τοῦτο δυσεπιχείρητος. ζήτει περὶ τούτου ἐν τῷ Ἀννίβας.

4135 Ἄναι: κορέσαι· ἢ ψάλαι. Δ

4136 Ἀναία: ὄνομα ὄρους. καὶ Ἀναῖος, ὄνομα κύριον. Δ

4133 vs. 8 ἦν sq. = Polyb. 38, 8, 7, 10 = EV 2, 205, 13—17 + 23—26
4134 App. Pun. 118 = EV 2, 230, 6—23 4135 cf. H; — κορέσαι = sch. € 289 cf. Et. M. 152, 3 4136 Ἀναῖος sq. = Ambr. 3412

4134 cf. 2452 4135 cf. 4127

4 καθήκειν] καθῆκον pr. ἀλλ' ὁ Γολόσσης] ἀλλὰ γλώσσης A 5 Νο- A(GITVM)
μαδικῷ] Νουμαδικῷ A 16 ἀνανδρίαν] ἀνδρίαν A 17 τοῦ] ex που corr. A, om. GVM 18 ἐπί] περί GI Μέγαρα AV μεγάλα GIM 21 ὑπέτεμνε] ἀπέτεμνε V 27 ἀθεμίστων AV ἀθεμίτων M Exc. ἀθέσμων GI

Thdr. 4137 Ἀσεβεῖς: οἱ πολυθεΐαν ἢ ἀθεΐαν θρησκεύοντες.

Ps. 4138 Ἀσεβῶν: παρὰ τῷ Δαβὶδ τῶν τὸν θεὸν ἀγνοούντων.

Synt. 4139 Ἀσεβῶ· αἰτιατικῇ.

Σ 4140 Ἀσέλγεια: ἀντὶ τοῦ πολυτέλεια. οὕτως Αἰσχίνης. ἢ Ἀσέλ-
Δ γεια, πορνεία, ἀκαθαρσία. μιαρία. παρῆκται δὲ, ὥς φασιν, ἐξ
Σ αἰτίας τοιαύτης. Σέλγη πόλις ἐστὶ τῆς Πισιδίας, ὅπου κακῶς ἔζων οἱ ἄνθρωποι καὶ ἀλλήλοις ἐκοινώνουν. κατ' ἐπίτασιν οὖν τὸ ἀσελγαίνειν. καὶ Ἀσελγὲς οὐ μόνον ἐπὶ τοῦ ἀκολάστου ἔταττον οἱ παλαιοὶ, ἀλλ' ἔστιν ὅτε καὶ ἐπὶ τοῦ μεγάλου. καὶ γὰρ ἄνεμον ἀσελγῆ λέγουσι· καὶ Ἀσελγόκερως τράγος, ὁ μέγας. ἢ Ἀσελγόκερως, ὁ κυρίττων.

Ar. πίονές εἰσιν ἀσελγῶς· Ἀριστοφάνης φησὶν ἐν Πλούτῳ. ἀντὶ τοῦ κατω-
E φερεῖς. θορυβούμενοι καὶ κεκραγότες μετὰ ἀσελγείας, οἷον οἱ κό-
Σ ρακες λαρυγγίζουσιν. ἀντὶ τοῦ μεγάλως φωνοῦσι. καὶ Ἀσελγής, ἐπὶ ἀνέμου ὁ σφοδρῶς πνέων. πολὺς δὲ καὶ ἀσελγὴς τίκτεται ἐκεῖθι (φησὶν Αἰλιανὸς ἐν τῷ περὶ ποικίλης ἀφηγήσεως)· γένεσις δὲ αὐτῷ αὐλῶνες βαθεῖς καὶ φάραγγες, δι' ὧν ὠθούμενος ἐκτείνει λαβρότατος.

ΔΣ 4141 Ἄσῃ: ῥύπος. καὶ κλίνεται ἄσης. ἢ λύπη. καὶ τοσαύτης ἄσης ὑποπίμπλαμαι καὶ ναυτίας σῶμά τε καὶ ψυχὴν, ὥστε καὶ εἰς ἐμέτους ἐμοὶ τὴν ἀχθηδόνα προπίπτειν. τουτέστι ῥύπου.

Δ 4142 Ἀσηκόρος: ὁ ἀκηδιαστής.

Harp. 4143 Ἀσήμαντα: τὰ λεγόμενα ἀσφράγιστα. καὶ γὰρ σημεῖα τὰς
Σ σφραγίδας ἔλεγον. καὶ Ἀσημάντοις, ἀφυλάκτοις, οὐκ ἔχουσι σημάντορας, τοὺς ἐπιστάτας. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν σφραγίδων.

Δ 4144 Ἄσημον: τὸ δυσγενὲς, καὶ τὸ μηδὲν σημαῖνον. καὶ Ἄσημος, ὁ ἀγεννής.

Δ 4145 Ἄσηρος: ὁ μὴ ἔχων σκώληκας.

Δ 4146 Ἀσηρώθ: ὄνομα κύριον.

4137 Thdr. in Ps. 1, 1, PG 80, 868d 4138 τῶν sq. = An. Ox. 2, 428, 22 4140 — Alcχίνης (1, 95) = Ba 150, 24; vs. 4. 5 ἀσέλγεια—ἀκαθαρσία + παρῆκται—vs. 7 ἀσελγαίνειν = Ba 150, 24, Σ[a] cf. Et. M. 152, 45, Et. Gud., An. Ox. 2, 333, 5; πορνεία = H; vs. 8 ἀσελγές—κυρίττων cf. H v. κριὸς ἀσελγόκερως et v. ἀσελγής, Ba 151, 5 vs. 5 μιαρία = Ambr. 3514 vs. 11 πίονες—κατωφερεῖς Ar. Pl. 560 c. sch. θορυβούμενοι—λαρυγγίζουσιν Iambl. fr. 10 vs. 13 ἀσελγὴς—σφοδρῶς cf. Ba 150, 28, H πολύς sq. Aelian. fr. 5 4141 init. aliter Ambr. 3493 λύπη = Ba 151, 8 cf. H 4142 = Ambr. 3377, H 4143 — ἔλεγον Harp. = Ba 151, 9 ἀσημάντοις sq. = Ba 151, 11, Σ[a] cf. H; Et. M. 153, 11 = sch. K 485 4144 τὸ μηδὲν σημαῖνον = Ambr. 3539; ἄσημος sq. = Ambr. 3380 4145 = Ambr. 3399 4146 = Ambr. 3413

4140 hinc v. Σέλγη; ἀσελγές—μέγας cf. v. κριὸς ἀσελγόκερως; θορυβούμενοι sq. cf. v. λαρυγγίζουσιν 4142 Z 311 4143 Z 322 4146 Z 310

A(GITFVM) 4138 om. FV 10 κυρίττων] κηρίττων A; ἤγουν ὁ κεραῖζων ss. V 11 κατωφερεῖς M sch. καταφερεῖς rell. 16. 17 λαβρότατος] λαβρότητα M 4142 om. F post 4144 V 21 ἀκηδιαστή:] πρωτοδικαστής V

4147 'Ασία: χώρα, ἡ τῆς ἀνατολῆς. καὶ 'Ασιάδος κρούματα, Δ
τῆς κιθάρας. οὕτως 'Αριστοφάνης. ἢ 'Ασιάτιδος κρούματα. Σ
καὶ 'Ασιῆτις γῆ, τῆς 'Ασίας. Δ
4148 'Ασίννιος Πωλίων, 'Ρωμαῖος. ἱστορίας 'Ρωμαϊκὰς συνέταξεν Hesy.
ἐν βιβλίοις ιζ'. οὗτος πρῶτος Ἑλληνικὴν ἱστορίαν 'Ρωμαϊκῶς συνεγράψατο.
4149 'Ασιος: ὄνομα κύριον. Δ
4150 'Ασιῶν: τὸ ὄρος. Δ
4151 'Ασιτῶ: ἄρτον οὐκ ἐσθίω. Δ
4152 'Ασιχίνη: ὄνομα κύριον. Δ
4153 'Ασθένεια: ταλαιπωρία, νόσος, ἀδυναμία. καὶ 'Ασθενοῦντας, ἀντὶ τοῦ ἐν ἐνδείᾳ ὄντας· τὴν γὰρ τύχην ἰδίως νόσον φασίν. 'Αριστοφάνης· τοὺς πένητας ἀσθενοῦντας. Δ Ar.
4154 'Ασθήσεται: ἐκ τοῦ ᾄδω, τὸ ψάλλω. Etym
4155 'Ασθμα: πνοή. καὶ 'Ασθμάζειν, ἀντὶ τοῦ ἀσθμαίνειν, τουτέστι πνευστιᾶν. Βάβριος· οἷά τις νούσῳ κάμνων ἐβέβλητ' οὐκ ἀληθὲς ἀσθμαίνων. Σ
4156 'Ασκαλαβώτης: ὁ γαλεώτης. οὐχὶ καλαβώτην λέγουσι, μᾶλλον δὲ γαλεώτην. Μένανδρος· οὑτοσὶ δὲ γαλεώτης γέρων. Δ Σ
4157 'Ασκάλαφος: παρὰ τὸ ἀσκελὲς τῆς ἀφῆς, ὁ λίαν σκληρός. Hom.
4158 'Ασκαλωνίτης: ὄνομα κύριον. Δ
4159 'Ασκαμωνία: εἶδος βοτάνης ἰατρικῆς. Δ
4160 'Ασκανία: λίμνη ἐν Νικαίᾳ. Etym.?
4161 'Ασκαντος: ἡ μικρὰ κλίνη, τὸ πτωχὸν κλινίδιον. ἢ 'Ασκάντης, κλίνη μὴ ἔχουσα κάνητα· κάνης δὲ ὁ ψίαθος. ἢ ὁ σκίμπους, ἢ δίφρου τι εἶδος, οἱ δὲ τὸν κράββατον. 'Αριστοφάνης Νεφέλαις· ἔξει τὸν ἀσκάντην λαβών. Σ Call. Ar.

4147 — χώρα cf. Ambr. 3531 'Ασιάδος—'Αριστοφάνης (Th. 121) = Ba 151, 25, Et. M. 153, 31 cf. sch. Ar. Th. 121, H 'Ασιῆτις sq. = Ambr. 3492 4148 οὗτος sq. cf. Rh. Mus. 36, 316 4149 = Ambr. 3427 4150 = Ambr. 3469 cf. 3444 4151 l. = Ambr. 3569, 3574 4152 = Ambr. 3500 4153 l. = Ambr. 3511 ἀσθενοῦντας sq. Ar. Pac. 636 c. sch. 4155 — πνοή = Ba 151, 13, Σ[a] cf. Et. M. 153, 13, H; ἀσθμάζειν—ἀσθμαίνειν = Ba 151, 14; πνευστιᾶν cf. Ba 151, 15, Σ[a], H οἷα sq. Babr. 103, 3—4 4156 — γαλεώτης = Ambr. 3383 cf. H οὐχί—Μένανδρος (fr. 188) = Ba 151, 27 cf. Donat. in Terent. Eun. 4, 4, 21 4157 sch. N 478 = Et. M. 154, 25 4158 = Ambr. 3423 4159 l. = Ambr. 3530 4160 cf. Strab. 12, p. 565 4161 — κλινίδιον cf. Ba 152, 12, Et. M. 154, 28, H ἀσκάντης—ψίαθος cf. Sallust. in Call. Hec. ap. Et. Gen., Ind. lect. Rost. 1890/91 p. 14 (= Call. fr. 15 K.), Et. M. 154, 30 σκίμπους sq. Ar. Nu. 634 c. sch. cf. Et. M. κράββατον cf. Moerid. 190, 23

4148 cf. v. Πωλίων 4152 Z 318 4155 cf. v. σπήλυγξ 4156 cf. v. Γ 27 4157 Z 311 4159 hinc v. σκαμωνία, Z 318 4161 cf. v. κάνης et v. σκίμπους

3 'Ασίας] καὶ ἀσινής, ὁ ἀβλαβής add. F cf. Zon. 311 v. ἀσήκορος 4 'Ασίννιος] 'Ασσίννιος AF 5. 6 συνεγράψατο] συνέγραψεν FV 7 ὄνομα om. FV 4154 ex I (post 4152), M 19 οὑτοσί] οὑτωσί V 20 ἀσκελές AGTF, sch., Et. Gen. ἀσκαλές IVM, Et. M. cf. Zon. 4160 ex T (post 4156), M A(GITFVM)

Δ 4162 Ἀσκαρδαμυκτί: χωρὶς τοῦ μύειν, ὅ ἐστιν ἀγρίως βλέπειν.
Ar. καὶ Ἀσκαρδάμυκτον. Ἀριστοφάνης· βλέψον εἰς ἐμὲ ἀσκαρδάμυκτον. τουτέστι μὴ μύσας τοὺς ὀφθαλμούς. τὸ δὲ σκαίρειν καὶ μύειν τοὺς ὀφθαλμοὺς καὶ πυκνῶς βλεφαρίζειν σκαρδαμύσσειν λέγεται καὶ ἰλλωπεῖν. ἀσκαρδαμυκτεῖν οὖν τὸ ἄνω βλέπειν. οἷον ἀτενὲς βλέψον εἰς ἐμέ.
Δ 4163 Ἀσκελές: ἀδιαλείπτως.
Soph. 4164 Ἀσκέπαρνον: ἄξεστον, ἄγλυφον, ἀπελέκητον, οὐκ εἰργασμένον. Σοφοκλῆς· κἀπὶ σεμνὸν ἑζόμην βάθρον τόδ' ἀσκέπαρνον.
ΣΔ 4165 Ἀσκέραι: ὑποδήματα Ἀττικά. ἡ εὐθεῖα ἀσκέρα.
Σ 4166 Ἄσκευον: ἀντὶ τοῦ ἀπαράσκευον. ἄνευ ὅπλων. καὶ ὁ Θεο-
Greg. λόγος· βίον ἄσκευον, καὶ ἀπέριττον.
Δ 4167 Ἀσκηθής: ἀβλαβὴς, ὑγιής.
Σ 4168 Ἀσκήσασα: κοσμήσασα, μετ' ἐπιμελείας ὑφάνασα.
Σ 4169 Ἄσκησις: ἐγκράτεια.
Σ 4170 Ἄσκησιν: ἀγωνίαν· καὶ ὡς ἡμεῖς, τὸ δεδιέναι καὶ προσδοκᾶν τὸ μέλλον λέγουσιν οἱ παλαιοὶ καὶ Πλάτων. καὶ Ἀσκητὰς καὶ ἀθλητὰς λέγουσιν.
Ar. 4171 Ἀσκητικόν, μέγα. Ἀριστοφάνης· καὶ μὴν ὁρῶ τοὺς Ἀθηναίους, ὥσπερ παλαιστὰς ἄνδρας ἀπὸ τῶν γαστέρων τὰ ἱμάτια ἀποστέλλοντας, ὥστε φαίνεται ἀσκητικόν τι χρῆμα τοῦ νοήματος. καὶ
Σ Ἀσκητικός, φιλομαθὴς, φιλόσοφος.
Anth. 4172 Ἀσκητός: μετ' ἐπιμελείας κεκοσμημένος. θηλυχίτων ἀσκητὸς ἐϋσπείροισι κορύμβοις.
Hesy. 4173 Ἀσκληπιάδης, Διοτίμου, Μυρλεανός (πόλις δέ ἐστι Βιθυνίας, ἡ νῦν Ἀπάμεια καλουμένη), τὸ δὲ ἄνωθεν γένος ἦν Νικαεύς· γραμματικὸς, μαθητὴς Ἀπολλωνίου. γέγονε δὲ ἐπὶ τοῦ Ἀττάλου καὶ Εὐμενοῦς τῶν ἐν Περγάμῳ βασιλέων. ἔγραψε φιλοσόφων βιβλίων διορθωτικά· ἐπαίδευσε δὲ καὶ εἰς Ῥώμην ἐπὶ Πομπηΐου τοῦ μεγάλου καὶ ἐν Ἀλεξανδρείᾳ ἐπὶ τοῦ τετάρτου Πτολεμαίου νέος διέτριψεν. ἔγραψε

4162 — μύειν = Ambr. 3587 ἀσκαρδάμυκτον sq. Ar. Eq. 292 c. sch. cf. Ba 152, 13 4163 = Ambr. 3592 cf. H, sch. α 68, Et. M. 154, 39 4164 Soph. OC 100—101 c. sch. 4165 — Ἀττικά = Ba 151, 30 ἀσκέρα cf. Ambr. 3496 = H 4166 — ἀπαράσκευον = Ba 152, 1 cf. H ἄνευ sq. Greg. PG 36, 573c c. sch. 4167 = Ambr. 3390, sch. K 212 cf. H, Et. M. 154, 55 4168 = Ba 152, 2, Σ^a; μετ' sq. = sch. Ξ 179, H (falso Phryn. fr. 268) 4169 = Ba 152, 3, Σ^a 4170 — λέγουσιν = Ba 152, 4; ἀσκητάς sq. cf. Erotian. 62, H 4171 — νοήματος Ar. Lys. 1082—5 c. sch. ἀσκητικός sq. = Ba 152, 7, Σ^a 4172 θηλυχίτων sq. Anth. 6, 219, 3 4173 cf. Steph. Byz. v. Μύρλεια; duos Asclepiades confusos esse perspexerunt viri docti, e. g. Rohde Kl. Schr. 1, 375, 1

4162 hinc v. σκαρδαμύττει, Z 328 4163 Z 328 4165 Z 319 4166 Z 311 4170 cf. 740 4173 cf. v. Μυρλεανός

A(GITFVM) 4 ἰλλωπεῖν A, sch. ἰλλωππεῖν F ἰλλώπτειν rell. cf. v. 9 ἀσκέρα FVM ἀσκείρα A ἀσκαίρα GIT 23 ἐϋσπείροισι] εὐπείροισι GITM 24 πόλις—p. 383, 8 ἰατρικῆς om. F 25 γένος om. V 26 Εὐμενοῦς] Εὐμελοῦς V Εὐμελεῖν M

πολλά. καὶ Ἀσκληπίειον φάρμακον καὶ Ἀσκλήπειον φάρ- Δ
μακον, Ἀσκληπήϊον δὲ ἱερόν. καὶ Ἀσκληπιάδαι, οἱ ἰατροὶ,
ἀπὸ Ἀσκληπιοῦ. οὗτος δὲ παρὰ τὸ ἀσκελῆ καὶ ἤπια φυλάττειν τὰ Ecl.
σώματα. ὅτι Ἀσκληπιὸς, ἔφορος τῆς ἰατρικῆς, Παύσωνα καὶ Ἶρον E
καὶ ἄλλον τινὰ τῶν ἀπόρων ἰάσαιτο. ζήτει ἐν τῷ Παύσων καὶ Ἶρος.
καὶ Αἰλιανός· ὁ δὲ ἀθλίως νόσῳ (περιπνευμονίαν καλοῦσιν Ἀσκληπια- E
δῶν παῖδες αὐτὴν) πιεζόμενος τὰ μὲν πρῶτα ἐδεῖτο τῆς ἀνθρώπων
ἰατρικῆς.

4174 Ἀσκληπιόδοτος· οὗτος ἐκ παίδων εὐθὺς ὡμολογεῖτο ὀξύ-
τατος καὶ πολυμαθέστατος εἶναι τῶν ἡλικιωτῶν, ὥστε καὶ πολυπραγ-
μονῶν οὐδὲν ἐπαύετο περὶ ἑκάστου τῶν παραπιπτόντων, ὧν ἥ τε ἡ
φύσις ἀπεργάζεται θαυμασίων καὶ τέχνη ἑκάστη παρέχεται δημιουργη-
μάτων. ἐν γοῦν ὀλίγῳ χρόνῳ παντάπασι κατανενοήκει τῶν τε βαφικῶν
χρωμάτων τὰς μίξεις ἁπάσας καὶ τῶν περὶ ἐσθῆτα κοσμουμένων βαμ-
μάτων παντοδαπῶν, ἔτι δὲ τῶν ξύλων τὰς μυρίας διαφορότητας, ὅπως
αὐτῶν αἱ ἶνες ἔχουσιν εὐθύτητος πέρι καὶ διαπλοκῆς. ἀλλὰ μέντοι
λίθων καὶ βοτανῶν αἱ ποικίλαι δυνάμεις τε καὶ ἰδέαι, τῶν τε ἐν ποσὶ
κειμένων καὶ τῶν σπανιωτάτων, ἀνεζητοῦντο καὶ εὑρίσκοντο πάσῃ
μηχανῇ. ὄχλον δὲ παρείχετο πολὺν τοῖς περὶ ἕκαστα διατρίβουσι παρα-
καθήμενός τε συχνὰ καὶ περὶ ἑκάστου ἀνερωτῶν ἐς τὸ ἀκριβέστατον.
τὴν δὲ περὶ φυτῶν ἱστορίαν ἐπὶ μείζονος ἠγάπα τιμῆς, καὶ ἔτι μᾶλ-
λον τὴν περὶ ζῴων, τά τε ἐνόντα διὰ τῆς ὄψεως ἀνακρίνων καὶ τὰ
μὴ δυνατὰ διὰ τῆς ἀκοῆς ἐξετάζων ἐπὶ τὸ μακρότατον, ὅσα τε τοῖς
πρεσβύταις ἀναγέγραπται περὶ τούτων ἀναλεγόμενος. ἦν δὲ Ἀλεξαν-
δρεὺς τὸ γένος. τοῦτον οὖν ἐπίσταμαι διὰ πείρας συχνῆς εὖ μάλα
τήν τε ἀγαθοειδῆ προαίρεσιν προβεβλημένον καὶ τοῦ πατρὸς οὐ πολύ
τι λειπόμενον κατὰ τὴν εὐσεβῆ προθυμίαν καὶ τὴν πρὸς τὸ θεῖον
ἀναγομένην ἐλπίδα σύντονόν τε καὶ ἐρωτικήν· φιλοσοφοῦντα μέντοι
ὑπὲρ ἐκεῖνον καὶ τῇ ἄλλῃ προπαιδείᾳ κεκοσμημένον. τοιγαροῦν ἀνέ-
θηλεν ἐπ' αὐτοῦ ἡ πόλις τῆς Ἀφροδίτης εἰς τὸ ἱερώτερον. ἤδη δὲ
καὶ ἐς τὰς ὑπερορίους ἀπῴκισε τὴν ἀπόρρητον θέμιν, ἔς τε Ἀλεξάν-
δρειαν τὴν Ὁσιράζουσαν καὶ τῆς ἕω πολλαχῇ τὴν μαγεύουσαν. γενό-
μενος δὲ πρὸς τῷ σεμνῷ καὶ εὐτράπελος ἡδίστην παρείχετο τοῖς

4173 Ἀσκληπίειον—ἱερόν = Ambr. 3550—52, 3558 cf. Lobeck in Phryn. 370; Ἀσκληπιάδαι = Ambr. 3386 οὗτος—σώματα cf. Et. M. 154, 49 Ἀσκληπιὸς —ἰάσαιτο Aelian. fr. 100 Αἰλιανός sq. fr. 89 4174 Dam. fr. 114, 119, 129, 135, 216 cf. Phot. bibl. 344a 36

4173 cf. v. Παύσων et v. ἤρτηται 4174 cf. v. διὰ πείρας, v. Ὁσιράζουσαν, v. χαρίεσσαν

1 καί pr. ex AM om. GITV καὶ Ἀσκλήπειον φάρμακον om. M A(GITVM)
1. 2 φάρμακον om. ITV 4 τῆς] ἦν M 5 ζήτει—Ἶρος ex M^{mg} 13 βαφικῶν] γραφικῶν Bekk. 14 κοσμουμένων] ἀσκουμένων sive κομμουμένων coni. Bhd., κομψευομένων coll. v. Ἐπίκτητος Asmus, Byz. Zt. 18, 460, 4 19 ὄχλον] ὅπλον V 21 ἠγάπα] ἦγε T, ἤγαγε Lobeck in Phryn. 419 30 Ἀφροδίτης om. A (propter ep. Δ) ἱερώτερον] ἱερόν $A^{ac}V^{ac}$ 32 Ὁσιράζουσαν] Ὁσιριάζουσαν Kust.

ἐντυγχάνουσι τὴν αὐτοῦ συνδιαίτησιν. εὐφυὴς δὲ ἐκ παίδων γεγονὼς ἄχρι γήρως πολλὰ συνεισήνεγκεν εἰς τὰ ἱερὰ τῆς οἰκείας φύσεως ἔκγονα μηχανήματα, ἀγάλματά τε διακοσμῶν καὶ ὕμνους προστιθεὶς ἔστιν οἷς. οἰκονομικὸς δὲ ὢν καὶ γεωργικός, ἀποθανόντος αὐτῷ τοῦ πατρὸς, ἀπέτισε χρέα πολλά. ἐν χρηματισμῷ δὲ δικαίῳ καταστὰς ὅμως ἐν δαπανήμασι μεγάλοις ἐγένετο, τῆς τε ἱερᾶς εἵνεκα προαιρέσεως καὶ τῆς ἄλλης πολιτικῆς φιλοτιμίας ἀναγκαίας εἶναι δοκούσης καὶ τῷ οἴκῳ συνήθους. ὥστε ἠναγκάσθη καὶ αὐτὸς ὕστερον ὑπόχρεων τὴν οὐσίαν καταλιπεῖν ταῖς θυγατράσι. ταῦτα ἀναγεγράφθω μοι χαρίσια ὀλίγα ἀντὶ πολλῶν ἀποδιδόντι. ζήτει ἐν τῷ δειсιδαιμονία.

Ar. 4175 Ἀσκὸν δέρειν: ἐπὶ τῶν καθ' ὑπερβολὴν ἐπαγγελλομένων πράττειν τι. τὸ δέρμα μου εἰς ἀσκὸν ἐκδερματίζειν. ὑπὲρ τοῦ πιστευθῆναι αὐτὸν ἐμμένειν τοῖς ὑποκειμένοις, προσέθηκε πλέον ἢ ἐκεῖνοι ἐπέταξαν καὶ λέγει καταφρονεῖν ἐκδερομένου τοῦ δέρματος. ὁ γὰρ τὰ μείζω ἐπαγγελλόμενος ὑπομένειν εὐχερῶς ἂν τὰ ἥττονα ὑπενέγκοι.

Suid. 4176 Ἀσκὸν τίλλειν: ἐπὶ τῶν ἀνηνύτων καὶ μὴ ὄντων λέγεται ἡ παροιμία ὑπὸ τῶν Ἀττικῶν.

Thdr. 4177 Ἀσκὸς ἐν πάχνῃ· ὁ Δαβὶδ λέγει, ὅτι ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ. ὁ ἀσκὸς θερμαινόμενος χαυνοῦται καὶ φυσώμενος ἐξογκοῦται, ἐν δὲ τῇ πάχνῃ σκληρύνεται καὶ πήγνυται. οὕτω καὶ τοῦ σώματος ἡ φύσις χαυνοῦται μὲν τῇ τρυφῇ καὶ ἐξογκοῦται, τῇ δὲ ἀσκητικῇ ἀγωγῇ ταπεινοῦται καὶ πιέζεται. καὶ τούτου μάρτυς ὁ Παῦλος βοῶν· ἀλλ' ὑποπιέζω μου τὸ σῶμα καὶ δουλαγωγῶ, μή πως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι. τοιγάρτοι καὶ ὁ προφήτης, ἐπειδὴ διωκόμενος ὑπὸ τοῦ Σαοὺλ κρείττων ἦν τῶν παθῶν, εἰρήνης δὲ απολαύσας τοῖς ἀπὸ τῆς τρυφῆς ἐβλάβη σκιρτήμασι, ταπεινώσας τὸ σῶμα τῶν θείων νόμων τὴν μνήμην ἀνενεώσατο. καὶ Ἀσκὸς Κτησιφῶν-

Ar. τος· Ἀριστοφάνης· κατὰ τὰ πάτρια τοὺς χοὰς πίνειν ὑπὸ τῆς σάλπιγγος· ὃς δ' ἂν ἐκπίῃ πρώτιστος, ἀσκὸν Κτησιφῶντος λήψεται. ἐν γὰρ ταῖς Χοαῖς ἀγὼν ἦν περὶ τοῦ ἐκπιεῖν πρῶτόν τινα χοᾶ, καὶ ὁ νικῶν ἐστέφετο φυλλίνῳ στεφάνῳ καὶ ἀσκὸν οἴνου ἐλάμβανε. πρὸς σάλπιγγας δὲ ἔπινον. ὁ δὲ Κτησιφῶν ὡς παχὺς καὶ προγάστωρ ἐσκώπτετο. ἐτίθετο δὲ ἀσκὸς πεφυσημένος ἐν τῇ τῶν Χοῶν ἑορτῇ, ἐφ' οὗ τοὺς πίνοντας πρὸς ἀγῶνας ἑστάναι, τὸν προπιόντα δὲ ὡς νικήσαντα λαμβάνειν ἀσκόν. ἔπινον δὲ μέτρον τι οἷον χοᾶ.

4175 sch. Ar. Nu. 441 — 1848b c; 1. Cor. 9, 27

4177 — vs. 27 ἀνενεώσατο Thdr. in Ps. 118, 83, PG 80, vs. 27 ἀσκός—vs. 35 χοᾶ Ar. Ach. 1000—1002 c. sch.

4176 ex v. ὄνου πόκαι

A(GITFVM) 4176 om. AFV mg. I post vs. 27 ἀνενεώσατο TM 18 πάχνῃ] Θεοδωρήτου ἑρμηνεία add. I, mg. M 23 ὑποπιέζω] ὑποπιάζω M^{oc} 27 καί—p. 385, 24 βαίνειν om. F mg. V καί—p. 385, 1 καί om. T καί ex AGI; nov. gl. M 30 χοᾶ] χόα A χόαν V 34 προπίοντα] πίοντα V 35 ὡς—p. 385, 2 δέ om. A

καὶ Ἀσκοφορεῖν. ἐν ταῖς Διονυσιακαῖς πομπαῖς, τὰ μὲν ὑπὸ τῶν Σ
ἀστῶν ἐπράττετο, τὰ δὲ τοῖς μετοίκοις ποιεῖν ὑπὸ τῶν νομοθετησάντων
προσετέτακτο. οἱ μὲν οὖν μέτοικοι χιτῶνας ἐνεδύοντο χρῶμα ἔχοντας
φοινικοῦν καὶ σκάφος ἔφερον· ὅθεν σκαφηφόροι προσηγορεύοντο. οἱ δὲ
ἀστοὶ ἐσθῆτα εἶχον, ἣν ἐβούλοντο, καὶ ἀσκοὺς ἐπ' ὤμων ἔφερον· ὅθεν
ἀσκοφόροι ἐκαλοῦντο. καὶ παροιμία· Ἀσκῷ μορμολύττεσθαι, Prov.
ἐπὶ τῶν εἰκῇ καὶ διακενῆς δεδιττομένων. καὶ Ἀσκωλίαζον· ἑορτὴν Ar.
οἱ Ἀθηναῖοι ἦγον τὰ Σκώλια, ἐν ᾗ ἤλλοντο τοῖς ἀσκοῖς εἰς τιμὴν
τοῦ Διονύσου. δοκεῖ δὲ ἐχθρὸν εἶναι τῇ ἀμπέλῳ τὸ ζῷον. ἀμέλει
γοῦν καὶ ἐπίγραμμα φαίνεται πρὸς τὴν αἶγα οὕτως ἔχον· κἂν με
φάγῃς ἐπὶ ῥίζαν, ὅμως δ' ἔτι καρποφορήσω, ὅσσον ἐπιλείψαι σοί, τράγε,
θυομένῳ. Ἀσκωλίαζε δὲ ἀντὶ τοῦ ἄλλου· κυρίως ἀσκωλιάζειν
ἔλεγον τὸ ἐπὶ τῶν ἀσκῶν ἄλλεσθαι ἕνεκα τοῦ γελωτοποιεῖν. ἐν μέσῳ
δὲ τοῦ θεάτρου ἐτίθεντο ἀσκοὺς πεφυσημένους καὶ ἀληλιμμένους, εἰς
οὓς ἐναλλόμενοι ὠλίσθαινον· καθάπερ Εὔβουλος ἐν Δαμαλίᾳ φησὶν
οὕτως· καὶ πρός γε τούτοις ἀσκὸν ἐς μέσον καταθέντες ἐνάλλεσθε καὶ
καγχάζετε ἐπὶ τοῖς καταρρέουσιν ἀπὸ κελεύσματος. καὶ Ἀσκωλιά- Σ
ζοντες, ἐφ' ἑνὸς ποδὸς ἐφαλλόμενοι, ὑστερούμενοι τῶν κατὰ φύ-
σιν. ὃ δὲ ἐμοὶ δοκεῖν, ὁρμῇ τῇ παρὰ τοῦ Ἀσκληπιοῦ ἐς τὸν δεσπό- E
την ἀσκωλιάζων θάτερον τῶν ποδῶν ἔρχεται, καὶ ὄρθριον ᾀδομένου
τοῦ παιᾶνος τῷ Ἀσκληπιῷ ἑαυτὸν ἀποφαίνει τῶν χορευτῶν, ἕνα καὶ
ἐν τάξει στὰς ὥσπερ οὖν παρά τινος λαβὼν χοροδέκτου τὴν στάσιν,
ὡς οἷός τε ἦν συνᾴδειν ἐπειρᾶτο τῷ ὀρνιθείῳ μέλει. καὶ Ἀσκω- Δ
λιασμὸς ὁμοίως, τὸ ἐφ' ἑνὸς ποδὸς βαίνειν. ὅτι οἱ ἀσκοὶ ἁλοὶ σμηχό- Suid.
μενοι βελτίονες γίνονται.

4178 Ἀσκοπήρα: τὸ μαρσίπιον, ἤτοι τὸ σακκοπάθνιον. Δ

4179 Ἄσκοπον: ἀντὶ τοῦ ἀπροσδόκητον. καὶ Ἄσκοπος λώβη, Σ
ἀπροόρατος, τουτέστιν ὁ θάνατος. Soph.

4180 Ἀσκούμενος: κατασκευάζων, κοσμῶν. Σ

4181 Ἀσκῶ· αἰτιατικῇ. Synt.

4182 Ἄσκωλον: τὸ λεῖον. Δ

4177 ἀσκοφορεῖν—vs. 6 ἐκαλοῦντο = Et. M. 155, 8 cf. Bk. 214, 3 ἀσκῷ—δεδιττομένων = Macar. II 52 vs. 7 ἀσκωλίαζον—17 κελεύσματος sch. Ar. Pl. 1129; Anth. 9, 75; Eubul. fr. 8 (2, 166 K.) vs. 17 ἀσκωλιάζοντες—φύσιν Tim. = Ba 152, 9, Et. M. 155, 35 cf. H, sch. Pl. Symp. 190 d ὃ δέ—μέλει Aelian. fr. 98 vs. 23 ἀσκωλιασμός—βαίνειν = Ambr. 3402 4178 cf. Ambr. 3486 4179 — ἀπροσδόκητον = Ba 152, 6 ἄσκοπος sq. sch. Soph. El. 864 cf. H 4180 = Ba 152, 8, Σ^{a} 4182 = Ambr. 3545

4177 Z 326. Prov. cf. v. μορμολύττεσθαι. sch. Ar. Pl. hinc v. σκώλια. Aelian. cf. v. χοροδέκτης et v. συνῳδά vs. 24 ὅτι sq. ex 1409 4178 Z 318

1 καὶ ἀσκοφορεῖν om. V 4 σκάφος] σκάφας Et. Bk. Kust., v. Σκαφηφόροι, v. συστομώτερον 7 ἀσκωλίαζον] ἀσκωλιάζειν G^{oc}IT M^{oc} 8 Σκώλια] Σκῶλα GIT, Ἀσκώλια sch. 10 γοῦν] οὖν V, sch. φαίνεται AGIT cod. R. Ar. φέρεται V, M (ss. αι), sch. 13 τό] ἐπὶ τό V 15 Δαμαλίᾳ] Ἀμαλθείᾳ vel Δαιδάλῳ Hemst. Δαμασίᾳ Mein. 24 ὅτι—25 γίνονται ex mg. M 4178 om. V (hab. F) A(GITFVM)

Ar. 4183 Ἀσκώματα: τὰ ἐν ταῖς κώπαις σκεπαστήρια ἐκ δέρματος, οἷς χρῶνται ἐν ταῖς τριήρεσι, καθ' ὃ τρῆμα ἡ κώπη βάλλεται. εἰς διφθέρας γὰρ τὰς διανοίας τὰς ἑαυτοῦ γράψας ὁ Θωρυκίων ἔπεμπε τοῖς πολεμίοις ἐν τῇ Λακωνικῇ.

Suid. 4184 Ἀσκώνιος Παιδιανός· ὁ τοίνυν Βλαῖσος ἐπὶ τὴν θοίνην κληθεὶς οἷον ἐφολκίδα ἐπάγεται Ἀσκώνιον Παιδιανόν· ἐξὴν γὰρ καὶ ἐπικλήτους οἴονεὶ σκιὰς ἑαυτοῖς παρακαλεῖν τινας.

Δ 4185 Ἀσκραῖος: ὁ Ἡσίοδος.

Δ 4186 Ἄσμα: τὸ μέλος, ἡ ᾠδή. σημαίνει δὲ καὶ τὸ δίασμα. καὶ
Σ Σώφρων. καὶ ἄττεσθαι, ὃ ἡμεῖς διάζεσθαι. μεταβολῇ τῶν δύο σσ εἰς τὸ ζ ἐγένετο.

Δ 4187 Ἀσμενίζω· δοτικῇ. οἱ μὲν οὖν ὄλεθρον ἀσμενίσαντες καὶ
Ε παρακρουσθέντες ὑπὸ τῆς ὑποσχέσεως ἥλωσαν ὑπὸ τοῦ Περσικοῦ.

Σ 4188 Ἄσμενος: χαίρων, ἡδέως, προθύμως. καὶ Ἀσμενέστατα, ἀντὶ τοῦ προθυμότατα. ἀσμενέστατα τὴν πρόκλησιν ἀποδεδεγμένος.

Δ λέγεται καὶ Ἀσμενέστατα.

Σ 4189 Ἀσολοίκως: τὸ ἀφελῶς.

Synt. 4190 Ἄσω· δοτικῇ.

4191 Ἀσώματον: ὅτι διττόν, τὸ μὲν τῷ ἀριθμῷ, ὡς οἱ ἄγγελοι, οἷον Μιχαὴλ, Γαβριήλ· ἀριθμῷ γάρ· τὰ δὲ οὐ, ὡς τὰ καθόλου.

Δ 4192 Ἀσωπός: ποταμὸς Θηβῶν.

Ar. 4193 Ἀσωπόδαρος καὶ Διδυμαχίας, ὁ ἀδελφὸς αὐτοῦ, ἐπὶ σμικρότητι σώματος διεβέβληντο.

Δ 4194 Ἀσωτία: ἡ ἁμαρτία. ἑκάτερον ὁμοίως ἀποστρέφεσθαι, τό τε δέον μὴ ποιεῖσθαι ἀνάλωμα καὶ τὸ μὴ δέον ποιεῖσθαι, ὡς τοῦτο μὲν ἀσωτίαν οὖσαν, εἴτε μείζω εἴτε φαυλοτέραν, ἐκεῖνο δὲ σμικρολογίαν.

Soph. καὶ Ἄσωτος, ὁ ἐξώλης, ὁ σῴζεσθαι μὴ ὀφείλων. Σοφοκλῆς· ἢ τῆς
Σ ἀσώτου Σισυφιδῶν γενεᾶς. καὶ Ἀσώτως, αἰσχρῶς.

Δ 4195 Ἀσωχαῖος: ὄνομα κύριον. καὶ θηλυκὸν Ἀσωχή, ὄνομα πόλεως. καὶ Ἀσωχίς, ὄνομα κύριον. καὶ Ἄσωχιν, ὄνομα πόλεως, αἰτιατικῇ.

4183 sch. Ar. Ran. 364 4185 = Ambr. 3385 4186 — δίασμα cf. H τὸ δίασμα sq. = Ba 152, 21; Sophr. fr. 79 4187 l. cf. Ambr. 3580, 3586 δοτικῇ = Synt. Laur. οἱ sq. Th. Simoc. 3, 7, 6 4188 — προθύμως = Ba 152, 23, Σ^a cf. H, sch. Υ 350 4189 = Ba 152, 24, Σ^a 4192 — ποταμός = Ambr. 3467 4193 sch. Ar. Av. 17 4194 — ἁμαρτία = Ambr. 3523 ἄσωτος—γενεᾶς Soph. Ai. 190 c. sch. ἀσώτως sq. = Ba 157, 30, Σ^a, H 4195 — κύριον pr. = Ambr. 3415; Ἀσωχή—πόλεως = Ambr. 3504; Ἀσωχίς—κύριον = Ambr. 3502; Ἄσωχιν sq. = Ambr. 3505

4183 hinc v. διφθέρα 4184 ex 3213 4191 Z 325 4192 Z 316 4193 hinc v. Διδυμαχίας; cf. v. Θαρελλείδης

A(GITFVM) 4184 ex I (post 4182), M 14 ἀντί—15 ἀσμενέστατα om. M ἀποδεδεγμένος TV ἀποδεδέγμεθα F cp. AGI ἀποδεδεγμένοι Gsf. 15 ἀσμενέστατα] ἀσμεναίτατα coll. Phryn. 18, 10 coni. Gsf. cf. Ambr. 3405 4190 ex I (post 4193), M (post 4188) 18 τό] ὁ A 20 ποταμός] πόλις ITF ποταμὸς πόλις G 28 θηλυκόν AM θηλυκῶς GITF cp. V 30 αἰτιατικῇ mg. V sed cf. Ambr.

4196 Ἀσπάζεσθαι· αἰτιατικῇ. καὶ τὸ προσαγορεύειν, ὡς ἡμεῖς, καὶ Σ
τὸ χαίρειν τινὶ ἁπλῶς, καὶ ἀγαπᾶν καὶ φιλοφρονεῖσθαι. καὶ ἀσπαζόμεσθα σὺν τῷ σ· ἀσπαζόμεσθ' ἐρετμὰ καὶ σκαλμίδια, φησὶν ὁ Κωμικός. καὶ πάντα τὰ ὅμοια διττῶς λέγουσιν.

4197 Ἀσπάζου· Ἀριστοφάνης· ἄνοιξον· ἀσπάζου με. διά τοί σε πόνους ἔχω. Ar.

4198 Ἀσπάλακος τυφλότερος. Ζήτει ἐν τῷ τυφλότερος.

4199 Ἀσπαλία: ἁλιέως ἐργασία. καὶ Ἀσπαλιεύς, ὁ ἁλιεύς· ἀπὸ Σ
τοῦ σπᾶν τὴν ἄγραν. καὶ Ἀσπαλιεύεσθαι παρὰ ῥήτορσι, τὸ Rhet.
ἁλιεῦσαι παρ' ἡμῖν. καὶ Ἀσπαλιεῖ, δοτικῇ. Δ

4200 Ἀσπάραγος· ζήτει ἐν τῷ ἀσφάραγος.

4201 Ἄσπαρ, πατὴρ Ἀρδαβουρίου. ὅτι Μαρκιανοῦ τοῦ βασιλέως χρηστοῦ μὲν Suid.
γεγονότος, θᾶττον δὲ ἐκβεβιωκότος, αὐτοκελεύστῳ γνώμῃ Ἄσπαρ Λέοντα διάδοχον αὐτοῦ γενέσθαι παρεσκεύασεν.

4202 Ἀσπασία· πολυθρύλητος γέγονεν αὕτη. ἦν δὲ γένος Μιλησία, Harp.
δεινὴ δὲ περὶ λόγους. Περικλέους δέ φασιν αὐτὴν διδάσκαλον ἅμα καὶ ἐρωμένην εἶναι. δοκεῖ δὲ δυοῖν πολέμων αἰτία γεγονέναι, τοῦ τε Σαμιακοῦ καὶ τοῦ Πελοποννησιακοῦ. δοκεῖ δὲ καὶ ἐξ αὐτῆς ἐσχηκέναι Περικλῆς τὸν ὁμώνυμον αὐτῷ Περικλέα τὸν νόθον. ὅτι Ἀσπασίαι Ar.
δύο ἑταῖραι. τῇ δὲ μιᾷ τούτων ἐκέχρητο ὁ Περικλῆς, δι' ἣν ὀργισθεὶς ἔγραψε τὸ κατὰ Μεγαρέων ψήφισμα, ἀπαγορεῦον δέχεσθαι αὐτοὺς εἰς τὰς Ἀθήνας. ὅθεν ἐκεῖνοι εἰργόμενοι τῶν Ἀθηναίων προσέφυγον τοῖς Λακεδαιμονίοις. ἡ δὲ Ἀσπασία σοφίστρια ἦν καὶ διδάσκαλος λόγων ῥητορικῶν. ὕστερον δὲ καὶ γαμετὴ αὐτοῦ γέγονεν.

4203 Ἀσπάσιος, Βύβλιος, σοφιστὴς, συγχρονῶν Ἀριστείδῃ καὶ Hesy.
Ἀδριανῷ. ἔγραψε Περὶ Βύβλου, Περὶ στάσεων ἐσχηματισμένων, Μελέτας, Τέχνας, Ὑπομνήματα, Λαλιὰς, Ἐγκώμιον εἰς Ἀδριανὸν τὸν βασιλέα καὶ εἰς ἄλλους τινάς.

4204 Ἀσπάσιος, Τύριος, σοφιστὴς, ἱστορικός. ἔγραψε περὶ Ἠπείρου Hesy.
καὶ τῶν ἐν αὐτῇ ἱστορίαν σύμμικτον ἐν βιβλίοις κ', Περὶ τέχνης ῥητορικῆς καὶ ἄλλα.

4205 Ἀσπάσιος, Δημητριανοῦ τοῦ κριτικοῦ μαθητὴς, Ῥαβενναῖος, Hesy.
σοφιστὴς, γεγονὼς ἐπὶ Ἀλεξάνδρου τοῦ Μαμαίας. Πρὸς τοὺς φιλο-

4196 — αἰτιατικῇ = Synt. Laur. vs. 1 καί pr.—ἐρετμά = Ba 153, 1 cf. Phryn. 22, 3; fr. com. adesp. (est Aristoph.) 607 4197 Ar. Eccl. 971—2 4199 — ἄγραν = Ba 152, 26 cf. H, Et. M. 156, 36, 39; — ἐργασία cf. Σ*; ἀσπαλιεύς —ἄγραν Tim. cf. Ambr. 3393—4 ἀσπαλιεύεσθαι—ἡμῖν cf. Bk. 217, 7 ἀσπαλιεῖ sq. = Ambr. 3394 4202 — νόθον Harp. = Ba 153, 5 Ἀσπασίαι sq. sch. Ar. Ach. 527 4205 cf. Philostr. vit. soph. 2, 33

4196 hinc v. σκαλμίδια 4201 ex 3803

2 ἀσπαζόμεσθα] ἀσπαζόμεθα AGF cp. V 4201 om. ITFV mg. A post A(GITFVM) 4202 G (ad 4202) περὶ γυναικὸς Σιβυλλιακῆς (Σιβυλλικῆς VM) τὸν τρόπον (τ. τ. om. M) add. post 4198 I mg. VM 17 ἐρωμένην] ἐργαζομένη V 19 αὐτῷ] αὐτοῦ VM 23 σοφίστρια] καὶ c. V 25 Βύβλιος ed pr. Βίβλιος omnes; item 26 cf. v. Φίλων 1 29 Ἠπείρου] Τύρου Müller FHG 3, 576 32 μαθητὴς Acp. FV μαθηματικοῦ rell.

λοιδόρους καὶ Πρὸς Ἀρίστωνα λόγους διαφόρους. ἠκροάσατο δὲ Παυσανίου καὶ Ἱπποδρόμου καὶ ἐσοφίστευσεν ἐν Ῥώμῃ, διαπρέψας μέχρι πολλοῦ.

ΔΣ 4206 Ἀσπασίως: ἡδέως. προσηνῶς, φιλοφρόνως.

4207 Ἀσπασμός: ἡ εὐχὴ παρὰ τῷ ἀποστόλῳ Παύλῳ· ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρί.

Σ 4208 Ἀσπαστοί: ἄσμενοι, θεοειδεῖς. παρὰ δὲ Καλλιμάχῳ Ἀσπα-
Call. στύς, ἀσπαστύος, τουτέστι προσηγορία φιλία.

Σ+Δ 4209 Ἀσπαίροντες: σκαρίζοντες, κινοῦντες.

4210 Ἄσπειστον ἔχθραν: ἄσπονδον μῖσος.

Δ 4211 Ἀσπιδηφόροι: οἱ πολεμισταί. καὶ Ἀσπιδιώτης, ὁ ἀσπίδα κινῶν. καὶ Ἀσπιδόν, ἐπίρρημα, δίκην συνασπισμοῦ. καὶ Ἀσπιδο-
Σ πηγεῖον, ἐν ᾧ ἡ ἀσπὶς πήγνυται. ὅπερ ἐστιν ὅπλον σκουτάριον.
Ar. καὶ ἡ τάξις. Ἀριστοφάνης· ἵστασθ' ἐφεξῆς πάντες ἐπὶ τρεῖς ἀσπί-
Soph. δας. καὶ Ἀσπιστῆρες, φυλακτῆρες. Σοφοκλῆς· ἀλλ' ἄνδρες ἀσπιστῆρες εἰνάλιος λεὼς, ὑμῖν τ' ἐκείνῳ τήνδ' ἐπισκήπτω χάριν.

Δ 4212 Ἄσπιλος, ὁ μὴ ἔχων σπίλον τινά. ἐν Ἐπιγράμμασι· μῆλον
Anth. ἐγὼ στρουθίον ἄσπιλον, ἀρρυτίδωτον. καὶ Ἀσπιλότατος.
Soph. 4213 Ἄσπλαγχνος: ἄτολμος, ταπεινὸς, δειλὸς, ψυχρός. Σοφοκλῆς· μή τοι φύσιν ἄσπλαγχνος ἐκείνου γεγονώς. φύσιν δὲ ἀσθενῆ καὶ ἀλλοίαν παρὰ τὴν τοῦ πατρός.

ΔΣ 4214 Ἀσπονδεί: ἄνευ φιλίας, ἢ χωρὶς θυσίας. καὶ Ἄσπονδοι
Ε ἐχθροί, ἀδιάλλακτοι. Θουκυδίδης· οἱ δὲ τοὺς νεκροὺς ἀσπόνδους
Suid. ἀπέδοσαν. ὅτι ἀστόργους τοὺς ἀπηνεῖς καὶ ἀφίλους φασίν, ἀσπόνδους δὲ τοὺς ἀδιαλλάκτους καὶ μνησικάκους, ἀνελεήμονας δὲ τοὺς ἀκαμπεῖς καὶ ἀνενδότους πρὸς ἔλεον.

Δ 4215 Ἀσπουδεί: χωρὶς σπουδῆς. Ἀσπουδῇ δὲ διὰ τοῦ η, χωρὶς κακοπαθείας. ὡς τὸ, μὴ μὰν ἀσπουδῇ γε.

4206 — ἡδέως cf. sch. H 118, H προσηνῶς sq. = Ba 152, 29, Σ^a, Et. M. 155, 56 4207 ὁ sq. 1. Cor. 16, 21 4208 — θεοειδεῖς = Ba 152, 28, Σ^a Καλλιμάχῳ fr. 427 S. (cf. Kapp p. 6, 12) 4209 — σκαρίζοντες = Ba 152, 25, Σ^a cf. H = sch. μ 254, Γ 293; κινοῦντες cf. Ambr. 3565 4210 cf. Et. M. 157, 3 4211 — πολεμισταί cf. Ambr. 3396; ἀσπιδιώτης—κινῶν = Ambr. 3389; ἀσπιδόν—συνασπισμοῦ = Ambr. 3588; ἀσπιδοπηγεῖον—πήγνυται = Ambr. 3557 ἀσπὶς + ὅπλον σκουτάριον = Σ^a, Ba 152, 30 cf. H τάξις—ἀσπίδας sch. Ar. Lys. 282; Ar. fr. 66 vs. 15 ἀλλ' sq. Soph. Ai. 565—6 4212 μῆλον—ἀρρυτίδωτον Anth. 6, 252, 1; 3 ἀσπιλότατος = Ambr. 3461 4213 Soph. Ai. 472 c. sch. 4214 Ἀσπονδεί aliter Ambr. 3591 ἄσπονδοι—ἀδιάλλακτοι = Ba 152, 31, Σ^a Θουκυδίδης—ἀπέδοσαν similia 2, 22, 2 4215 = Ambr. 3594, 3590, 3596 cf. H, Et. M. 157, 37, sch. O 476, Ap. S. 45, 20; μή sq. Θ 512

4207—8 Z 312 4209 Z 326 4210 Z 319 4211 Soph. cf. v. ἐπισκήπτω 4212 Anth. cf. 904, v. μῆλον, v. ποίη 4214 ὅτι sq. ex 4245; Z 328, 312 4215 Z 328

A(GITFVM) 18 καὶ ἀσπιλότατος ex AI, post l. M, om. rell. 20 ἄσπλαγχνος A^{ac} ἄσπλαγχνον rell. 21 παρά VM περί AF τε GI 24 ὅτι—26 ἔλεον om. GTFV post 4213 I 24 τούς om. A

4216 Ἀσταγὲς ὕδωρ: τὸ πολυσταγές. Call.
4217 Ἀσταθμεύτους· συγχωρεῖν τὸν βασιλέα Θασίους ἀφρουρήτους, E
ἀφορολογήτους, ἀνεπισταθμεύτους νόμοις χρῆσθαι τοῖς ἰδίοις.
4218 Ἀστάθμητον· τὸ ἄδηλόν τε καὶ ἀστάθμητον τῆς τύχης οὐχ E
ὑφορώμενοι. καὶ Ἀστάθμητος, ἄνισος, ἄστατος. καὶ δὴ καὶ Σ + Thuc.
τὴν ἄλλην ἀρετὴν ἀστάθμητος, ὡς εἰπεῖν, ὁ ἄνθρωπος οὗτος ἦν. οἱ
δὲ ἐπετόλμησαν τῇ θαλάττῃ διὰ τὴν ἀνάγκην, τὸ τέως ἀστάθμητον
στοιχεῖον ἡγούμενοι τῆς γῆς πιστότερον ἔσεσθαι σφίσιν ἐν τῇ βίᾳ τῇ
τότε. καὶ τὸ ποιητικὸν εἰπεῖν, ἔσσεται ἦμαρ ὅταν ποτ' ὀλώλῃ Ἴλιος E
ἱρή. καὶ τοῦτο εἰπεῖν τὸ τῶν ἀνθρώπων ἀστάθμητον εἶναι λογιζό-
μενος. καὶ Ἀσταθμητότατον, περὶ οὗ οὐδεὶς ἂν δύναιτο Harp.
τεκμήρασθαι οὐδὲ σταθμήσασθαι, τί ποτε διανοεῖται, ἢ τί πράξει.
Δημοσθένης ἐν τῷ Παραπρεσβείας.
4219 Ἀστακτί: πολυστακτί, πολυδακρύτως. τὸν νεκρὸν παρα- Soph.
πέμπων ἔκλαιεν ἀστακτί. καὶ αὖθις· ἀστακτὶ δὲ σὺν ταῖς παρθένοις E
στένοντες ὠμαρτοῦμεν. Soph.
4220 Ἀστάνδαι: οἱ ἐκ διαδοχῆς γραμματοφόροι. οἱ δὲ αὐτοὶ καὶ ἄγγαροι. τὰ Suid.
δὲ ὀνόματα Περσικά.
4221 Ἀστάρτη: ἡ παρ' Ἕλλησιν Ἀφροδίτη λεγομένη, ἐκ τοῦ ἄστρου E
τὴν ἐπωνυμίαν πεποιηκόσιν. αὐτῆς γὰρ εἶναι τὸν ἑωσφόρον μυθολο-
γοῦσιν.
4222 Ἀστάρτη, θεὸς Σιδωνίων, καὶ Χαμὼς, θεὸς Ἀμμανιτῶν, οἷς
ἐλάτρευσε Σολομών· ὃς ἠγάγετο γυναῖκας ἐξ ἐθνῶν, αἳ ἦσαν σὺν ταῖς
Ἰσραηλίτισιν ἑπτακόσιαι καὶ παλλακαὶ τριακόσιαι. ἐκ τούτων πασῶν
ἐγένετο αὐτῷ υἱὸς Ῥοβοὰμ, ἐξ ἀλλοφύλων, ἀνάξιος τῆς ἀρχῆς. οὐ
γὰρ ἡ πολυγαμία τὴν εὐτεκνίαν ποιεῖ.
4223 Ἀσταφίς· καὶ σταφυλὴ γραίη, χὠ μελίπνους λίβανος. καὶ Anth.
παροιμία· Ἀνδρὸς γέροντος ἀσταφὶς τὸ κρανίον. Prov.
4224 Ἄσταχυς καὶ ἀσταφὶς καὶ ὅλως τὸ πλεονάζειν τὸ α ἐν ἀρχῇ Σ
τῶν τοιούτων ὀνομάτων Ἀττικόν. ἐπί τ' ἠμύει ἀσταχύεσσιν.

4216 Call. fr. 119 K., an. 8 S. c. sch. cf. sch. Nicand. Ther. 307, sch. Ap. R. 3, 805 4217 Polyb. 15, 24, 3 4218 — ὑφορώμενοι fort. Polyb. ἀστάθμητος, ἄνισος = Ba 154, 13, Σ^a, H; ἄστατος cf. sch. Thuc. 4, 62, 4 καὶ δὴ —ἦν fort. Damasc. vs. 9 καί—λογιζόμενος Polybio attr. coll. App. Pun. 132 Kust., sed cf. Büttner-Wobst ad Polyb. 38, 20, 11; Δ 164 ἀσταθμητότατον sq. Harp. = An. Ox 2, 491, 3; Ba 155, 16; Dem. 19, 136 4219 — πολυδακρύτως sch. Soph. OC 1646 vs. 15 ἀστακτί sq. Soph. OC 1646—7 4221 Georg. Mon. 206, 8—10 4223 καί pr.—λίβανος Anth. 6, 231, 6 ἀνδρός sq. = Zen. I 96 4224 = Ba 153, 20, Phryn. fr. 265; ἐπί sq. B 148

4216 Z 323 4217 cf. 2298 et 4656. Z 312 4219 Z 328 4220 ex 165; Z 314 4222 hinc v. Χαμὼς cf. v. Σολομών 4223 Prov. cf. 2190

2 Θασίους] θυσίας GIT 12 σταθμήσασθαι AM σταθμίσασθαι GI σταθμί- A(GITFVM)
σας FV 13 παραπρεσβείας AFM περὶ πρεσβείας GIV 16 στένοντες $A^2I^{ac}M^{ac}$
στένοντας A^1 σθένοντες F στέρνοντες V κλαίοντες $GI^{ac}TM^{ac}$ 4220 om. AFV
29 ἀσταφὶς] ἤγουν κατεξηραμένον ss. V

Hom. 4225 Ἄστεα: πόλεις. καὶ ἄστεϊ ἡ δοτικὴ, καὶ ἄστεον, καὶ τὸ
Δ πληθυντικὸν τῶν ἄστεων. καὶ Ἄστεος στέφανος, τὸ τεῖχος.
Harp. 4226 Ἄστικτον χωρίον: τὸ μὴ ὑποκείμενον δανειστῇ. ὅταν γὰρ
ὑποκέηται, αὐτὸ τοῦτο ὁ δανείσας διὰ γραμμάτων δηλοῖ ἐπικειμένων
τῷ χωρίῳ. τὸ δὲ αὐτὸ καὶ ἐπὶ οἰκίας γίνεται.
Σ 4227 Ἄστεγος: ὁ μὴ ἔχων στέγην. λέγεται δὲ καὶ φλύαρος, καὶ
ἀνυπομόνητος.
Σ 4228 Ἀστεϊζόμενος: ἀγλαϊζόμενος, ὡραϊζόμενος, κομψευόμενος.
καὶ Ἀστεϊσμός, τὸ συμπολιτεύεσθαι.
Σ 4229 Ἀστεμφέα: ἀμετακίνητον, βέβαιον· ἢ ἀντὶ τοῦ ἀστεμφῆ.
Anth. ἀστεμφῆ ποδάγρην καὶ δόνακας ἀντυκτῆρας. καὶ αὖθις· οἱ δὲ
ἀστεμφεῖς οὗτοι καὶ ὑπερόπται ῥητορικῆς καὶ ποιήσεως οὔ μοι δοκοῦ-
σιν ἑκόντες εἶναι συνέσεσθαι θεῷ καὶ ἀνθρώποις. πενίᾳ δὲ φύσεως
μηδὲ τὰ σμικρὰ ἱκανοί.
Ar. 4230 Ἀστενακτί: ἄνευ στεναγμοῦ. Ἀριστοφάνης· σὺ δ' ἀστενακτὶ
περδόμενος οἴκοι μενεῖς.
Suid. 4231 Ἀστερίη: μία τῶν Ἀλκυονίδων. καὶ ζήτει ἐν τῷ Ἀλκυονίδες.
Δ 4232 Ἀστέρειος: κτητικόν. καὶ Ἀστερόεντα, ἤτοι ἀστέρας
Σ ἐμπεποικιλμένους ἔχοντα. καὶ Ἀστέρων τέθριππος, τὸ ἅρμα τοῦ
Hom. ἡλίου. καὶ Ἀστεροπητής, ὁ ἀστραπτικός.
Δ 4233 Ἀστεροπαῖος: ὄνομα κύριον.
|Δ 4234 Ἀστεῖα λέγεις. καὶ Ἀστεῖον, τὸ πολιτικόν. ἀστεῖόν
Σ τι καὶ κατερρινημένον εἰπεῖν. κωμικὴ ἡ συμπλοκή. σημαίνει δὲ τὸ
κατερρινημένον τὸ ἄκρως διειργασμένον. ἐν συνουσίᾳ χρῶ.
Σ 4235 Ἀστεῖος: εὐσύνετος, εὐπρόσωπος, χαρίεις, καλὸς, γελοιώδης.
Δ+Ε καὶ Ἀστειοτέρῳ, ἀντὶ τοῦ συνετωτέρῳ. ὁ δὲ καιρὸν εὑρὼν τῷ
Ar. ἀστειοτέρῳ δράματι πλανῆσαι τὸν ἡπατηκότα. περὶ Εὐριπίδου φησὶν
Σ Ἀριστοφάνης. καὶ Ἀστείους, ἀστεϊζομένους, πολιτευομένους.

4225 — πόλεις sch. α 3 ἄστεον—ἄστεων = Ambr. 3546 4226 Harp. = Ba 155, 19 4227 = Ba 153, 29, Σ[a] cf. H 4228 — κομψευόμενος = Ba 155, 10, Σ[a] cf. H 4229 — vs. 10 ἀστεμφῆ = Ba 155, 4, Σ[a] cf. Et. M. 158, 36, H; ἀμετακίνητον = sch. B 344, H vs. 11 ἀστεμφῆ—ἀντυκτῆρας Anth. 6, 296, 1 οἱ sq. Synes. Dio. PG 66, 1125c d 4230 σύ sq. Ar. Eccl. 464 4232 — κτητικόν cf. Ambr. 3463 ἀστερόεντα—ἡλίου = Ba 155, 6, 7, Σ[a] cf. H; — ἔχοντα = sch. Π 134 ἀστεροπητής sq. sch. A 580 = Et. M. 158, 46 cf. H, Ambr. 3417, 3480 4233 = Ambr. 3416 (= 3424) 4234 ἀστεῖον, τὸ πολιτικόν = Ambr. 3555 cf. 3382 ἀστεῖον alt. sq. = Ba 153, 26, Phryn. fr. 266 cf. p. 12, 1; ἀστεῖον—εἰπεῖν Ar. Ran. 901 4235 — γελοιώδης = Σ[a], Ba 154, 1 cf. sch. Pl. Rep. 349 b, H ἀστειοτέρῳ cf. Ambr. 3458; ὁ—ἡπατηκότα fort. Aelian. περί—Ἀριστοφάνης sch. Ar. Ran. 902 (pertin. ad 4234) ἀστείους—p. 391, 1 σκώπτειν = Ba 154, 7; ὡραΐζεσθαι cf. H

4230 Z 328 4231 ex 1298 4234 cf. v. κατερρινημένον et v. λῆμα

A(GITFVM) 1 ἡ om. VM 3 Ἄστικτον Ba, Et. M. 159, 18, Hes. Ἄστ in lac. AFM Harp. epit. Ἄστυ V, om. in lac. GI 11 ἀντυκτῆρας AFV ἀντεκτῆρας GITM 14 σμικρά] μικρά FV 15 σύ] οὐ ITM 4231 om. AFV 17 Ἀστερίη G Ἀστερία ITM καί—Ἀλκυονίδες ex M 18 κτητικόν TFV κτητικός AIM cp. G 27 δράματι] δράγματι M δόγματι F

εὐφημότερον ἀστεΐζεσθαι, τὸ ὡραΐζεσθαι, γελωτοποιεῖν, ἄτινα σκώπτειν. καὶ Ἀστείως, πρεπόντως, φρονίμως.

4236 Ἄστηνοι: οἱ δυστυχεῖς, οἱ πένητες, οἱ στάσιν καὶ οἴκησιν μὴ Δ ἔχοντες.

4237 Ἀστήρ, ἀστέρος. ζήτει ἐν τῷ ὁρατόν.

4238 Ἀστήρ· ὅτι τοῦ ἀστέρος τῆς Αἰγὸς λάμψαντος σφοδροὶ πνέουσιν ἄνεμοι. ἔνθεν καὶ Ὅμηρος· λάβρος ἐπαιγίζων.

4239 Ἀστὴρ ἄστρου διαφέρει: ὅτι ὁ μὲν ἀστὴρ ἕν τί ἐστι, τὸ δὲ ἄστρον ἐκ πολλῶν συνέστηκεν. ὃ καὶ ἀστροθέτημα καλεῖται. Hom.

4240 Ἀστιβὲς ἄλσος: ἀδιόδευτον, ἀκαταμάχητον, ἀπροσπέλαστον. Δ + Soph. Αἴας φησί· μολών τε χῶρον ἔνθ' ἂν ἀστιβῆ κίχω, κρύψω τόδ' ἔγχος τοὐμὸν ἔχθιστον βελῶν, γαίας ὀρύξας ἔνθα μή τις ὄψεται· ἀλλ' αὐτὸ νὺξ ἄδης τε σῳζόντων κάτω. εὑρήσω, φησί, τόπον, οὗ οὐδεὶς ἐπιβήσεταί. ὁ Αἴας φησὶν, ἵνα μή τις αὐτῷ ἀκολουθήσῃ. καὶ Ἀστιβῆ, ἄβατον ποσί. καὶ Ἀστιβής, ὁ ἄβατος ἢ ἀσφαλής. καὶ Εὐστι- ΣΔ βής, ὁ καλὴν βάσιν ἔχων. εὐστιβὲς αἰθυίαις ἰχθυβόλοισι λέπας. ἐν Anth. Ἐπιγράμμασι. καὶ Ἀστείβητος, ἀδιόδευτος τρίβος. Δ

4241 Ἀστικῶς: εὐσυνέτως, ἐμφρόνως. ὁ δὲ πάντων ἀστικῶς τὴν Ε πρόθεσιν κατανοήσας διχῇ διεῖλε τοὺς προσχωρήσαντας. λέγεται δὲ Δ Ἀστικὸς καὶ ὁ πολιτικός. καὶ τοὺς ἀστικοὺς ὁ ἄγροικος, ὁ Θεολόγος φησί.

4242 Ἄστιπτος: ἄβατος, ἀδιόδευτος. Σοφοκλῆς· ἀκτὴ μὲν ἥδε τῆς Soph. περιῤῥύτου χθονὸς Λήμνου, βροτοῖς ἄστιπτος, οὐδ' οἰκουμένη.

4243 Ἀστισμός: πιθανολογία. ἀποστῆναι ῥητορικῆς καὶ ποιητικῆς Σ καὶ ἀστισμῶν.

4244 Ἄστομοι ἵπποι: σκληρόστομοι. ἄστομοι πῶλοι βίᾳ φέρουσιν. Soph.

4245 Ἀστόργους: τοὺς ἀπηνεῖς καὶ ἀφίλους, ἀσπόνδους δὲ τοὺς ἀδιαλλάκτους καὶ μνησικάκους, ἀνελεήμονας δὲ τοὺς ἀκαμπεῖς καὶ ἀνενδότους πρὸς ἔλεον.

4236 cf. Et. M. 159, 11, Ambr. 3400, Et. Gen. ap. Miller, Mél. 50 (= Call. fr. 120 K., 476 S.), H 4238 cf. Artem. 2, 12; B 148 4239 sch. Δ 75 4240 — ἄλσος Soph. OC 126; ἀδιόδευτον cf. Ambr. 3487; ἀκαταμάχητον, ἀπροσπέλαστον sch. Soph. OC 127; Αἴας—ἀκολουθήσῃ Soph. Ai. 657—660 c. sch.; ἄβατον cf. sch. Soph. OC 126, H ἀστιβής—ἀσφαλής cf. Ba 155, 9, Σ^{A} εὐστιβές—λέπας Anth. 6, 23, 2 Ἀστείβητος sq. = Ambr. 3487 4241 ἀστικός —πολιτικός cf. H τούς sq. Greg. Naz. 4242 Soph. Phil. 1—2 c. sch.; ἀδιόδευτος = Ambr. 3489 4243 — πιθανολογία = Ba 155, 12, Σ^{A} ἀποστῆναι sq. fort. Damasc. 4244 Soph. El. 724—5 c. sch. 4245 sch. in Rom. 1, 31

4235 γελωτοποιεῖν sq. cf. 4122 4236 Z 313 4238 hinc v. αἴγες 4240 Anth. cf. v. B 365 et v. λέπας 4241 Z 328 4243—4 Z 313 4245 hinc 2246 et 4214, Z 313

4237 ex Amg.M 4238 om. TF 4238—9 post 4240 A, post 4238 I, post 4230 V; ordo propter antistoechiam turbatus A(GITFVM) 7 λάβρος A λάβρως rell.; ἐκ τοῦ λίαν βαρύς ss. V 16 αἰθυίαις] αἰθύαις A, v. B 365 ἰχθυβόλοισι] ἰχθυοβόλοισι FV 17 ἀστείβητος] ἀστίβητος F 18 ἐμφρόνως] εὐφρόνως GIT 22 Ἄστιπτος AF sch., Ἄστειπτος rell. 23 ἄστιπτος AFV ἄστειπτος rell. 24 Ἀστισμός] ἀστεισμός add. mg. VM, post vs. 23 περιῤῥύτου add. F, καὶ ἀ. add. I ante 4243 cf. Zon. ποιητικῆς] πολιτικῆς pr.

Σ 4246 Ἀστός: πολίτης.

Synt. 4247 Ἀστοχῶ· γενικῆ.

Σ 4248 Ἀστράβη: ὄνος. ἡ ἡμίονος, ὡς Δημοσθένης κατὰ Μειδίου.
Harp. τάχα δὲ καὶ πᾶν ὑποζύγιον, ἐφ' οὗ οἱ ἄνθρωποι ὀχοῦνται, οὕτως
Σ ἐκαλεῖτο. ἢ Ἀστράβη, τὸ ἐπὶ τῶν ἐφίππων ξύλον, ὃ κρατοῦσιν
Δ οἱ καθεζόμενοι. καὶ Ἀστραβηλάτης, ὁ ἡνίοχος. ἢ καὶ αὐτὸ
Σ τὸ νωτοφόρον ὑποζύγιον. οἱ δὲ τὸν σωματηγὸν ἡμίονον ἀστράβην
Metaphr. λέγουσιν. ὁ δὲ τῆς ἡμιόνου ἀποτυχούσης τόν τε φόρτον καὶ τὴν ἀστράβην διάρας ἐπὶ τῶν ὤμων, εἰς τὴν μονὴν τοῦ θείου Σάββα ἔρχεται.

On. 4249 Ἄστρα βλέπειν κάλλιστον ἀνθρώποις πέλει.

Σ 4250 Ἀστράγαλος: κυρίως τὸ σύνηθες λεγόμενον· καὶ ὁ σπόνδυλος τοῦ τραχήλου, καὶ ὁ πεττικός· καὶ βοτάνη δὲ οὕτως καλεῖται. Ἀστράγαλος· καὶ ὃν ἐθεάσατο Βαλτάσαρ ὁ υἱὸς Ναβουχοδονόσορ ἐν τῷ δείπνῳ ἀνακείμενος κατέναντι τοῦ τοίχου, ὡς ἀστράγαλον χειρὸς ἀνθρώπου, γράφοντα τῇ Ἑβραΐδι γλώττῃ, ἃ μηδεὶς ἠδύνατο γνῶναι. μεταστειλάμενος δὲ τὸν Δανιὴλ παρεκάλει ἑρμηνεῦσαι αὐτῷ ταῦτα. ὁ δὲ εἶπεν αὐτῷ· τὸν ἀστράγαλον, ὃν εἶδες, χείρ ἐστι θεοῦ ζῶντος· καὶ ἔγραψεν, ὅτι ἐμέτρησε καὶ ἐπλήρωσε τὴν βασιλείαν σου. ἀκούσας οὖν ὁ Βαλτάσαρ ἐθλίβη, καὶ μετ' ὀλίγον ὑπὸ Δαρείου τοῦ Μήδου ἀνη-
Δ ρέθη. καὶ Ἀστραγαλίζω.

4251 Ἀστράμψυχος, ὃς βιβλίον ἰατρικὸν εἰς ὄνων θεραπείαν πεποίηκε, καὶ Ὀνειροκριτικόν.

Phil. 4252 Ἀστραπή: ἔξαψις νεφῶν παρατριβομένων ἢ ῥηγνυμένων ὑπὸ
Prov. πνεύματος. καὶ παροιμία· Ἀστραπὴ ἐκ πυελίου· ἐπὶ τῆς οὐθενείας. παρόσον οὐδὲν δύνανται αἱ ἐκ τῶν κρηνῶν καὶ πυέλων μαρμαρυγαί.

Synt. 4253 Ἀστράπτω· δοτικῆ.

Ar. 4254 Ἀστρατεία: ἡ εἰρήνη· ἐπεὶ ἐν εἰρήνῃ οὐ στρατεύονται.

Call. 4255 Ἄστρια: οἱ ἀστράγαλοι. δέκα δ' ἄστρια αἴνυτο λάτρον· παρὰ Καλλιμάχῳ.

Δ 4256 Ἀστρόβακος: ὁ ἀστρονόμος.

4246 = Ba 155, 13, Σ^{a}, H cf. sch. v 192 4247 = Synt. Laur. 4248 — ὄνος = Σ^{a} ἡ ἡμίονος – ἐκαλεῖτο Harp. = Ba 154, 16 cf. An. Ox. 2, 491, 6, Hellad. ap. Phot. bibl. 533 a 31; Dem. 21, 133 vs. 5 Ἀστράβη—καθεζόμενοι = Ba 154, 14, H, Et. M. 159, 51 καὶ αὐτό—λέγουσιν = Et. M. 159, 54, Et. Gen.; — ὑποζύγιον = Ba 154, 15; οἱ δέ—λέγουσιν = H 4249 Astramps. 4250 — καλεῖται = Ba 154, 18, Σ^{a} cf. Et. M. 159, 47; σπόνδυλος cf. H, sch. Ξ 465 ἀστραγαλίζω = Ambr. 3585 4252 — πνεύματος Laert. 7, 153 vs. 24 ἀστραπή sq. cf. Diogen. III 7, Philol. Suppl. 6, 260, n. 246 4253 = Synt. Laur. 4254 sch. Ar. Pac. 526 4255 Call. fr. 121 K., 238 S. c. sch. cf. Et. M. 159, 28, H v. ἄστριες, Poll. 9, 99 4256 = Ambr. 3379

4250 Z 313 4254 Z 320 4255 Z 324 4256 Z 313

A(GITFVM) 8 ὁ—9 ἔρχεται om. ATFV 12. 13 ἀστράγαλος καί] καὶ ἀ. pr. 17 αὐτῷ] αὐτό A

4257 Ἀστρονομία: ἡ τῶν ἄστρων διανομή. πρῶτοι Βαβυλώνιοι Δ
ταύτην ἐφεῦρον διὰ Ζωροάστρου· μεθ' ὧν καὶ Ὀστάνης· οἳ ἐπέστησαν
τῇ οὐρανίᾳ κινήσει τὰ περὶ τοὺς τικτομένους συμβαίνειν· ἀφ' ὧν
Αἰγύπτιοι καὶ Ἕλληνες ἐδέξαντο καὶ τοὺς γεννωμένους ἀναφέρουσιν
εἰς τὴν τῶν ἀστέρων κίνησιν. καὶ Ἄστροις τεκμαίρεσθαι, Prov.
ἐπὶ τῶν μακρὰν καὶ ἔρημον ὁδὸν πορευομένων καὶ ἄστροις σημειου-
μένων τὰς θέσεις τῶν πατρίδων. καὶ Ἀστρῷος, ὁ ἐκ τῶν Δ
ἄστρων. ὅτι μαγεία καὶ ἀστρολογία ἀπὸ Μαγουσαίων ἤρξατο. οἱ γάρ τοι Suid.
Πέρσαι Μαγῶγ ὑπὸ τῶν ἐγχωρίων ὀνομάζονται. καὶ Μαγουσαῖοι, οἱ αὐτοί.
4258 Ἄστυ, ἄστεος. οὐκέτι δὲ ἀνάλογον ἥμισυ ἡμίσεος, ἀλλὰ καὶ Δ
ἡμίσεως. Σ
4259 Ἀστυάγης, γραμματικός. Τέχνην γραμματικὴν, Περὶ διαλέκ- Hesy.
των, Περὶ μέτρων, Κανόνας ὀνοματικοὺς, καὶ εἰς Καλλίμαχον τὸν
ποιητὴν ὑπόμνημα.
4260 Ἀστυάναξ: ὄνομα κύριον. καὶ Ἀστυανάκτειος. Δ
4261 Ἀστυάνασσα, Ἑλένης τῆς Μενελάου θεράπαινα· ἥτις πρώτη Hesy.?
τὰς ἐν τῇ συνουσίᾳ κατακλίσεις εὗρε καὶ ἔγραψε περὶ σχημάτων
συνουσιαστικῶν· ἣν ὕστερον παρεζήλωσαν Φιλαινὶς καὶ Ἐλεφαντίνη, αἱ
τὰ τοιαῦτα ἐξορχησάμεναι ἀσελγήματα.
4262 Ἀστυβοώτης: ὁ κήρυξ ἐπιθετικῶς, ἀπὸ τοῦ ἐν ἄστει βοᾶν. Hom.
καλήτορα δὲ τὸν αὐτὸν ἀπὸ τοῦ καλεῖν φασιν.
4263 Ἀστυγείτων: πλησιόχωρος. Σ
4264 Ἀστυδάμας, ὁ πρεσβύτης, υἱὸς Μορσίμου τοῦ Φιλοκλέους, Hesy.
τραγικῶν ἀμφοτέρων, Ἀθηναῖος, τραγικός. ἔγραψε τραγῳδίας σμ',
ἐνίκησε ιε'. ἀκροασάμενος δὲ ἦν Ἰσοκράτους καὶ ἐτράπη ἐπὶ τραγῳδίαν.
4265 Ἀστυδάμας, ὁ νέος, υἱὸς τοῦ προτέρου, τραγικὸς καὶ αὐτός. Hesy.
δράματα αὐτοῦ Ἡρακλῆς Σατυρικὸς, Ἐπίγονοι, Αἴας μαινόμενος,
Βελλεροφόντης, Τυρὼ, Ἀλκμήνη, Φοῖνιξ, Παλαμήδης.
4266 Ἀστυδρομία: παρὰ Λίβυσιν οἱονεὶ τῆς πόλεως γενέθλια, καὶ
Θεοδαίσια ἑορτὴ, ἐν ᾗ ἐτίμων Διόνυσον καὶ τὰς Νύμφας· ἐμοὶ δοκεῖν,
νηφάλιόν τε καὶ τὴν ἀγαθὴν κρᾶσιν αἰνιττόμενοι.
4267 Ἀστύνιον. Δ
4268 Ἀστύνοος: ὄνομα κύριον. Δ

4257 — διανομή cf. Ambr. 3522 vs. 5 ἄστροις—πορευομένων = Macar. II 50 cf. Eust. O. 1535, 59, H ἀστρῷος—ἄστρων = Ambr. 3403 4258 — ἄστεος = Ambr. 3547 4260 Ἀστυανάκτειος cf. Ambr. 3554 4261 — σχημάτων cf. H 4262 — βοᾶν sch. Ω 701 = Ap. S. 45, 31, Et. M. 160, 12; κήρυξ cf. Ambr. 3422; καλήτορα sq. = Ap. S. 94, 27 cf. sch. Ω 577 4263 = Ba 155, 3 cf. H, sch. Luc. 4, 1 4264 ἔγραψε sq. ad 4265 rett. Capps, Amer. Journ. Phil. 21, 44 4267 = Ambr. 3559 4268 = Ambr. 3419

4257 Z 320; cf. v. Ὀστᾶναι; ὅτι μαγεία sq. ex v. Γ 364 cf. v. Μαγουσαῖοι 4258 cf. v. ἥμισυ 4262 Z 314 4263 Z 313

5 τεκμαίρεσθαι] σημαίνεσθαι A, ss. M cf. Hes. 8 ὅτι—9 αὐτοί om. AFV A(GITFVM)
10 καί om. A 17 εὗρε] ὡς ἀπόλοιτο σὺν ἐκείνῃ καὶ ἡ ἐφεύρεσις αὐτῆς add. F, mg. M 23 πρεσβύτης] πρεσβύτερος Bhd. in add. 24 σμ'] μβ' G
33 Ἀστύνοος] Ἀστύνηος V

Harp. 4269 Ἀστυνόμος· δέκα ἦσαν ἀστυνόμοι, πέντε μὲν ἐν Πειραιεῖ, πέντε δὲ ἐν ἄστει, οἷς ἔμελλε περί τε τῶν αὐλητρίδων καὶ ψαλτριῶν καὶ κοπρολόγων καὶ τῶν τοιούτων.

Δ 4270 Ἀστυόχεια: ὄνομα πόλεως.

Δ 4271 Ἀστυπαλαιεύς: ὄνομα κύριον.

Call. 4272 Ἄστυρον: πόλιν. ὅς τ' ὤκιστος ἐς ἄστυρον ἀγγελιώτης. Καλλίμαχος.

Δ 4273 Ἀστυφέλικτον: ἀτίνακτον.

4274 Ἄσυλον ἱερόν: τὸ τίμιον καὶ τηροῦν τοὺς ἱκέτας. καὶ Δ Ἀσυλία, τὸ πρᾶγμα. τοῦ δὲ ἀγῶνος ὄντος δημοσίου καὶ μεγάλου EL διὰ τὴν τῶν πρεσβευτῶν ἀσυλίαν καὶ τὴν συνήθη παρὰ τῶν Ῥωμαίων ὑπὲρ τῶν πρεσβειῶν μισοπονηρίαν. συλῶ δὲ τὸ συ μακρόν.

4275 Ἀσύγχυτον· ἡ γὰρ φύσις τοῦ ἀσυγχύτου οὔτε σιδήρου ὑφίσταται κατάλυσιν οὔτε μὴν πάλιν τὴν διὰ πυρὸς λύσιν.

Σ 4276 Ἀσύμβατον: ἀφιλίωτον.

Σ 4277 Ἀσυμφανῶς: ἐπικεκαλυμμένως, ἀδήλως.

E 4278 Ἀσυμφυῆ: ἀνοίκεια, ἀνόμοια. ἦ πετρῶδες τὸ ἔδαφος τοῦ ῥείθρου ἦν, ὑπό τε ἀνωμαλίας καὶ τοῦ ἀσυμφυῆ τὰ ὑποκείμενα ἔσεσθαι τοῖς ὑποτιθεμένοις.

Σ? 4279 Ἀσυνάρτητον: ἀσυνάρμοστον.

Σ 4280 Ἀσυνδύαστος: ἀσύμπλοκος, ἀσύζευκτος.

4281 Ἀσυνέτους: τοὺς ἀσυνειδήτους· ὧν οὐδὲν ἀφρονέστερον παρὰ Δ τῷ Ἀποστόλῳ νοητέον. καὶ Ἀσυνετῶ, τὸ μωραίνω.

Δ 4282 Ἀσυνήθης, ἀσυνήθους κλίνεται.

Σ 4283 Ἀσυνθεσία: παράβασις συνθηκῶν.

Σ 4284 Ἀσύνθετος: ἀσύμφωνος, ἄμικτος. Ἀσυνθέτους δὲ τοὺς ταῖς συνθήκαις μὴ ἐμμένοντας, ἃς ἂν πρός τινας συνθῶνται.

Harp. 4285 Ἀσυνθετώτατον: Δημοσθένης ἐν τῷ Παραπρεσβείας ἐπὶ ὄχλου τάττει τὸ ὄνομα, ἀντὶ τοῦ ἀπιστότατον καὶ ἀβεβαιότατον καὶ πίστεις διὰ τὸ ἀβέβαιον οὐ τιθέμενον. ἢ ἀνομόλογον καὶ ἀσύμφωνον· ὁμολογίαι γὰρ αἱ συνθῆκαι. ἢ ἀντὶ τοῦ ἀσυνετώτατον. Ὅμηρος δὲ ἀντὶ τοῦ ὃ μὴ δύναταί τις συνιέναι, τί ποτε φρονεῖ. φησὶ γάρ· σὺ δὲ σύνθεο καί μευ ἄκουσον.

4269 Harp. = Ba 155, 23 4270 cf. Ambr. 3515 4271 = Ambr. 3434 4272 Call. fr. 58, 6 K. (288 S.) c. sch.; πόλιν cf. H 4273 = Ambr. 3541 4274 ἀσυλία = Ambr. 3524 τοῦ—μισοπονηρίαν Diod. 36, 15 = EL 408, 20—22 4276 = Ba 156, 13, Σ[a], H 4277 = Σ[a] cf. H 4279 l. = Ba 156, 14 cf. Σ[a] 4280 cf. Ba 156, 15, Σ[a]; — ἀσύμπλοκος = H 4281 Ἀποστόλῳ Rom. 1, 31 ἀσυνετῶ sq. = Ambr 3575 4282 = Ambr. 3404 4283 = Ba 156, 16, Σ[a] cf. H 4284 — ἄμικτος = Ba 156, 17, Σ[a]; ἀσυνθέτους—ἐμμένοντας = H 4285 Harp. = Ba 156, 21 cf. An. Ox. 2, 491, 7; Dem. 19, 136; Z 334

4273 Z 323 4274 συλῶ sq. cf. v. 4277 Z 328 4279 Z 324 4280 Z 315 cf. 329 4281 Z 317, 327 4283 Z 321

A(GITFVM) 6 ὤκιστος] ὤκιστο I 4275 om. TFV post 4282 A post 4284 GI 31 ἀσυνετώτατον AF Harp. Ba ἀσυνθετώτατον GIT συνετώτατον VM

4286 Ἀσύντακτον: μὴ συντεταγμένον, μὴ συμφραξάμενον. Σ
4287 Ἀσυντελής: ἀσύμφορος, ἀχρήσιμος. Σ
4288 Ἀσσυρίηθεν: ἀπὸ τῆς Ἀσσυρίας. Δ
4289 Ἀσσύριοι: ἀρχὴ παλαιὰ καὶ ἐς τοὺς μυθικοὺς ἀναγομένη χρόνους ὀλίγου τινὸς ἐκράτησε τῆς Ἀσίας μέρους. εἶτα ἡ Μηδικὴ καθελοῦσα τὴν Ἀσσυρίων χρόνον οὐ πολὺν κατέσχεν, ἀλλὰ κατελύθη ἐπὶ τῆς δ' γενεᾶς. Πέρσαι δὲ Μήδους καταγωνισάμενοι χρόνου πολλῷ πλέον σ' ἔμειναν ἐπὶ τῆς ἀρχῆς. ἡ δὲ Μακεδόνων δυναστεία τὴν Περσῶν καθελοῦσα, μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν ἐπὶ τὸ χεῖρον ἤρξατο φέρεσθαι καὶ ἐπὶ τῶν διαδόχων αὐτὴ καθ' ἑαυτὴν ἐξησθένησεν ὑπὸ Ῥωμαίων καταλυθεῖσα. τὰς γὰρ Ἑλληνικὰς δυνάμεις οὐκ ἄξιον αὐταῖς ἀντιπαρεξετάζειν. Ἀθηναῖοι γὰρ μόνης ἦρξαν τῆς παραλίου δυεῖν δέοντα ⟨ο'⟩ ἔτη· Λακεδαιμόνιοι δὲ Πελοποννήσου καὶ τῆς ἄλλης Ἑλλάδος κρατοῦντες ὅλα λ' ἔτη ἐπαύθησαν ὑπὸ Θηβαίων. ἡ Ῥωμαίων δὲ πόλις ἁπάσης γῆς, ὅση μὴ ἀνέμβατός ἐστι, ε' καὶ μ' πρὸς τοῖς ψ' ἔτεσιν εἰς ὑπάτους Κλαύδιον Νέρωνα τὸ δεύτερον καὶ Πίσωνα Καλπουρῖνον, οὐδὲν ἀντίπαλον ἔχουσα. E?
4290 Ἀσσύριοι: οὗτοι ἐκλήθησαν ἀπό τινος γίγαντος ὀνόματι Σύρου, ἐξ οὗπερ ἔλαβε τὴν ἐπωνυμίαν ἡ χώρα. ἀπὸ δὲ Ἀσσυρίων καὶ Σύροι προσηγορεύθησαν. ἢ ἀπὸ Ἀσσοὺρ, τοῦ υἱοῦ Σὴμ, τοῦ υἱοῦ Νῶε· ὅστις Ἀσσοὺρ ἔκτισε πρῶτος πόλιν μεγάλην τὴν μετονομασθεῖσαν Νινευί. οἱ δὲ Ἀσσυρίους φασὶ τοὺς Πέρσας. Ἀσσύριοι· τὸ ἔθνος. E
ἀτρεμούντων πάντων οὐδὲν ἐμποδὼν ἦν αὐξηθῆναι αὐτοὺς ἐπὶ πλεῖστον. μετὰ δὲ ταῦτα πολλοὶ καὶ συνεχεῖς πόλεμοι γενόμενοι ἐπαναστάσεις τε ἑτέρων ἐφ' ἑτέρους μυρίαι καὶ πόλεμοι πρὸς ἀλλήλους συνερράγησαν. ταῦτα ἐπὶ Καίσαρος.
4291 Ἀσύστατον: οὐ συνεστῶτα οὐδὲ πυκνόν, ἀλλ' ἀραιὸν ἐν τῇ ποιήσει καὶ κομπώδη. ἢ ἀδιάθετον, ἀπιθάνως συντιθέντα. Ar.
4292 Ἀσύφηλον: ἀπαίδευτον, ἀνόητον. Σ
4293 Ἀσφαδάστῳ: ἀσκαρίστῳ, σπασμὸν μὴ ἔχοντι. ἀντὶ τοῦ συντόμως. ὅπως καιρίας πληγῆς γενομένης μὴ προσγενέσθαι σπασμὸν μηδὲ πολλὴν ἐν τῷ θανάτῳ διατριβήν. σφαδάζειν λέγεται τὸ σπᾶσθαι καὶ σφακελίζειν. Σοφοκλῆς· πομπαῖον Ἑρμῆν χθόνιον, εὖ με κοιμίσαι ξὺν ἀσφαδάστῳ καὶ ταχεῖ πηδήματι, πλευρὰν διαρρήξαντα τῷδε φασγάνῳ. παραδεδομένον δὲ καθ' ἱστορίαν, ὅτι κατὰ τὸ ἄλλο σῶμα Soph.

4286 = Ba 156, 18, Σ[a] cf. H 4287 = Ba 156, 19, Σ[a] cf. H 4288 = Ambr. 3593 4289 Dionys. Hal. 1, 2—3 cf. Byz. Zt. 23, 89 4291 sch. Ar. Nu. 1367 4292 = Ba 156, 20, Σ[a] cf. Et. M. 160, 37, H 4293 Soph. Ai. 832—4 c. sch.

4287 Z 315 4288 Z 321 4291 cf. 2840; Z 315 4293 Z 329

4286 om. FV 7 χρόνου] χρόνον οὐ Dionys. 13 δυεῖν AM Dionys. A(GITFVM) δυοῖν rell.; τόσα antepos. A, mg. M ⟨ο'⟩ Dionys. om. omnes 20 Ἀσσούρ AM Ἀσούρ GITV 21 Ἀσσούρ M[ac] Ἀσούρ GITV Ἀσσάρ AM[ac] πόλιν om. A 22 Ἀσσύριοι nov. gl. GIV 23 ἐμποδὼν] ἐμποδῷ A

ἄτρωτος ἦν ὁ Αἴας, κατὰ δὲ τὴν μασχάλην μόνην τρωτὸς διὰ τὸ τῇ Ἡρακλέους λεοντῇ σκεπάσαντα τοῦτο τὸ μέρος ἀσκέπαστον ἐᾶσαι, διὰ τὸ περικεῖσθαι ἐκεῖσε τὸν γυρυτόν.

Δ 4294 Ἀσφάλιος: Ποσειδῶν. Ἀσφάλιος ῥιζοῦχα θεμείλια νέρθε φυλάσσων. τελευταῖος οὗτος τοῦ ε′ τῶν Ἁλιευτικῶν Ὀππιανοῦ.

Δ 4295 Ἀσφάλισαι: φύλαξαι σαυτόν. Ἀσφαλίζω γὰρ τὸ φυλάττω.

4296 Ἀσφαλτῖτις λίμνη: ἔνθα ἡ ἄσφαλτος γίνεται. ἄσφαλτος δὲ ξηρίον ἐστὶ πίττῃ ὅμοιον. χρῶνται δὲ ταύτῃ καὶ οἱ ἰατροί. καὶ

Δ Ἀσφάλτωσις, ἡ πίσσωσις. Ζήτει ἐν τῷ Ἀδιαβηνῇ.

Σ 4297 Ἀσφάραγον: φάρυγγα, στόμαχον, λαιμόν. λέγεται καὶ τὸ ἀκανθῶν ἀποφυόμενον βλάστημα. ἔστι δέ τι καὶ βοτάνης εἶδος ἀσπάραγος, πρὸς τὰς καθάρσεις ἐπιτήδειον. οὕτω μὲν οἱ Ἀττικοὶ διὰ τοῦ φ τὴν λέξιν προφέρουσιν, οἱ δὲ πολλοὶ μὴ ἀκριβοῦντες διὰ τοῦ π λέγουσι. καὶ ἁπλῶς τὰ τῶν λαχάνων ὁρώμενα πρῶτα ἀσπαράγους καλοῦσιν.

4298 Ἀσφόδελος: τὸ φυτόν, Ἀσφοδελὸς δὲ ὁ λειμών.

Σ 4299 Ἀσφόδελος: σκιλλῶδες φυτόν, φύλλα ἔχον μακρὰ καὶ ἀνθέρικον ἐσθιόμενον· καὶ τὸ σπέρμα δὲ αὐτοῦ φρυγόμενον καὶ ἡ ῥίζα κοπτομένη μετὰ σύκων πλείστην ὄνησιν ἔχει. Περσεφόνης καὶ χθονίων ἱερόν. καὶ Ῥόδιοι τὴν Κόρην καὶ τὴν Ἄρτεμιν ἀσφοδέλῳ στέφουσι. προπαροξυτόνως δὲ ἀναγνωστέον. οὐδ' ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ μέγ' ὄνειαρ. τὸν δὲ τόπον, ἐν ᾧ φύεται, ὀξυτονητέον· ὡς καὶ παρ' Ὁμήρῳ· κατ' ἀσφοδελὸν λειμῶνα.

Δ 4300 Ἀσχαλίδασμα.

Σ 4301 Ἀσχάλλων: ἀδημονῶν, λυπούμενος, χαλεπαίνων. ὁ δὲ Ε ἤσχαλλεν ὡς παρευδοκιμούμενος ἐκ νέου, τριχῶν μόνων καὶ τῆς Ε ἄλλης φροντίζοντος σωμασκίας. καὶ αὖθις· ὁ δὲ ἀσχάλλων τῇ ἀτιμίᾳ καὶ ἀπαυδήσας ἐπὶ τοῖς ἀνηνύτοις, ᾗ ποδῶν εἶχεν ἀνέθορε.

Δ καὶ Ἀσχαλόωντα, ἀδημονοῦντα.

ΔΣ 4302 Ἄσχετον: ἀκράτητον. καὶ Ἀσχέτως, ἀμέτρως.

4294 — Ποσειδῶν = Ambr. 3484, Studem. An. 267, 278, 283 Opp. 5, 680 4295 cf. Ambr. 3572 et 3582; l. cf. H 4296 l. = Ambr. 3534 ἀσφάλτωσις, ἡ πίσσωσις = Ambr. 3491 4297 = Ba 157, 1, Et M 160, 50, 58 cf. Phryn. 41, 8; — φάρυγγα = Σ[a] cf. sch. X 328, H 4298 cf. Philop. diff., H 4299 = Ba 157, 8, Σ[a]; Hesiod. O. 41; λ 538 4300 = Ambr. 3543 4301 — χαλεπαίνων = Ba 157, 19, Σ[a], Et. M. 161, 26 vs. 25 ὁ—σωμασκίας Malch. fr. 8, FHG 4, 117 vs. 27 ὁ ἀνέθορε Aelian. fr. 69 ἀσχαλόωντα sq. = Ambr. 3568 cf. H 4302 — ἀκράτητον cf. Et. M. 161, 25 ἀσχέτως sq. = Ba 157, 21, Σ[a] cf. H

4295 Z 327 4296 Z 321 4297 hinc 4200 4298 Z 316 4301 Z 327; Malch. cf. 3970; Aelian. cf. v. Μέλητος 3 4302 Z 324

A(GITFVM) 4 Ἀσφάλιος pr.] Ἀσφάλειος G, Ambr. Studem. Ἀσφάλιος alt.—5 Ὀππιανοῦ om. GTV ante gl. IM 8 ξηρίον] κηρίον T 13 προφέρουσιν] προσφέρουσιν IVM 14 ὁρώμενα] ὄρμενα Ba Et. M. Phryn. 4298 om. ATFV, post 4299 GI

4303 Ἄσχολος: ὁ μὴ εὐκαιρῶν. σχολὴ γὰρ ἡ ἐν τῇ λεγομένῃ συνηθείᾳ εὐκαιρία. μηδὲ χωρὶς ἀνάγκης λέγειν πρός τινα ἢ ἐν ἐπιστολῇ γράφειν, ὅτι ἄσχολός εἰμι, μηδὲ διὰ τοιούτου τρόπου συνεχῶς παραιτεῖσθαι τὰ κατὰ τὰς πρὸς τοὺς συμβιοῦντας σχέσεις καθήκοντα, προβαλλόμενον τὰ περιεστῶτα πράγματα. καὶ Ἀσχολοῦμαι· αἰτιατικῇ. καὶ ἀσχολεῖται, καὶ ἀσχολεῖσθαι. πάντα ταῦτα Μένανδρος λέγει. Φιλήμων δὲ καὶ ἀσχολεῖ. Σ

4304 Ατττα: δ' σημαίνει. ἀντὶ μὲν τοῦ ὅσα ἢ ἄτινα παρὰ Ἀντιφῶντι, ἀντὶ δὲ τοῦ τινὰ ἢ ποῖά τινα παρὰ Δημοσθένει ἐν Φιλιππικοῖς. ἐνιαχοῦ δὲ παρέλκει τὸ αττα. ἐν δὲ τῷ Παραπρεσβείας Δημοσθένης ἐπὶ τοῦ ὅσα ἔλαβε τὴν λέξιν· τῶν δὲ κωμικῶν τις τὸ αττα ἐπὶ ἀριθμοῦ ἔταξεν, ἕτερος δὲ ἐπὶ χρόνου. Ἀττα, τινὰ ἢ ἄτινα, ἢ παραπλήσια ὀλίγα. Ἀντιφῶν τῷ ἄττα κέχρηται ἀντὶ τοῦ ἄτινα ἐν τῇ Ἀπολογίᾳ τοῦ Μύρρου. οὐ γὰρ ἐγὼ ἐπεπόνθειν ταῦτα, ἄττα νῦν πέπονθα ὑπὸ τούτου. καὶ αὖθις· οἱ γὰρ ἄνθρωποι, ἄττα ἂν ὁρῶσι τῇ ὄψει, πιστότερα ἡγοῦνται ἢ οἷς εἰς ἀφανὲς ἥκει ὁ ἔλεγχος τῆς ἀληθείας. Δαμάσκιος· ὁ δὲ Ἰσίδωρος ἐμελέτα ἄττα τῶν ποιητικῶν, οὐχ ὅσον δυνάμεως, ἀλλ' ὅσον ὀρέξεως εἶχεν. εἶχε δὲ ἐπ' ἐλάχιστον τῆς πρὸς αὐτὰ συμπαθείας, ἅτε οὐχ ἁπτόμενα τῆς ψυχῆς, ἀλλὰ μέχρι φαντασίας καὶ γλώττης ἱστάμενα. τὸ ἅτε ἐπὶ ἐπιρρήματος ψιλοῦται. Harp. Bhet.

4305 Ἄττα: προσφώνησις νεωτέρου πρὸς πρεσβύτερον. ἄττα γέρον, δοιός με καλεῖ γάμος· ἡ μία μὲν δὴ νύμφη καὶ πλούτῳ καὶ γένει κατ' ἐμέ, ἡ δ' ἑτέρη προβέβηκε. τί λώϊον; εἴ δ' ἄγε σύμ μοι βούλευσον, ποτέρην εἰς ὑμέναιον ἄγω. Hom. Anth.

4306 Ἀτταγᾶς νουμηνίᾳ: παροιμία ἐπί . . . Prov.

4307 Ἀτταγᾶς: εἶδος ὀρνέου, ὃ τὰ λιμνιώδη καὶ λεῖα χωρία καταβόσκεται. διὸ καὶ Μαραθῶνά φησιν αὐτὸν ἔχειν Ἀριστοφάνης. ἐκεῖ γὰρ πολὺ τὸ ὄρνεον. καὶ ὁ ἀτταγᾶς ἴτω, ὁ ἔχων τὸν λειμῶνα τοῦ Μαραθῶνος. ἔστι δὲ ὁ ἀτταγᾶς κατάστικτος ποικίλοις πτεροῖς. λέ- Ar.

4303 — εὐκαίρων cf. sch. Pind. P. 8, 40 μηδέ—πράγματα Marc. 1, 12 ἀσχολοῦμαι sq. = Ba 157, 22; Men. com. fr. 999; Philem. fr. 220 (2, 535 K.) 4304 cf. Eust. I. 148, 40 δ'—vs. 10 αττα Harp. = Ba 161, 17 cf. sch. Ar. Av. 1514; Antiph. fr. 28; Dem. 4, 50 ἐν—χρόνου = Ba 161, 14 (= Phryn. fr. 274) cf. sch. Pl. Soph. 220a, Et. M. 167, 45, Bk. 197, 9; Dem. 19, 304; vs. 12 αττα—ὀλίγα = Σ^{a}, sch. Luc. 240, 7 cf. Ba 161, 9, H, sch. Pl., Et. M. 167, 40 vs. 14 οὐ—τούτου Antiph. fr. 35; vs. 15 οἱ—ἀληθείας Antiph. fr. 36 (?) cf. Poll. 2, 57 = Antiph. fr. 178 (falso Dam. fr. 15) vs. 17 ὁ—ἱστάμενα Dam. fr. 61 cf. Phot. bibl. 339a 38—b 2 4305 — πρεσβύτερον sch. I 603 = Ap. S. 46, 33, Philop. diff. cf. H, Et. M. 167, 32 vs. 21 ἄττα alt. sq. Anth. 7, 89, 3—6 4306 cf. Diogen. V. I 96 4307 — Μαραθῶνος sch. Ar. Av. 249, 245; τὸν πῆλον—βαδίζων Ar. Vsp. 257 (cf. sch.)

4303 cf. v. σχολή; Z 316 4304 Σ cf. 4122; Dam. cf. v. δύναμις 2 4307 Z 330

14 ἐγὼ ἐπεπόνθειν] πω ἐπεπόνθη Cobet 16 ἀφανές] ἀσφαλές M 20 τό—ψιλοῦται om. ATF mg. GVM ἐπί om. I 4305 non nov. gl. AF 4306 om. GIT 25 παροιμία mg. V ἐπί om. A; post gl. lac. in AFVM 26 λιμνιώδη καὶ λεῖα] λιμνώδη καὶ ἕλεια sch. A(GITFVM)

γεται δὲ ἐπὶ δούλων κατεστιγμένων, ἐπειδὴ καὶ τὸ ὄρνεον κατάστικτον. τὸν πηλὸν ὥσπερ ἀτταγᾶς τυρβάσεις βαδίζων. τοῦτον τὸν ἀτταγᾶν ἡ συνήθεια ταγηνάριον καλεῖ.

E 4308 Ἀτάκτημα: ἀταξία. τοῦ μηδὲν ἀτάκτημα γενέσθαι περὶ τὴν
Δ ἀρχήν. καὶ Ἄτακτος. ἐν τῇ τῶν πλειόνων συνηθείᾳ οἱ περί- 5
Rhet. εργοι καὶ παρὰ τὸ προσῆκόν τι ποιοῦντες, ἄτακτοι προσαγορεύονται. οἱ ῥήτορες δὲ, καὶ τῆς ἐν πολέμῳ συμβολῆς γενομένης, μὴ παρὰ τάξιν τὴν συμβολὴν ποιήσαντες, ἀλλ' ὡς ἔτυχεν, εἰκῇ καὶ φύρδην.

EV 4309 Ἀταλάντη, Ἀκάστου γυνὴ, ἥτις Πηλέως ἐρασθεῖσα λόγους ὑπὲρ μίξεως εἰσφέρει, ἀναινομένου δὲ δείσαςα, μή μιν κατείποι πρὸς 10 τὸν ἄνδρα, ὑποφθάσαςα αὐτὸν προσδιαβάλλει τὸν ἄνδρα, ὡς εὐνηθῆναί οἱ ἐθέλοντα. ὁ δὲ λόχον ὑφείσας ἐπεβούλευσε Πηλεῖ. καὶ ὃς αἰσθόμενος ἐς πόλεμον κατέστη πρὸς αὐτὸν, ἐπικαλεσάμενος βοηθοὺς τούς τε Τυνδαρίδας καὶ Ἰάσονα, ἐχθρὸν ὄντα ἐκείνῳ, φίλος αὐτὸς ὢν διὰ τὸ σύμπλους ἐν τῇ Ἀργοῖ γεγονέναι· καὶ τήν τε Ἰωλκὸν αἱρεῖ καὶ 15 τὴν Ἀκάστου γυναῖκα σφάττει.

Σ 4310 Ἀτάλαντον: ἴσον, παραπλήσιον.

Suid. 4311 Ἀταλάριχος, υἱὸς μὲν Ἀμαλασούνθης, βασιλεὺς δὲ τῶν Γότθων.

Δ 4312 Ἀταλὰ φρονέων: νήπια, ἁπαλά.

Σ 4313 Ἀταλαίπωρον: ἄπονον. ἢ τὸ ἐξ ἑτοίμου λεγόμενον καὶ οὐ 20
E μετὰ ἀποδείξεως. ἢ τὸ εὐχερὲς καὶ φανερόν. Αἰλιανός· εἴ τι τοῦ προτέρου λόγου ὑγιὲς ἦν. ἀλλ' ἐκεῖνός τε ἀβασανίστῳ γραφῇ, ἀταλαιπώρῳ τῆς ἀληθείας ἀκοῇ διεσπαρμένος ἐς τὸ πλῆθος ἁλᾶται ἄλλως.

Σ ὁ δέ μοι ἀληθὴς ἔστω. καὶ Ἀταλαιπώρως, ῥᾳθύμως, ὀλιγώρως. Ἀριστοφάνης Δαναΐσιν· οὕτως αὐτοῖς ἀταλαιπώρως ἡ ποίησις διέκειτο. 25

ΣΔ 4314 Ἀταλῇσιν: ἁπαλαῖς, νεογναῖς. καὶ Ἀταλόψυχος. ἐν
Anth. Ἐπιγράμμασι· ἠϊθέοις οὐκ ἔστι τόσος πόνος, ὁππόσος ἡμῖν ταῖς ἀταλοψύχοις ἔχραε θηλυτέραις.

Suid. 4315 Ἀττάλεια, Ἰταλία δέ.

EV 4316 Ἄτταλος, βασιλεὺς, ἀδελφὸς Εὐμενοῦς· ᾧ ἄλλο οὐδὲν ἐφό- 30 διον ὑπῆρξε πρὸς βασιλείαν τῶν ἐκτὸς, πλοῦτος δὲ μόνον, ὃς μετὰ νοῦ μὲν καὶ τόλμης χειριζόμενος ἀληθῶς μεγάλην παρέχεται χρείαν

4308 vs. 5 ἐν sq. cf. Bk. 216, 12 4309 Nic. Dam. fr. 55, FGrHist 90 = EV 1, 340, 23—341, 5 4310 = Ba 158, 3, Σ[a] cf. H, sch. B 169, Apion 4312 cf. sch. Σ 567, H, Ap. S. 46, 2, Et. M. 161, 46 4313 — φανερόν = Ba 157, 31, Σ[a] εἴ—ἔστω Aelian. fr. 136 ἀταλαιπώρως sq. = Ba 157, 33, Et. M. 162, 39; Ar. fr. 254 4314 — νεογναῖς = Ba 158, 4, Σ[a] cf. sch. Υ 222, Ap. S. 46, 2, H v. ἀταλοῖς ἠϊθέοις sq. Anth. 5, 296, 1—2 4315 Ἀττάλεια = Ambr. 3663 4316 — p. 399, 14 βασιλείαν Polyb. 18, 41, 2—10 = EV 2, 161, 28—162, 22; vs. 15 Ἄτταλος—vs. 16. 17 βασιλείαν Polyb. 32, 12 = EV 2, 198, 13—15

4308 Z 335 4309 hinc 809 et v. ὑφέντες 4311 ex 1475 4314 Z 334; Anth. cf. v. ἠΐθεος 4315 ex v. Ἰταλία

A(GITFVMB) 5 ἄτακτος] ἄτακτοι GIT 7 sq. loc. corr. 9 Ἀταλάντη falsum 10 δείσαςα] δήςαςαν A 11 προσδιαβάλλει] προδιαβάλλει Kust. 4311 om. TFV post 4312 IM 24 ἔστω A[op] (ss. ὅτι) M[op] (mg. τόδε), ὧν B, ἐντόδε G, τόδε I, om. FV 4315 om. GTFV mg. A 29 Ἀττάλεια] Ἀτάλεια A

πρὸς πᾶσαν ἐπιβολήν, ἄνευ δὲ τῶν προειρημένων τοῖς πλείστοις κακῶν παραίτιος πέφυκε γίνεσθαι καὶ συλλήβδην ἀπωλείας. καὶ γὰρ φθόνους γεννᾷ καὶ ἐπιβουλὰς καὶ πρὸς διαφθορὰν σώματος καὶ ψυχῆς μεγάλας ἔχει ῥοπάς. ὀλίγαι δέ τινές εἰσι ψυχαί, αἱ ταῦτα δυνάμεναι διωθεῖσθαι τῇ τοῦ πλούτου δυνάμει. ὁ δὲ πρὸς οὐδὲν ἄλλο ἐπεβάλετο χρήσασθαι τοῖς χορηγίοις ἀλλ' ἢ πρὸς βασιλικὴν ἀνάκτησιν, οὗ μεῖζον οὐδὲ κάλλιον οὐδὲν οἷόν τέ ἐστιν εἰπεῖν· ὃς τὴν ἀρχὴν ἐνεστήσατο τῆς προειρημένης ἐπιβολῆς οὐ μόνον διὰ τῆς εἰς τοὺς φίλους εὐεργεσίας καὶ χάριτος, ἀλλὰ καὶ διὰ τῶν κατὰ πόλεμον ἔργων. βασιλεύσας γὰρ καὶ βιώσας ἔτη β' πρὸς τοῖς ο', τούτων δὲ βασιλεύσας μ' καὶ δ', σωφρονέστατα μὲν ἐβίωσε καὶ σεμνότατα πρὸς γυναῖκα καὶ τέκνα, διεφύλαξε δὲ τὴν πρὸς πάντας συμμάχους καὶ φίλους πίστιν, ἐναπέθανε δὲ ἐν αὐτοῖς τοῖς καλλίστοις ἔργοις. καὶ οὕτως ἠρμόσατο τὴν ἀρχήν, ὡς παισὶ παίδων ἀστασίαστον παραδοθῆναι τὴν βασιλείαν. οὗτος ὁ Ἄτταλος παραλαβὼν τὴν ἐξουσίαν πρῶτον ἐξήνεγκε δεῖγμα τῆς αὐτοῦ προαιρέσεως καὶ πράξεως τὴν Ἀριαράθου καταγωγὴν ἐπὶ τὴν βασιλείαν. ὅτι Ἄτταλος, ὁ Ἀπολλωνίας ἀνὴρ, βασιλεὺς Ἀσίας, E?
μεταλλάττει τὸν βίον, πληρωθείσης ἐπ' αὐτῷ τῆς Πυθίας, ἥτις χρηστηριαζομένῃ Ἀττάλῳ τῷ μεγάλῳ ἔφη· θάρσει, Ταυρόκερως, ἕξεις βασιληΐδα τιμήν, καὶ παίδων παῖδες, τούτων γε μὲν οὐκέτι παῖδες.

4317 Ἀτάλλων: τρέφων. Σοφοκλῆς· κούφοις πνεύμασι βόσκου, Δ + Soph
νέαν ψυχὴν ἀτάλλων. Αἴας φησὶ πρὸς τὸ ἴδιον τέκνον. σημαίνει Δ
δὲ καὶ τὸ σκιρτῶν.

4318 Ἀταμίευτον: ἀδιοίκητον. καὶ ἀφύλακτον. ἢ οὖπερ οὐκ ΣΔ
ἔστι ταμιεῖον. λέγεται δὲ οὕτως καὶ τὸ πρόχειρον καὶ ἐν ἑτοίμῳ. Σ

4319 Ἀτάρ: καὶ δή· ἢ πλήν, ἄτε δή· ἢ ὅμως· ἢ ἀντὶ τοῦ δέ. Σ

4320 Ἀτάρβητος: ἄφοβος, ἄτρομος. καὶ Ἀταρβήτως, ἀντὶ Σ
τοῦ ἀνειμένως παρὰ Σοφοκλεῖ· ἐχθρῶν δ' ὕβρις ἀταρβήτως ὁρμᾷ. Soph.

4321 Ἀτὰρ δέ: πλὴν ὅμως. Σ

4322 Ἀταρνεύς: πολίχνιόν τι κατ' ἀντικρὺ Λέσβου κείμενον. Harp.
καὶ Ἀταρνείτης. Δ

4323 Ἀτὰρ οὖν: διὰ τοῦτο οὖν. Σ

4316 vs. 17 ὅτι sq. Io. Antioch. Ἑλλ. 1, 13, 7—9 4317 — τρέφων cf. H v. ἀτάλλει, Coman. ap. Ap. S. 47, 3; κούφοις—ἀτάλλων Soph. Ai. 558—9 σκιρτῶν cf. H, sch. N 27, Apollodor. ap. Ap. S. 46, 35 4318 — ἀδιοίκητον = Σ^a, Ba 158, 5 cf. H ἀφύλακτον cf. H ἢ sq. = Ba 158, 5 4319 = Σ^a, Ba 158, 7 cf. sch. Pl. Theaet. 142c, H 4320 — ἄτρομος = Ba 158, 9; — ἄφοβος = H, Ambr. 3607 cf. 3612, Et. M. 162, 3, sch. Γ 63 ἀταρβήτως sq. Soph. Ai. 197 c. sch. 4321 = Ba 158, 8, Σ^a, H 4322 — κείμενον Harp. = Ba 158, 12 Ἀταρνείτης cf. Ambr. 3627, 3645 4323 = Ba 158,11, Σ^a cf. H

4317 Z 337; Soph. cf. v. κούφη 4318 Z 335 4319 Z 338
4320 Z 330, 338 4322 Z 329

6 ἀνάκτησιν] ἀγανάκτησιν IM 10 βασιλεύσας GI Exc. βασιλεύων V, cp. AM A(GITFVM)
11 σεμνότατα Exc. σεμνότητα omnes 15 πρῶτον] π. μέν GI 20 παῖδες] παῖδας VM^{ac}

Σ 4324 Ἀτὰρ ὥς: εἶτα δή, ὅμως.

ΣΔ 4325 Ἀτάσθαλα: ἄδικα, ἁμαρτωλά. καὶ Ἀτασθαλία. ὁ δὲ
E Τραϊανὸς ἔγνω μὲν, εἰ παρείκοι, ἐξελεῖν τὸ ἔθνος· εἰ δὲ μή, ἀλλὰ
Hom. συντρίψας γε παῦσαι τῆς ἄγαν ἀτασθαλίας. καὶ Ἀτάσθαλον,
E ἄδικον, παράνομον. Εὐνάπιος· γυναικῶν δὲ ὕβρις καὶ τὸ ἀτάσθαλον
εἰς παῖδας εὖ γεγονότας συνεκυρώθη καὶ νόμος εἶναι.

Δ 4326 Ἀτασθαλία: ἡ φρενοβλάβεια. τῶν τις νεωστὶ καταλεγέν-
E των στρατιωτῶν ὑπὸ νεότητος καὶ ἀτασθαλίας ἐπιθυμεῖ τῶν ἄρτων.
E Αἰλιανός· ὁ δὲ Σερουήλιος πολλὰ καὶ ἀτάσθαλα ἐθρασύνετο κατὰ τοῦ
Παύλου.

Ar. 4327 Ἀταυρώτη: ἀντὶ τοῦ ἀγνὴ καὶ ἄμικτος· ταῦρος γὰρ τὸ
αἰδοῖον τοῦ ἀνδρός. καὶ διὰ τοῦτο ἀταυρώτη, ἡ ἁγνὴ ἢ ἄζευκτος
γάμου, καὶ ἀζυγής. καὶ βοῶπις ἡ Ἥρα καὶ ζυγία καὶ γαμηλία. ἐπειδὴ
οἱ ταῦροι κατωφερεῖς. οἴκαδ' ἀταυρώτη διάξω τὸν βίον.

Σ 4328 Ἄτε: ὡς ἄν.

Σ 4329 Ἄτεγκτος ἄνθρωπος παρηγορήμασιν: ὁ μὴ βρεχόμενος
μήτε προσιέμενος παραμυθίαν, ἀλλὰ σκληρὸς ὢν ὡς ἡ πέτρα ἢ ἄλλο
Soph. τι τῶν σκληρῶν, ὡς μηδὲ ὑπὸ ὕδατος βρέχεσθαι. Σοφοκλῆς· ἀλλ'
ὧδ' ἄτεγκτος καὶ ἀτελεύτητος φανείς. ἀντὶ τοῦ ἀσυμπαθὴς, ἀδάκρυ-
τος. τέγγειν γὰρ τὸ βρέχειν. ἀτελεύτητος δὲ δυσαξίωτος, δυσπαρά-
E κλητος, ἀμείλιχος. καὶ αὖθις· ὁ δὲ Μάρκος ἄτεγκτος ὢν καὶ
στερρὸς, οἷος ἅπασι τοῖς ἀνιαροῖς ἀντέχειν, ᾤχετο φερόμενος ὑπὸ τῶν
E παθῶν ἐπὶ τὸ ἀνθρώπινον. καὶ αὖθις· λίθους τῶν ποδῶν ἐξαρτή-
Σ σαντες ἔρριψαν εἰς τὸ πέλαγος ἀτέγκτως καὶ ἀφειδῶς. Ἀτέγκτοις,
E τοῖς μήτε δάκρυσι μήτε ἱδρῶσιν ἁβρόχοις. Αἰλιανός· οἰκτόν γε μὴν
καὶ δάκρυα ἐμβαλοῦσαι πάντας, ὡς καὶ τοὺς ἀτέγκτους τε καὶ ἀτερά-
Σ μονας τέξαι. καὶ Ἀτέγκτως, ἐσχάτως. καὶ τὰ μὲν πρῶτα
E ἱέρειαι ἐπειρῶντο αὐτὸν πραῦνειν καὶ ἀντέχειν τῆς ὁρμῆς. βιαίως δὲ
καὶ ἀτέγκτως διακειμένου, τῶν μὲν ἀπορρήτων καὶ ἃ μὴ ἰδεῖν λῷον

4324 = Ba 158, 10 4325 — ἁμαρτωλά = Ba 158, 13, Σ^a, H; — ἄδικα = sch. Λ 694 ἀτασθαλία cf. Ambr. 3670 ὁ—ἀτασθαλίας Arr. Parth. p. 31 R. cf. Philol. 74, 86 ἀτάσθαλον, ἄδικον = sch. N 634 cf. Et. M. 162, 29 γυναικῶν sq. Eunap. fr. 89, FHG 4, 53 4326 l. cf. Ambr. 3670; — φρενοβλάβεια cf. sch. α 7 ὁ sq. Aelian. fr. 113 4327 Ar. Lys. 217 c. sch. 4328 = Ba 158, 25, Σ^a 4329 — βρέχεσθαι = Ba 158, 21 cf. Phryn. 7, 7, An. Ox. 2, 81, 4; l. Aeschyl. fr. 348 Σοφοκλῆς—ἀμείλιχος Soph. OT 336 c. sch. vs. 21 ὁ δέ—ἀνθρώπινον Dionys. Hal. 8, 45, 1 vs. 23 λίθους—ἀφειδῶς Aelian. fr. 207 vs. 24 ἀτέγκτοις—ἁβρόχοις = Ba 158, 14, Σ^a cf. H v. ἄτεγκτος etc., Et. M. 163, 36 vs. 25 οἰκτον—τέξαι Aelian. fr. 49 vs. 27 ἀτέγκτως, ἐσχάτως = Ba 158, 26 cf. Σ^a vs. 27 καί—p. 401, 3 ταῦτα Aelian. fr. 44

4325 Arr. cf. v. παρείκοι 4327 Z 334 4329 Dam. cf. v. Ἐπίκτητος; Aelian. fr. 69 cf. v. Μέλητος 3

A(GITFVM) 3 μέν] μάλιστα v. παρείκοι, μάλιστα μέν Bhd. Roos ἐξελεῖν] ἐξελθεῖν GIT 4 παῦσαι] παύσας $V^{ac}M$ 4326 non nov. gl. A 14 κατωφερεῖς] καταφερεῖς A 20 δυσαξίωτος] δυσαξιώματος GIT 23 ἐπί] καί FV 26 ἐμβαλοῦσαι] ἐμβαλοῦσα GIT πάντας corruptum vid. Dr.

ἦν, τούτων οὐκ ἐκοινώνουν οἱ· τῶν δὲ πρώτων καὶ ἐξ ὧν οὔτε τοῖς θεασαμένοις οὔτε τοῖς δείξασιν ἔμελλέ τι ἀπαντήσεσθαι δεινόν, παρεῖχόν οἱ βλέπειν ταῦτα. καὶ αὖθις· ἱκανὰ πείθειν καὶ δυσωπεῖν τὰς ψυχὰς τῶν μὴ παντάπασιν ἀτέγκτους καὶ ἀτεράμονας ταύτας ἐχόν-
5 των. Αἰλιανός· ἦν δὲ ἄτεγκτος ὅδε ὁ παῖς καὶ ἀμείλικτος, καί οἱ E
ἐπέταττεν ἐπίπονα καὶ κινδύνων ἐχόμενα τῶν ἐσχάτων.

4330 Ἀτέγκτου· ἀλλ' ἦν τῆς ἀγροικοτέρας τε καὶ ἀτέγκτου μοίρας.

4331 Ἄτε δή: ὡς δή. Σ

4332 Ἀτέκμαρτον: ἀτελείωτον, ἀκατασκόπαστον. Ἀριστοφάνης Σ
10 Ὄρνισιν· ἄνθρωπος ἀστάθμητος πετόμενος ἀτέκμαρτος. οἷον σημεῖον Ar.
διὰ τῆς πτήσεως οὐκ ἐμφαίνων· περὶ τοῦ Τελέου φησί. Εὐνάπιος
δὲ λέγει· τῷ τε ἀξιώματι τῶν συνιόντων ἐθνῶν καὶ τοῖς μεγέθεσι τῶν EL
παρασκευῶν ἐπὶ μέγα προβήσεσθαι, πολυτρόπων συμφορῶν καὶ ἀτεκμάρτου τύχης προσδοκηθείσης. ἀκατανοήτου.

15 4333 Ἀτεκνία: ἡ λήθη. Δαβίδ· ἀνταπεδίδοσάν μοι πονηρὰ ἀντὶ Thdr.
ἀγαθῶν καὶ ἀτεκνίαν τῇ ψυχῇ μου. ὡς διὰ τῶν τέκνων φυλαττομένης τῆς μνήμης.

4334 Ἀτεκνῶ· αἰτιατικῇ. Synt.

4335 Ἀτέλεστος: ἀμύητος, βέβηλος, ἀνοργίαστος, τελετὰς μὴ πεποιη-
20 μένος. Αἰλιανός· μυστηρίων τελουμένων τοῖν Θεοῖν, ἀτέλεστος μὲν E
ἀνθρώποις, ἀνόσιος δὲ οὐκ ἐβουλήθη μυηθῆναι κατὰ τοὺς νόμους, ἀλλὰ δοῦναι πολυπραγμοσύνης δυστυχοῦς ἀρρωστήματι χάριν. καὶ ἐπί τινος ἀνελθὼν λίθου ἑώρα τὰ γινόμενα· ἐκ γάρ τοι τοῦ λίθου κατώλισθε καὶ βιαίᾳ τῇ πλήγῃ περιπεσὼν ἀπέθανεν.

25 4336 Ἀττέλεβος: ἀκρίς τις. Σ

4337 Ἀτελεύτητον: ἀτελείωτον. Σ

4338 Ἀτέλεια: ἀλειτουργησία. Σ

4339 Ἀτελῆ: ἀδάπανα· ὡς πολυτελῆ, τὰ πολυδάπανα. Σ

4340 Ἀτενές: εὐθύ, συνεχὲς, παντελῶς, καθόλου, παραχρῆμα, ἄγαν, Σ
30 ἰσχυρῶς· ἀφελῶς ἢ πάνυ προσεχῶς.

4341 Ἀτενίζω· αἰτιατικῇ. Ἐνατενίζω δὲ δοτικῇ. Synt.

4342 Ἄτερ: ἐκτὸς, χωρίς. καὶ Ἄτερα: θάτερα. ΣΔ

4329 vs. 3 ἱκανά—ἐχόντων Dam. fr. 58 vs. 5 ἦν sq. Aelian. fr. 69 4330 Philostr. 6, 3 cf. Phot. bibl. 333 b 28 4331 = Ba 158, 27, Σ^a 4332 — ἀκατασκόπαστον = Ba 158, 28, Σ^a cf. H ἄνθρωπος—ἐμφαίνων Ar. Av. 169—170 c. sch. vs. 12 τῷ—προσδοκηθείσης Eunap. fr. 37, FHG 4, 28 = EL 595, 4—7 4333 Thdr. in Ps. 34, 12, PG 80, 1112 c d 4334 = An. Ox. 4, 286, 26, Synt. Laur. 4335 μυστηρίων sq. Aelian. fr. 43 4336 = Ba 161, 7, Σ^a cf. H v. ἀττέλαβος 4337 = Σ^a, Ba 159, 1, sch. A 527 4338 = Ba 158, 30, Σ^a, H; l. = Ambr. 3659 4339 = Ba 158, 29; — ἀδάπανα = H 4340 — ἰσχυρῶς = Ba 159, 3; εὐθύ cf. Tim.; συνεχές cf. H; ἀφελῶς sq. = Σ^a 4341 = Synt. Laur. 4342 — χωρίς = Ba 159, 5, Σ^a cf. H, sch. E 473

4330 cf. v. κωμάσαι et v. Τιμασίων 4333 Z 334 4335 Z 330 4336 Z 330 4338 Z 334 4339 hinc v. πολυτελῆ 4340 Z 338 4342 cf. 4346

1 πρώτων] ὁρατῶν Bhd. 4330 non nov. gl. A 12 συνιόντων] συν- A(GITFVM)
όντων GIF 21 ἀνθρώποις] ἄνθρωπος FV; interiisse nonnulla put. Bhd.

Σ 4343 'Ατέραμνον: σκληρὸν, δυσμετάβλητον. 'Ατεράμονες, οὐχὶ ἀτέραμνοι. καὶ τὸ ἑνικὸν ἀτεράμων, οὐχὶ ἀτέραμνος. καὶ ὄσπρια ἀτεράμονα, οὐχὶ ἀτέραμνα. 'Αριστοφάνης 'Αχαρνεῦσιν· ἀτεράμονες, Μαραθωνομάχαι, σφενδάμνινοι. καὶ 'Ατεράμων, ἀκαταπόνητος.

ΔΕ σκληρός. Αἰλιανός· ὁ δὲ ἀτεράμων ὢν ἀπεώσατο ἄρα τὸ δῶρον. οὐδεὶς δὲ ἦν οὕτως ἀτεράμων καὶ βάρβαρος τὴν ψυχὴν, ὃς οὐκ ἐπείθετο καὶ κατεκηλεῖτο τοῖς ἀπὸ τοῦ ἱεροῦ στόματος ἐκείνου ῥέουσι λόγοις.

Ar. 4344 'Ατεράμων: λίαν σκληρὸς, μὴ τειρόμενος, ἀνένδοτος. κυρίως δὲ τὰ μὴ ἑψόμενα τῶν ὀσπρίων ἀτεράμονα λέγονται, οἷον οὐχ ἁπαλά.

Σ 4345 'Ατερμάτιστος: ἀβέβαιος, ἀθεμελίωτος.

Δ 4346 "Ατερος: ὁ ἕτερος. καὶ τούτων ἄτερος τῶν ἀνδρῶν. ὁ

EL δὲ 'Ιουλιανὸς τῶν πρέσβεων ἄτερος ἀπεῖπεν ἅπασι μὴ διδόναι χρήματα τοῖς πολεμίοις.

Synt. 4347 'Ατευκτῶ· γενικῇ. ἀποτυγχάνω.

Σ 4348 'Ατέχνοις: πανούργοις, ἢ ἀπείροις. καὶ 'Ατέχνως, βαρυ-

Harp.+Ar.+χ τόνως, ἀντὶ τοῦ ἄνευ τέχνης, ἀμαθῶς, ἀμελῶς. ἐπὶ δὲ τοῦ περισπωμένου ἀτεχνῶς, ἀντὶ τοῦ ἀληθῶς. τέχνη γὰρ ὁ δόλος. δεῖται τοῦ θεοῦ συμβουλὴν ἀτεχνῶς ἱερὰν παρασχεῖν αὐτῇ καὶ διδάξαι περὶ τῶν

Σ + Ar. πρακτέων. 'Ατεχνῶς περισπωμένως, ἀντὶ τοῦ ἀληθῶς, ἁπλῶς,

Harp. χωρὶς πανουργίας. σαφῶς· ἢ βεβαίως ἢ ἀσφαλῶς ἢ φανερῶς.

Ar. οἱονεὶ ἀτενῶς, περισσοῦ ὄντος τοῦ χ. ἢ ἀντὶ τοῦ τελείως, καὶ

Σ ἀντὶ τοῦ ἰσχυρῶς, καὶ ἀντὶ τοῦ καθάπαξ, καὶ ἀντὶ τοῦ παντελῶς. οὕτως Πλάτων. εὐδαιμονῶν ἀτεχνῶς τὴν 'Αριστοτέλους εὐδαι-

Ar. μονίαν. καὶ αὖθις· οὐκ ἂν διαλεχθείη τοῖς ἄλλοις ἀτεχνῶς, οὐδ' ἂν ἁπάντων. ἢ ἀτεχνῶς, ἀντὶ τοῦ ὅλως, καὶ συνόλως, οἷον ἀδόλως· τέχνας γὰρ ἔλεγον τοὺς δόλους. "Ομηρος· ἀμφὶ δὲ δεσμοὶ τεχνήεντες ἔχυντο.

4343 — δυσμετάβλητον = Ba 159, 13, Σ^{a} cf. H, Et. M. 163, 19, sch. ψ 167; ἀτεράμονες—σφενδάμνινοι = Ba 159, 8; Ar. Ach. 181; ἀτεράμων, ἀκαταπόνητος = Ba 159, 7, Σ^{a}, sch. Pl. Leg. 853 d, H σκληρός = H, Et. M. 163, 11 vs. 5 ὁ —δῶρον Aelian. fr. 69 οὐδεὶς sq. Dam. fr. 48 = Phot. bibl. 338 b 5—8 4344 sch. Ar. Ach. 180 cf. H, Et. M. 163, 16 4345 = Ba 159, 14, Σ^{a}, H 4346 — ἕτερος = H cf. Thom. 27, 14 ὁ δέ sq. Proc. bell. 2, 7, 16 = EL 97, 6—7 4348 — ἀπείροις = Ba 159, 15 vs. 16 ἀτέχνως—δόλος cf. sch. Ar. Pl. 109, Ba 159, 16, Harp., Orion. 175, 25 (Et. M. 162, 54, Et. Gud.), Ammon., Philop. diff., lex. αἰμ. 619, 53; ἀμαθῶς, ἀμελῶς cf. sch. Ar. Nu. 408 δεῖται—πρακτέων Dam. fr. 75 vs. 20 ἀτεχνῶς—πανουργίας (praeter ἁπλῶς) Tim. cf. Ba 159, 16; ἁπλῶς = sch. Ar. Pl. 109, Et. M. 163, 1 σαφῶς—φανερῶς Harp. cf. Ba 159, 16, sch. Ar. Pl. 362 οἱονεί—χ sch. Ar. Pl. 109 τελείως—παντελῶς cf. sch. Pl. Euthyphr. 3 a, Schanz Platocod. p. 16 ad 179 b; καθάπαξ cf. H vs. 25 οὐκ—ἁπάντων Ar. Nu. 425; vs. 26 ἀτεχνῶς sq. sch. Ar. Ran. 106 cf. sch. Nu. 425, Et. M. 162, 55, lex. αἰμ. 619, 53; θ 296—7

4343 Z 330; Ar. hinc v. Μαραθών; Aelian. cf. v. Μέλητος 3; Dam. cf. v. "Ολυμπος 1 4344 Z 336 4345 Z 330 4346 cf. 4342 4348 Z 330, 338; hinc v. τέχνη

A(GITFVM) 1 ἀτεράμονες nov. gl. ITFV 4344 non nov. gl. VM 11 'Ατερμάτιστος] 'Ατερμάτιος IF 4347 om. FV

4349 Ἄττει: ὁρμᾷ, βαδίζει, ἐγγίζει. τὸ δὲ ἄττω, ἀπὸ τοῦ ἀΐσσω, Σ
ἀΐττω, ἄττω. Eol.
4350 Ἄτη: ἡ βλάβη. Ὅμηρος· αὐτίκα δ' εἶλ' Ἄτην κεφαλῆς λιπα- Hom.
ροπλοκάμοιο. ἀπὸ τῆς ἑαυτοῦ κεφαλῆς εἶλε τὴν Ἄτην· ἢ κατ' ἀνδρῶν
κράατα βαίνει. Ἄτη δὲ ὁ διάβολος, ὁ ἀντικείμενος. Σοφοκλῆς· Soph.
ἀλλ' οὖν εὐνοίᾳ γ' αὐδῶ, μήτηρ ὡς ἥτις πικτὴ, μὴ τίκτειν ἄτην ἄταις.
καὶ αὖθις Σοφοκλῆς· ἐγὼ μὲν οὐδέν' οἶδ', ἐποικτείρω δέ νιν δύστηνον
ἔμπης, καίπερ ὄντα δυσμενῆ, ὀθούνεκ' ἄτῃ συγκατέζευκται κακῇ.
4351 Ἀττήλας: ὁ τῶν Σκυθῶν ἡγεμών.
4352 Ἀτημελία: ἡ καταφρόνησις, ἡ ἀμέλεια. Ἀγαθίας· τὰ γὰρ Δ
μακρὰ τείχη πολλαχοῦ ὑπὸ χρόνου καὶ ἀτημελίας ἐπεπτώκει, καὶ E
διελέλυτο ἡ τοῦ μεγίστου ἕρματος οἰκοδομία. καὶ Ἀτημελήτους, Σ
ἀπρονοήτους, λίαν ἠμεληκότας.
4353 Ἀτηρότατον· Σφηξί. Πλάτων δ' ἐν Φάωνι ἀτηρίας. καὶ Σ
Ἀτηρόν. Ἀριστοφάνης· οὐ γὰρ ὁ γέρων ἀτηρὸν ἦν κακόν. καὶ Ar.
αὖθις· οἱ δὲ ἐγέλων γέλων ἀτηρόν. βλαβερόν. E + Δ
4354 Ἄττις παρὰ Φρυξὶ μάλιστα τιμᾶται, ὡς πρόσπολος τῆς Μητρὸς Harp.
τῶν θεῶν.
4355 Ἄττιν, οὐχὶ Ἄττια. Δημοσθένης· κατάρχεις τοῖς Σάβοις· Σ
Ἄττις Ὑις, Ἄττις. Θεόπομπος Καπηλίσι· κολάσομαί γ' ἔτω καὶ τὸν
σὸν Ἄττιν.
4356 Ἀτίθασσον: ἀνήμερον. Δ
4357 Ἀττικάς: ἀντὶ τοῦ ὑστεριζούσας τοῦ καιροῦ, βραδυνούσας. Ar.
Ἀριστοφάνης· ἀλλ' ὄψει σφόδρα αὐτὰς Ἀττικάς. οἷον μελλούσας ἐν
τῷ πράγματι.
4358 Ἀττική· ὅτι Ποσειδῶν καὶ Ἀθηνᾷ ἐφιλονείκησαν περὶ τῆς Ἀττικῆς. καὶ Suid.
ζήτει ἐν τῷ γεραίτερος.
4359 Ἀττικὴ πίστις: ἐπὶ τῶν βεβαίαν φυλαττόντων πίστιν. καὶ Prov.
Ἀττικὸς μάρτυς.

4349 — ἐγγίζει = Ba 161, 8, Σ[a] ἄττω sq. cf. Et. M. 168, 5 = An. Ox. 2, 333, 28 4350 — βλάβη = H cf. sch. B 111, Apion; αὐτίκα—vs. 4 Ἄτην T 126 c. sch. BT; ἢ—βαίνει T 93 ἀλλ'—ἄταις Soph. El. 233—5; ἐγὼ sq. Soph. Ai. 121—3 4352 l. cf. Ambr. 3661 Ἀγαθίας—οἰκοδομία Agath. 5, 13, p. 305 ἀτημελήτους sq. = Ba 159, 20, Σ[a] cf. Et. M. 163, 50; ἠμεληκότους cf. H, Ambr. 3604, 3677 4353 — ἀτηρίας = Ba 159, 22 (Phryn. fr. 271); Ar. Vsp. 1299; Pl. com. fr. 182 ' vs. 15 οὐ—κακόν Ar. Vsp. 1299 vs. 16 οἱ—ἀτηρόν fort. Iambl. cf. fr. 21; βλαβερόν = H cf. Ambr. 3597, 3654, sch. Pl. Crat. 395 b, Phryn. p. 31, 13 4354 Harp. = Ba 161, 20 4355 — Ἄττια + Θεόπομπος (fr. 27) sq. = Ba 161, 28; κατάρχεις—Ἄττις alt. Dem. 18, 260 4356 = H, Ambr. 3676, Ba 159, 25, Σ[a] cf. gl. Dionys., PG 4, 24, Ambr. 3603 4357 ἀλλ' sq. Ar. Lys. 56 c. sch. 4359 = Macar. II 60—61, Philol. Suppl. 6, 260, n. 251

4350 Soph. Ai. cf. v. ἔμπης 4351 Z 331 4352 Z 334 4357 Z 334 4358 ex v. Γ 195

6 ἥτις] εἴ τις A πικτὴ] πι τὴ A πιστὴ pr. Soph., ζήτει ss. M A(GITFVM)
12 ἕρματος] κτίσματος GIT ἐρύματος Agath. 14 Σφηξί Kust. Σφιγξί omnes, Ba
20 γ' ἔτω] ς' ἐγὼ Pors. 22 Ἀτίθασσον] Ἀτίθαστον M[ac] Ba, Σ[a] cf. v. τιθασσόν
23 ὑστεριζούσας pr. στεριζούσας omnes, Zon. 4358 ex M (post 4354)

Σ 4360 Ἀττικισμός: ἡ πρὸς τοὺς Ἀττικοὺς οἰκειότης καὶ εὔνοια· ὡς
Harp. Λακωνισμός, ἡ πρὸς τοὺς Λάκωνας. καὶ Ἀττικοῖς γράμμασι, Δημοσθένης κατὰ Νεαίρας, ἀντὶ τοῦ παλαιοῖς. τὴν γὰρ τῶν κδ΄ στοιχείων γραμματικὴν ὀψέ ποτε παρὰ τοῖς Ἴωσιν εὑρεθῆναι.

Ε 4361 Ἀττικός, ἐπίσκοπος Κωνσταντινουπόλεως μετὰ Ἀρσάκιον, τὸν ἀπὸ τοῦ Χρυσοστόμου ἐπιτροπεύσαντα, τὸ μὲν γένος ἦν ἐκ Σεβαστείας τῆς Ἀρμενίας· ἐκ νέου δὲ φιλοσοφεῖν ἐπαιδεύθη ὑπὸ μοναχοῦ τῆς Μακεδονίου αἱρέσεως. οἱ δὲ τότε ἐν φιλοσοφίᾳ διαπρέποντες ἀνὰ τὴν Σεβάστειαν ἐκ τῆς Εὐσταθίου διατριβῆς ἦσαν· ὃν ἐπίσκοπον καὶ ἡγεμόνα τῶν ἐνθάδε ἀρίστων μοναχῶν ἔγνωμεν. ἤδη δὲ εἰς ἄνδρας τελῶν πρὸς τὴν καθολικὴν ἐκκλησίαν μετέθετο. φύσει δὲ μᾶλλον ἢ μαθήσει φρόνιμος ὢν ἐγένετο τῶν πρακτέων ἐπήβολος, ἐπιβουλεύειν τε καὶ πρὸς ἐπιβουλὰς ἀντισχεῖν ἱκανὸς, τὸ δὲ ἦθος ἐπαγωγὸς ὡς πολλοῖς κεχαρισμένος εἶναι, μέτριος δὲ πρὸς τοὺς ἐπ' ἐκκλησίας λόγους, ὡς μήτε γραφῆς ἀξίους νομίζεσθαι τοῖς ἀκροαταῖς, μήτε παιδείας παντελῶς ἀμοίρους. ἐμμελὴς γὰρ ὢν, εἴ πῃ καιρὸν ἦγε, τοὺς παρ' Ἕλλησιν εὐδοκιμωτάτους συγγραφέας ἠσκεῖτο· καὶ τῷ δοκεῖν ἰδιώτης εἶναι, περὶ τούτων διαλεγόμενος καὶ τοὺς ἐπιστήμονας πολλάκις ἐλάνθανεν. ἐλέγετο δὲ πρὸς τοὺς ὁμοδόξους σπουδαῖος εἶναι, τοῖς δὲ ἑτεροδόξοις φοβερός· καὶ ῥᾳδίως μὲν αὐτοῖς, ἡνίκα βούλοιτο, δέος ἐμποιεῖν, αὖθις δὲ μεταβαλλόμενος πρᾶος φαίνεσθαι. καὶ τοῦτον μὲν τοιόνδε γενέσθαι φασίν. οὗτος ὁ Ἀττικὸς μετὰ τὸ πεπαιδεῦσθαι εὐλαβής τε καὶ φρόνιμος ἦν· διὸ καὶ τὰς ἐκκλησίας ἐπ' αὐτοῦ συνέβη εἰς μέγα ἐπιδοῦναι. οὐ γὰρ μόνον τοὺς οἰκείους τῆς πίστεως συνεκρότει, ἀλλὰ καὶ τοὺς αἱρεσιώτας τῇ φρονήσει κατέπληττε· καὶ σκύλλειν μὲν αὐτοὺς οὐδαμῶς ἠρεῖτο, φοβῶν δὲ πάλιν ἐπράϋνεν. ἀλλὰ μὴν οὔτε λόγων ἠμέλει, ἐπόνει γὰρ περὶ τὰ τῶν παλαιῶν ἀναγνώσματα, διανυκτερεύων ἐν αὐτοῖς· διὸ καὶ οὐκ ἐξεφωνεῖτο παρὰ τῶν φιλοσόφων σοφιστῶν. ἦν δὲ τοῖς ἐντυγχάνουσι χαρίεις καὶ ἐπαγωγὸς, καὶ τοῖς λυπουμένοις συνεστύγναζε, καὶ κατὰ τὸν Ἀπόστολον, τοῖς πᾶσι τὰ πάντα ἐγίνετο. καὶ πρεσβύτης μὲν ὢν ἐκμαθὼν οὓς καὶ ἐπόνει λόγους ἐπ' ἐκκλησίας ἐδίδασκε· μετὰ δὲ ταῦτα σὺν τῇ φιλοπονίᾳ καὶ παρρησίαν κτησάμενος ἐξ αὐτοσχεδίου καὶ πανηγυρικώτατα ἐδίδασκε, καὶ χαίρειν τῇ γραμματικῇ φράσας ἐπὶ τὸν ἀσκητικὸν ἐτράπη βίον. οὐ μὴν τοιοῦτοι ἦσαν οἱ λόγοι ὡς παρὰ τῶν ἀκροατῶν σπουδάζεσθαι ἢ γραφῇ παραδίδοσθαι.

4360 = Ba 161, 26, Phryn. fr. 276 Ἀττικοῖς sq. Harp. = An. Ox. 2, 491, 11, Ba 161, 22; Dem. 59, 76 4361 — vs. 22 φασίν Soz. h. e. 8, 27; vs. 22 οὗτος—vs. 33 ἐδίδασκε + vs. 35 οὐ sq. Socr. h. e. 7, 2; vs. 34 χαίρειν—βίον cf. Socr. h. e. 7, 17

4360 hinc v. Λακωνισμός 4361 Socr. 7, 2 cf. v. ἐξεφωνεῖτο; 7, 17 cf. v. Παῦλος

A (GITVM) 8 Μακεδονίου I, Soz. Μακεδονίας GTM Μακεδονείας V, cp. A 12 ἐπήβολος T, Soz. ἐπήβουλος A ἐπίβουλος GIM 24 συνεκρότει] σφόδρα add. V 27 περί] παρά A, om. V cf. v. ἐξεφωνεῖτο 28 ἐξεφωνεῖτο] ἐξεφονεῖτο A ἐξενοφωνεῖτο Socr. 34 γραμματικῇ] γραφῇ M cf. Socr. et v. Παῦλος 36 ἤ] οἷον V

4362 Ἀτιμαγέλου: μὴ συναγελαζομένου. κέρας βουμολγὸς ταύρου κλάσσεν ἀτιμαγέλου. Anth.

4363 Ἀτιμάζω· αἰτιατικῇ. τὸ καταφρονῶ, τὸ ἀναδύομαι. Αἰλιανός· ταῦτά τοι οἱ Διόσκουροι οὐκ ἠτίμασάν οἱ φανῆναι πάλιν. καὶ Ἀτιμῆσαι, ἀτίμως ὑβρίσαι. ὁ δὲ Δημοσθένης ἐδέετο συγγνῶναι τῷ παιδὶ καὶ μὴ αὐτὸν ἀτιμῆσαι. Δ E

4364 Ἀτίμητος ἀγών: ἐφ' ᾧ τίμημα ὡρισμένον ἐκ τῶν νόμων οὐ κεῖται, ἀλλ' οἱ δικάζοντες ἐτιμῶντο τί δεῖ παθεῖν ἢ ἀποτῖσαι. ὁ δὲ τιμητὸς, ᾧ πρόσεστιν ἀπὸ τῶν νόμων ὡρισμένον τίμημα. Harp.

4365 Ἄτιμος: ἀνήκουστος. καί μ' ὁ Φοῖβος ἄτιμον ἐξέπεμψε. περὶ ὧν γὰρ ἀπῆλθεν, οὐκ ἤκουσεν. ἰδίᾳ Δημοσθένης ἐν Φιλιππικοῖς τὸν ἀτιμώρητον λέγει· τουτέστιν, ὃν ἄν τις ἀποκτιννὺς οὐχ ὑπόκειται ἐπιτιμίῳ, ἀλλ' ἔστι καθαρὸς αἰτίας· ὁ οἷον τὸν ἄτιμον ἑλών. Soph. Harp.

4366 Ἀτιμότερον: ἀντὶ τοῦ εὐτελέστερον, ἀτεχνότερον. μηδένα μηδοτιοῦν τῶν ἐρέσθαι δεομένων εἴπῃς μηδὲν, ἔστ' ἂν ἀφίκωμαι. εἰ δὲ μή μοι προσέξοις, ἐρεῖς δὲ ἄκοντος, ἀτιμότερόν με θήσεις. εἶν ἀΐδᾳ γάρ μιν ὁ Θερσίτης οὐδὲν ἀτιμότερος. Δ + x Anth.

4367 Ἀτιμώρητος: ἀβοήθητος, ἢ θαυμαστός. ἔστι δ' ὅτε καὶ ὁ κακός. ἐπὶ οὖν τοῦ ἀβοηθήτου Αἰλιανός· οὐ μὴν ἀτιμωρήτους ἐγένετο μεῖναι τοὺς παῖδας τοὺς ἁλοηθέντας, ἑτεραλκὴς γὰρ ἡ νίκη γενομένη τῶν πλησίον ἦν. Σ E

4368 Ἄτλας: ὁ μυθευόμενος τὴν γῆν καὶ τὸν οὐρανὸν βαστάζειν. καὶ σιδηρέους Ἄτλαντος ὤμους. καὶ παροιμία· Ἄτλας τὸν οὐρανόν. λείπει ὑπεδέξω. ἐπὶ τῶν μεγάλοις πράγμασιν ὑποβαλλομένων καὶ κακοῖς περιπιπτόντων. Anth. Prov.

4369 Ἀτλήτῳ: ἀνυπομονήτῳ. ἐν Ἐπιγράμμασι· παίγνιον ἀτλήτου θηρὸς ἔχουσα κάρη. καὶ Ἀτλητῶν, μὴ καρτερῶν, μὴ φέρων, δυσανασχετῶν. πάρειμ' ἀτλητῶν. Σ Anth. Soph.

4370 Ἀτλαντικὰ πελάγη: ἑσπέριος ὠκεανὸς καὶ ἕως καὶ πάντα τὰ ἄπλωτα πελάγη. καὶ Ἀτλαντὶς θάλαττα, ὁ ὠκεανός. Suid.

4371 Ἀτμίς: ἀναθυμίασις, ἄκρον πυρός. καὶ Ἀτμῶν, ἀναθυμιάσεων. Σ

4362 κέρας sq. Anth. 6, 255, 1—2 4363 αἰτιατικῇ = Synt. Laur. ταῦτα —πάλιν Aelian. fr. 78 4364 Harp. cf. Bk. 202, 7, Ba 160, 3 4365 — ἤκουσεν Soph. OT 788—9 c. sch. ἰδίᾳ sq. Harp. cf. Ba 159, 28, An. Ox. 2, 491, 9; ἀτιμώρητος cf. Bk. 198, 28, sch. Pl. Leg. 855 c; Dem. 9, 42 4366 l. cf. Ambr. 3636 μηδένα—θήσεις fort. ep. Iuliani Imp. εἶν sq. Anth. 7, 727, 3—4 4367 — κακός Tim. = Ba 159, 23 ἀβοήθητος = Thom. 355, 8 οὐ sq. Aelian. fr. 135 4368 καὶ σιδηρέους—ὤμους Anth. 6, 256, 1—2 vs. 23 Ἄτλας sq. = Diogen. II 67 4369 — ἀνυπομονήτῳ = Ba 160, 10, Σ^{A}, sch. I 3 cf. H παίγνιον—κάρη Anth. 6, 74, 4 ἀτλητῶν sq. Soph. OT 515 c. sch. 4370 Ἀτλαντὶς sq. cf. Et. Gud. 4371 = Ba 160, 15, 16, Σ^{a} cf. H

4362 Z 331. Anth. cf. v. B 445 et v. κόλον 4363 Z 337 4365—7 Z 331 4368 Z 333. Anth. cf. 4390, hinc v. σιδηρέαν ψυχήν 4369 Soph. Z 337 4370 — πελάγη alt. ex 3240 4371 Z 334

17 μιν ὁ] Μίνω Anth. 24 ὑποβαλλομένων] ἐπιβαλλομένων Diogen. A(GITFVM) 4370 om. F, post 4368 TV 30 θάλαττα] θάλασσα GTV

4372 Ἄτολμοι: δειλοί, κατεπτηχότες. ὀθούνεκ' εἰσὶν ἀδρανέστατοι ζώων, ψυχὰς ἄτολμοι, μοῦνον εἰδότες φεύγειν. καὶ αὖθις· ἐπεὶ
E τοίνυν ὑπ' ἀτολμίας οὗτος τῷ θεῷ ἠπείθησε, τῶν παρόντων παίδων οἵ φασι τὸν πρεσβύτην ἔργον τῆς παρούσης νόσου γενέσθαι.
ΣΔ 4373 Ἄτομα: λεπτότατα. τὰ μὴ δυνάμενα διὰ τὴν ἄκραν λεπτό- 5
E τητα τέμνεσθαι. ὅτι ἄτομα ὠνόμασαν οἱ Ἕλληνες καὶ ἀμερῆ σώματα διὰ τὸ ἀπαθὲς ἢ σμικρὸν ἄγαν, ἅτε μὴ τομὴν ἢ διαίρεσιν δέξασθαι δυνάμενα. οὕτω δὲ καλοῦσι τὰ λεπτότατα καὶ σμικρότατα σώματα, ἃ διὰ τῶν φωταγωγῶν εἰσβαλλόμενα ὁ ἥλιος δείκνυσιν ἐν ἑαυτῷ ἄνω καὶ κάτω παλλόμενα. 10
Σ 4374 Ἀτοπίας πλέων πρᾶγμα: ἀντὶ τοῦ θαύματος. δελεάσαν-
EL τος αὐτὸν ἐς τοῦτο ἀτοπίας ἐλθεῖν Χοιρόου. ἀντὶ τοῦ ἀλογίας, ἀβουλίας. καὶ αὖθις· θαυμάσαι ἄν τις τὴν ἀτοπίαν τοῦ ἀνδρὸς, ὅς γε χωρὶς ἄλλων τετόλμηκε καὶ ταῦτα λέγειν. καὶ αὖθις· ἐπεὶ δὲ
E ἀνεφάνη ὕδωρ, ἐξίσου τῷ μὴ εὑρεθέντι ἀρχὴν ὑπὸ ἀτοπίας ἦν. τουτέστι 15
Σ κακίας. καὶ Ἄτοπον ἀντὶ τοῦ ἄλογον, θαυμάσιον, παράδοξον, ξένον, κακὸν, μοχθηρόν· καὶ ὃ μὴ ἔχει τόπον. καὶ τὸ ἀνυπομόνητον,
Ar. οἷον ὃ μή ἐστι τοπάσαι. Ἀριστοφάνης· ἄτοπος δ' ἔγκειταί μοί τις πόθος, ὅς με διακναίσας ἔχει. καὶ αὖθις· ἀτοπίαν ὑποτοπάσας τινά.
Suid. 4375 Ἄττοσα, ἡ Κύρου μὲν θυγάτηρ, Δαρείου δὲ γυνὴ, ἰατρεύθη ἐντέχνως ὑπὸ 20
Δημοκήδου ἰατροῦ. καὶ ζήτει ἐν τῷ Δημοκήδης.
Soph. 4376 Ἀτώμενος: ἄτης πεπληρωμένος. ἴδοι μιν ὧδ' ἀτώμενος. Σοφοκλῆς.
4377 Ἀτραβατικάς· ἐν ταῖς ἑορταῖς καὶ τοῖς ἐπινικίοις καὶ παρόντων πρέσβεων ἐνεδύοντο χιτῶνας καὶ χλαμύδας ποικίλας, ἀπὸ χρυσοῦ 25
καὶ πορφύρας καὶ ἄλλως πως πολυτελεῖς, ἐν δὲ ταῖς κοιναῖς συνόδοις ξηραμπελίνας τὸ χρῶμα, ἃς ἐκάλουν Ἀτραβατικὰς ἀπὸ τοῦ χρώματος· τὸ γὰρ μέλαν ἄτρον καλοῦσιν· ἢ ὅτι μετὰ τραβαίας ταύταις εἰώθεσαν χρῆσθαι· τραβαῖαι δὲ λέγονται αἱ πολυτελεῖς χλαμύδες.

4372 ὀθούνεκ'—φεύγειν Babr. 25, 3—4 ἐπεί sq. Aelian. fr. 96 4373 — λεπτότατα = Ba 160, 23, Σ^{a} cf. H τὰ μὴ sq. cf. H, Ambr. 3673 vs. 6 ἄτομα sq. Georg. 81, 11—16 4374 — θαύματος Phryn. fr. 273 δελεάσαντος—Χοιρόου Men. Prot. fr. 15, FHG 4, 222 = EL 191, 28, 29 vs. 14 ἐπεί —ἦν Cass. D. 75, 2, 2 (III 339) cf. Byz. Zt. 23, 99 ἄτοπον—τοπάσαι = Ba 160, 17, Phot. Amphil. Herm. 26, 256 sq. cf. sch. Pl. Rep. 405 d, Phaed. 60 b, Et. M. 164, 50, H ἄτοπος—ἔχει Ar. Eccl. 956—7 4376 Soph. Ai. 384 c. sch. 4377 = Preger 157, 17—158, 3 cf. Lydus de mg. ed. Wuensch p. XXIII

4372 Z 332 4373 hinc 1554 4374 — θαύματος cf. v. νεοχμός; Ar. cf. v. Δ 583 4375 ex v. Δ 442 4377 hinc 4391 cf. v. τραβαῖαι, Z 335

A(GITFVM) 4 πρεσβύτην] πρεσβύτερον Pors. ad 4373 fin. ἅττοντας. καὶ ζήτει ἐν τῷ ἀναγκαῖον add. mg. M 11 πλέων] ἀντὶ τοῦ ἔμπλεων add. mg. IT, ss. M 17 ἀνυπομόνητον] ἀνυπονόητον Ba, Phot. sch. Pl. Phaed. 4375 om. AF 20 ἰατρεύθη] ἰάθη V ἐντέχνως] εὐτέχνως V 21 καὶ—Δημοκήδης ex M 22 ἴδοι μιν] ἴδοιμί νιν T cf. Soph. 26 καὶ ἄλλως] ἄλλως FV ἢ ἀ. Preger κοιναῖς] σκηναῖς V 28 εἰώθεσαν] εἰώθασι F, Preger

4378 Ἄτρακτον: βέλος μεταφορικῶς. Σοφοκλῆς· πρὸς δὲ τούτοις, ὅ μοι βάλοι νευροσπαδὴς ἄτρακτος, αὐτὸς ἂν τάλας εἰλυόμην δύστηνος ἐξέλκων πόδα. καὶ Προκόπιος· τινὸς τῶν ἐν ταῖς ἐπάλξεσιν ἀμυνομένων εὐστοχώτατα ἀφιέντος τὸν ἄτρακτον ἀνήρηται βλαβείς. καὶ Μένανδρος· ὁ δὲ ἐπετοξάζετο κατὰ τοῦ βαρβάρου, καὶ μάλα εὐστοχώτατα τὸ κέρας ἐκτείνας ἀφίησι τὸν ἄτρακτον κατὰ τοῦ Κώχ. καὶ ἐν Ἐπιγράμμασι· θερμὸν δ' ἐπὶ θερμῷ ἰάλλει ἄτρακτον. Ἄτρακτος καὶ τὸ γυναικεῖον ἐργαλεῖον. ἀραχναίοιο μίτου πολυδίνεα λάτριν ἄτρακτον, δολιχᾶς οὐκ ἄτερ ἀλακάτας. καὶ αὖθις· καὶ δακτυλότριπτον ἄτρακτον, σπονδυλοδινήτῳ νήματι νηχόμενον. καὶ αὖθις· τόν τε καρηβαρέοντα, πολυροίβητον ἄτρακτον, κλωστῆρα στρεπτᾶς εὔδρομον ἁρπεδόνας. Σ Soph. E Men. Anth. Ecl. Anth.

4379 Ἀτραμύτειον· Θουκυδίδης. Ἀτραμυτινὸς δέ. Suid.

4380 Ἀτραπιτός: ἡ ὁδός. καὶ Ἀτραπούς, ὁδοὺς τετριμμένας. Σ

4381 Ἀτράφαξυς: εἶδος λαχάνου, ὃ ταχέως εἰς μέγεθος αὔξεται. Suid.

4382 Ἀτρέα καὶ καθόλου τὰς ἀπὸ τῶν εἰς ευς συμφώνῳ παραληγομένων αἰτιατικὰς μηκύνουσι, τὰς δὲ καθαρὰς τοῦ ευ συναιροῦσι· Χοᾶ καὶ Μηλιᾶ καὶ Σουνιᾶ. Ἴωνες δὲ συστέλλουσι τὰς προτέρας, Ἀτρέα καὶ Πηλέα βραχέως λέγοντες· διὸ καὶ παρὰ τοῖς τραγικοῖς οὐκ ἀναγκαῖον ἐκτείνειν, εἰ μὴ μέτρον ἀναγκάζει. καὶ τὰς ἀπὸ τῶν εἰς ης ὁμοίως. τὸ γὰρ συστέλλειν Ἰακόν. Ἀριστοφάνης Γεωργοῖς, καχέτας καὶ Μεγακλέας καὶ μαλακούς.

4383 Ἀτρεκές: ἀληθὲς, ἀκριβές. καὶ Ἀτρεκεῖ, ἀληθεῖ, ἀκριβεῖ. Σ

4384 Ἀτρέμας: ἠρέμα. καὶ Ἀτρεμία, ἡσυχία. καὶ Ἀτρεμίζων, ἐδράζων. Σ

4385 Ἀτρέως ὄμματα: οἷον ἄτρεπτα καὶ σκληρά. εἴρηται δὲ ἀπὸ τῆς Ἀτρέως παρανομίας, ὃς ὑπονοήσας ἐκ διαβολῆς τὸν ἀδελφὸν Θυέστην μοιχεύειν Ἀερόπην τὴν γυναῖκα αὐτοῦ, τὰ τέκνα τοῦ Θυέστου Prov.

4378 — μεταφορικῶς = Ba 160, 24, Σ^a, H cf. Et. M. 165, 10 πρός—vs. 3 πόδα Soph. Phil. 289—291 Προκόπιος(?) cf. Byz. Zt. 21, 419 vs. 5 ὁ—Κώχ Men. Prot. fr. 70, FHG 4, 269 vs. 7 θερμόν—8 ἄτρακτον Anth. 5, 187, 3—4 vs. 8 ἄτρακτος—ἐργαλεῖον cf. Et. M. 165, 4 vs. 8 ἀραχναίοιο—ἀλακάτας Anth. 6, 39, 3—4 vs. 10 καί—νηχόμενον Anth. 6, 247, 3—4 vs. 11 τόν sq. Anth. 6, 160, 3—4 4380 — ὁδός = Ps. Herodian. 176 cf. Ba 160,26, Σ^a, H v. ἀτραπιτοῖς et v. ἀταρπιτός (= Ambr. 3652, sch. Σ 565), Et. M. 162, 22; ἀτραπούς sq. = Ba 160, 25, Σ^a cf. H, Ap. S. 46, 6 4382 καχέτας sq. Ar. fr. 106 4383 = Ba 160, 28, 27, Σ^a cf. H 4384 = Σ^a, Ba 160, 29, 31, 32; ἠρέμα cf. Et. M. 165, 21; ἀτρεμία, ἡσυχία = H 4385 = Zen. II 34

4378 Soph. cf. v. νευροσπαδής; Men. hinc v. Κώχ; Anth. 6, 39 cf. 3749 et v. μίτος 4379 ex 521 4381 ex v. ψευδατραφάξυος

11 πολυροίβητον] πολυροίβδητον B 12 κλωστῆρα] κλαστῆρα AF 4379 om. GF mg. V post 4380 IT 13 Ἀτραμυτινὸς δέ om. AV 14 Ἀτραπιτός] Ἀτραπητός GIT, Ba, Σ^a 4381 om. AT mg. V post 4384 GI; τὸ παρ' ἡμῖν χρυσολάχανον add. in fine F 16 τάς TFM^{oo} τά rell. ευς F ες rell. συμφώνῳ Kust. συμφώνων omnes 17 ευ] ευς F εα (sed praestat καθαρευούσας συναιροῦσι) Bhd. 18 τάς A τῆς rell. προτέρας] προτέρους A 22 Μεγακλέας Gsf. Μετακλέας omnes 28 Θυέστην rec. in G, Zen., pr., Ὀρέστην omnes A(GITFVMB)

συγκόψας καὶ ἑψήσας δειπνοῦντι παρέθηκε τῷ πατρὶ, αἴσθησιν παρασχὼν τῆς συμφορᾶς ἐκ τοῦ τελευταῖα τὰ ἄκρα παραθεῖναι.

4386 Ἀτρέπτως: ὀρθῶς. Αἰλιανός· ὑπὲρ τῶν μελλόντων ἀτρέπτως
E τε καὶ παναληθῶς προθεσπίζουσα.

Δ Anth 4387 Ἄτρεστος. ἐνηθλήσω δὲ προνοίᾳ αἵρεσιν ἀτρέστου μητέρ' 5
Δ ἐλευθερίης. καὶ Ἀτρέστως, ἀφόβως, ἀνελεημόνως. οἱ δὲ
E ἀτρέστως πάντας ἐφόνευσαν.

Δ 4388 Ἀτρείδης καὶ Ἀτρείδαο καὶ Ἀτρείδαιν. τὴν γενικὴν περισπᾶν ἀξιοῦσιν οἱ ἀναλογικοὶ, τὴν δὲ δοτικὴν βαρυτονεῖν.

E 4389 Ἄτριψ: ἀμαθὴς, ἀτριβής. οὐδὲ γὰρ ἦν οὐδὲ τούτων ἄτριψ 10
ὁ Παπίριος. καὶ αὖθις· ἄτριψ γὰρ ἦν τῆς ὁδοῦ ταύτης.

Δ 4390 Ἀτρόμητος: ὄνομα κύριον. καὶ ὁ ἄφοβος. ἐν Ἐπιγράμ-
Anth. μασι· ταύρου βαθὺν τένοντα καὶ σιδηρέους Ἄτλαντος ὤμους καὶ κόμην Ἡρακλέους σεμνάν θ' ὑπήνην καὶ λέοντος ὄμματα Μιλησίου γίγαντος
Δ οὐδ' Ὀλύμπιος Ζεὺς ἀτρόμητος εἶδε. καὶ Ἀτρόμως, ἀφόβως. 15
φεύγων ἀτρόμως καὶ τρέχων ὑποστρέφει. περὶ τοῦ Πέρσου Πισίδης.

Suid. 4391 Ἄτρον: τὸ μέλαν παρὰ Ῥωμαίοις.

Σ 4392 Ἀτροφῆσαν ἐμαράνθη: μὴ τραφέν.

4393 Ἄτρωτος: ἀπαθὴς, ἀσινής. ἀλλ' ἔμενεν ἄτρωτος ὑπὸ τῶν τοιούτων παθῶν ἢ ὁ Αἴας ὑπὸ σιδήρου. 20

Σ 4394 Ἄτρυτος: ἀκαταπόνητος. φιλολογίᾳ τε καὶ ἀτρύτοις πόνοις ἐγκείμενος, εὐφυεστέρων καὶ πρεσβυτέρων κατέχωσε δόξας τῷ ἑαυτοῦ ὀνόματι. καὶ αὖθις· ταῖς δὲ ἡμέραις ἀτρύτοις πόνοις ἑαυτὸν πρὸς
E γεωργίαν ἐξεδίδου. δίκη γὰρ πάντα ἐφορῶσα ἄγρυπνός ἐστι φύσει, καὶ θεία, καὶ ἄτρυτος. καὶ αὖθις· φιλοπονίαν ἔχειν ἄτρυτον. 25

4395 Ἀτρυτώνη: ὄνομα.

Σ 4396 Ἀτρύφερος: ἡ λέξις ἐν Βάπταις Εὐπόλιδος. ὅτι οὐκ ἀτρύφερος οὔτ' ἄωρός ἐστ' ἀνήρ.

Soph. 4397 Ἀτυζομένη: ἐκπληττομένη τοῖς συμβεβηκόσι καὶ ὀδυρομένη. Ἠλέκτρα φησί· νήπιος, ὃς τῶν οἰκτρῶς οἰχομένων γονέων ἐπιλά- 30

4386 ὑπέρ sq. Aelian. fr. 67 4387 ἐνηθλήσω—ἐλευθερίης Anth. 7, 117, 3—4 = Laert. 7, 30 ἀφόβως cf. H v. ἄτρεστον 4388 — Ἀτρείδαο cf. Ambr. 3622 γενικὴν sq. cf. Gramm. Gr. 3, 1, 421, 6; 4, 1, 339, 11 4390 — κύριον = Ambr. 3616 ταύρου—εἶδεν Anth. 6, 256, 1—5 ἀτρόμως, ἀφόβως cf. H v. ἄτρομον φεύγων sq. Pisid. fr. 64 4392 — ἐμαράνθη Tim. v. ἐπεσφάλακεν 4394 — ἀκαταπόνητος = Ba 161, 1, Σ^{a}, Et. M. 167, 12, Ambr. 3601 φιλολογίᾳ—ὀνόματι Dam. fr. 142 cf. Phot. bibl. 345 b 28—30; ταῖς—ἐξεδίδου Dam. fr. 216 (215 Byz. Zt. 19, 280) vs. 24 δίκη—25 ἄτρυτος Aelian. fr. 28 φιλοπονίαν sq. Dam. fr. 31 cf. Phot. bibl. 345 b 28 4395 cf. Ambr. 3651, 3671 4396 = Ba 161, 2; Eupol. fr. 69 4397 Soph. El. 145—9 c. sch.

4389 cf. v. Παπίριος 4390 Z 332. Anth. cf. 4388, v. τένοντας, v. σιδηρέαν 4391 ex 4377; Z 337 4392 cf. v. ἐπεσφάλακεν; Z 338 4397 cf. 651, 3735, v. οἰκτρῶς

A(GITFVM) 8 Ἀτρείδαο FV Ambr. Ἀτρείδα A Ἀτρείδας GITM Ἀτρείδαιν] Ἀτρείδων F 12 ὄνομα—ὁ om. FV cf. Zon. 15 ἀφόβως] τρέμων add. A 4391 om. F mg. A post 4393 GV post 4392 IT 23 πόνοις om. V 24 φύσει] φύσις FV 4395 om. TFV mg. A

θεται. ἀλλ' ἐμὲ ἁ στονόεσσ' ἄραρε φρένας, ἃ Ἶτυν αἰὲν ὀλοφύρεται, ὄρνις ἀτυζομένα, Διὸς ἄγγελος. τὸ δὲ ἄραρεν ἀντὶ τοῦ ἥρεσέ μου ταῖς φρεσί. τουτέστιν ἐκείνην ζηλῶ τὴν ἀεὶ τὸν Ἶτυν στενάζουσαν.

4398 Ἀτυφία: ταπεινοφροσύνη. καὶ Ἄτυφον ἐν Φαίδρῳ τὸ ἀβλαβές· ἐπεὶ τὸ τῦφον βλάπτει. καὶ ἐπιτεθυμμένον ὁμοίως· τὸ γὰρ θύψαι, ἐπικαῦσαι. καὶ θυμάλωπες, οἱ ἀπολελειμμένοι τῆς θύψεως ἄνθρακες, οἱ ἡμίκαυτοι. καὶ Ἀτύφου μοίρας, τῆς ἀβλαβοῦς ὑπὸ τύφου. ἄτυφόν φασιν εἶναι τὸν σοφόν. ἴσως γὰρ ἔχειν πρός τε Phil.
τὸ ἔνδοξον καὶ ἄδοξον. εἶναι δὲ καὶ ἄλλον ἄτυφον, κατὰ τὸν εἰκαῖον τεταγμένον, ὅ ἐστι φαῦλον. οἱ δὲ εἰρηναίως ἐσταλμένοι ἄνευ δορυφόρων ἄγοντες τὴν ἱερουργίαν ἦκον ἀτυφότατα ἐκεῖνοι. Αἰλιανός φησι. E

4399 Ἀτυχῆσαι: μὴ τυχεῖν. Σ

4400 Ἀοιδή: ᾠδή. Σ

4401 Ἀοίδιμος: ὑμνητός. Σ

4402 Ἀοιδός: ὁ μελῳδός. καὶ ὁ ποιητής. ὅτι τὸ τῶν ἀοιδῶν ΔΣ
γένος σῶφρον ἦν τὸ παλαιὸν καὶ φιλοσόφων διάθεσιν ἔχον. Ἀγαμέμνων γὰρ τῇ Κλυταιμνήστρᾳ σωφρονιστῆρα τοῦτον ἀφίησιν· ὃς πρῶτον ἀρετὰς γυναικῶν διερχόμενος ἐνέβαλλέ τινα φιλοτιμίαν εἰς καλοκαγαθίαν, εἶτα διατριβὴν παρέχων ἡδείαν ἀπεπλάνα τὴν διάνοιαν φαύλων ἐννοιῶν· διόπερ Αἴγισθος οὐ πρότερον διέφθειρε τὴν γυναῖκα πρὶν τὸν ἀοιδὸν ἀποκτεῖναι. ὁ δὲ Δημόδοκος ᾄδει τὴν Ἀφροδίτης καὶ Ἄρεος συνουσίαν, οὐ διὰ τὸ ἡδὺ καὶ τὸ ἀποδέχεσθαι τοῦτο τὸ πάθος, ἀλλ' ἀποτρέπων αὐτοὺς παρανόμων ὀρέξεων, εἰδὼς ἐν τρυφερῷ βίῳ τεθραμμένους (αἰεὶ γὰρ αὐτῷ δαῖς τε φίλη, κίθαρις), ὁμοιότατα τοῖς τρόποις αὐτῶν τὰ πρὸς ἀνάπαυσιν φέρων. καὶ τὸν Φήμιον ποιεῖ ᾄδοντα πρὸς τὴν βουλὴν αὐτῶν. καὶ αἱ Σειρῆνες δὲ ᾄδουσι τῷ Ὀδυσσεῖ τὰ μάλιστα αὐτὸν τέρψοντα καὶ τὰ οἰκεῖα τῇ φιλοτιμίᾳ αὐτοῦ καὶ πολυμαθείᾳ. λέγουσι δέ, ὅτι πᾶς ὁ τῆς ᾠδῆς κατακούσας τερψάμενος νεῖται καὶ πλείονα εἰδώς.

4403 Ἄοινος: ἐπὶ τῶν μὴ γευομένων οἴνου, καὶ ἐπὶ τῶν μὴ ἐχόντων οἶνον. Σ

4398 — ταπεινοφροσύνη = Σ^{a}, Ba 162, 17 cf. Ambr. 3656, 3667; ἄτυφον—vs. 8 ἡμίκαυτοι = Ba 162, 21, Phryn. fr. 277; Pl. Phaedr. 230a; ἀτύφου—τύφου Tim. = Ba 162, 20 vs. 9 ἄτυφον—11 φαῦλον Laert. 7, 117 vs. 11 οἱ sq. Aelian. fr. 137 4399 Tim. = Ba 162, 12 4400 = P, Ba 108, 24, Σ^{a}, sch. α 159, H 4401 = P, Ba 108, 25, Σ^{a} cf. Bk. 215, 18 4402 — μελῳδός cf. Ambr. 2389 ποιητής = P, Ba 108, 26, Σ^{a}, H vs. 16 τὸ τῶν sq.—vs. 29 πολυμαθείᾳ Ath. 1, 14b—d; vs. 25 αἰεί—κιθαρίς θ 248 cf. Ath. 1, 16d; vs. 30 μ 188 4403 = P, Ba 108, 30, Phryn. p. 13, 9

4398 Z 335; hinc v. θυμάλωπες 2 cf. v. θύψις 4400 Z 231 4402 hinc v. Δ 440

6 ἐπιτεθυμμένον G ἐπιτεθυμένον AIT Ba ἐπιθυμένον FV^{ac} ἐπιθυμαίνον V^{cc} A(GITFVM) ἐπὶ τὸ ἐθυμμένον M 7 θυμάλωπες] θυμάνωπες A 8 ἡμίκαυτοι] ἡμίκαυστοι V Ba cf. v. θυμάλωπες 10 τό] τόν IM 16 τό om. FV 18 πρῶτον] πρώτων $AI^{ac}M$ 25 αἰεί] ἀεί AFM 32 οἶνον] οἴνου V

Σ 4404 Ἀοῖον: ἑῷον ἀστέρα. οὕτως Ἀριστοφάνης.

Σ 4405 Αὖ: δή. ἢ πάλιν.

Σ 4406 Αὖ: ποτὲ μὲν ἀντὶ τοῦ πάλιν, ποτὲ δὲ ἐκ περιττοῦ τιθέασιν.

Σ 4407 Αὐάνθη: ἐξηράνθη.

Synt. 4408 Αὐγάζω· αἰτιατικῇ.

E 4409 Αὔγαρος: Ἐδέσσης βασιλεύς· ὅστις ἐπὶ Τραϊανοῦ βασιλέως ἦν, καὶ δῶρα αὐτῷ προσῆξεν ἐκεῖσε ἀφιγμένῳ. ζήτει ἐν τῷ Φυλάρχης. Ἄγβαρος λέγουσιν οἱ πολλοί.

Hesy. 4410 Αὐγέας, Ἀθηναῖος, κωμικός. τῶν δραμάτων αὐτοῦ, Ἀγροικος, Πορφύρα, Δὶς κατηγορουμένος· ἔστι δὲ τῆς μέσης κωμῳδίας.

4411 Αὐγοειδής· ἔφακε δ' οὖν παρ' ἐκείνου καὶ ἐκεῖνο ἀκηκοέναι ὁ Ἰσίδωρος, ὡς ἔχει τι ἡ ψυχὴ αὐγοειδὲς ὄχημα λεγόμενον, ἀστροειδές τι καὶ ἀΐδιον. καὶ τοῦτο μέντοι τῷ ἀστροειδεῖ σώματι τῷδε ἀποκέκλειται ἐνίοις μὲν εἴσω τῆς κεφαλῆς, ἐνίοις δὲ εἴσω τοῦ δεξιοῦ ὤμου· ὅπερ οὐδεὶς φαίνεται ἄλλος ἱστορήσας.

Hesy. 4412 Αὔγουστος Καῖσαρ, ὁ καὶ Σεβαστὸς καὶ Ὀκταβϊανὸς ἐπικληθεὶς, Περὶ τοῦ ἰδίου βίου καὶ τῶν πράξεων βιβλία ιγ', καὶ τραγῳδίαν Αἴαντός τε καὶ Ἀχιλλέως. ὅτι Αὔγουστος Καῖσαρ δόξαν αὐτῷ πάντας τοὺς οἰκήτορας Ῥωμαίων κατὰ πρόσωπον ἀριθμεῖ, βουλόμενος γνῶναι πόσον ἐστὶ πλῆθος. καὶ εὑρίσκονται οἱ τὴν Ῥωμαίων οἰκοῦντες υι' μυριάδες καὶ ,αιζ' ἄνδρες.

4413 Αὔγουστος ὁ Καῖσαρ, ἀνεψιὸς Ἰουλίου Καίσαρος· ἀφ' οὗ καὶ ὁ μὴν Αὔγουστος ἐπικέκληται. αὔγουστα δὲ λέγονται τὰ τίμια καὶ μεγάλα καὶ ἐπίσημα. ἐπ' αὐτοῦ γὰρ ὁ κύριος Ἰησοῦς Χριστὸς, ὁ θεὸς καὶ σωτὴρ ἡμῶν, τὴν σάρκα ἀνείληφεν ἐκ τῆς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου Μαριάς. ὅτι Αὐγουστεῖον ἐκλήθη, διότι τῇ ε' τοῦ Ὀκτωβρίου μηνὸς οἱ ῥεγεωνάρχαι καὶ σεβαστοφόροι ἐχόρευον ἐν τῷ Αὐγουστείῳ, οἷον ἐν τῷ ὀψοπωλίῳ, εἰς τιμὴν Τιβερίου· τὸν δὲ τοιοῦτον τόπον οὕτως ἐκάλεσαν ἀπὸ τοῦ Αὔγουστος. ἔστησε δὲ καὶ ὁ μέγας Κωνσταντῖνος εἰς τὸ ἄσκεπον τῆς δάφνης στήλην τῆς ἑαυτοῦ μητρὸς, ἐξ ἧς ὠνόμασε τὸν τόπον Αὐγουστεῖον. Αὐγουστεῖον, ὅπερ λέγεται ὀψοπώλιον καὶ ζήτει ἐν τῷ Ἰουστινιανός. ὅτι Αὐγούστου Καίσαρος ἀποθανόντος, Τιβέριος καὶ Δροῦσος προηγοῦντο τοῦ πένθους

4404 cf. sch. Ar. Pac. 835, 837 4405 = Σ^{a}, gl. Dionys. PG 4, 24 cf. Ba 162, 25, H 4406 = Ba 162, 25 4407 = Ba 162, 29, Σ^{a} cf. H v. αὐανθείς 4408 = Synt. Laur., An. Ox. 4, 287, 4 4411 Dam. fr. 54 4412 — Αἴαντος cf. Sueton. Aug. 85 4413 — ἐπικέκληται cf. Cedren. 300, 22—4, Byz. Zt. 5, 498 vs. 26 Αὐγουστεῖον—vs. 31 Αὐγουστεῖον pr. cf. Preger 158, 4—10

4409 hinc 177, Z 339 4410 Z 339 4411 Z 345 4412 cf. v. Καῖσαρ Αὔγουστος 4413 Αὐγουστεῖον cf. v. Ἰουστινιανός 1; hinc v. σεβαστοφόροι; Z 345

A(GITFVM) 8 Ἄγβαρος—πολλοί ex $A^{ms}I^{ms}M$ cf. Boissevain in Cass. D. 40, 20, 1 12. 13 ἀστροειδές τι] ἀστροειδέσι A 13 ἀποκέκλειται AFM^{ec} ἀποκέκλεισται rell. 17 Περί] ἔγραψε περί V 20 τήν] τῶν TV 4413 non nov. gl. AM 26 τῇ om. A ε' A, Preger, ιε' rell. (propter ι adscr. in τῇ) 30 ἄσκεπον] ἀσκεπές M^{ec} 31 Αὐγουστεῖον alt.—32 Ἰουστινιανός ex M^{mg}

τοῦ νεκροῦ παντελῶς μὴ ἁπτόμενοι· οὐ γὰρ ἐξὸν τοῖς μοναρχοῦσιν. τὰς δὲ διαθήκας αἱ Ἑστιάδες εἶχον, ἃς διέθετο. ὅτι Αὔγουστος Καῖσαρ θυσιάσας ἤρετο τὴν Πυθίαν, τίς μετ' αὐτὸν βασιλεύσει· καὶ εἶπε· παῖς Ἑβραῖος κέλεταί με, θεοῖς μακάρεσσιν ἀνάσσων, τόνδε δόμον προλιπεῖν καὶ ἀοιδὸν αὖθις ἱκέσθαι. λοιπὸν ἄπιθι σιγῶν ἐκ βωμῶν ἡμετέρων. καὶ ἐξελθὼν ἐκ τοῦ μαντείου ὁ Αὔγουστος ἔστησεν ἐν τῷ Καπιτωλίῳ βωμὸν, ἐν ᾧ ἐπέγραψε Ῥωμαϊκοῖς γράμμασιν· ὁ βωμὸς οὗτός ἐστι τοῦ πρωτογόνου θεοῦ.

4414 Αὔδα: λέγε. καὶ Αὐδήσας, βοήσας, φωνήσας. Σ

4415 Αὐδή: ἡ φωνή. καὶ Αὐδήεσσα, ὀνομαστὴ, ἔνδοξος. ἢ αὐδωμένη, εἰς ὁμιλίαν καὶ φωνὴν ἀνθρώπων ἀφικνουμένη. καὶ Αὐδήεις, φωνητικός. Σ Δ

4416 Αὐδηναῖος: ὄνομα μηνὸς παρὰ Μακεδόσιν. ὁ Ἰαννουάριος.

4417 Αὐδώδ, κριτὴς τοῦ Ἰσραὴλ, ἐκ τῶν ἀλλοφύλων ἐν ἡμέρᾳ μιᾷ ἐν τῷ ἀροτρόποδι τῶν βοῶν ἐπάταξεν ἄνδρας χ'. Ε

4418 Αὐαίνεται: ξηραίνεται. αὗοι γὰρ οἱ ξηροί. καὶ Αὐασμός, ξηρασία. ἡ πρώτη δασύνεται. Ἀριστοφάνης· ἐνταῦθα δὴ παιδάριον ἐξαυαίνεται. καὶ ἑτέρωθι· ὥστ' ἔγωγ' ηὐαινόμην θεώμενος. καὶ Αὐαίνοιτο, ξηραίνοιτο, ἀφανιζέσθω. ἐν Ἐπιγράμμασι· ὁ φθόνος αὐαίνοιτο, τεὸν δ' ἔτι κῦδος ἀέξοι. καὶ Αὐαίνου λίθος, ἀπὸ τοῦ αὔους τοὺς νεκροὺς εἶναι. Αὐαίνου λίθος ἦν Ἀθήνησιν. Σ Ar.? Δ + Anth. Ar.

4419 Αὖ ἐρύσαι: εἰς τοὐπίσω ἑλκύσαι. ἐν Ἐπιγράμμασι· ἁπρὶξ δραξαμένη βόστρυχον αὖ ἐρύσαι. Hom. + Anth.

4420 Αὔεις: φωνεῖς, λαλεῖς. Ζήνων γὰρ ὁ Κιτιεὺς ἐκ τῆς σχολῆς ἀπιὼν προσέπταισε καὶ τὸν δάκτυλον περιέρρηξε. παίσας δὲ τὴν γῆν τῇ χειρί φησι τὸ ἐκ τῆς Νιόβης· ἔρχομαι, τί μ' αὔεις; καὶ παραχρῆμα ἐτελεύτησεν ἀποπνίξας ἑαυτὸν, βιοὺς δὲ ἔτη ϛ' ἄνοσος· οἱ δὲ δυοῖν δέοντα ξ' ζῆσαι αὐτὸν ἔτη φασίν.

4413 vs. 2 ὅτι Αὔγουστος sq. cf. Malal. 231, 15—232, 5, Cedren. 320, 17—22, Byz. Zt. 5, 497, 3 4414 — λέγε = Ba 162, 30, Σ^a, sch. Ξ 195, H; αὐδήσας sq. = Ba 163, 4, Σ^a cf. H, sch. Ε 786 4415 — φωνή = Et. M. 168, 36, Ba 163, 1, Σ^a, sch. A 249, H; αὐδήεσσα—ἀφικνουμένη = Ba 163, 2, Σ^a cf. Ap. S. 48, 12 ex Apione, H αὐδήεις sq. = Ambr. 3708 4417 Georg. 146, 13, 19—20 4418 — δασύνεται = Ba 162, 27; — ξηραίνεται = H cf. Ps. Herodian. 242; — ξηρασία = Σ^a ἐνταῦθα—θεώμενος Ar. fr. 612; e plenioribus sch. Ar. Ran. 194 sec. Valck. αὐαίνοιτο, ξηραίνοιτο cf. Ambr. 3773 ὁ—ἀέξοι Anth. 6, 116, 5 Αὐαίνου pr. sq. sch. Ar. Ran. 194 4419 — ἑλκύσαι cf. sch. Θ 325 = H v. αὐερύοντα; Ap. S. 48, 8; ἁπρὶξ sq. Anth. 5, 247, 2 4420 Ζήνων sq. Laert. 7, 28; ἔρχομαι—αὔεις def. ap. Nauck. fr. trag.

4417 Z 339 4418 ξηραίνεται cf. 4421 4420 cf. v. Ζήνων 3

1 ἐξόν AGI ἐξῆν VM 4 παῖς] ἤγουν ὁ Χριστός ss. V 5 προλιπεῖν] A(GITFVM) προλιπῶν A ἀοιδόν] ἀΐδην Bas. ἀΐδος Malal. ὁδόν Cedren. 10 αὐδωμένη V Ap. αὐδομένη rell. Ba, Σ^a 4416 om. F 13 Αὐδηναῖος GIVM Αὐδυναῖος AT μηνός om. AG 4417 non nov. gl. A 15 ἐπάταξεν] ἐπέσταξεν AV 17 ξηρασία] ἡ ξ. V, Ba 18 ὥστ'] ὥτ' A ηὐαινόμην] ἠναινόμην A ηὐαινόμην καί FV

Σ + Anth. 4421 Αὐήνας: ξηράνας. αὐήνας δ' ἀνέθηκε φιλακρήτῳ Διονύσῳ, τὸν τὰ Διονύσου δῶρα λεϊζόμενον. περὶ ἐχίνου φησίν. ἐκ τοῦ αὐαίνω ῥήματος. εἰ γὰρ μόνος νῦν λιβάδα πᾶσαν αὐαίνει, τί μὴ πάθωμεν τῶν κακῶν, ὅταν γῆμας ὅμοιον αὑτῷ παιδίον τι γεννήσῃ.

Δ 4422 Αὐθάδεια, καὶ Αὐθαδία διὰ τοῦ ι. καὶ Αὐθάδης, αὐτ- 5
Σ άρεσκος, θυμώδης, θρασὺς, ὑπερόπτης. καὶ κλίνεται αὐθάδους· ὡς
Ecl. ὀξώδης, ὀξώδους. καὶ ἡ κλητικὴ αὐθάδες. παράλογον δὲ τὸ αὔθαδες.

Σ 4423 Αὔθαιμοι: οἱ ἀδελφοί. ἐν Ἐπιγράμμασι· Πανὶ τάδ' αὔθαιμοι
Anth. τριττοὶ θέσαν ἅρμενα τέχνης.

Σ 4424 Αὐθαίρετος: αὐτεπάγγελτος. 10

Σ 4425 Αὐθέκαστα: αὐτὰ τὰ γενόμενα, οἷον ἀκρίτως, καὶ συντόμως, καὶ ἀποτόμως. ἢ τὰ ἁπλᾶ καὶ ἀληθῆ αὐτοακριβῶς. καὶ Αὐθέκαστος, ἀκριβὴς, καὶ αὐστηρὸς τῷ λόγῳ, καὶ ἀπαρέγκλητος τῷ τρόπῳ, ἀπαρα-
E κάλυπτος. οἱ τοίνυν ἀπεχθανόμενοι πρὸς αὐτὸν διὰ τὸ αὐθέκαστον τῶν νόμων καὶ ἄμικτον λαμβάνονταί τε καὶ ἐπ' αὐτοφώρῳ ἁλόντα 15 παρανομοῦντα ἐδείκνυσαν.

Σ 4426 Αὐθέντης: ὁ αὐτόχειρ, ἢ ὁ αὐτὸν ἀναιρῶν. διὸ παρ' Ἰσο-
Harp. κράτει αὐθέντης. Λυσίας ἰδίως αὐτὸ ἔταξεν ἐπὶ τῶν λ'· καίτοι δι' ἑτέρων εἰργάζοντο τοὺς φόνους. ὁ γὰρ αὐθέντης ἀεὶ τὸν αὐτόχειρα σημαίνει. καὶ Αὐθεντήσαντα, κύριον γενόμενον. μὴ ὀφείλειν 20 αὐτὸν αὐθεντήσαντα τοὺς ὑπὸ ζώνην συνέχειν. ὅτι Μιθριδάτης διετά-
E? ξατο τοὺς Ῥωμαίους ἀναιρεῖν καὶ ἔπεμψε γράμματα εἰς τὰς πόλεις, τὸ βασιλικὸν σφράγισμα ἔχοντα, μιᾷ τε ἡμέρᾳ τάξας ἀναγνῶναι καὶ παραχρῆμα τὰ γεγραμμένα πρᾶξαι, ὅπως μὴ προμαθόντες τινὲς φυλάξωνται. ἀποκτεῖναι γὰρ αὐτοῖς ἐκέλευσε πάνθ' ὁντινα Ῥωμαῖον 25 εὕρωσι· καὶ ἆθλα οὐ μόνον τοῖς αὐτοένταις σφῶν ἐσομένοις, ἀλλὰ καὶ τοῖς δήμοις, παρ' οἷς ἂν ἀποθάνωσι, πρὸς τὸ πλῆθος τῶν τελευτησάντων ἔθηκε· τιμωρίαν τε τοῖς φεισομένοις τινὸς αὐτῶν μεγάλην ὥρισε.

Ecl. παράγεται δὲ αὐθέντης οὕτως. ἔστι ῥῆμα φῶ, τὸ φονεύω· ἐξ οὗ καὶ φόνος. ἐκ τούτου κατὰ παραγωγὴν φένω διὰ τοῦ ε ψιλοῦ, ἀφαι- 30

4421 — ξηράνας cf. ad 4418; αὐήνας alt.—λεϊζόμενον Anth. 6, 169, 3—4 εἰ sq. Babr. 24, 6—9 4422 Αὐθάδεια = Ambr. 3761 αὐθάδης—ὑπερόπτης = Ba 163, 5, Σ^a, Et. M. 168, 54 cf. H κλίνεται sq. cf. An. Ox. 2, 427, 8, Et. M. 168, 57 4423 — ἀδελφοί = H v. αὔθεμοι Πανί sq. Anth. 6, 14, 1 4424 = Ba 163, 6, Σ^a cf. H 4425 — ἀποτόμως = Σ^a, Ba 163, 7 cf. Et. M. 169, 13, sch. Luc. 1, 22; τὰ ἁπλᾶ—αὐτοακριβῶς = Ba 163, 16 cf. H, Et. M. 169, 13; αὐθέκαστος—ἀπαρακάλυπτος = Ba 163, 15 cf. Σ^a, H, sch. Luc. 2, 1 οἱ sq fort. Aelian. 4426 — αὐτόχειρ = Phryn. 24, 5, Eust. I. 82, 41, H cf. sch. Thuc. 3, 58, 5; ὁ αὐτόν—vs. 18 αὐθέντης = Σ^a Λυσίας (fr. 125)—σημαίνει Harp. vs. 21 ὅτι Μιθριδάτης—26 εὕρωσι cf. Eutrop. 89; fort. Io. Antioch. vs. 29 φῶ sq. cf. An. Ox. 2, 332, 31, Et. M. 169, 2

4421 ξηράνας cf. 4418 4422 cf. Z 343, 339 4423 cf. Z 340; Anth. cf. 3972 et v. ὀρειονόμων 4424 cf. Z 339 4425 Z 345, 343 4426 αὐθεντήσαντα—συνέχειν Z 347

A(GITFVM) 2 λεϊζόμενον] λῃϊζόμενον FVM^{ac} 5 Αὐθάδεια] Ἀ. ἡ ἀλαζονεία T cf. Zon. 343 25 αὐτοῖς] αὐτῷ A

ρέσει τοῦ φ ἔνω. ἐξ αὐτοῦ ἔντης καὶ μετὰ τῆς αὐτὸ ἀντωνυμίας αὐτοέντης. καὶ ἐπεὶ ψιλὰ ψιλῶν ἡγεῖται καὶ δασέα δασέων, τροπῇ τοῦ τ εἰς θ, αὐθέντης, ὁ αὐτόχειρ. ἐπεκράτησε δὲ ἡ συνήθεια καὶ κέχρηται τῷ ὀνόματι ἀντὶ τοῦ δεσπότης· ὅπερ ἐστὶν ἀκυρολεξία.

4427 Αὐθημερόν: ἐν αὐτῇ τῇ ἡμέρᾳ. Δ

4428 Αὖθι: αὐτόθι. Σ

4429 Αὐθιγενής: αὐτόχθων, γνήσιος. Πέρσης εἰμὶ καὶ ἐκ πατέρων Πέρσης αὐθιγενής, ναὶ δέσποτα· πῦρ δὲ μιῆναι ἡμῖν τοῦ χαλεποῦ πικρότερον θανάτου. Σ Anth.

4430 Αὖθις: ἐξ ἀρχῆς, πάλιν, ἐκ δευτέρου. ἐκ παραλλήλου τιθέασι καὶ ταῦτα καὶ πάλιν. σημειωτέον δὲ ὅτι τὸ μὲν αὖθις Ἀττικόν, τὸ δὲ αὖτις Ὁμηρικόν. Αὖτις, εἰς τοὐπίσω. Αὖθις, χρονικόν. ὦ σχῆμα πέτρας δίπυλον, αὖθις αὖ πάλιν εἶσειμι πρὸς σὲ ψιλὸς, οὐκ ἔχων τροφήν. Αὖθις αὖ πάλιν, ἐξ ἀρχῆς δὴ πάλιν. ἢ ἐκ δευτέρου δὴ πάλιν. Σ | Σ Soph.

4431 Αὐθωρήτους: συντόμους. Σ

4432 Αὐθωρόν: αὐτῇ τῇ ὥρᾳ. Δ

4433 Αὖλαξ: ἡ ἐπιμήκης τομὴ τῆς γῆς ἐξ ἀρότρου.

4434 Αὐλαία: τὸ τῆς σκηνῆς παραπέτασμα. κέχρηται δὲ αὐτῷ Ὑπερίδης ἐν τῷ κατὰ Πατροκλέους. Πολύβιος· ἀκούων ταῦτα πάντα διὰ τῆς αὐλαίας ἐγέλα ὁ βασιλεύς. καὶ αὖθις· ὁ δὲ λαβὼν ἐκ τῆς παραπεπετασμένης αὐλαίας καλῴδιον ἑαυτὸν ἀπεκρέμασεν. Σ E EV

4435 Αὐλητρὶς πέπτωκεν: ἀμφιβολία λέξεως, δύο ἢ καὶ πλείονα πράγματα σημαίνουσα λεκτικῶς καὶ κυρίως. δηλοῦται γὰρ δι' αὐτῆς, ὅτι καὶ οἰκία τρὶς πέπτωκε, καὶ ὅτι ἡ κιθαρῳδὸς ἡ αὐλοῦσα. καὶ ζήτει ἐν τῷ ἀμφιβολία. Suid.

4436 Αὔλειος θύρα, καὶ Προαύλειος. Δ

4437 Αὐλή: τὸ νῦν ἀρχεῖον λεγόμενον· ὅπου ἀπήγοντο οἱ κατάκριτοι. καὶ τοὺς ἐκεῖσε ὑπηρέτας αὐλικοὺς ὠνόμαζον. καὶ παροιμία· Εἴποις τὰ τρία τὰ παρὰ τῇ αὐλῇ. καὶ αὖθις· ἐξ ὧν ἅπαντας δεδιὼς τοὺς περὶ τὴν αὐλὴν, μάλιστα δὲ τὸν Φίλιππον, οὕτω πεποιῆσθαι τὴν ἀποχώρησιν. καὶ Αὐλή, ἡ τοῦ βασιλέως οἰκία. Prov. E Δ

4427 = Ambr 3804, Ba 163, 20 (rec.), H 4428 = Ba 163, 21, Σ^a, H, sch. A 492, B 328, Et. M. 169, 16 4429 — γνήσιος = Ba 163, 24, Σ^a, H cf. Phryn. 44, 11 Πέρσης sq. Anth. 7, 162, 2—4 4430 — δευτέρου + σημειωτέον —Ὁμηρικόν = Ba 163, 22, Σ^a cf. H, Ambr. 3811—2, Et. M. 169, 24; vs. 11 αὖθις —Ὁμηρικόν cf. Hellad. ap. Phot. bibl. 535 a 41 ὦ—τροφήν Soph. Phil. 952—3 αὖθις αὖ sq. = Ba 163, 25, Σ^a 4431 = Ba 163, 27, Σ^a, H cf. Ambr. 3700 4432 = Ambr. 3803 4433 cf. Et. M. 170, 32 4434 — Πατροκλέους = Ba 163, 28, Σ^a cf. Poll. 4, 122, Bk. 83, 7, H, Et. M. 170, 29, Ambr. 3746; Hyperid. fr. 139 ἀκούων—βασιλεύς Polyb. fr. 22 ὁ δέ sq. Polyb. 33, 5, 2 = EV 2, 200, 9—10 4436 — θύρα = Ambr. 3767 4437 — vs. 29 αὐλῇ = Paroem. ed. Gsf. 41, n. 381, Zen. III 100 ἐξ—ἀποχώρησιν fort. Polyb.

4427 cf. 4474; Z 348 4429 Z 340 4430 cf. 4480; Z 348 4432 Z 348 4433—4 Z 343 4434 Polyb. 33, 5, 2 cf. 4108 et v. κενοί 4435 ex 1706 4436 cf. 4443 4437 cf. v. εἴποις et v. τὰ τρία τά etc.

4435 om. TFV post 4436 A 25 καί—ἀμφιβολία mg. A 26 Αὔλειος— καί om. V θύρα καὶ προαύλειος om. F 31 ἡ] τό V οἰκία] οἴκημα V A(GITFVM)

Prov. 4438 Αὐλητοῦ βίον ζῆς: ἐπὶ τῶν ἐξ ἀλλοτρίων βιούντων· παρόσον ἐπιτηροῦντες οἱ αὐληταὶ τοὺς θύοντας ἐξ ἀτελείας ζῶσιν.

Σ 4439 Αυλία: θύρα, πυλών. καὶ ἡ αὔλειος. τῶν τε αὐλείων καὶ
E σταθμῶν τὰς θύρας ἐξέκοψαν.

Harp. 4440 Αὔλια: ἀντὶ τοῦ ἔπαυλις. ἢ ἀντὶ τοῦ τὰς μικρὰς αὐλάς. οὕτως Λυσίας καὶ Αἰσχίνης.

Σ 4441 Αὐλίζεται: κοιμᾶται, φυλάττει, παρεμβάλλει. καὶ Αὐλιζό-
Harp. μενοι, Ἀντιφῶν ἀντὶ τοῦ κοιμώμενοι.

Σ | 4442 Αὐλίκουροι: φύλακες. καὶ Αὐλικούς, κιθαρῳδούς.

Harp. 4443 Αὔλειος: ἡ ἀπὸ τῆς ὁδοῦ πρώτη θύρα τῆς οἰκίας. καὶ
Σ Αὐλείους θύρας. καὶ ἑνικὸν αὔλειον λέγουσιν ὡς ἡμεῖς. Ἀριστοφάνης Δαναΐσι· πρὸς τὸν στροφέα τῆς αὐλείας ἐχίνου κεφαλῆς κατορύττειν. Αὔλιον δὲ καὶ προαύλιον οὐδετέρως.

Δ 4444 Αὖλις: ἡ κοίτη. Αὐλὶς δὲ πόλις Βοιωτίας.

Δ 4445 Αὐλίσκοι.

EV 4446 Αὖλος Ποστόμιος οἰκίας μὲν ἦν καὶ γένους πρώτου, κατὰ τὴν ἰδίαν φύσιν στωμύλος καὶ λάλος καὶ πέρπερος διαφερόντως. ἐπιθυμήσας δ' εὐθέως ἐκ παίδων τῆς Ἑλληνικῆς ἀγωγῆς καὶ διαλέκτου πολὺς μὲν ἦν ἐν τούτοις καὶ κατακορής, ὥστε δι' ἐκεῖνον καὶ τὴν αἵρεσιν τὴν Ἑλληνικὴν προσκόψαι τοῖς πρεσβυτέροις καὶ τοῖς ἀξιολογωτάτοις τῶν Ῥωμαίων, τέλος δὲ καὶ ποίημα γράφων καὶ πραγματικὴν ἱστορίαν ἐνεχείρησεν· ἐν ᾗ διὰ τοῦ προοιμίου παρεκάλει τοὺς ἐντυγχάνοντας συγγνώμην ἔχειν, εἰ Ῥωμαῖος ὢν μὴ δύνηται κατακρατεῖν τῆς Ἑλληνικῆς διαλέκτου καὶ τῆς κατὰ χειρισμὸν οἰκονομίας· ὅπερ ἐστὶ πάσης ἀτοπίας σημεῖον, καὶ παραπλήσιον, ὡς ἂν εἴ τις ἐς τοὺς γυμνικοὺς ἀγῶνας ἀπογραψάμενος πυγμὴν ἢ παγκράτιον, παρελθὼν ἐς τὸ στάδιον, ὅτε δέοι μάχεσθαι, παραιτοῖτο τοὺς θεωμένους συγγνώμην ἔχειν, ἐὰν μὴ δύνηται τὸν πόνον ὑπομένειν μήτε τὰς πληγάς. δῆλον γὰρ ὡς εἰκὸς γέλωτα τὸν τοιοῦτον ὀφλεῖν καὶ τὴν δίκην ἐκ χειρὸς λαμβάνειν· ὅπερ ἔδει καὶ τοὺς τοιούτους ἱστοριογράφους, ἵνα μὴ κατετόλμων τοῦ καλῶς ἔχοντος. ἦν δὲ καὶ φιλήδονος καὶ φυγόπονος.

4438 = Diogen. V I 92 4439 — αὔλειος = Ba 164, 1, Σ^a; — πυλών = H cf. Moeris 192, 5, Phryn. 47, 1 4440 Harp. = Ba 164, 1; Lys. fr. 85; Aeschin. 3, 119 4441 — παρεμβάλλει = Σ^a cf. H, Ba 164, 4, Phryn. 10, 3 αὐλιζόμενοι sq. Harp. = An. Ox. 2, 491, 14, Ba 164, 10; Antiph. fr. 91 4442 — φύλακες = Ba 164, 11, Σ^a, H cf. Ambr. 3698 4443 — οἰκίας Harp. πρός—κατορύττειν Ar. fr. 255 αὔλιον sq. cf. Ambr. 3772 4444 = Philop. diff. cf. Ambr. 3753, 3756, Et. M. 170, 19, Apion 4445 cf. H 4446 Polyb. 39, 1 = EV 2, 210, 26—211, 24

4440 Z 344 4441 Z 347 4442 Z 340 4443 cf. 4436; Z 344 4446 cf. v. παραιτοῖτο

A(GITFVM) 4443 β' add. mg. AF, δευτέρα praescripsit V 10 Αὔλειος] Αὔλιος Harp. ep., ordo poscit 13 αὔλιον—οὐδετέρως om. GTFV, post vs. 11 ἡμεῖς I 15 Αὐλίσκοι AM Αὐλίσκος GIT, om. FV 23 δύναται M Exc. 29 λαμβάνειν AGI Exc. λαβεῖν VM

4447 Αὐλός: ὁ εἰς εὐθὺ ἑξακοντισμὸς τοῦ αἵματος. καὶ περόνης μέ- Σ
τρον. καὶ μουσικῆς τι ὄργανον. καὶ Αὐλός, ὁ ἐπιμήκης φυσητήρ.
ἐν Ἐπιγράμμασι· καὶ αὖθις· αὐλὸν καμινευτῆρα τὸν φιλήνεμον. Anth.
4448 Αὐλῶ· δοτικῇ. Synt.
4449 Αὐλῶνες: φάραγγες, ἢ τόποι πλατεῖς περὶ τὰ ὄρη. ὁ δὲ Σ
κατεστρατοπέδευσε, λαβὼν αὐλῶνά τινα μεταξὺ τῆς αὐτοῦ καὶ τῶν E
πολεμίων στρατοπεδείας. καὶ Αὐλωνίζουσα, ἐν αὐλῶνι διάγουσα. Σ
4450 Αὐξέντιος, Μοψουεστίας ἐπίσκοπος· ὃς ἦν τῶν ὁμολογητῶν E
ὀνομαζομένων. ἦν δὲ παρὰ τῶν ἐπιφανῶς τῷ βασιλεῖ Λικινίῳ στρα-
τευσαμένων τῶν ὑπογραφέων τούτου γενόμενος, οὓς δὴ νοταρίους
Ῥωμαῖοι καλοῦσι. τὸ δὲ τῆς ὁμολογίας τοιόνδε γέγονεν εἶδος· ἦν
ἔν τινι τῆς βασιλικῆς ἑστίας αὐλῇ κρήνη τε ὕδατος καὶ ἐπ' αὐτῇ
Διονύσου ἄγαλμα καὶ ἄμπελος μεγάλη περικειμένη καὶ σκιερὸν ἐπιει-
κῶς καὶ συνηρεφῆ τὸν ἅπαντα τόπον ἐργαζομένη. ἐνταῦθα ὁ Λικί-
νιος κατὰ πρόφασιν ἀπαγωγῆς ἀφικόμενος, τοῦ τε Αὐξεντίου αὐτῷ
καὶ ἄλλων πολλῶν ἐκ τῆς θεραπείας παρεπομένων, εἰς τὴν ἄμπελον
ἀνιδὼν ἐθεάσατο βότρυν ὡραῖόν τινα καὶ μέγαν τῶν κλημάτων
ἀπαιωρούμενον. τοῦτον προσέταξε τῷ Αὐξεντίῳ τεμεῖν. ὁ δὲ αὐτίκα
τὸ προσηρτημένον ταῖς ἀναξυρίσιν αὐτοῦ μαχαίριον ἀφελόμενος ἔτεμε
μηδὲν ὑπειδόμενος. ὁ οὖν Λικίνιος πρὸς αὐτόν· θὲς τοίνυν τὸν
βότρυν, ἔφη, πρὸς τοῖς τοῦ Διονύσου ποσίν. ὁ δὲ, μὴ, ὦ βασιλεῦ,
ἀπεκρίνατο, Χριστιανὸς γάρ εἰμι. κἀκεῖνος· οὐκοῦν ἐκποδὼν οἰχήσῃ
τῆς στρατείας ἀποπαυσάμενος· θάτερον γὰρ τοῖν δυοῖν ἀνάγκη ποιεῖν.
ὁ δὲ μηδὲν μελλήσας τήν τε ζώνην ἑαυτοῦ λύεται καὶ ἄσμενος
ἐξεχώρησεν, ὡς εἶχε, τῶν βασιλείων. καὶ αὐτὸν οἱ ἔφοροι μετά τινα
χρόνον ὕστερον ἐπίσκοπον ἐστήσαντο τῆς Μοψουεστίας. τούτου δὲ
ἀδελφὸς νεώτερος Θεόδωρος ἦν, ἀνὴρ τῶν Ἀθήνησι παιδευθέντων· ὃς
καὶ αὐτὸς χρόνῳ ὕστερον ἐπισκοπὴν τῆς Ταρσοῦ ἐκκλησίας ἔτυχε
κληρωσάμενος. ὁ γὰρ δὴ Ἀέτιος τὰ πρότερα δι' ἑαυτοῦ τόν τε Εὐδόξιον
αὐτὸν καὶ ἄλλους τοὺς πλείστου λόγου ἀξίους διδάσκων, ἐπειδὴ τὸν
Εὐνόμιον εἰς τὸ τῆς διδασκαλίας προὐβίβασεν ἔργον, τούτῳ ἤδη κατὰ
τὸ πλεῖστον ἀνθ' ἑαυτοῦ διδασκάλῳ ἐχρῆτο πρὸς τοὺς ἄλλους καὶ
τοὺς μάλιστα τελεωτέρας μαθήσεως δεομένους. καὶ γὰρ ἐκεῖνος μὲν
ἦν ἀρχὰς παρασχεῖν ἄριστος, οὗτος δὲ τὰς δοθείσας ἐργάσασθαι καὶ
σαφῶς τε ἅμα καὶ μεγαλοπρεπῶς ἑρμηνεῦσαι παραπολὺ δυνατώτερος.

4447 — ὄργανον = Ba 164, 13, Et. M. 169, 43 cf. Ap. S. 47, 15; — μέτρον = Σ^{a} cf. sch. χ 19, P 297 αὐλόν sq. Anth. 6, 92, 1 4448 = Synt. Laur. 4449 — ὄρη = Ba 164, 18, Σ^{a} cf. H v. αὐλώνων ὁ—στρατοπεδείας Polyb. 11, 32, 1 αὐλωνίζουσα sq. = H, Ba 164, 19, Σ^{a} 4450 Philostorg. 5, 2, p. 67—8

4447 hinc v. περόνη et v. φιλήνεμος, Z 340 4449 Z 340, 347 4450 cf. v. νοτάριος, v. ὑπογραφεύς, 2869

3 καὶ αὖθις del. Kust. 8 Μοψουεστίας] Μομψουεστίας AGIT A(GITVM)
14 et 20 Λικίνιος] Λικίννιος A 15 αὐτῷ] αὐτόν V 30 τούς] τοῦ V

Δ 4451 Αὔξη: αὔξησις. μὴ ἐφιέναι αὐτοῖς ἐπὶ μεγάλα δυνάμεως
EL αἰρομένοις, ἀλλὰ παντὶ σθένει τὴν αὔξην αὐτῶν κολούειν.

4452 Αὔξη: ἡ βλάστησις. τρέφεσθαι καὶ αὔξεσθαι λέγεται ἐκεῖνα,
Phil. τὰ κατὰ πᾶν μόριον τρεφόμενα καὶ αὐξόμενα. τὰ δὲ κατὰ πρόσθεσιν αὔξεσθαι δοκοῦντα οὐ κατὰ πᾶν μόριον ἑαυτῶν αὔξονται, διὸ οὐδὲ αὔξησις ἐπ' ἐκείνων λέγεται, ἀλλὰ πρόσθεσις. ἐὰν γὰρ ἐπὶ σωρὸν σίτου προσθήσω ἕτερον σῖτον, οὐ δι' ὅλων τῶν μορίων τοῦ σωροῦ ἡ πρόσθεσις γέγονεν, ἀλλ' ἐφ' ἑνός, καθ' ὃ ἡ πρόσθεσις ἐγένετο. λέγεται δὲ τοῦτο καὶ ἐπὶ λίθων· ὥσπερ ἂν εἰ καὶ τὸ πῦρ αὔξεσθαι λέγοι τις ξύλων πλειόνων προστιθεμένων. οὕτω καὶ τὰ μέταλλα αὔξεται, ὑγρᾶς οὐσίας ἔξωθεν περιπαγείσης, ἐξ ἧς συνεστήκασι, καὶ ταύτης μεταβαλλούσης ἐπὶ τὴν αὐτὴν οὐσίαν ὑπὸ τῆς ἐν τῇ γῇ φυσικῆς δυνάμεως ἐκ τοῦ παντός. ὥστε ἐπὶ τῶν ἐμψύχων καὶ ἐχόντων μόρια λέγεται τὸ αὔξεσθαι.

4453 Αὐξίλια· ζήτει ἐν τῷ ψιλός.

4454 Αὐξητική· ζήτει ἐν τῷ γεννητική.

Synt. 4455 Αὔξω· αἰτιατικῇ.

Hom. 4456 Αὖον: ξηρόν. Ἡσίοδος· αὖον ἀπὸ χλωροῦ τάμνειν. καὶ ἐν
Anth. Ἐπιγράμμασι· καὶ τρύφος ἄρτου αὖον ἐπιθραύσας, τὴν πενιχρὴν θυ-
E σίαν. καὶ αὖθις· καὶ τὰ μὲν αὖος ὑπὸ τοῦ φόβου ἦν, τὰ δὲ
Eol. ἀνέφερεν ἡ ἐκ τοῦ θεοῦ πρόσταξις τὸν ἄνδρα. αὕω γὰρ τὸ ξηραίνω, παρὰ τὸ ὕω, τὸ βρέχω, ἀΰω μετὰ τοῦ στερητικοῦ α, καὶ κράσει αὕω.

Σ 4457 Αὖραν: πνοήν. ὁ δὲ Χαγάνος τοὺς ὅρκους ταῖς αὔραις
EL φέρειν ἐδίδου, ἀθρόον τε τὴν πολέμῳ φίλην ἁράμενος σάλπιγγα τὰς δυνάμεις ἤθροιζεν.

EV 4458 Αὐρηλιανός, βασιλεὺς Ῥωμαίων, τὰ πολέμια δεινῶς ἠσκημένος, ἀκάθεκτος δὲ περὶ τὴν γνώμην καὶ πολὺ πρὸς ὠμότητα ῥέπων τῶν τε κατὰ πόλιν ἐπισήμων θανάτῳ πολλοὺς ἐζημίωσεν ὑπὸ Ζηνοβίας ἐλεγχθέντας, χαλεπός τις καὶ φονικὸς ὑπάρχων καὶ μᾶλλον ἀναγκαῖος στρατηγὸς ἢπερ αἱρετὸς βασιλεύς, ἐν παντὶ δὲ καιρῷ δυσχερὴς καὶ ἀπρόσιτος, ὡς μηδὲ τῶν οἰκείων αἵματος διαμεῖναι καθαρός· τὴν γὰρ τοῦ παιδὸς γαμετὴν καὶ ἀνέγκλητον διεχρήσατο. τοῦ δὲ τῶν

4451 — αὔξησις = Ambr. 3752 cf. H, Thom. 10, 15 μὴ sq. Agath. 1, 5, p. 24 = EL 439, 4—6 4452 — βλάστησις cf. H v. αὔξις τρέφεσθαι—vs. 8 ἐγένετο Philop. 234, 11—16; vs. 8. 9 λέγεται—13 παντός Philop. 275, 21—25 4455 = Synt. Gud. 4456 — ξηρόν sch. M 160 = H cf. Ambr. 3697, Et. M. 170, 42; vs. 18 αὖον alt.—τάμνειν Hesiod. O. 743 καὶ τρύφος—θυσίαν Anth. 6, 105, 3—4 vs. 20 καὶ τά—ἄνδρα fort. Aelian. αὕω sq. cf. Et. M. 170, 43 4457 — πνοήν = Ba 164, 26, Σ[A] cf. H ὁ sq. Th. Simoc. 1, 3, 13—4, 1 = EL 478, 22—3 4458 — p. 417,2 ἐπανορθωτής Io. Antioch. fr. 155, FHG 4, 599 = EV 1, 195, 12—21 cf. Eutrop. 157

4451 Z 344 4456 cf. 2352; Z 345 4457 hinc v. Χαγάνος 4458 cf. v. ἐζημίωσεν et v. αἱρετόν; Z 340

A(GITFVM) 28 περί] παρά A om. V

στρατιωτῶν τάγματος καὶ τῶν ἐξιτήλων καὶ διαλελυμένων ἠθῶν ὡς ἐπίπαν γενναῖος ἦν ἐπανορθωτής. ζήτει περὶ αὐτοῦ χρησμὸν ἐν τῷ αἴ κε πάθοι.

4459 Ἀϋσάντων: βοησάντων, φωνησάντων, κηρυξάντων. Σ

4460 Αὐσόνιος, σοφιστὴς, γεγραφὼς ἐπιστολὰς καὶ ἄλλα τινὰ πρὸς Heey. Νόννον.

4461 Αὐσονίων: Ἰταλῶν. καὶ Αὖσονες, οἱ βασιλεῖς· παρὰ τὸ Σ αὔσω, τὸ τολμῶ. οἱ πάντα ἐπιτολμῶντες τῷ προστάγματι. καὶ Eol.? Αὐσόνιος πόντος, ἡ Σικελικὴ θάλασσα· ἀπὸ Αὔσονος, τοῦ Ὀδυσσέως καὶ Καλυψοῦς υἱοῦ ἐκεῖ βασιλεύσαντος.

4462 Αὐστηρός. αὐστηροὺς εἶναί φασι πάντας τοὺς σοφοὺς καὶ Δ σπουδαίους, τῷ μήτε αὐτοὺς κατὰ ἡδονὴν ὁμιλεῖν μήτε παρ' ἄλλοις Phil. τὰ καθ' ἡδονὴν παραδέχεσθαι. καὶ ἄλλον δὲ εἶναι αὐστηρὸν, παραπλησίως λεγόμενον τῷ αὐστηρῷ οἴνῳ, ᾧ κατὰ μὲν φαρμακοποσίας χρῶνται, πρὸς δὲ πρόποσιν οὐ πάνυ. ὅτι τὸν αὐστηρὸν ἡ κωμῳδία Suid. ἀγροικον ἠγεῖται.

4463 Αὐτάγγελος: ἡ ἀφ' ἑαυτῆς ἀπαγγέλλουσα. αὐτάγγελος γὰρ ἡ δρῦς αὐτή σοι φράσει· ἔχει γὰρ γράμματα. καὶ αὖθις· ἦλθεν E ἂν παρὰ βασιλέως αὐτάγγελος τούτων, εἰ μὴ νόσῳ μακρᾷ καὶ χαλεπῇ ἔκαμνε. καὶ αὖθις· ξυλληφθέντα δὲ εἰρχθῆναι κελεύει, ὡς μὴ E ἐπανελθόντα εἰς τὸ στρατόπεδον αὐτάγγελον γενέσθαι τῶν ξυμφορώτερον ἂν κρυπτομένων.

4464 Αὐτάρκεια. Πολύβιος· ἄξιος μὲν ὁ ἀνὴρ ἐπαινεῖσθαί τε Δ καὶ θαυμάζεσθαι, μάλιστα δὲ τῆς αὐταρκείας τοῦ βίου, ἣ φιλοσοφία E τις αὐτοδίδακτος ἐγένετο περὶ αὐτὸν, ἣν ἐν πολλοῖς ἐπεδείξατο πράγμασιν. καὶ Ἀὐταρκῶ· δοτικῇ. Synt.

4465 Αὐταῖς ἀμάλαις: ἐπὶ τῶν πανωλεθρίᾳ διαφθειρομένων. Prov. οἱονεὶ αὐτοῖς βάθροις, αὐταῖς ῥίζαις· ἀμάλη γὰρ ὁ καρπός.

4466 Αὐταῖσι διαβολαῖς: Ἀττικὴ σύνταξις. τοῦτο δὲ εἶπεν, ἐπεὶ Ar. διαβάλλων ὁ Κλέων τοὺς ἄλλους στρατηγοὺς καὶ προσκρούων τῷ δήμῳ εἰς ἑαυτὸν βλέπειν τοὺς Ἀθηναίους ἔπεισεν. ὡς εἰ λέγοιμεν, αὐτοῖς ὅπλοις τὰ ἅρματα, αὐτοῖς ἵπποις. λείπει ἡ πρόθεσις. τῶν ἄλλων δὲ Παφλαγόνων· ὡς πάντων μὲν ὄντων πονηρῶν, ἐξαιρέτως δὲ τοῦ

4459 = Ba 164, 32, Σ[a]; — βοησάντων = sch. B 334 cf. H v. ἀΰσαι 4461 cf. Eust. D. 78, Tzetz. in Lyc. 44. — Ἰταλῶν = Ba 165, 1, Σ[a], H v. Αὐσωνίων cf. Et. M. 171, 15 Αὖσονος sq. = sch. Ap. R. 4, 553 4462 l. = Ambr. 3703 αὐστηρούς—πάνυ Laert. 7, 117 4463 — ἀπαγγέλλουσα cf. Ammon. v. ἄγγελος 4464 Πολύβιος cf. Byz. Zt. 21, 418, 421; ἄξιος—πράγμασι Dionys. Hal. 5, 12, 3 αὐταρκῶ sq. cf. An. Ox. 4, 287, 3, Synt. Laur. 4465 = Philol. Suppl. 6, 260, n. 253 4466 — Κλέωνος sch. Ar. Eq. 3, 6—7 (Phryn. fr. 285?)

4461 Z 340 4462 ὅτι sq. ex 2061 4463 Z 344 4464 cf. v. Πόπλιος Οὐαλέριος 4465 cf. 1463

12 κατά] κατὰ τὴν GIT 15 ὅτι—16 ἠγεῖται om. ATFV mg. IM A(GITFVM)
17. 18 γὰρ ἡ δρῦς] θ' ἡ δρῦς γάρ coni. Bhd. 25 ἦν om. FV

Suid. Κλέωνος. ὅτι σύντροφον Ἀθηναίοις ἄνευ τῆς σὺν προθέσεως λέγειν αὐτοῖς ὅπλοις, αὐτοῖς ταλάροις.

Σ 4467 Αὖτε: μετὰ ταῦτα.

Σ 4468 Αὐτερέται: οἱ ἐλαύνοντες καὶ μαχόμενοι. οἱ αὐτοὶ καὶ ἐρέται καὶ ὁπλῖται.

Δ 4469 Αὐτή: ἐκείνη, Αὕτη δὲ δεικτικῶς. καὶ αὕτη ἡ ἡμέρα, ἣν
Ε ἐποίησεν ὁ κύριος. αὕτη ἐστὶ τὸ κυριακὸν Πάσχα, Μαρτίου κε'. εἰ οὖν τῇ γ' ἡμέρᾳ ἀνέστη ὁ Χριστὸς, ὡς αὐτὸς ἔλεγε· δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου ἀποκτανθῆναι καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι· διὰ τί ὀγδόῃ λέγεται ἡ ἀνάστασις τοῦ κυρίου; καὶ τρίτη μὲν εἴρηται ὡς ἀπὸ τοῦ πάθους καὶ τοῦ σταυροῦ, ὀγδόη δὲ ὡς ἀπὸ τῆς δημιουργίας καὶ τῆς ἀναστάσεως. ἡ ἀρχὴ γὰρ τοῦ φαινομένου κόσμου ἐν αὐτῇ γέγονε, καὶ τὸ ἀληθινὸν φῶς ὁ Χριστὸς ἐν αὐτῇ ἀνέστη.

Prov. 4470 Αὕτη γε χρηστῶν ἐστιν ἀνδρῶν ἡ νόσος: ἐπὶ τῶν ἐν ψόγου τάξει λεγόντων τι κατά τινος, ὅπερ ἐστὶν ἄξιον ἐπαινεῖσθαι.

Suid. 4471 Αὐτῆ· Ἀριστοφάνης· ἀμὶς μέν, ἣν οὐρητιάσῃς, αὐτῇ παρὰ σοὶ ἠρεμήσεται ἐγγὺς ἐπὶ τοῦ παττάλου.

Prov. 4472 Αὐτὴ κάμινος, αὐτὸς εἵλκυσε καπνὸς ἢ τροχός: ἐπὶ τῶν ὁμοια καὶ παραπλήσια διαπραττομένων.

Σ 4473 Αὐτήκοοι: οἱ μὴ ἐπιτασσόμενοι, αὐτοὶ δὲ ἑαυτῶν ἀκούοντες.

Σ 4474 Αὐτῆμαρ: αὐτῇ τῇ ἡμέρᾳ.

Prov. 4475 Αὕτη μὲν ἡ μήρινθος οὐδὲν ἔσπασε: παροιμία ἐπὶ τῶν μηδενὸς τυγχανόντων. ἡ μεταφορὰ ἀπὸ τῶν ἁλιέων.

4476 Αὐτήν· ζήτει ἐν τῷ ἀνελοῦσα γὰρ τὸν νόμον ἐχειροτόνησεν αὐτήν.

Σ 4477 Ἀϋτήν: βοὴν, μάχην.

Σ 4478 Αὐτὴ νῦν ἡ σοφία ζῇ: ἐπί τινος εὐδοκιμοῦντος. καὶ Αὐτὴ νῦν ἀνθεῖ ἡ Μοῦσα· ὅμοιον τῷ προτέρῳ καὶ πολιτικώτερον.

4479 Αὐτίκα: μετ' οὐ πολύ. εὐθέως, παραχρῆμα, συντόμως, πρὸς
Σ ὀλίγον, ἢ μικρὸν ὕστερον. τὸ δὲ Αὐτίκα μάλα, ἀντὶ τοῦ εὐθύς.

Prov. καὶ παροιμία· Αὐτίκα καὶ φυτὰ δῆλα, ἃ μέλλει κάρπιμ'

4467 = Ba 165, 8, Σ^a 4468 = Ba 165, 9; — μαχόμενοι = Σ^a; οἱ αὐτοί sq. = Paus. Att. fr. 85 ex Eust. I. 1332, 17 4469 — δεικτικῶς cf. Philop. diff. = Et. M. 173, 7 αὕτη ἡ sq. Georg. 1, 312, 9—22; vs. 6 αὕτη—κύριος Ps. 117, 24; vs. 8 δεῖ—ἡμέρᾳ Luc. 9, 22 4470 = Philol. Suppl. 6, 260, n. 254; l. Ar. Vsp. 80 4472 = Philol. Suppl. 6, 260, n. 255 cf. H 4473 = Ba 165, 11, Σ^a cf. Bk. 211, 1 4474 = Σ^a, Ba 165, 15, H, sch. A 81, Ap. S. 48. 9 4475 cf. Diogen. III 35, Ba 165, 13, sch. Ar. Vsp. 175, sch. Ar. Th. 928 4477 = Ba 165, 2, Σ^a cf. sch. A 492, Et. M. 171, 34, H, Ambr. 3751, Ap. S. 47, 20 4478 = Ba 165, 5, 6 cf. Phryn. 12, 14, Philol. Suppl. 6, 260, n. 257 4479 εὐθέως—vs. 29 εὐθύς = Ba 165, 18, Σ^a cf. sch. Pl. Gorg. 459c, Bk. 211, 3, 4, H; εὐθέως, παραχρῆμα = Ap. S. 47, 7, sch. A 118, Et. M. 172, 5, sch. Eq. 284 cf. Tim., Ambr. 3808 vs. 30 αὐτίκα sq. = Philol. Suppl. 6, 260, n. 258

4466 ὅτι sq. ex 4540 4467 Z 349 4469 hinc 2078 et v. κυριακή
4471 ex 1590 4473 Z 341 4474 cf. 4427 4475 cf. v. μήρινθος 4479 Z 348

A(GITFVM) 1 ὅτι—2 ταλάροις ex IM^{mg} 9 ἀναστῆναι] ἀναστήσεται A
4471 om. GTFV 23 ἡ—ἁλιέων om. M 24 τὸν νόμον A τὸ ὄνομα IM

ἔϲεϲθαι, ἐπὶ τῶν εὐθὺϲ ἀπὸ πρώτηϲ ἀρχῆϲ πρὸϲ ἀγαθὸν τέλοϲ ἀποβλεπόντων.

4480 Αὖτιϲ καὶ Αὖθιϲ, ἑκατέρωϲ λέγουϲιν. Σ

4481 Αὐτίτην: τὸν αὐθιγενῆ οἶνον. Ἀμφικτύοϲι Τηλεκλείδηϲ. Σ

4482 Αὐτό· αὐτὸ ἔλεγον οἱ φιλόϲοφοι τὸ κυρίωϲ λεγόμενον. καὶ Phil.
τὴν ἰδέαν διὰ τοῦ αὐτὸ ἐδήλουν αὐτοάνθρωποϲ λέγοντεϲ καὶ αὐτοδόξαϲτον, τὸ κυρίωϲ καὶ μᾶλλον δοξαϲτὸν καὶ μᾶλλον δόξα· καὶ αὐτοαληθῶϲ, ἤ ἐϲτι μᾶλλον ἀκριβῶϲ. ὥϲτε ἐϲτὶν αὐτοδόξα. ἐν ᾧ γὰρ τὸ αὐτό, ἐν τούτῳ μάλιϲτα καὶ ἀκριβέϲτερον.

4483 Αὐτοαπλότηϲ· ἀλλ' ὅ τε βαϲιλεὺϲ τὸν τρόπον ἦν αὐτο- E
απλότηϲ, καὶ ϲιωπῶϲά τιϲ ἐπιείκεια, καὶ πρὸϲ τὰϲ δωρεὰϲ ὑγρὸϲ καὶ καταφερὴϲ, καὶ πρὸϲ τὰϲ πράξειϲ βαρὺϲ καὶ ϲυντεταμένοϲ.

4484 Αὐτοβοᾷϲ ὅμοιοϲ ὢν τῷδε: Ἀττικῶϲ πάνυ ϲυμπέπλεκται. Σ
ϲημαίνει δὲ, οἷον αὐτὸϲ ἑαυτῷ μαρτυρεῖϲ κεκραγὼϲ ὅμοιοϲ εἶναι τῷδε.

4485 Αὐτοβοεί: ἐν αὐτῇ τῇ μάχῃ. Ἀγαθίαϲ· πῶϲ γὰρ ἐνὴν Σ
αὐτοὺϲ ὀλίγουϲ ὄνταϲ ἐνεγκεῖν τὰ πλήθη τῶν πολεμίων καὶ μὴ οὐχὶ E
αὐτοβοεὶ διαφθαρῆναι ὑπὸ δέουϲ; ἐκκληϲιαϲθέντεϲ ἐδογμάτιζον E
αὐτοβοεὶ παραδώϲειν τὴν πόλιν. ἀντὶ τοῦ αὐθημερόν, οἱονεὶ ἔναυλον. ἢ ἔτι τῶν βοῶν ἐν ζυγῷ ὄντων.

4486 Αὐτοβοεί: τὸ παραχρῆμα ϲυντελεϲθῆναι ἐν πολεμικοῖϲ ἔργοιϲ, Σ
οἷον ταχέωϲ καὶ ἅμα τῷ πολεμικῷ ἀλαλάγματι. οὕτωϲ Θουκυδίδηϲ. παρὰ Θεοπόμπῳ δὲ ἀντὶ τοῦ κατὰ κράτοϲ.

4487 Αὐτογένεθλον: αὐτογέννητον. Σ

4488 Αὐτοδαῆ: τὰ ἐκ φύϲεωϲ καὶ μὴ ἐκ διδαχῆϲ. αὐτοδαῆ ὀρχή- Soph.
ματα.

4489 Αὐτόδαξον τρόπον: τουτέϲτι τὸν δάκνοντα, τὸν ἐμπεϲόντα· Ar.
ἢ αὐθάδη καὶ ὀργίλον· ἐπεὶ οἱ ὀργίλοι δάκνουϲι τοῖϲ ὀδοῦϲιν. Ἀριϲτοφάνηϲ· τὰϲ φύϲειϲ ὑμῶν δεδοικὼϲ καὶ τὸν αὐτόδαξον τρόπον. καὶ αὖθιϲ· ἵν' ὄζωμεν γυναικῶν αὐτοδὰξ ὠργιϲμένωϲ. ἀντὶ τοῦ πάνυ. Αὐτοδὰξ καὶ τὸ παραχρῆμα ἀποδεδώκαϲιν. Σ

4490 Αὐτὸ δείξει: παροιμία. ἐλλείπει τὸ ἔργον. Σ

4481 = Ba 165, 16; Telecl. fr. 9 (1, 212 K.) 4482 αὐτοδόξαϲτον sq. cf. Alex. Aphr. 572, 18—19, 573, 7—8, 14—15 4484 = Ba 165, 26, Phryn. fr. 278; l. = fr. com. ad. 808 4485 — μάχῃ = Σ^a πῶϲ—δέουϲ Agath. 2, 20, p. 108 αὐθημερόν sq. cf. H 4486 = Bk. 214, 32, Ba 165, 21, Et. M. 174, 1 cf. H; παραχρῆμα = Moer. 189, 35, Ambr. 3800; Thuc. 2, 81, 4; Theopomp. com. (deest ap. Kock.) 4487 = Ba 166, 17, Σ^a, H 4488 Soph. Ai. 700 c. sch. 4489 — vs. 28 τρόπον Ar. Pac. 607 c. sch.; ἵν'—πάνυ Ar. Lys. 688 c. sch. vs. 30 αὐτοδάξ sq. = Ba 165, 31 cf. H 4490 cf. H, sch. Pl. Hipp. mai. 288b, sch. Theaet. 200e

4480 cf. 4430 4483 cf. v. ὑγρῶϲ 4484 Z 347 4487 Z 345 4488 cf. Z 345 4489 Z 341

5 Αὐτό pr.] Αὐτοί A 10 sq. corrupta 12 ϲυντεταμένοϲ] ϲυντεταγμένοϲ A(GITFVM) FV cf. v. ὑγρῶϲ 16 ἐνεγκεῖν] ἐνεγκοῦϲα A 17 ἐκκληϲιαϲθέντεϲ] ἐν ἐκκληϲιαϲθέντεϲ FM 24 διδαχῆϲ Zon. pr. cf. sch. διαδοχῆϲ omnes 26 et 28 Αὐτόδαξον] Αὐτοδάξ sch., Kust. 29 ὠργιϲμένωϲ] cp. A

Σ? 4491 Αὐτοδίκη: ὅταν αὐτὸς δι' ἑαυτοῦ τις δικάζηται καὶ αὐτο-
Harp. μαχεῖ. καὶ Αὐτοδοκεῖν Δείναρχος ἀντὶ τοῦ ἑαυτοῖς τὰ δίκαια ὁρίζειν.

Σ 4492 Αὐτόετες: σὺν αὐτῷ τῷ ἔτει.

Ar. 4493 Αὐτόθεν: ἀντὶ τοῦ ἐντεῦθεν. οὐκ ἔσθ' ὅπως οὐκ εἰσὶν ἐνθάδ' 5
E αὐτόθεν. Ἀριστοφάνης Ἀχαρνεῦσι. καὶ αὖθις· ἀλλὰ χρῆναι παρ' αὐτόθεν, ὡς ἔχουσιν, ἀντεπεξελθόντας ἐν χερσὶ στήσασθαι τὸ τέλος τοῦ πολέμου. ἢ Αὐτόθεν, ἀντί τοῦ οἴκοθεν, ἔνδοθεν. ὁ δὲ αὐτόθεν πρὸς τὸ ἀδικεῖν ὥρμηται. καὶ Ἰώσηπος· δῶρα δὲ αὐτόθεν
ΕΣ πέμπειν τῷ βασιλεῖ. ἀντὶ τοῦ οἴκοθεν. ἢ Αὐτόθεν, ἐκεῖθεν. 10
E ἢ ἀπὸ τοῦ παρόντος χρόνου. οἱ δὲ Ῥωμαῖοι αὐτόθεν ἐλπίσαντες ἤδη τὴν παρεμβολὴν αἱρήσειν. ἀντὶ τοῦ ἐκ παραχρῆμα. καὶ Θου-
E κυδίδης· χειμὼν ἦν, καὶ τοῖς Ἀθηναίοις τὸν πόλεμον αὐτόθεν ποιεῖσθαι οὔπω ἐδόκει.

Σ 4494 Αὐτοκακὸν ἔοικε τῷδε: ἄκρως καὶ καθ' ὑπερβολὴν ἔοικε 15
τῷδε εὔνους.

4495 Αὐτοκέλευστος: αὐθόρμητος. Ἀρριανός· κρότος τε ἀθρόως,
E οὐκ ἐκ παραγγέλματος, ἀλλ' αὐτοκέλευστος ὡρμήθη.

Σ 4496 Αὐτοκέραστον: οἷον εὐκέραστον, συμμέτρως κεκραμένον.

4497 Αὐτοκίνητον. αὐτοφυές. τῷ δὲ Ἑρμείᾳ τῷ φιλοσόφῳ τὸ 20
αὐτοκίνητον οὐ προσήνθει τῇ πολυμαθείᾳ.

Harp. 4498 Αὐτοκλείδης· Κηδωνίδης καὶ Αὐτοκλείδης καὶ Θέρσανδρος ὡς παιδερασταὶ σφοδροὶ διεσύροντο.

Ar. 4499 Αὐτοκόμου· Ἀριστοφάνης Βατράχοις περὶ Αἰσχύλου· φρίξας δ' αὐτοκόμου λοφιᾶς λασιαύχενα χαίτην. ὡς εἶπεν, ὀργισθεὶς ὥσπερ σῦς. 25
πᾶν τὸ ἐπισκύνιον κάτω ἕλκεται.

Hesy. 4500 Αὐτοκράτης, Ἀθηναῖος, κωμικὸς ἀρχαῖος. τῶν δραμάτων αὐτοῦ Τυμπανισταί. ἔγραψε καὶ τραγῳδίας πολλάς.

4501 Αὐτοκράτωρ: δεσπότης, ἄρχων. Ἑλληνικὴ ἡ φωνή. τάττε-
ται δὲ ἐπὶ παντὸς τοῦ καταπολεμήσαντος καὶ κρατήσαντος τῶν ἐναν- 30
τίων. καὶ ἦν κοινὸν πρόσρημα ἐπί τε στρατηγῶν καὶ ὑπάτων.
ἐπικλητικῶς αὐτοκράτορ.

4491 αὐτοδοκεῖν sq. Harp. = An. Ox. 2, 491, 15, Ba 166, 1; Dinarch. fr LX 4 4492 = Ba 166, 18, Σ^a, Ap. S. 48, 11, H, sch. γ 322 4493 — vs. 6 αὐτόθεν Ar. Ach. 116 c. sch. vs. 6 ἀλλά—8 πολέμου Arr. Parth. p. 27 R. vs. 9 δῶρα—βασιλεῖ Ios. Ant. 12, 199 vs. 10 αὐτόθεν, ἐκεῖθεν = Ba 166, 19, Σ^a, H vs. 11 οἱ—12 παραχρῆμα Polyb. attr. Dr. vs. 13 χειμὼν sq. Thuc. 6, 71, 2 4494 — τῷδε alt. = Ba 165, 29, Phryn. 11, 14 (fr. 279), fr. com. ad. 658 4495 κρότος sq. Arr. Parth. p. 31 R. 4496 = Ba 167, 27 cf. Phryn. 1, 9; 29, 13 4497 τῷ sq. Dam. fr. 74 cf. Phot. bibl. 341a 17—18 4498 Harp. 4499 Ar. Ran. 822 c. sch. 822—3; πᾶν sq. P 136

4491 cf. 4509; Z 344 4493 Z 348; Arr. cf. v. παραυτόθεν 4495 cf. v. παράγγελμα; Z 341 4497 Z 346 4498 cf. v. Κηδωνίδης 4501 Z 341

A(GITFVM) 1 αὐτομαχεῖ] αὐτομαχῆ A 2 αὐτοδοκεῖν AVM Harp. ep. Ba, αὐτοδικεῖν GITF Harp. An. Ox. 6 παρ'] γάρ Schweigh. sed cf. v. παραυτόθεν 17 ἀθρόως] ἀθρόος VM 19 Αὐτοκέραστον] Αὐτοκέρας· αὐτόκρατον Ba sed cf. Phryn. 32 ἐπικλητικῶς αὐτοκράτορ ex mg. AIM ἐπικλητικῶς IM ἐπικλητικόν A

4502 Αὐτοκράτορα: πάντα τὸν ἀνυπεύθυνον. Σ

4503 Αὐτοκράτορες: ἀντὶ τοῦ τούτων τῶν δογμάτων κρατοῦντες. Ar.
Ἀριστοφάνης Ὄρνισι· τούτων πέρι πάντων αὐτοκράτορες ἤκομεν.

4504 Αὐτοκτόνα· οὕτως ἐξ ἐχθρῶν αὐτοκτόνα πέμπετο δῶρα, ἐν Anth.
χάριτος προφάσει μοῖραν ἔχοντα μόρου. περὶ Αἴαντος καὶ Ἕκτορος.

4505 Αὐτολήκυθοι: Δημοσθένης κατὰ Κόνωνος. ἤτοι ἀντὶ τοῦ Harp
εὐζώνως τινὰς καὶ ἑτοίμως πᾶν ὁτιοῦν ποιεῖν καὶ ὑπομένειν. ἢ ἀντὶ τοῦ πένητας, μηδὲν ἄλλο κεκτημένους ἢ ληκύθους. ἢ αὐτουργούς. ἢ ἀντὶ τοῦ εἰς πληγὰς ἑτοίμους καὶ οἷον τύπτοντας καὶ μαστιγοῦντας καὶ ὑβρίζοντας. ἢ τοὺς ἐκ προχείρου διδόντας ἀργύριον καὶ ἑτοίμους πρὸς τὰς μίξεις. καὶ γὰρ εἶχον ἐν ταῖς ληκύθοις ἀργύρια, καὶ λύσαντες δὲ πολλάκις τὴν λήκυθον ἐχρῶντο τῷ ἱμάντι πρὸς τὸ μαστιγοῦν.

4506 Αὐτολόχευτος: αὐτογέννητος, ὁ θεὸς ὁ ἀγέννητος. Σ

4507 Αὐτόλυκος: Ἀρεοπαγίτης οὗτος ἦν καὶ τοὺς οἰκείους ὑπεκτι- Harp
θέμενος ἐν τοῖς Χαρωνικοῖς ἑάλω, καὶ κατεψηφίσαντο αὐτοῦ οἱ δικασταί. Αὐτόλυκοι, πένητες, οἷον αὐτοδιάκονοι. Σ

4508 Αὐτοματίζουσιν: αὐτόματοι παραγίνονται. αὐτοματίζουσι E
δύο τινές. ἀδελφὼ δὲ ἦστην καὶ γένος καὶ προαίρεσιν, καὶ χώρους τινὰς ἀσύλους ὑποδεικνύουσι διὰ τὸ ἕρμα τοῦ ὀχυρώματος.

4509 Αὐτομαχεῖν: τὸ δι' ἑαυτοῦ δικάζεσθαι, ἀλλὰ μὴ δι' ἑτέρου. Harp
καὶ Αὐτομαχῆσαι· ὅταν ἀντιποιῆταί τις οἰκίας ἢ χωρίου, καὶ εἴη Σ
ὁ πεπρακὼς μὲν ἀξιόχρεως ὥστε δοκεῖν ἀποτῖσαι τὴν ζημίαν καὶ συνίστασθαι τὴν δίκην πρὸς τὸν ἀντιποιούμενον, βούλοιτο δὲ ὁ διακατέχων τὴν οἰκίαν ἢ τὸ χωρίον ἴδιον αὐτῷ γενέσθαι ἀγῶνα πρὸς τὸν ἀμφισβητοῦντα, τοῦτο αὐτομαχῆσαι καλεῖται.

4510 Αὐτομόλως: προδοτικῶς. καὶ Αὐτομολῆσαί ἐστι τὸ Σ
προδοῦναι τοὺς ἰδίους καὶ ἐᾶσαι καὶ ἀπελθεῖν πρὸς τοὺς ὑπεναντίους Ar.
ἐπὶ συμμαχίᾳ. Αὐτόμολος δὲ ὁ πρόσφυξ. Δ

4511 Αὐτὸν κέκρουκας τὸν βατῆρα τῆς θύρας: ἐπὶ τῶν ἀλη- Prov.
θευόντων· οἷον ἐπ' αὐτὴν ἐλήλυθας τὴν ἀλήθειαν.

4502 = Ba 166, 3 4503 Ar. Av. 1595 c. sch. 4504 Anth. 7, 152, 7—8 4505 Harp. = Ba 166, 4; An. Ox. 2, 491, 17; Dem. 54, 14 4506 = Σ^{a} cf. Ba 166, 20, H 4507 — δικασταί Harp. = Ba 166, 22 αὐτόλυκοι sq. = Ba 166, 25 4508 αὐτοματίζουσιν alt. sq. Th. Simoc. 2, 7, 6 et 9 cf. Byz. Zt. 21, 392 4509 — ἑτέρου Harp. = An. Ox. 2, 491, 23, Ba 166, 28 αὐτομαχῆσαι sq. = Ba 167, 21 cf. Bk. 184, 13 4510 — προδοτικῶς = Ba 166, 26, H cf. Σ^{a} ἀπελθεῖν cf. sch. Ar. Eq. 26 αὐτόμολος sq. aliter Ambr. 3705 4511 Philol. Suppl. 6, 260, n. 259 cf. fr. com. ad. 570c (III p. 755 K.)

4503 Z 342 4506 hinc v. λοχεύονται 4508 Z 348; Th. cf. v. ἕρμα 2 4509 cf. 4491; Z 348 4510 Z 349, 341 4511 cf. v. B 181

5 προφάσει] προφθάσει A 15 Ἀρεοπαγίτης] Ἀρεωπαγίτης AF V^{ac} M^{ac} A(GITFVM) 16 Χαρωνικοῖς] Χαιρωνικοῖς Harp., Ba 17 αὐτόλυκοι nov. gl. TFV 25 αὐτῷ] αὐτό A 30 βατῆρα] βακτῆρα A

Σ 4512 Αὐτονομουμένη πόλις: ἡ τοῖς αὑτῆς νόμοις χρωμένη καὶ οὐχ ὑπακούουσα ἑτέροις.

Prov. 4513 Αὐτὸν οὐ τρέφων κύνας τρέφεις: ἐπὶ τῶν ἀπορούντων μὲν, ἑτέρους δὲ τρέφειν ἐπαγγελλομένων.

Σ 4514 Αὐτονυχί: αὐτῇ τῇ νυκτί.

E 4515 Αὐτοπαθῶς· Πολύβιος· ὁ δὲ ἀνακρινόμενος ὑπὲρ ἑκάστου ἀπεδίδου λόγον· οὐ μὴν ἀλλ' αὐτοπαθῶς καὶ γενναίως ὑπέμενε τοὺς
E ἐλέγχους. καὶ αὖθις· ὁ δὲ Ἀννίβας δόξας αὐτοπαθῶς ἅμα καὶ ἀληθῶς εἰρηκέναι πιστεύεται. Αὐτοπαθῶς οὖν, οἴκοθεν, ἐξ ἰδίας
E προαιρέσεως. ὁ μὲν οὖν Ἀντίοχος δόξας αὐτοπαθῶς ἅμα καὶ ἀληθῶς εἰρῆσθαι παρὰ τοῦ Ἀννίβου κατὰ Ῥωμαίων, πάσης τῆς προϋπαρχούσης ὑποψίας ἀπέστη.

Ar. + Σ 4516 Αὐτόπρεμνον: δύσκολον, πρόρριζον, αὐτόρριζον, ἢ μέγα. Ἀριστοφάνης περὶ Αἰσχύλου· αὐτοπρέμνοις τοῖς λόγοισιν ἐμπεσόντα, συσκεδᾶν πολλὰς ἀλινδήθρας ἐπῶν.

4517 Αὐτός: ἀντὶ τοῦ ἐγώ. καὶ ἦλθον ἡμέραις αὐτὸς μὲν μ'. ἀντὶ τοῦ ἐγὼ Ἀττικῶς.

Ar. 4518 Αὐτός: ἐπὶ σώματος. διορίζουσι γὰρ τὰς ψυχὰς πρὸς τὰ σώματα. Ὅμηρος· πολλὰς δ' ἰφθίμους ψυχάς· εἶτα, αὐτοὺς δ' ἑλώρια. καὶ Ἀριστοφάνης· ὁ νοῦς μὲν ἔξω, αὐτὸς δ' ἔνδον ἀναβάδην ποιεῖ τραγῳδίαν.

Ar. 4519 Αὐτός: ἀντὶ τοῦ ὁ δεσπότης. Ἀριστοφάνης Βατράχοις· φράσον ταῖς ὀρχηστρίσιν, ὅτι αὐτὸς εἰσέρχομαι.

Prov. 4520 Αὐτὸς αὑτὸν αὐλεῖ: ἐπὶ τῶν ἑαυτοὺς δεικνυόντων ἐν τοῖς πράγμασιν, ὁποῖοί τινές εἰσιν.

Prov. 4521 Αὐτὸς γὰρ εὗρε τοῦ κακοῦ τὴν πηγύαν: ἤτοι τὴν πηγήν· ἐπὶ τῶν ἑαυτοῖς κακὰ ἐπισπωμένων.

Σ 4522 Αὐτόσε: ἐκεῖσε. λέγεται δὲ καὶ Αὐτοῦσε. διάβασις δὲ
E οὐκ ἔστιν αὐτοῦσε, ὅτι μὴ τῷ ζεύγματι.

4523 Αὐτὸς ἔφα: τοῦτο παροιμιακὸν ἐπὶ Πυθαγόρου τοῦ φιλοσόφου εἰσῆλθεν εἰς τὸν βίον. οὗτος γὰρ ἀποσεμνύνων τὸν ἑαυτοῦ λόγον καὶ βίον ἐν ταῖς ὁμιλίαις ἔλεγεν, αὐτὸς ἔφα· ἀντὶ τοῦ εἶπεν. οὐκ ἐμὸς ὁ λόγος, φησὶν, ἀλλὰ τοῦ θεοῦ.

4512 = Ba 167, 4, Sabb. 4513 = Diogen. III 17 4514 = Ba 166, 27, Σ[a], H, Ap. S. 48, 10, sch. Θ 197, Ambr. 3799, Et. M. 173, 55 4515 — ἐλέγχους Polyb. 8, 17, 7—8 vs. 8 ὁ—9 πιστεύεται fort. App. vs. 10 ὁ μέν sq. Polyb. 3, 12, 1 4516 — πρόρριζον + ἢ μέγα cf. sch. Ar. Ran. 903; αὐτόρριζον = Ba 166, 30, Σ[a], Ambr. 3769 cf. H, sch. Soph. Ant. 714; αὐτοπρέμνοις sq. Ar. Ran. 903—4 4517 — ἐγώ pr. cf. H 4518 Ar. Ach. 398—99 c. sch.; A 3—4 4519 Ar. Ran. 520 c. sch. 4520 = Diogen. III 16, fr. com. ad. 733 4521 = Diogen. III 18 4522 — ἐκεῖσε = Ba 166, 32, Σ[a], H, Ambr. 3801 4523 — βίον Laert. 8, 46; fort. sch. Ar. Nu. 195

4512 Z 344 4514 Z 349 4515 Z 348 4516 cf. 1283 4518 cf. v. οὐκ ἔνδον 4521 cf. v. πηγύα 4522 Z 348

A(GITFVM) 13 αὐτόρριζον om. M 25 εἰσιν om. A 26 ἤτοι GIT ὅτι rell., v. πηγύα

4524 Αὐτόcιτος: ὁ οἰκόcιτος. Σ

4525 Αὐτός τι νῦν ὁρῶν, εἶτα τοὺς θεοὺς κάλει: ὁμοία τῇ, Prov.
cὺν Ἀθηνᾷ καὶ χεῖρας κίνει. παροιμία ἐπὶ τοῦ μὴ χρῆναι ἐπὶ ταῖς τῶν Suid.
θεῶν ἐλπίcι καθημένους ἀργεῖν. τίθεται δὲ ἐπὶ γυναικῶν, καὶ μάλιcτα ὀφειλουcῶν
5 ἐργάζεcθαι.

4526 Αὐτόcτοιχος: αὐτὸς ἑαυτῷ προcέχων. ὁ βουλόμενος ἐν τῷδε τῷ βίῳ ἀβέβηλον βίον πολιτεύεcθαι, αὐτόcτοιχος ἐθέλει εἶναι.

4527 Αὐτοcφαγῆ: τὸν ὑφ' ἑαυτοῦ ἀναιρούμενον. Αἴας φηcί· καί Soph
cφας κακοὺς κάκιcτα καὶ πανωλέθρους ξυναρπάcειαν, ὥcπερ εἰcορῶc'
10 ἐμὲ αὐτοcφαγῆ πίπτοντα, τὼc αὐτοcφαγεῖc πρὸc τῶν φιλτάτων ἐκγόνων ὀλοίατο. Cοφοκλῆc φηcιν.

4528 Αὐτοcχέδιον: ἐκ τοῦ cύνεγγυc τόπου. ἢ τὸ ἐκ cυντόμου. ΣΔ?
καὶ Αὐτοcχεδίωc, αὐτομάτως, cυντόμως. καὶ Αὐτοcχεδιάζω- Σ
cιν, αὐτονόμως πράττωcιν. Αἰλιανός· Ῥωμαῖοι δὲ εὐπραγίαν παρά- x + E
15 νομον οὔτε νίκην τελεcθεῖcαν, ἧc ὁ ἄρχων μὴ ἐκοινώνηcεν, ἠcπάζοντο, ἵνα μὴ αὐτοcχεδιάζωcιν ἐν ταῖc πράξεcιν οἱ ὑπήκοοι. καὶ αὖθιc· ὑπὲρ μεγάλων ἥκειν καὶ ἀδυνάτων αὐτοcχεδιαcθῆναι.

4529 Αὐτότατος· Ἀριcτοφάνης Πλούτῳ· ἐκεῖνος αὐτός; αὐτότατος. Ar
ἀντωνυμία, πέπαικται δὲ κωμικῶc· τὰ γὰρ ἀόριcτα τῶν πραγμάτων
20 ἀνεπίτατα. εἰ οὖν ἡ ἀντωνυμία ἐπὶ οὐcίας παραλαμβάνεται, κατὰ τοῦτο ἐπίτακιν οὐ δέχεται, ὡc τὰ ἄλλα μέρη.

4530 Αὐτοτελήc: ἱκανός. τέλειοc. Πολύβιοc· ταῦτα εἰρήcθω | Σ
χάριν τῆc Ῥωμαίων εὐβουλίαc καὶ τῆc ἀνοίαc τῶν ὀλιγωρούντων τῆc E
τῶν ἐκτὸc cυγκαταθέcεωc, αὐτοτελεῖc δὲ νομιζόντων εἶναι πρὸc τὸ
25 κατορθοῦν τὰc cφετέραc δυνάμειc. καὶ Αὐτοτελὴc δίκη, ἀφ' ἧc Σ
οὐκ ἔcτιν ἐκκαλέcαcθαι ἐφ' ἑτέραν. καὶ αὐτὸ τὸ κύριον ἁπλῶc.

4531 Αὐτοῦ: ἐπὶ τόπου. Ὅμηροc· cτῆτ' αὐτοῦ, καὶ λαὸν ἐρυκάκετε Δ
πρὸ πυλάων. καὶ αὖθιc· αὐτοῦ τῇδε μένουcα πολυκλαύτῳ ἐπὶ Anth.
τύμβῳ ἀγγελέω παριοῦcι, Μίδαc ὅτι τῇδε τέθαπται.

30 4532 Αὐτούργητον: αὐτοφυές. ἐν Ἐπιγράμμαcι· καὶ αὐτούργητον Anth.
ἐρείκης βάθρον.

4524 = Ba 166, 31 4525 = Philol. Suppl. 6, 260, n. 261 cf. Eur. fr. 432
4526 ὁ sq. fort. Dam. 4527 καί sq. Soph. Ai. 839—842 4528 — τόπου =
Ba 167, 2 cf. Σ^a, sch. P 530, Et. M. 174, 10, H αὐτοcχεδίωc—cυντόμωc = Ba
167, 3, Σ^a cf. H Ῥωμαῖοι—ὑπήκοοι Aelian. fr. 120 4529 Ar. Pl. 83 c. sch.
4530 τέλειοc = Ba 167, 1, Σ^a, H ταῦτα—δυνάμειc Polyb. fr. 23 vs. 25 αὐτοτελὴc sq. = Ba 167, 8 cf. H 4531 — πυλάων cf. Et. M. 172, 58, Et. Gud.;
— τόπου cf. H, sch. A 428; cτῆτ'—πυλάων Z 80 vs. 28 αὐτο0 sq. Anth. 7,
153, 5—6 4532 καί sq. Anth. 6, 33, 5—6

4524 Z 341 4525 παροιμία sq. ex v. cὺν Ἀθηνᾷ 4526—7 Z 341
4530 Z 345 4531 Z 348; Anth. hinc v. Μίδαc 4532 Z 346

3 παροιμία—5 ἐργάζεcθαι om. FV παροιμία om. M 12 ἐκ alt.] ἐκ A(GITFVM)
τοῦ GIT 14 αὐτονόμως GITM αὐτομάτως AFV cf. sch. Pl. Euthyphr. 5a,
Sisyph. 390b εὐπραγίαν] οὔτε ε. Bas. 20 ἀνεπίτατα AFM ἀνεπίcτατα
GIV sch. Rav. ἡ AG om. rell. 23 τῆc pr.] τῶν M 29 ἀγγελέω TF
ἀγγελέων GIVM ἀγγέλω A παριοῦcι] παριᾶcι FV

Anth. 4533 Αὐτοφόνῳ: ἑαυτὸν ἀνελόντι. τόσσης γὰρ χρόνος ἄλλον ἐπάξιον ἀνέρα τόλμης οὐχ εὑρὼν παλάμῃ θῆκεν ἐπ' αὐτοφόνῳ. περὶ Αἴαντος ὁ λόγος.

E 4534 Αὐτοφυέστατον· μὴ ἐπίπλαστον. ἔχουσαν κάλλος αὐτοφυέστατον καὶ οἷον γένοιτο φιλοθήρου κόρης.

Σ 4535 Αὐτόχειρες: οἱ ἑαυτοὺς φονεύοντες. Αὐτοχειρίᾳ.

Harp. 4536 Αὐτόχθονες: οἱ Ἀθηναῖοι· ἢ ἐπεὶ τὴν χθόνα, τουτέστι τὴν γῆν, ἀργὴν οὖσαν πρῶτοι εἰργάσαντο· ἢ διὰ τὸ μὴ εἶναι αὐτοὺς ἐπήλυδας. αὐτόχθονες δὲ καὶ Ἀρκάδες καὶ Αἰγινῆται καὶ Θηβαῖοι Σ ἐκαλοῦντο. καὶ Αὐτόχθων, τῆς αὐτῆς πόλεως.

Σ 4537 Αὐτόχρημα ὅμοιον: παντελῶς ὅμοιον. Αἰλιανός· αὐτόE χρημα πηδῶν ὑπὲρ τὰ ἐσκαμμένα, τὴν ναῦν Ἀσδρούβα φεύγειν ἐπειγομένην τὰς χεῖρας ἐπιβαλὼν εἶχετο ἐρρωμένως τῆς πρύμνης ὁ Ar. Κλάτιος ὄνομα. καὶ Ἀριστοφάνης· τὸν Παφλαγόνα λαθεῖν οὐχ οἷόν τε. ἐφορᾷ γὰρ αὐτὸς πάντ'· ἔχει γὰρ τὸ σκέλος τὸ μὲν ἐν Πύλῳ, τὸ δὲ ἕτερον ἐν τῇ ἐκκλησίᾳ. τοσὸν αὐτοῦ τὸ βῆμα διαβεβηκότος, ὁ πρωκτός ἐστιν αὐτόχρημ' ἐν Χαόσιν. ἀντὶ τοῦ πάνυ ἀληθῶς, ἀψευδῶς. Χαόνες δὲ ἔθνος Ἠπειρωτικόν.

Σ Hom. 4538 Αὖτως: ὡς ἔτυχεν. ἢ ματαίως.

Ar. 4539 Αὐτῷ στεφάνῳ: σὺν αὐτῷ τῷ στεφάνῳ. ὥστε μεθυσθεὶς αὐτῷ στεφάνῳ πᾶς τις ἄπεισι τὴν δᾷδα λαβών.

Σ 4540 Αὐτοῖς ταλάροις ἐσθίεις τὸν τυρόν: σύντροφον Ἀθηναίοις ἄνευ τῆς σὺν προθέσεως λέγειν, αὐτοῖς ὅπλοις, αὐτοῖς ταλάροις.

Δ 4541 Αὐχεῖ: καυχᾶται. καὶ Αὔχει, καυχῶ.

ΣΔ 4542 Αὔχημα: σεμνολόγημα. ὕψωμα. καὶ ὅτι οὔτε αὐχήματος,

E ἐφ' οὗ νῦν εἰσιν, ἑκόντες ὑποβήσονται, καὶ ποιήσουσιν ἐξουσίαν σοι

E πράττειν, ὅ τι ἂν αὐτοῖς ὑπολαμβάνῃς συνοίσειν. καὶ αὖθις· ἀπὸ οἵας λαμπρότητος καὶ αὐχήματος τοῦ πρώτου εἰς οἵαν τελευτὴν καὶ ταπεινοφροσύνην ἀφῖκτο.

Call. 4543 Αὐχμηρὰ τράπεζα: ἡ ξηρὰ καὶ πενιχρά. καὶ Αὐχμηρόν,

Σ στυγνόν, ἢ σκοτεινόν.

4533 τόσσης sq. Anth. 7, 149, 3—4 4534 Aelian. fr. 208 4535 = Ba 167, 6—7, Σ^a, sch. Luc. 4, 6 cf. H 4536 — ἐκαλοῦντο Harp. = Ba 167, 12 vs. 10 αὐτόχθων sq. = Ba 167, 11, Σ^a 4537 — ὅμοιον = Ba 167, 10, Σ^a αὐτόχρημα sec.—ὄνομα Aelian. fr. 118 τόν—Χαόσιν Ar. Eq. 74—78; Χαόνες sq. sch. Ar. Eq. 78 4538 — ἔτυχεν = Ba 167, 16, Σ^a, H ματαίως sch. A 520 = Ap. S. 47, 13 cf. H 4539 Ar. Eccl. 691—2 c. sch. 4540 = Ba 167, 17, Phryn. fr. 286; l. = Ar. Ran. 559—560 4541 cf. Ambr. 3774 et 3780 4542 — σεμνολόγημα = Ba 168, 29, Σ^a καὶ ὅτι—συνοίσειν Dionys. Hal. 8, 48, 4 ἀπό sq. Thuc. 7, 75, 6 4543 — τράπεζα Call. fr. 33 K. αὐχμηρόν sq. = Ba 168, 30, Σ^a cf. sch. Pl. Rep. 554a

4534 cf. v. φιλόθηρος; Z 346 4535—6 Z 341 4536 hinc 782 4537 hinc 2722 fin.; Aelian. cf. v. Κλάτιος; Ar. cf. v. Χαόνες 4539 cf. v. κληρωτηρία 4540 hinc 4466 4541 cf. 4546 4542 Dionys. cf. v. ὑποβήσονται

A(GITFVM) 7 ἐπε[ἐπί AIVM 16 τό alt. om. VM Ar.

4544 Αὐχμεῖc αἰcχρῶc: ῥυπαρὸc εἶναι δοκεῖc. ὡc τοῦ δικαίου παρεωραμένου. ὁ δὲ ἀντεῖπε· cὺ δέ γ' εὖ πράττειc. καὶ Αὐχμοί, ἀνομβρίαι. καὶ Ἀριcτοφάνηc· αὐχμὸc γὰρ ὢν ἤδη τῶν cκευαρίων ἀπώλεcεν. ἀντὶ τοῦ ἀπώλεcε μὲν ὁ ὢν αὐχμὸc τῶν cκευαρίων. μετωνυμικῶc. καὶ Αὐχμώδουc, ξηροῦ, ῥυπῶντοc. καὶ Αὐχμῶντεc, cτυγνοί. Ar. Σ Ar.

4545 Αὖχοc: τὸ ὄcπριον. ἀρcενικῶc.

4546 Αὐχοῦντεc: καυχώμενοι. Σ

4547 Ἀφαγνίcαι: ἀποδοῦναι, καθιερῶcαι. λέγεται δὲ καὶ τὸ cυλῆcαι. Σ

4548 Ἄφακα· ζήτει ἐν τῷ Χριcτόδωροc.

4549 Ἀφαλόν τε καὶ ἄλοφον: ἵνα λανθάνοι. φαλοὶ γὰρ τὰ ἐπὶ τῶν περικεφαλαιῶν λαμπρὰ ἀcπιδίcκια, λόφοι δὲ αἱ τριχώcειc. Hom.

4550 Ἀφαμαρτούcῃ: ἀποτυχούcῃ, cτερηθείcῃ. Σ

4551 Ἀφανές: τὸ cκοτεινόν. καὶ Ἀφανέcτερα. τότε δὴ καὶ μεcημβρίαc ἐπεχούcηc πάντα ἦν νυκτὸc ἀφανέcτερα. Δ E

4552 Ἀφανὴc οὐcία λέγεται ἡ ἐν χρήμαcι καὶ cώμαcι καί cκεύεcι, φανερὰ δὲ ἡ εὔγειοc. οὕτωc Λυcίαc. Harp.

4553 Ἀφανίcαι οὐ τὸ μολῦναι καὶ χρᾶναι δηλοῖ, ἀλλὰ ὅλωc τὸ ἀνελεῖν καὶ ἀφανὲc ποιῆcαι. Σ

4554 Ἄφαντον φῶc: τὸ ἐκ πυρίτου λίθου. Cοφοκλῆc Φιλοκτήτῃ· ἀλλ' ἐν πέτροιcι πέτρον ἐκτρίβων μόλιc ἔφην' ἄφαντον φῶc, ὃ καὶ cᾴζει μ' ἀεί. οἰκουμένη γὰρ οὖν cτέγη πυρὸc μέτα πάντ' ἐκπορίζει, πλὴν τοῦ μὴ νοcεῖν ἐμέ. Soph.

4555 Ἀφάπτειν· Ἀππιανόc· ἵcτη δὲ προμάχουc ξύλα παχέα ἔχοντας διπήχεα cεcιδηρωμένα, ἃ ἔμελλον ὡc καταπέλτας ἐκ χειρὸc ἐc τοὺc ἐλέφαντας ἀφάπτειν, τουτέcτι προcκολλᾶν. E

4556 Ἀφαρεύc, Ἀθηναῖοc, ῥήτωρ, υἱὸc τοῦ cοφιcτοῦ Ἱππίου καὶ Πλαθάνηc, πρόγονοc δὲ Ἰcοκράτουc τοῦ ῥήτορος, ἀκμάcαc κατὰ τὴν ϙε' Ὀλυμπιάδα, ὅτε καὶ Πλάτων ὁ φιλόcοφοc. Hesy.

4544 — πράττειc sch. Ar. Nu. 920 αὐχμοί, ἀνομβρίαι = Ba 168, 31, Σ^a, Bk. 203, 30 cf. H αὐχμόc—μετωνυμικῶc Ar. Pl. 839 c. sch. αὐχμώδουc sq. = Ba 168, 32—3, Σ^a cf. H 4546 = Ba 168, 34, Σ^a 4547 = Ba 168, 35, Σ^a cf. H 4549 K 258 c. sch. A = Et. M. 175, 2 cf. Ap. S. 49, 8 4550 = Ba 169, 14 cf. Σ^a, sch. Z 411, Et. M. 174, 58 4551 τότε sq. Arr. Parth. p. 46 R. 4552 Harp. = Ba 169, 8; Lysiae fr. 122 4553 = Ba 169, 10 cf. Bk. 206, 22 = Et. M. 175, 10 4554 ἀλλ' sq. Soph. Phil. 296—9 4555 App. Pun. 41 4556 cf. Harp., Plut. X orat. p. 838a; πρόγονοc—Ἰcοκράτουc Dionys. Hal. Isocr. 18

4544 Z 348 4546 cf. 4541 4547 Z 357 4549 cf. v. φάλοι 4551 Z 354 4554 hinc v. πυρίτης, Z 354 4555 hinc v. καταπέλτης; προcκολλᾶν cf. 4567; Z 357

4545 om. AFV mg. I post vs. 4. 5 μετωνυμικῶc G 4548 om. FV A(GITFVM)
11 ζήτει—Χριcτόδωροc om. GIT 16 ἐπεχούcηc] ἀπεχούcηc FV 18 εὔγειοc] ἔγγειοc Harp. 22 ἐκτρίβων] ἐκτρίβωμεν FV 26 διπήχεα] διπάχεα FV
27 ἀφάπτειν, τουτέcτι om. AFV, v. καταπέλτης

Call. 4557 Ἄφαρον: τὴν λιπαρὰν γῆν, τὴν πολλὰ μήπω ἀροτριωθεῖσαν. Ἀφαρόωσι δὲ ἀντὶ τοῦ ἀροτριῶσιν.

Synt. 4558 Ἀφαρπάζω· αἰτιατικῇ.

Ecl. 4559 Ἀφάρτεροι: ταχύτεροι. ἀπὸ τοῦ ἄφαρ ἀφαρτος. ἵπποι δέ τοι ἔασιν ἀφάρτεροι· οἳ τὸ πάρος περ. Ὅμηρος.

Σ 4560 Ἀφασία: ἀφωνία.

Σ 4561 Ἀφή: μία τῶν ε′ αἰσθήσεων. ἀπὸ τοῦ ἀφῶ ῥήματος δευτέρας συζυγίας· ἐξ οὗ παραγωγὸν γέγονε τὸ ἀφάσσω. ἡ δὲ ἀφὴ δύναται καὶ ἀπὸ τοῦ ἁφῶ περισπωμένου γεγονέναι, καὶ ἀπὸ τοῦ ἅφω βαρυτόνου.

Σ 4562 Ἀφὰς λύχνων· Ἡρόδοτος λέγει.

Σ 4563 Ἀφάσσων: ψηλαφῶν. Ἡρόδοτος.

Anth. 4564 Ἄφατοι: μεγάλαι ἢ καταπληκτικαί. ἐν Ἐπιγράμμασι· τρεῖς ἄφατοι κεράεσσιν ὑπ' αἰθούσαις τοῖ, Ἄπολλον, ἄγκεινται κεφαλαὶ Μαιναδίων ἐλάφων.

Ar. 4565 Ἀφαυανθήσομαι: ξηρανθήσομαι. καὶ Ἀφαύει. Ἀριστοφάνης· τοὺς ἀλλοτρίους ἀμῶν στάχυς, τούτους ἐν ξύλῳ δήσας ἀφαύει, κἀποδόσθαι βούλεται. τουτέστιν ὁ Κλέων τοὺς ἀλλοτρίους καμάτους αὐτὸς γεωργῶν καὶ καρπούμενος. αἰνίττεται δὲ πρὸς τὴν πόλιν, ὅτι τοῦ Δημοσθένους προπεπονηκότος αὐτὸς τὴν νίκην ἐπιγράφεται περὶ τῶν ἐν Σφακτηρίᾳ. νῦν δὲ στάχυς ἐκείνους, οὓς ἐκεῖθεν ἤγαγεν, ἐν ξύλῳ δήσας ἀφαύει, κἀποδόσθαι βούλεται. ἐπὶ τῶν αἰχμαλώτων. ἀπὸ τοῦ ἀμητοῦ στάχυς εἶπεν, οὓς ζῶντας ἄξειν κατεπαγγειλάμενος ὁ Κλέων ἐμπροθέσμως ἤγαγε. φησὶν οὖν· ἐκείνους, οὓς δήσας ἤγαγεν, ἀπολοῦσαι διανοεῖται. καὶ Ἀφαύειν, καίειν. ἀποξυρεῖν ταδὶ, τὰ κάτω δ' ἀφαύειν.

Σ Anth. 4566 Ἀφαυροτέροις: ἀσθενεστέροις. οὐ γὰρ ἀφαυρὸς ἐκ Διὸς ἰθείης οἶδε τάλαντα δίκης. καὶ Ἀφαυροῦ, ἀσθενοῦς.

Σ 4567 Ἀφάψαι: προσκολλῆσαι.

4557 — ἀροτριωθεῖσαν = Et. M. 788, 25; Call. fr. 122 K., 183 S. 4558 = Synt. Gud. 589, An. Ox. 4, 287, 18 4559 cf. Et. M. 175, 22; ταχύτεροι cf. sch. Ψ 311, Ap. S. 48, 18, H; ἵπποι—ἀφάρτεροι Ψ 311 4560 = Ba 169, 15, Σ^a, H cf. sch. P 695 4561 = Ba 169, 15, Σ^a 4562 = Ba 169, 20; Hdt. 7, 215 4563 = Ba 169, 21 cf. Σ^a, H, Et. M. 175, 55; Hdt. 3, 69, 3 4564 τρεῖς sq. Anth. 6, 112, 1—2 4565 — ξηρανθήσομαι sch. Ar. Eccl. 146; vs. 16 ἀφαύει—25 διανοεῖται Ar. Eq. 392—4 c. sch.; vs. 25 ἀποξυρεῖν sq. Ar. Th. 215—6 4566 — ἀσθενεστέροις = Ba 169, 22, Σ^a cf. H, sch. O 11 οὐ—δίκης Anth. 6, 267, 3—4 ἀφαυροῦ sq. = Ba 169, 23, Σ^a, H cf. Et. M. 175, 42, 53 4567 = Ba 169, 24, Σ^a

4562 cf. v. λύχνων ἀφάς 4564 Z 351; Anth. cf. v. Μαιναλία 4565 Z 357; cf. 1635 4566 cf. v. ἰθεῖα 4567 cf. 4555

A(GITFVM) 2 ἀφαρόωσι] ἀφαρώσι AF φαρόωσι Et. 4 ταχύτεροι] παχύτεροι V ἄφαρτος] ἄφαντος VM 4561 non nov. gl. GVM Ba Σ^a 8 δύναται] δακύνεται GIT 9 ἅφω GIT Ba Σ^a ἄμφω AVM ἀφάσσω F 14 αἰθούσαις F Anth. αἰθούσας rell. τοί] τό A ἄγκεινται AFM ἔγκεινται rell. cf. v. Μαιναλία 15 Μαιναδίων] Μαιναλίων Anth., cf. v. 19 πόλιν] Πύλον sch.

4568 'Αφ' αἵματος: τουτέστι συγγενῶν. ὁ δὲ συχνοὺς ἐφόνευσεν· ἐφείδετο δὲ οὐδὲ τῶν ἀφ' αἵματος. Soph. E

4569 'Αφαίρεμα: ἀνάθημα, δῶρον, ἢ ξένιον. καὶ 'Αφαίρεσις Ὑπερίδης ἰδίως τὴν εἰς ἐλευθερίαν λέγει. Σ Harp.

4570 'Αφαιρεῖν κροκύδας: ἐπὶ τῶν πάντα ποιούντων ἕνεκεν κολακείας. ἄλλοι τε χρῶνται καὶ 'Αριστοφάνης· εἴ τις κολακεύει παρὼν καὶ τὰς κροκύδας ἀφαιρῶν. καὶ 'Αφαιρεῖ ὠτὸς ἢ ῥινός· 'Αττικῶς ἡ σύνταξις. Σ

4571 'Αφαιροῦμαι· γενικῇ· ἔστι δὲ καὶ αἰτιατικῇ. καὶ τὸ φρονεῖν ὑπὸ ἐξουσίας ἀφῃρημένος. Synt.

4572 'Αφαῖς: πληγαῖς· ἢ χερσίν. Σ+Δ

4573 'Αφεδρείας· ὁ γοῦν 'Ηραῖσκος, εἰ αἴσθοιτο φθεγγομένης γυναικὸς ἀκαθάρτου, ἤλγει παραχρῆμα τὴν κεφαλὴν καὶ τοῦτο σημεῖον ἐποιεῖτο τῆς ἀφεδρείας. Suid.

4574 'Αφ' ἑδρῶν: ἀπὸ τῶν ἑδρῶν. ἕδραι γὰρ λέγονται αἱ σέλλαι, σελλάρια, σωτήρια. ἔστι δὲ καὶ εὐθεῖα ὁ ἀφεδρών, καὶ σημαίνει τὸ μέρος τοῦ σώματος τὸ περὶ τὴν ἔξοδον. Σ Δ

ὅτι ὁ ἀφεδρὼν καὶ λυτρώνων βάρβαρα. Suid.

4575 'Αφεκτέον· γενικῇ. Synt.

4576 'Αφελές· ὁ δὲ ἐπιφθέγγεται βαρβαρικὸν μέν τι καὶ ἀφελὲς, ἐνεργὸν δὲ ὅμως χρήσιμον, ὡς δεῖ πρότερον ἀποσοβεῖν τὰς μελίττας καὶ ἔπειτα τὸ μέλι σχολαίτερον ἀναιρεῖσθαι. καὶ 'Αφελής, ἐπὶ τοῦ ὑγιὴς καὶ ὁλόκληρος, ἢ μέγας καὶ ἀνεπικώλυτος. καὶ ἀφελὲς ὁμοίως. μισῶ τὴν ἀφελῆ, μισῶ τὴν σώφρονα λίαν. ἐπὶ τῆς ἀπονήρου καὶ δοσιπύγου. καὶ τὰ ἐπιστόλια ἀφελῶς γράφειν. καὶ 'Αφελῶν πεδίων. 'Αριστοφάνης περὶ Κράτητος· ὃς πολλῷ ῥεύσας ἐπαίνῳ διὰ τῶν ἀφελῶν πεδίων ἔρρει, καὶ τῆς στάσεως παρασύρων ἐφόρει τὰς δρῦς καὶ τὰς πλατάνους καὶ τοὺς ἐχθροὺς προθελύμνους· ᾄσαι δ' οὐκ ἦν ἐν συμποσίοις πλήν, δόρυ συκοπέδιλε, καὶ, τέκτονες E Ar. Anth Ar.

4568 — συγγενῶν fort. Soph. OC 245 c. sch. ὁ sq. fort. Aelian. 4569 — ξένιον = Ba 169, 1, Σ^a cf. H, Ambr. 3873 ἀφαίρεσις sq. Harp. = Ba 169, 2; Hyper. fr. 23 4570 — ἀφαιρῶν = Ba 169, 3; ἄλλοι—ἀφαιρῶν = Sabb. cf. Phryn. 4, 14; Ar. fr. 657 4571 — αἰτιατικῇ cf. Synt. Laur.; — γενικῇ = An. Ox. 4, 287, 12; αἰτιατικῇ cf. Bk. 121, 6 4572 — πληγαῖς = Σ^a, H, Ba 169, 7; χερσίν cf. H v. ἀφή 4574 αἱ—σωτήρια = Ba 170, 11, Σ^a, H ἔξοδον cf. Ambr. 3823 4576 — ἀναιρεῖσθαι Agath. 3, 6, p. 149 vs. 21 ἀφελής —22 ἀφελές sch. Ar. Eq. 527 cf. Ba 170, 19, Et. M. 176, 14, 23, H μισῶ—λίαν Anth. 5, 41, 1 vs. 24 καὶ τά—γράφειν Marc. 1, 7, 5 ἀφελῶν sq. Ar. Eq. 526—535 c. sch. 526; Cratin. fr. 186

4573 ex v. Δ 522 sive v. 'Ηραῖσκος 4574 Σ hinc v. ἕδρα et v. σέλλαι. ὅτι sq. ex 3469 cf. v. λυτρώτης 4576 Agath. cf. v. σχολαίτερον. Anth. hinc v. δωσίπυγος et v. μισῶ. Ar. cf. v. δωδεκάκρουνον στόμα

8 'Αττικῶς] 'Αττική F 4571 om. AGTFV post 4574 I post 4573 M 4573 om. TFV post 4570 A 12 αἴσθοιτο GI αἴσθητο M ἀνέοιτο A 16 ὅτι —17 βάρβαρα om. GTFV ante gl. I 4575 ex IT 20 ὅμως] ὅμως καί T, v. σχολαίτερον 21 post ἀναιρεῖσθαι seq. 4587 in GIM; καὶ ἀφελής add. GI 25 Κράτητος AGIM Κράτητι V Κράτη F Κρατίνου sch., Bas. 27 καὶ τούς om. AF τούς om. G 28 δόρυ] Δωροῖ M^{ac} Ar. A(GITFVM)

εὐπαλάμων ὕμνων· οὕτως ἤνθησεν ἐκεῖνος. νῦν δ' ὑμεῖς αὐτὸν ὁρῶντες παραληροῦντ' οὐκ ἐλεεῖτε, ἐκπιπτουσῶν τῶν ἡλέκτρων καὶ τούτου οὐκ ἔτ' ὄντος τῶν θ' ἁρμονιῶν διαχασκουσῶν· ἀλλὰ γέρων ὢν περιέρρει, ὥσπερ Κοννᾶς, στέφανον μὲν ἔχων, δίψῃ δ' ἀπολωλώς, ὃν χρῆν διὰ τὰς προτέρας νίκας πίνειν ἐν τῷ πρυτανείῳ. τουτέστιν εὐδοκιμήσας πολλάκις. ὁ γὰρ Κρατῖνος ἑαυτὸν ἐπῄνεσεν ἐν Πυτίνῃ λέγων· ἄναξ Ἄπολλον, τῶν ἐπῶν τοῦ ῥεύματος καναχοῦσι πηγαί, δωδεκάκρουνον στόμα, Ἰλισσὸς ἐν τῇ φαρυγγίᾳ· τί ἂν εἴποιμι; εἰ μήγε ἐπιβύσει τις αὐτοῦ τὸ στόμα, κατακλύσει τοῖς στόμασιν.

Δ 4577 Ἀφέλης: αὐθυπότακτον. καὶ Ἀφέλωνται. αἰτιατική.

E 4578 Ἀφελχθείη: κωλυθείη. ξυμβουλεύειν ἐδόκει, εἴ ποι ἀφελχθείη τῆς ὁρμῆς ταύτης.

E? 4579 Ἄφεμα· ὧν καὶ τὸ ἄφεμα μετὰ ῥώμης ἦν.

Synt. Σ 4580 Ἀφέμενον· γενικῇ. ἀναχωρήσαντα. ἀποστάντα, ἀντιλέγοντα.

Hom. Δ 4581 Ἄφενος: πλούσιος. τὸ Ἄφενος οὐδετέρως.

Prov. 4582 Ἀφέντες τὴν ὑπέραν τὸν πόδα διώκουσιν: ἐπὶ τῶν τὰ ἀναγκαῖα μὲν παραλιμπανόντων, τὰ περιττὰ δὲ προτιμωμένων.

Suid. παρὰ Ὑπερίδῃ.

Σ 4583 Ἀφέξει: ἀποκωλύσει, ἀποστήσει. καὶ Ἀφέξομαι, παύσομαι, ἀποστήσομαι.

Suid. 4584 Ἀφέωκα: Δώριον. Ἀφεῖκα δὲ τὸ Ἀττικόν. κέχρηνται δὲ καὶ Ἴωνες, ὡς Ἡρόδοτος.

|Δ 4585 Ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου. αὐθυπότακτον.

Ar. 4586 Ἀφερπύσαι: βαδίσαι. ἀπὸ μεταφορᾶς τῶν ἑρπετῶν. ἐκ τούτου δὲ τὴν ἧσυχον κλοπὴν τὴν ἐπὶ τὴν χύτραν δηλοῖ. Ἀριστοφάνης Πλούτῳ· ἐφ' ἣν ἐπεθύμουν δαιμονίως ἀφερπύσαι.

Δ|4587 Ἀφέλεια. καὶ Δαμάσκιός φησιν, ὡς Ἰσίδωρος πρὸς τῇ ἀφελείᾳ καὶ ἀψεύδειαν ἠγάπα διαφερόντως καὶ ἀπεδέχετο ὥστε καὶ εὐθύγλωττος εἶναι πέρα τοῦ δέοντος, καὶ οὐδ' ὁτιοῦν ἔχειν ἐν ἑαυτῷ προσποιούμενον.

4577 — αὐθυπότακτον = Ambr. 3936 4578 ξυμβουλεύειν sq. Arr. attr. Titim. 4580 — ἀναχωρήσαντα = Bk. 123, 17, 19 ἀποστάντα sq. = Ba 170, 12, Σ^a, H 4581 cf. sch. A 171, Ap. S. 48, 30, H 4582 — προτιμωμένων = Philol. Suppl. 6, 260, n. 270, Diogen. V I 88 4583 = Ba 170, 13, 14, Σ^a cf. H 4585 — σου Matth. 9, 2 αὐθυπότακτον cf. Ambr. 3937 4586 Ar. Pl. 675 c. sch. 4587 l. = Ambr. 3865 καὶ Δαμάσκιος sq. Dam. fr. 23 cf. Phot. bibl. p. 336 b 21

4578 Z 357 4580 Z 357 4581 cf. 4633 4582 hinc v. ὑπέρα, Eust. O. 1534, 6; παρὰ Ὑπερίδῃ ex 4599 4583 Z 357 4584 ex 4596 4586 Z 357 4587 cf. v. εὐθύγλωττος et v. προσποιεῖται

A(GITFVM) 2 τούτου AFM τούτ' GI 4 ἀπολωλώς] ἀπολωλὸς A 6 Κρατῖνος sch., Bas., Κράτης omnes 9 ἐπιβύσει] ἐπιμύσει F cf. sch. 14 γενικῇ ἀναχωρήσαντα om. FV γενικῇ om. T ss. I 15 πλούσιος] πλοῦτος M^{ac}, Ap. S., Hes., sch. impr. sed cf. Philol. 49, 444 18 παρὰ Ὑπερίδῃ om. FV 4584 om. GTFV post 4585 A post 4578 I; ante gl. ζήτει add. M 21 Δώριον AI Δωρικὸν M ad 4585 φάγωνται, πίωνται add. mg. V 26 ἀφερπύσαι] ἐφερπύσαι M^{ac}, Ar. 4587 post p. 427, 21 ἀναιρεῖσθαι IM; utrobique G 27 Ἀφέλεια om. FV, sed ἡ χρῆσις περὶ ἀφελείας add. mg. V καί om. AT 29 ὁτιοῦν] ἐτιοῦν AF

4588 Ἄφες ἀπὸ βαλβίδων ἐμέ τε καὶ τοῦτον: τουτέστιν ἀπὸ κανόνων. βαλβὶς γὰρ ἡ ἄφεσις τῶν δρόμων. Ar.

4589 Ἀφέσθαι: ἀποσχέσθαι. Σ

4590 Ἀφ' Ἑστίας: ἀπὸ τῆς οἰκίας. καὶ Ἀφ' Ἑστίας μυεῖσθαι. Σ

4591 ἀφ' Ἑστίας μυούμενος Ἀθηναῖος ἦν. Harp.

Ἀφέται: τόπος Ἀθήνησιν, ἔνθα ὁ στόλος Ξέρξου τὸ πρῶτον ἐδυστύχησε διὰ λιμένων ἀνεπιτηδειότητα. ὅθεν τὸν Βορέαν Ἀθηναίων σύμμαχον εἶναι νομίζουσι. χρήσας δ' ἦν ὁ θεὸς καὶ ἀνέμῳ συγγενεῖ θύειν, εἶναι δὲ συγγενὴς λέγεται διὰ τὴν Ὠρείθυιαν.

4592 Ἀφετηρία: ἀρχὴ, θύρα τοῦ ἱπποδρομίου. Ἀφετήρια δὲ Σ
ὄργανα, τὰ πολιορκητικά. τὰ δὲ ἀφετήρια ὄργανα διΐστησιν ἐπὶ τοῦ E
τείχους.

4593 Ἄφευε τῶν φασήλων, ὦ γύναι, τρεῖς χοίνικας. Ar.

4594 Ἀφευθεὶς τὸν πρωκτόν: Ἀριστοφάνης ἀντὶ τοῦ φλογισθείς. Suid.

4595 Ἀφειδήσας· γενικῆ. ἀμελήσας. καὶ τὸν τρόπον ἀφειδεστάτως ΣE
ἥστην καὶ φονικωτάτω. καὶ Ἀφειδία, καρτερία. καὶ Ἀφει- Σ
δῶς, ἀπρομηθεύτως, ἀβούλως. Ἀγαθίας· ὁ δὲ νεώτατος ὢν καὶ οὔπω ἐντελῶς τᾶς τῆς φύσεως ὁρμὰς ἐπέχειν καὶ ἐγκαθείργειν δυνά- E
μενος, ἀλλὰ πλέον τοῦ προμηθοῦς καὶ βεβηκότος τῷ φιλοδοξοῦντι τοῦ τρόπου πέρα τοῦ μετρίου ἐγκείμενος, ἀφειδῶς ἐπῄει τοῖς πολεμίοις.

4596 Ἀφεῖκα: τὸ Ἀττικόν. τὸ δὲ ἀφέωκα Δώριον. κέχρηνται δὲ Σ
καὶ Ἴωνες, ὡς Ἡρόδοτος.

4597 Ἀφείλετο· αἰτιατικῇ. ἥρπασεν, ἀνέσπασε. λέγεται καὶ ἀφείλατο. Σ
διὰ διφθόγγου.

4598 Ἀφεῖνται: προΐενται, ἠμέληνται. ποῖ φέρομαι; πάντη δὲ Δ
φρενῶν οἱ ἀφεῖνται. Anth.

4599 Ἀφεὶς καὶ Ἀπαλλάξας: τὸ μὲν ἀφείς ἐστιν, ὅταν ἀπολύσῃ Harp.
τις τῶν ἐγκλημάτων, ὧν ἐνεκάλει αὐτῷ. τὸ δὲ ἀπαλλάξας, ὅταν πείσῃ τὸν ἐγκαλοῦντα ἀποστῆναι καὶ μηκέτι ἐγκαλεῖν. οὕτως Δημοσθένης καὶ Ἰσαῖος. ἔστι δὲ καὶ οὕτως εἰπεῖν, ὡς ἀφίηί τις μόνων ἐκείνων,

4588 Ar. Eq. 1159 c. sch. 4589 = Ba 170, 15, Σ^a, H 4590 — οἰκίας = Ba 170, 17, Σ^a cf. Et. M. 176, 7, sch. Pl. Euthyphr. 3 a ἀφ' alt. sq. Harp.; Isae. fr. 84 4592 — ἱπποδρομίου = Ba 170, 18, Σ^a; — ἀρχή = H 4593 Ar Pac. 1144 4595 γενικῇ = Synt. Laur. ἀμελήσας = Ba 170, 10, Σ^a vs. 15 καί—φονικωτάτω Aelian. fr. 90 ἀφειδία, καρτερία = Ba 170, 9, Σ^a, H vs. 17 ὁ sq. Agath. 5, 23, p. 329 4596 — Δώριον = Ba 171, 4, Phryn. fr. 289 cf. Et. M. 176, 53 4597 ἥρπασεν, ἀνέσπασε = Σ^a; ἀφείλατο cf. Phryn. Ecl. 183, Ba 170, 1 4598 l. = Ambr. 3885 ποῖ sq. Anth. 5, 189, 3 4599 — p. 430, 6 κέρας Harp.; — Ἰσαῖος = Ba 170, 3 cf. Bk. 202, 11; vs. 3 ἀφείς—6 κέρας = An. Ox. 2, 491, 25; Dem. 36, 25; 36, 2; Hyper. fr. 181

4588 cf. v. B 69 4589 Z 357 4591 hinc v. B 390 fin., Z 351 4592 Z 353 4593 cf. v. φάσηλις 4594 ex v. Δ 205 4596 hinc 4584 4599 hinc 4582 fin.

4594 om. FV 16 φονικωτάτω] φοινικωτάτω IFV 19 βεβηκότος] A(ϑITFVM) ἐμβεβηκότος V 4596 om. T 25 προΐενται] ψευδὲς δέ add. Gl ψευδές mg. M 26 οἱ] οἴακες Anth.

ὧν ἐγκαλεῖ· ἀπαλλάττει δὲ, ὅταν μηδὲ ἄλλον τινὰ ὑπολίπηται αὑτῷ λόγον πρὸς τὸν ἐγκαλούμενον. ἔστι δὲ καὶ τοῦτο παρὰ τῷ Δημοσθένει. καὶ παροιμία· ἀφεὶς τὴν ὑπέραν τὸν πόδα διώκει. ἡ παροιμία παρὰ Ὑπερίδῃ. ἐπὶ τῶν παρέντων μὲν τὰ σπουδαιότερα, περὶ δὲ τὰ φαῦλα διατριβόντων. ὑπέραι δ' εἰσὶ ναυτικαὶ σχοῖνοι, αἷς μετάγεται τὸ
Σ κέρας. καὶ Ἀφεῖσθαι παίζειν λέγεται ἐπὶ τῶν ἐν ταῖς ἑορταῖς ἀργούντων καὶ πρὸς παιδιὰν ἀφειμένων· μάλιστα δὲ ἐπὶ παίδων ἀφειμένων παίζειν. Ζήτει ἐν τῷ ἀντιτυπῆσαι.

Σ 4600 Ἀφή: χροιὰ λέπρας. λέγεται δὲ καὶ ἡ ψηλάφησις. καὶ αὐτὴ ἡ αἴσθησις. Ζήτει ἐν τῷ αἰσθήσεις ε'.

Σ 4601 Ἀφηβηκότι: γηράσαντι, ὑπερβεβηκότι τὴν ἥβην, τουτέστι τὴν νεότητα.

Synt. 4602 Ἀφηγοῦμαι· γενικῇ.

Ε 4603 Ἀφηλικέστερος· ὁ δὲ Καῖσαρ τοὺς μὲν ἀφηλικεστέρους ἀφῆκε τῶν στρατιωτῶν, τοῖς δὲ τὴν στρατεύσιμον ἡλικίαν ἔχουσι θέατρα
Ε τέθεικεν. Ἀρριανός· παιδὸς γὰρ ἐκείνου ἀφήλικος ἐπιτροπεύσειν τε αὐτοῖς μέλλον καὶ ὑπὸ τῶν ἐκείνου προσχήματι πᾶν ὅτι περ καθ' ἡδονὴν σφισι πράξειν ἐς τοὺς ὑπηκόους. καὶ αὖθις· τὸν μὲν νεανίαν,
Σ τὸν δὲ ἀφηλικέστερον. καὶ Ἀφήλικα, τὸν πρεσβύτην. τινὲς δὲ χρῶνται τῇ λέξει ἐπὶ τοῦ μηδέπω τῆς ἐννόμου ἡλικίας παιδός· ὅπερ δεῖ φυλάττεσθαι. ἐπὶ γὰρ τοῦ πρεσβυτέρου λέγεται.

Suid. 4604 Ἄφημος: ἀπευθής.

Synt. 4605 Ἀφηνιάζω· γενικῇ.

Synt. 4606 Ἀφηρημένος· αἰτιατικῇ.

Σ 4607 Ἀφηνιαστής: ἀνυπότακτος, ὑπερήφανος. οἱ δὲ ἀφηνίασαν
Ε μὲν αὐτὸν τῆς φιλίας, ἐβουλήθησαν δὲ διαμαρτύρασθαι τοῦτο τρόπον τινά. τὴν γοῦν εἰκόνα Φιλίππου, ὡς ἀνάθημα κειμένην, κατέσπασαν.

Hom. 4608 Ἀφήτορος: οὐ κοινότερον, ἀλλὰ τοῦ Πυθίου, οἷον ὁμοφήτορος, διὰ τὸ οἷον εἰς λόγους ἔρχεσθαι τοῖς χρησμῳδουμένοις.

4609 Ἀφιᾶσι: καταλιμπάνουσιν.

Σ 4610 Ἀφῖγμαι: παραγέγονα. ἀφίξομαι ὑμῖν δύο ἡμερῶν ὕστερον·
Ε οὐδὲ ἐψεύσατο. καὶ αὖθις Αἰλιανός· ὁ δὲ ὄναρ εἶδε τοὺς ὀφθαλμοὺς

4599 ἀφεῖσθαι—παίζειν = Ba 169, 25 4600 — αἴσθησις = Ba 171, 7; — ψηλάφησις = Σ^{a} cf. H 4601 = Ba 171, 9, Σ^{a} cf. Ambr. 3905 et 7 4602 = Synt. Laur., An. Ox. 4, 287, 11 4603 ὁ—τέθεικεν Cass. D. 53, 26, 1 παιδός—ὑπηκόους Arr. exc. sec. Köhler, SB Berl. 1890, 566 vs. 19 ἀφήλικα sq. = Ba 171, 11, Σ^{a} cf. Phryn. Ecl. 84; πρεσβυτέρου cf. Phryn. 1, 1, gl. Hdt. 3, 14, Ambr. 3870 4605 = An. Ox. 4, 287, 9 4606 cf. An. Ox. 4, 287, 19 4607 — ὑπερήφανος = Ba 171, 14, Σ^{a} cf. H 4608 = sch. A in I 404 4610 — παραγέγονα = Ba 171, 24, Σ^{a}, H vs. 31 ἀφίξομαι sq. Aelian. fr. 91

4603 Σ Z 351 4604 ex 3092 4607 Z 351

A(GITFVM) 1 μηδέ] μή V cf. Harp. 4 παρέντων] παρόντων VM 17 μέλλον] μέλλειν Köhler τῶν] τῷ Bhd., Köhler 20 ἐπί] καὶ ἐπί FV 4604 om. TFV 22 Ἄφημος A Ἄφηβος GIM 4609 ex IM 31 ἀφίξομαι—32 ἐψεύσατο cum 32 ὁ—p. 431, 3 ἡμέρας coniungendum esse vid. Kust., οὐδὲ ἐψεύσατο ante vs. 2 ἀνῃρέθη inserendum Bhd. (aliter Hercher) 32 καὶ αὖθις om. V

ἐξορύττεσθαι καὶ ἠντιβόλει ῥυόμενος τὴν πήρωσιν τῆς ὄψεως, λέγων, ἀφίξομαι ὑμῖν δύο ἡμερῶν ὕστερον. ἀνῃρέθη γοῦν μετὰ τοσαύτας ἡμέρας.

4611 Ἀφιδρύματα: τὰ τῶν θεῶν ἀγάλματα. εὐθὺς οὖν ἱκετηρίαν Σ?
ἐκόμιζον οἱ πρεσβύτατοι τὰ παλαιότατα τῶν κατὰ πόλιν ἀφιδρυμάτων. EL
4612 Ἀφίεμαι· γενικῇ ἐπὶ τῶν παθητικῶν, ἐπὶ δὲ τῶν ἐνεργητικῶν δοτικῇ. Synt.
ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις.

4613 Ἀφ' ἱερᾶς· παροιμία· κινήσω τὸν ἀφ' ἱερᾶς. λέγεται δέ τις Σ
παρὰ τοῖς πεσσεύουσιν ἱερὰ γραμμή. οὕτως Ἐπίχαρμος. ζήτει ἐν
τῷ κινήσω τὸν ἀφ' ἱερᾶς.

4614 Ἀφίει: ἀπέπεμπεν. Σ

4615 Ἀφιζάνει: ἀπανίσταται τῆς καθέδρας.

4616 Ἀφίημι· δοτικῇ. καὶ μετὰ αἰτιατικῆς. ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας. Synt.

4617 Ἀφικνοῦμαι, ἐφικνοῦμαι δὲ καὶ ἐφικόμην· γενικῇ. Synt.

4618 Ἀφίκετο: ἐλήλυθεν, ἦλθεν. ὁ δὲ στρατὸς ἀφίκετο τῆς Ἀττι- Σ
κῆς ἐς Οἰνόην, ἥπερ ἔμελλον εἰςβαλεῖν. οὕτω φησὶ Θουκυδίδης τὴν
σύνταξιν. καὶ Ἀφῖκται, παραγέγονεν. καὶ Ἀφῖκτο.

4619 Ἀφιλότιμος: ταπεινός. παρὰ τὸ μὴ φιλεῖν τιμήν, ἢ ἡττᾶ- Σ
σθαι δόξης. ἢ ὁ πρὸς μηδὲν ἀξιόλογον ἐπεστραμμένος. καὶ ὁ φειδωλὸς
παρ' ἐνίοις. οὐδεὶς ἦν ἀφιλότιμος οὕτως, ὡς Μωϋσῆν θεασάμενος EV
μὴ ἐκπλαγείη τῆς εὐμορφίας.

4620 Ἀφιματῶσαι: ἀποδῶσαι. Σ

4621 Ἄφιππα χωρία: ἐν οἷς ἂν μὴ ἔστιν ἱππάσασθαι. ὁ δὲ
ἐκκλίνει πρὸς τὰ δύσχωρά τε καὶ ἀνάντη καὶ ἄφιππα. καὶ Ἄφιπ- E
ποι, χωρὶς ἵππων. περιδεεῖς δὲ ἦσαν ὡς ἐν ἐρημίᾳ τά τε ἄλλα E
καὶ ἄφιπποι γενόμενοι. ἀντὶ τοῦ πεζοί.

4622 Ἀφίπταμαι· γενικῇ. Synt.

4623 Ἀφίστασθαι αὐτοῖς τῆς ἀρχῆς· γενικῇ. σύνταξις. ἀποχω- Σ
ρίζεσθαι, ἀλλοτριοῦσθαι. βουλομένοις ἦν τῶν Μακεδόνων ἀφί- E
στασθαι.

4611 — ἀγάλματα cf. Bk. 202, 22 εὐθύς sq. Diodor 33, 5 = EL 405, 20—23
4612 cf. Synt. Gud. 589, Synt. Laur. (διπλαί συντ.); — γενικῇ = An. Ox. 4, 287, 15; ὡς sq. Matth. 6, 12 4613 cf. H, sch. Pl. leg. 739a, 820c, Eust. I. 633, 59; Epicharm. fr. 225 sed cf. Sophr. fr. 127 4614 = Ba 171, 25, Σ^a, H, sch. A 25 cf. Ambr. 3900 4616 cf. Synt. Gud. 589, An. Ox. 4, 287, 16; ἄν sq. Io. 20, 23
4618 — ἦλθεν = Ba 171, 26, Σ^a ὁ—εἰςβαλεῖν Thuc. 2, 18, 1 ἀφῖκται, παραγέγονεν = Ba 171, 27, Σ^a, H cf. Ambr. 3893 ἀφῖκτο = Ambr. 3895
4619 — ἐνίοις = Ba 172, 6; — δόξης = Σ^a, H οὐδείς sq. Ios. Ant. 2, 231 = EV 1, 40, 27—8 4620 = Ba 171, 28, Σ^a 4621 ὁ—ἄφιππα Th. Simoc. 5, 10, 1 περιδεεῖς—γενόμενοι Iambl. attr. Bruhn, Rh. Mus. 45, 283 4622 = Synt. Laur., An. Ox. 4, 287, 10 4623 γενικῇ cf. Synt. Laur., An. Ox. 4, 287, 5 et 23 βουλομένοις sq. Polybio attr. Bhd.

4615 Z 358 4619 Ios. hinc v. Μωϋσῆς 4621 Z 355, 351 4623 Z 359

4612 om. TFV 4614 om. GIT post 4615 V 4616 om. GTFV post 4618 A A(GITFVM) post 4612 I 4617 ex IM 14 Ἀφικνοῦμαι M, om. I δὲ καί M γενικῇ I 17 καὶ ἀφῖκτο ex M 18 ἢ—19 δόξης om. V, Ba 19 ἐπεστραμμένος] ἐπεσταλμένος V 28 αὐτοῖς om. V γενικῇ σύνταξις om. GIT, Zon. γενικῇ om. FV 29 ἦν] οὖν Zon.

χ+Ε 4624 Ἀφίστων: ἀπέτρεπον, ἀπεκώλυον. τοὺς δὲ βαρβάρους τῆς πολιορκίας ἀφίστων οἱ Ῥωμαῖοι.

Δ 4625 Ἀφῖχθαι.

4626 Ἀφθαρτοδοκητής: ἀπὸ αἱρέσεώς τινος.

4627 Ἀφθάς: ὁ Διόνυσος. τὸ α ἐπιτατικόν· ὡς ἄσταχυς. καὶ παροιμία· ὁ Ἀφθάς σοι λελάληκεν. ἦν δὲ χρησμολόγος.

Σ 4628 Ἄφθιτον: ἄφθαρτον. ὅτι τὸ ἄφθιτος ἐπὶ ἀψύχων φιλόσοφοι
Suid. τάττουσι, τὸ δὲ ἀθάνατος ἐπὶ ἐμψύχων.

Σ 4629 Ἄφθονα: πολλά.

Hesy. 4630 Ἀφθόνιος, σοφιστής, ἔγραψεν εἰς τὴν Ἑρμογένους τέχνην προγυμνάσματα.

Hdt. 4631 Ἄφλαστον: τὸ ἄκρον τῆς πρύμνης.

Σ 4632 Ἀφλυσμός: ἀφρός.

Σ 4633 Ἀφνειός: ὁ πλούσιος. καὶ ὁ ἐξ ἑνὸς ἐνιαυτοῦ λέγεται
Hom. ἄφενος, πλοῦτος δὲ ὁ ἐκ πολλῶν χρόνων. Ὅμηρος· ἄφενος καὶ πλοῦτον ἀφύξειν. καὶ ἀλλαχοῦ φησιν ὁ αὐτός· οἵ τ' ἐὺ ζώουσι καὶ ἀφνειοὶ καλέονται. ὡς μόνων αὐτῶν καλουμένων ἀφνειῶν, οὐκ ὄντων δὲ κατὰ ἀλήθειαν.

Ar.? 4634 Ἀφοβόσπλαγχνος: ὁ τολμηρός. καὶ Ἀφόβοις, τοῖς μὴ
Soph. φόβον ἐμποιοῦσι, τουτέστι τοῖς προβάτοις. τὸν ἐν δαΐοις ἄτρεστον μάχαις ἐν ἀφόβοις με θηρσὶ δεινὸν χέρας;

Σ 4635 Ἀφοδεῦσαι· Πλάτων Ἀδώνισι. καὶ Ἄφοδος, ὁ ἀπόπατος. ἐξ οὗ καὶ ἀφοδεύειν. καὶ Ἄφοδον, ἀναχώρησιν, ὥσπερ καὶ ἔφοδον τὴν ἐπέλευσιν.

Δ+Ε 4636 Ἀφοπλίζειν: τῶν ὅπλων ἀφαιρεῖσθαι. αὐτὸν δὲ τρόπον τινὰ
Σ ἀφοπλίζειν τῶν ἀναγκαίων ἀνδρῶν ὑπέβαλλον. καὶ Ἀφωπλίζοντο, ἀπετίθεντο τὰ ὅπλα.

Σ 4637 Ἀφόρητον: ἀβάστακτον.

Eol.? 4638 Ἀφορμή: ἀφ' ἧς ὁρμώμενός τις σῴζεται. ἰδίως παρὰ τοῖς
Harp. Ἀττικοῖς, ὅταν τις ἀργύριον δώσει ἐνθήκην, ἀφορμὴ καλεῖται.

4624 τούς sq. Th. Simoc. 2, 17, 10 4625 = Ambr. 3894 4626 — ἄφθαρτον = Ap. S. 49, 10, H cf. Ambr. 3820, sch. B 46; Ba 171, 17 = Σ^a 4629 = Ba 171, 18, Σ^a cf. H 4631 gl. Hdt. 6, 114 = H 4632 = Σ^a cf. Ba 172, 9, H, Ambr. 3821, Et. M. 177, 52 4633 — πλούσιος = Ba 172, 13, Ambr. 3818, Ap. S. 48, 32, H, Et. M. 178, 16 cf. Σ^a, sch. B 570 καὶ ὁ—ἀφύξειν A 171 c. sch.; οἵσι—καλέονται ρ 423 4634 — τολμηρός fort. sch. Ar. Ran. 496 ἀφόβοις sq Soph. Ai. 365—6 c. sch. 4635 — Ἀδώνισι (Pl. com. fr. 5) = Ba 173, 1; ἄφοδος ὁ ἀπόπατος = Et. M. 178, 20, Ba 172, 15; ἄφοδον sq. = Ba 172, 14, Σ^a, Et. M. 178, 21 cf. H 4636 — ἀφαιρεῖσθαι cf. H v. ἀφοπλίζεσθαι ἀφωπλίζοντο sq. = Ba 174, 9, Σ^a cf. sch. Ψ 26 4637 = Ba 172, 29, Σ^a, H 4638 ἰδίως sq. Harp. = Ba 172, 30, 32; ἐνθήκην cf. Phryn. Ecl. 223, Ba 172, 31 (= Phryn. fr. 292), H

4627 cf. v. Φθάς 4628—9 Z 355 4628 ὅτι sq. ex 705 4632 cf. v. ἠφλυσμός 4633 cf. 4581

A(GITFVM) 4625 om. TFV 4626 om. GTFV post vs. 7 ἄφθαρτον A post 4627 I 7 ὅτι—8 ἐμψύχων om. TFV 20 ἐμποιοῦσι] ἐμποιοῦσθαι A 22 Ἀδώνισι] Ἀδώνιδι Hemst. 30 δώσει] δώσῃ T, Ba, Harp. ep., δῷ F, Harp.

4639 Ἀφοσιούμεθα: τὸ ὅσιον προσποιούμεθα δῆθεν. καὶ Ἀφοσιούμενος, πληροφορῶν, ποιήσας τὴν ὁσίαν. ὁ δὲ ἀφοσιεύμενος τὴν ἐξόρκωσιν τοῦ ἐπάρχου ἐμηχανᾶτο τοιάδε. καὶ Ἀφοσιούμενοι, ἀντὶ τοῦ τιμῶντες. ἢ τὸ ὅσιον ποιοῦντες καὶ καθαρὸν καὶ τὸ ὀφειλόμενον. διὰ τοῦτο καὶ τὴν ὁσίαν ἐπὶ τῶν ἀπελθόντων φαμέν· τουτέστιν οὐδὲν ὀφείλομεν αὐτοῖς λοιπόν, οὐκ ἐσμὲν ὑπεύθυνοι. οὕτως ἡμῖν ἔθος λέγειν, καὶ τὸ ἀφοσιώσασθαι καὶ ὅσα τοιαῦτα, τουτέστιν οὐκ εἰμὶ ὑπεύθυνος. καὶ Ἀφοσιῶ, ἀντὶ τοῦ ἀποκαθαίρω, ἀφαγνίζω, Αἰσχίνης. τὸ δὲ μὴ ἐντελῶς τι ποιῆσαι, ἀλλ' οἷον ἀπάρξασθαι ἢ σχηματίσασθαι, Ἴωνες λέγει. καὶ Ἀφοσιώσας, καθάρας, ἢ ξενώσας· ἢ τὴν ὁσίαν ποιῶν, τουτέστι κηδείαν, ἢ τὴν ἐπὶ τῷ θανάτῳ μνήμην. καὶ Ἀφοσιῶσαι, καθαίρειν. καὶ Ἀφοσιώσεται, ἀπάρξεται. καὶ Ἀφοσιοῦσθαι, ἀποκαθαίρεσθαι ὁσίας, καὶ τὸ μὴ περιεργάζεσθαι μηδὲ φιλοτιμεῖσθαι. ὅσια δὲ λέγεται ἄλφιτα, δεδευμένα ἐλαίῳ καὶ οἴνῳ· καὶ κύρια καὶ δίκαια. καὶ Ἀφοσίωσις, ἀνάθεσις. καὶ Ἀφοσιωσάμενοι, δικαιωσάμενοι. καὶ Ἀφοσιώμενοι, τιμῶντες, ἢ ἀπαρχόμενοι. ὡς δὲ ἤσθετο σαφῶς ἀποσειόμενον καὶ μόνον ἀφοσιούμενον τὸν Ἰσίδωρον, ᾤχετο ἀπιών, καὶ οὐκέτι προσήει. Σ Δ Σ

4640 Ἀφουσία: νῆσός τις, ἐν ᾗ ὑπερόριοι ἐγένοντο ὁ κύριος Θεοφάνης, ὁ ποιητής, καὶ ὁ ἀδελφὸς αὐτοῦ Θεόδωρος ὁ Γραπτός, ἀμφότεροι ὁμολογηταί.

4641 Ἀφώρισται: πεπεράτωται. ἐνταῦθά που τῆς συγγραφῆς ἀφώρισται τὸ πραχθέν.

4642 Ἀφραδέως: ἀνοήτως, ἀπείρως. Σ

4643 Ἄφρακτος φίλων: οὐ πεφραγμένος καὶ τετειχισμένος τοῖς φίλοις διὰ τὸ ἀπατηθέντας καταλιπεῖν σε. Soph.

4644 Ἄφραστον: ἄρρητον. Δ

4645 Ἀφραστύες: ἀσυνεσίαι. σχέτλιαι ἀνθρώπων ἀφραστύες. Call.

4646 Ἀφραίνει: παρανομεῖ, μωραίνει, παραφρονεῖ. Σ

4647 Ἀφρικανός, ὁ Σέκτος χρηματίσας, φιλόσοφος, Λίβυς, ὁ τοὺς Κεστοὺς γεγραφὼς ἐν βιβλίοις κδ'. εἰσὶ δὲ οἱονεὶ φυσικά, ἔχοντα ἐκ Hesy.

4639 — δῆθεν = Ba 172, 16, Σ[a] cf. H; vs. 1. 2 ἀφοσιούμενος—ὁσίαν = Ba 172, 17, Σ[a], H cf. sch. Pl. leg. 873 b, Phaedr. 242 c ὁ—τοιάδε Hdt. 4, 154, 4 cf. EV 2, 14, 20 vs. 3. 4 ἀφοσιούμενοι—τιμῶντες = H, Et. M. 178, 56 cf. sch. Pl. leg. 873 b vs. 4 τὸ ὅσιον—8 ὑπεύθυνος Io. Chrys. PG 62, 96 extr. vs. 8 ἀφοσιῶ—10 λέγει Harp. = An. Ox. 2, 491, 29, Ba 172, 25; Aesch. 3, 120; Isae. fr. 54 vs. 10 ἀφοσιώσας—12 μνήμην = Ba 172, 21, Σ[a], Et. M. 178, 51 cf. sch. Pl. leg. 873 b vs. 12 ἀφοσιῶσαι, καθαίρειν cf. H v. ἀφοσιοῦν vs. 12. 13 ἀφοσιώσεται, ἀπάρξεται = Ba 172, 28, H vs. 13 ἀφοσιοῦσθαι, ἀποκαθαίρεσθαι = H vs. 15 ἀφοσίωσις—17 ἀπαρχόμενοι = Ba 172, 23, 18, Σ[a] vs. 17 ὡς sq. Dam. fr. 172 4642 = Ba 173, 13, Σ[a] cf. Et. M. 179, 26, H, sch. Γ 436, M 62 4643 sch. Soph. Ai. 910 4645 Call. fr. 123 K., an. 9 S. c. sch. 4646 = Ba 173, 7, Σ[a] cf. H, sch. H 109 4647 cf. Phot. bibl. cod. 34, p. 7a 7—20, Hieron. vir. ill. 73, Wentzel TU 13, 44 sq.

4639 Hdt. cf. v. B 185 4645 Z 354 4647 hinc v. Σωσάννα

2 ἀφοσιεύμενος] ἀφοσιούμενος F, v. B 185 cf. Hdt., EV 17 τιμῶντες] A(GITFVM τιμῶν FV 18 καὶ μόνον om. FV 4640 om. TFV post 4643 A 20. 21 ὁ ποιητής om. GI 21 ὁ pr. om. A 22 συγγραφῆς] γραφῆς V 25 οὐ] ὁ A

λόγων τε καὶ ἐπαοιδῶν καὶ γραπτῶν τινων χαρακτήρων ἰάσεις τε καὶ ἀλλοίων ἐνεργειῶν. κατὰ τούτου ἔγραψεν Ὠριγένης ἔνστασιν ποιησάμενος περὶ τοῦ τῆς Σωσάννης βιβλίου, τοῦ εἰς τὸν Δανιήλ.

4648 Ἀφρικανός· Καρχηδών, ἡ καὶ Ἀφρικὴ καὶ Βύρσα λεγομένη, μετὰ τὸν πρῶτον ἀνοικισμὸν κρατήσασα ἔτη ψ′ τῶν περιοίκων Λιβύων ἀνήρητο. Σκιπίων δὲ αὐτὴν Σκιπίωνι τῷ Ἀφρικανῷ πάππῳ λαβὼν ἐπίκλην Ἀφρικανὸς τὸ ἐντεῦθεν διά τε τὴν ἀρετὴν καὶ τὸ τῶν κατορθωμάτων ὁμοιότροπον ἐπωνομάσθη.

Anth. 4649 Ἀφριόεν: ἀφρῶδες. ἀφριόεν κοναβηδὸν ἐπιπρίουσα γένειον.

Suid. 4650 Ἀφρῖτις: εἶδος ἀφύας. ζήτει ἐν τῷ ἀφύα.

Σ 4651 Ἀφροδίσιον: ἔργον Ἀφροδίτης. λαμβάνεται δὲ ἐπὶ τῶν λάγνων, τῶν ἐρωτικῶς περὶ τὴν συνουσίαν καὶ σφοδρῶς διακειμένων.

Harp. 4652 Ἀφροδίσιον: ἰδίως τὸ τῆς Ἀφροδίτης ἔδος. ὁ δὲ διῆλθε

E τῷ λόγῳ φιλοτίμως τε καὶ σὺν Ἀφροδίτῃ οὐ μάλα περιττῇ. Αἰλια-

Prov. νός. καὶ παροιμία· Ἀφροδίσιος ὄρκος οὐκ ἐμποίνιμος, ἐπὶ τῶν δι' ἔρωτα ὀμνυόντων πολλάκις καὶ ἐπιορκούντων.

4653 Ἀφροδίτη· ταύτης τὸ ἄγαλμα πλάττουσι κτένα φέρον, ἐπειδὴ συνέβη ποτὲ ταῖς τῶν Ῥωμαίων γυναιξὶ κνήφην λοιμώδη γενέσθαι, καὶ ξυρουμένων πασῶν γεγόνασιν αὐταῖς οἱ κτένες ἀχρεῖοι· εὐξαμένας δὲ τῇ Ἀφροδίτῃ ἀνατριχωθῆναι, τιμῆσαί τε αὐτὴν ἀγάλματι κτένα φέρουσαν καὶ γένειον ἔχουσαν· διότι καὶ ἄρρενα καὶ θήλεα ἔχει ὄργανα. ταύτην γὰρ λέγουσιν ἔφορον γενέσεως πάσης, καὶ ἀπὸ τῆς ὀσφύος καὶ ἄνω λέγουσιν αὐτὴν ἄρρενα, τὰ δὲ κάτω θήλειαν. πλάττουσι δὲ αὐτὴν καὶ ἔφιππον, ὅτι Αἰνείας ὁ υἱὸς αὐτῆς πλεύσας μέχρι τῆς δύσεως μετὰ τοῦτο ἵππῳ ἐπέβη, καὶ τὴν μητέρα ἐτίμησε τοιούτῳ ἀγάλματι.

Synt. 4654 Ἀφροντιστῶ· γενικῇ.

4655 Ἄφροι: ὄνομα ἔθνους· οἱ Καρχηδόνιοι. ἀπὸ Ἄφρου τοῦ τῆς Λιβύης βασιλεύσαντος, τοῦ υἱοῦ Κρόνου, ἐκ Φιλύρας γεγονότος.

Suid. πόθεν ὁ ἀφρὸς λευκός, ζήτει ἐν τῷ χιών.

E+Σ 4656 Ἀφρουρήτους· Θάσιοι εἶπον πρὸς Μητρόδωρον, τὸν Φιλίππου στρατηγὸν, παραδοῦναι τὴν πόλιν, εἰ διατηρήσοι αὐτοὺς ἀφρουρήτους,

4648 Eutrop. 73 4649 ἀφριόεν alt. sq. Anth. 7, 531, 5 4651 = Σ^a, Ba 173, 8, 9 cf. H 4652 — ἔδος Harp. = Ba 173, 8 ὁ—περιττῇ Aelian. fr. 183 Ἀφροδίσιος sq. = sch. Pl. Symp. 183 b, Macar. II 69 cf. fr. trag. ad. 525 4653 = Preger 153, 16—154, 7 4654 An. Ox. 4, 287, 8 4656 — πόλιν Polyb. 15, 24, 2—3; βεβαιωσάντων cf. Ba 231, 28

4648 hinc v. B 593 fin. cf. v. Καρχηδών 1 4649 Z 356; Anth. cf. v. κόναβος 4650 ex 4660 4651 Z 356 4652 Prov. cf. v. ταχυβάμονας 4653 cf. v. κνήφην 4655 Z 352; πόθεν sq. ex v. χιών 4656 cf. 2298 et 4217; βεβαιωσάντων cf. v. ἐπισημήνασθαι

A(GITFVM) 6 αὐτήν] τὴν αὐτὴν Port. 7 ἐπίκλην] ἐπίκλησιν Port. 4650 om. GTFV mg. AI 10 ζήτει—ἀφύα om. I 12 συνουσίαν] οὐσίαν FV διακειμένων F Ba Σ^a, κειμένων rell. 14 οὐ] εὖ Schaefer (ad Dion. Hal. comp. verb.) 18 κνήφην] κνήμην FV 19 ξυρουμένων] ξυραμένων FV 30 πόθεν—χιών ex I (ante gl.), M 32 τὴν om. A

ἀφορολογήτους, ἀνεπισταθμεύτους νόμοις χρῆσθαι τοῖς ἰδίοις. ἐπισημηναμένων δὲ μετὰ κραυγῆς πάντων τὰ ῥηθέντα, παρήγαγον τὸν Φίλιππον εἰς τὴν πόλιν. ἀντὶ τοῦ βεβαιωσάντων.

4657 Ἄφρων καὶ ἄνους: διαφέρει ἄφρων καὶ ἄνους. ἀνόητόν φασι τὸν καλούμενον σοφὸν, ὡς συνιέναι τὸ δέον οὐκ ἐθελήσαντα, ἀμαθῆ δὲ τὸν τῆς σοφίας ἀμύητον, κακίᾳ δὲ ὅμως συζήσαντα. ὁ Δαβὶδ δὲ ἔφησεν· ἐπὶ τὸ αὐτὸ ἄφρων καὶ ἄνους ἀπολοῦνται. Thdr.

4658 Ἀφοιτῶ· γενικῇ. Synt.

4659 Ἀφύας: ὀνόματα ἑταιρῶν ἀδελφῶν δύο παρὰ Ὑπερίδῃ. Harp.

4660 Ἀφύα ἐς πῦρ: ἐπὶ τῶν τέλος ὀξὺ λαμβανόντων ἡ παροιμία· παρόσον καὶ τὴν ἀφύαν τάχιστα ἕψεσθαι συμβαίνει. Σ ἐνικῶς δὲ παρὰ Ἀριστοφάνει λέγεται ἐν Ταγηνισταῖς ἀφύη· ἀλλ' ἀεὶ πληθυντικῶς τὰς ἀφύας. Ar. λέγεται δὲ καὶ ἀφρὸς διὰ τὴν λευκότητα. ἔστι δὲ ἡ παρὰ πολλῶν λεγομένη ἔγγραυλις. ΣΔ καὶ Ἀφύων τιμή, τὸ ἔλαιον· ἐπεὶ ἐν αὐτῷ ἕψονται. Σ καὶ Ἀφύας Φαληρικάς· τὰς μεγάλας. Φαληρεὺς δὲ λιμὴν Ἀττικῆς. Ar πληθυντικῶς δὲ λέγεται, σπανιώτατα δὲ ἀφύην. Σ Ἀριστοφάνης· εὗρετο πανευδίᾳ τὰς λιπαρὰς, ἀφύας τιμὴν περιάψας. Ar. ἔστι δὲ γένη πλείονα· ἡ μὲν ἀφρῖτις λεγομένη, ἥτις οὐ γίνεται ἀπὸ γόνου, ἀλλ' ἐκ τοῦ ἐπιπολάζοντος τῇ θαλάττῃ ἀφροῦ. ἑτέρα δέ ἐστιν ἡ λεγομένη κωβῖτις, ἣ γίνεται ἐκ τῶν μικρῶν καὶ φαύλων τῶν ἐν τῇ ἄμμῳ φερομένων κωβιῶν· ἐξ αὐτῆς δὲ ἕτεραι, αἳ ἐγκρασίχολοι καλοῦνται. καὶ ἄλλη, ἥτις ἐστὶ γένος μαινίδων, καὶ ἄλλη ἐκ τῆς μεμβράδος, καὶ ἄλλη ἐκ τῶν μικρῶν κεστρέων. ἔστι δὲ προηγουμένη ἡ ἀφρῖτις. ὅτι Νικομήδει τῷ Βιθυνῶν βασιλεῖ ἀφύης ἐπιθυμήσαντι καὶ μακρὰν ὄντι τῆς θαλάσσης, Ἀπίκιος ὁ ὀψοφάγος μιμησάμενος τὸ ἰχθύδιον παρέθηκεν ὡς ἀφύας. ἡ δὲ κατασκευὴ ἦν αὕτη. θήλειαν λαβὼν γογγυλίδα ταύτην ἔτεμεν εἰς μακρὰ καὶ λεπτὰ τὴν ὄψιν τῆς ἀφύης μιμούμενος, ἐπιζέσας ἔλαιον, ἐπιχέας ἅλας, μήκωνας ἐπιπάσας, ἔλυσε τὴν ἐπιθυμίαν.

4661 Ἀφυής: ἀμαθὴς, ἄπειρος. ὁ δὲ ἦν οὐκ ἀφυὴς συνιδεῖν πραγμάτων στρατηγίας. E καὶ Πολύβιος· οὗ καιρὸς ἀφυέστερος οὐ γέγονεν ἁπλῶς. E

4657 ἀνόητον sq. Thdr. in Ps. 48, 11, PG 80, 1224 c **4659** Harp. = Ba 173, 25 cf. Ath. 13, 586 a; Hyper. fr. 24 **4660** — vs. 11 συμβαίνει = Ba 173, 18 = Zen. II 32 ἐνικῶς—vs. 12 Ταγηνισταῖς sch. Ar. Ach. 640 cf. Ath. 3, 96 c, 7, 284 f; Ar. fr. 506; πληθυντικῶς—ἀφύας sch. Ar. Av. 76 vs. 13 λέγεται – λευκότητα = H v. ἀφύων vs. 14 ἔγγραυλις cf. Zon. 354, Ps. Herodian. 233 ἄγραυλις vs. 14 ἀφύων—15 ἕψονται = H vs. 15 ἀφύας—16 Ἀττικῆς sch. Ar. Av. 76 vs. 16 πληθυντικῶς—17 ἀφύην = Ba 173, 26 cf. Et. M. 179, 36, H v. ἀφύων vs. 17 εὗρετο—18 περιάψας Ar. Ach. 640 vs. 18 ἔστι—24 ἀφρῖτις Ath. 7, 284 f—285 a; Νικομήδει sq. Ath. 1, 7 d—f **4661** οὗ sq. Polyb. fr. 15

4657 cf. Z 352 **4660** cf. 1244, v. θωπεύει, v. λιπαρά, v. λυκόστομος; Ath. hinc **4650** et v. Κωβῖτις **4661** Polyb. cf. **3239**

6 δὲ ὅμως] τ' ὅμως A δὲ ὁμοίως VM 15 ἕψονται A, Hes. ἕψωνται rell. A(GITFVM) 16 δέ pr.] δεύς A 17 πανευδία M 25 θαλάσσης AG θαλάττης FM cp. I

Δ 4662 Ἀφυΐα: ἡ πρὸς τὰ προκείμενα μαθήματα σκληρότης.

Σ 4663 Ἄφυκτα: ἀναπόδραστα, ἀναγκαῖα. καὶ Ἄφυκτον, ὃ οὐκ ἔστιν ἐκφυγεῖν.

Σ 4664 Ἀφυσμός: ἀπάντλησις.

Σ 4665 Ἀφύσσων: ἀπαντλῶν, ἀρυόμενος.

Prov. 4666 Ἀφ' ὑψηλοῦ μου καταγελᾷς: οἱονεὶ πάνυ μου καταφρονεῖς. ἡ μεταφορὰ ἀπὸ τῶν ἀφ' ὕψους διαλεγομένων.

Δ 4667 Ἀχαάβ: ὄνομα κύριον.

4668 Ἄχαζ, βασιλεὺς Ἱερουσαλήμ. οὗτος τὸ ἐν τοῖς θησαυροῖς ἀργύριον ἔπεμψε Θεγλαφαλασὰρ, τῷ Ἀσσυρίων βασιλεῖ, δεόμενος ῥυσθῆναι Σύρων τε καὶ Ἰσραηλιτῶν. κἀκεῖνος αὐτῷ βοηθῶν ἐπεστράτευσε Δαμασκῷ. ἐνταῦθα αὐτῷ συντυχὼν Ἄχαζ ἐθεάσατο θυσιαστήριον καὶ ἀρεσθεὶς αὐτῷ μέτρα τε αὐτοῦ λαβὼν ἀπέστειλεν εἰς Ἱερουσαλὴμ κελεύσας Οὐρίᾳ τῷ ἱερεῖ τοιοῦτον αὐτόθι οἰκοδομῆσαι. καὶ ἀναζεύξας ἔθυσεν ἐπ' αὐτῷ τοῖς Σύρων θεοῖς τὸν ναὸν ἀποκλείσας τοῦ θεοῦ. τούτου δὲ τελευτήσαντος, ὁ υἱὸς αὐτοῦ Ἐζεκίας καὶ Ῥαβούα τῆς Ζαχαρίου θυγατρὸς βασιλεύει ἐν Ἱερουσαλὴμ ἁπάντων εὐσεβέστερος.

4669 Ἀχαΐα: ἡ Ἑλλάς. Μέμμιος γὰρ ὕπατος ἐπὶ τοὺς Κορινθίους σταλεὶς τὸν Μέτελλον ἐν χερσὶν οὖσαν τὴν νίκην ἀφείλετο. ἐπιγενόμενος δὲ πεπονηκόσι τοῖς Ἀχαιοῖς περὶ τὸν Ἰσθμὸν κατηγωνίσατο καὶ τὴν Κόρινθον εἷλεν αὐτοβοεὶ πρωτεύουσαν παντὸς κατὰ τοῦτο τοῦ Ἑλληνικοῦ· ὅθεν δοκοῦσι καὶ νῦν Ἀχαΐαν ὀνομάζειν τὴν Ἑλλάδα. Ῥωμαῖοι δὲ ἐς τὸ χειρωθὲν ἔθνος, ὃ προεστὼς ἦν τότε τῆς Ἑλλάδος, τὴν ὅλην μεταβαλόντες τῆς χώρας ἐπωνυμίαν ἀφίκοντο. καὶ

Prov. Ἀχαϊκὸν βέλος, ἐπὶ τῶν εὐστόχως βαλλόντων. παρ' ὅσον πάντων ἐπιτηδειότατόν ἐστι τὸ τοιοῦτον βέλος πρὸς πολιορκίαν, τὸ τῶν ἐξ Ἀχαΐας σφενδονητῶν βέλος.

Σ+Ε 4670 Ἀχανὲς πέλαγος καὶ πεδίον: τὸ ἐπιπολὺ κεχηνός. τέλματα δύσπορα διαδέχεται, καὶ ἐπὶ τούτοις ἀχανὲς καὶ ἀνέξοδον πεδίου βάθος, ἐν ᾧ μυρίκαι τε δένδρων μείζους ἐπεπήγεσαν, καὶ τὸ συνεχὲς

Σ τῆς ὕλης φοβερώτατον. καὶ Ἀχανεῖς, ἀφανεῖς, ἀφεγγεῖς. καὶ Ἀχανής, ὁ μὴ κεχηνὼς, καὶ ἄφωνος, ὁ ἐνεὸς, ὁ ἐκπεπληγμένος σιωπῇ.

4662 l. = Ambr. 3866 4663 Ἄφυκτα = Σ^a; ἄφυκτον sq. = Ba 174, 2, Σ^a cf. H v. ἀφύκτοις, sch. Ar. Nu. 1047 4664 l. = Ba 174, 7, Σ^a 4665 = Ba 174, 8, Σ^a, sch. A 598 cf. Et. M. 180, 1, H, Ap. S. 48, 25 4666 = Diogen. III 24 4670 — κεχηνός (praeter καὶ πεδίον) Ap. S. 1, 4—5 = Apion cf. Et. M. 180, 16, Et. Gud., Ambr. 3946 τέλματα—φοβερώτατον fort. Iambl.; cum fragm. v. περὶ πλήθουσαν coniunxit Bhd. ἀχανεῖς—ἀφεγγεῖς = Σ^a v. ἀχανής cf. Ba 174, 10; ἀχανής sq. = Ba 174, 11, Σ^a cf. H, Et. Gud.

4662 Z 354 4663 Z 356 cf. 360 4664 Z 352 4665 cf. v. Δ 152 4668 Z 360 4670 hinc v. μυρίκη; Z 360

A(GITFVM) 10 τῷ] τῶν V 18 Μέμμιος] Μέμιος VM Μόμμιος Bas. 23 Ῥωμαῖοι] Ῥωμαίων οἱ V προεστὼς] προειδὼς M 32 ἐνεός AM Σ^a ἐννεός ITFV εὐνεός G

4671 Ἀχάνη: μέτρον ἐστὶ Περσικόν, ὥσπερ ἡ ἀρτάβη παρὰ Αἰγυπτίοις. Ar.
ἐχώρει δὲ μεδίμνους Ἀττικοὺς με′, ὡς μαρτυρεῖ Ἀριστοτέλης. οἱ δέ
φασιν, ὅτι κίστη ἐστὶν, εἰς ἣν κατετίθεντο τοὺς ἐπισιτισμοὺς οἱ ἐπὶ
τὰς θεωρίας στελλόμενοι.
4672 Ἄχαρι: χαλεπὸν, κακόν. Ἀρριανός· ὁ δὲ πίστιν ἔδωκε τοῖς E
κατοικοῦσι μηδὲν ἄχαρι πείσεσθαι ἐκ βασιλέως. καὶ αὖθις· οὐδὲν
πείσεσθαι ἄχαρι πρὸς αὐτῶν.
4673 Ἄχαρι: λυπηρόν. ὁ δὲ τοὺς αἰχμαλώτους ἀφεὶς ἐξιόντας E
τοῦ τείχους παρεφύλαττεν ἑφεστηκὼς, μή τι ὑπὸ τῶν στρατιωτῶν
πάθωσιν ἄχαρι, μίσει τῷ πρὸς Παρθυαίους. καὶ αὖθις· ὁ δὲ ἐδεῖτο E
μηδὲν περὶ οὗ ἄχαρι πιστεύειν βασιλέα τοῖς ἑαυτοῦ ἐχθροῖς. καὶ
αὖθις· ὁ Περσῶν βασιλεὺς εἰσῆλθεν εἰς τὴν Ῥωμαίων γῆν, οὐδὲν δὲ EL
ἔδρασεν ἄχαρι. ἀχαρίστῳ νοσήματι τῷ θυμῷ χαριζόμενος, λύμαις E
ὅσαις ἐδύνατο παντοδαπαῖς τὸ σῶμα λυμηνάμενος.
4674 Ἀχαριστεῖν: μὴ χαρίζεσθαι. καὶ Ἀχάριστος, τὸ μὴ Σ
εὐχαριστεῖν. Ξενοφῶν· οἶμαι γὰρ ὅτι οὐκ ἂν ἀχάριστος ἐμοὶ ἔχειν E
οὔτε πρὸς ὑμῶν οὔτε πρὸς τῆς ἄλλης πάσης Ἑλλάδος.
4675 Ἀχαριστεῖν: ἀντὶ τοῦ μὴ χαρίζεσθαι. οὕτως Ἀντιφῶν. Harp.
καὶ Ἀχαριστῆσαι, τὸ μὴ χαρίσασθαι μηδ' ὑπουργῆσαι. Σ
4676 Ἀχάριστος· Ξενοφῶν· Κῦρος δὲ ἦγε Λυδῶν αἰχμαλώτους, E
καὶ οὓς μὲν ἑώρα καλλωπιζομένους καὶ πειρωμένους αὐτῷ χαριεῖσθαι,
τούτους εἴα σὺν τοῖς ὅπλοις, οὓς δὲ ἑώρα ἀχαρίστως ἐπιμένοντας,
τούτων τοὺς ἵππους παρέδωκε τοῖς Πέρσαις, τὰ δὲ ὅπλα κατέκαυ-
σεν. Ἀχαρίστως οὖν ἄνευ χάριτος. Δ
4677 Ἀχαρνείτης: Ἀθήνηθεν. πολλάκις ἐν θυμέλῃσι καὶ ἐν σκη- Anth.
νῇσι τεθηλὼς βλαισὸς Ἀχαρνείτης κισσὸς ἕρεψε κόμην.
4678 Ἀχάτης: λίθος· καὶ λυχνίτης καὶ ἀετίτης. Suid.
4679 Ἀχαία: ἡ Δημήτηρ. Ἀριστοφάνης· οὐδ' ἂν τὴν Ἀχαίαν Δ
κατεδέξατο. οὕτω δὲ αὐτὴν ἐκάλουν ἀπὸ τοῦ κτύπου τῶν κυμβάλων Ar.
καὶ τυμπάνων τοῦ γενομένου κατὰ τὴν ζήτησιν τῆς κόρης· ἢ ἀπὸ τοῦ
περὶ τὴν θυγατέρα ἄχους· ἢ ἀπὸ τοῦ ἤχου, ὃν παρεῖχον ἐν τοῖς περὶ

4671 sch. Ar. Ach. 108; cf. Poll. 10, 164—5, H, Ba 174, 28; Aristot. fr. 525
4672 ὁ—βασιλέως Arr. Parth. p. 64 R. 4673 — λυπηρόν cf. H v. ἀχαρές
ὁ—Παρθυαίους Arr. Parth. p. 64 R. cf. Philol. 74, 76 vs. 12 ὁ—13 ἄχαρι
Proc. bell. 1, 2, 11 = EL 90, 9—10 ἀχαρίστῳ sq. Aelian. fr. 209
4674 — χαρίζεσθαι Tim. = H οἶμαι sq. Xen. An. 2, 3, 18 4675 — Ἀντιφῶν
(fr. 128) Harp. = An. Ox. 2, 491, 32, Ba 174, 13 ἀχαριστῆσαι sq. = Ba 174, 15
4676 — κατέκαυσεν Xen. Cyr. 7, 4, 14 ἀχαρίστως sq. cf. H v. ἀχάριστα
4677 Ἀθήνηθεν cf. H v. Ἀχαρνικαὶ πύλαι πολλάκις sq. Anth. 7, 21, 3—4
4679 — Δημήτηρ = Et. M. 180, 34 cf. Ambr. 3995 οὐδ' sq. Ar. Ach. 709 c. sch.
cf. Et. M. 180, 35, Ba 174, 23, H

4671 cf. 4020; Z 362 4673 Aelian. cf. v. χαρίζεσθαι 4676 Z 365
4677 cf. v. B 227 et v. θυμέλη 2 4678 ex 572

5 Ἄχαρι] Ἄχαρ A 7 αὐτῶν] αὐτόν A 9 ἐφεστηκώς] ἀφεστηκώς AF A(GITFVM)
16 εὐχαριστεῖν] εὐχαρίστως M 4678 ex l^{mg}T 27 λίθος I λίθος· ὡς T
28 οὐδ'] οὐκ FV

τὴν γέφυραν εἰς Ἀθήνας ἀπιοῦσαν. ὁ δὲ νοῦς, οὐκ ἠνέσχετο ἂν οὐδὲ τὴν Ἀχαίαν αὐτήν.

Δ 4680 Ἀχαιΐδα: Ἑλληνίδα.

Δ 4681 Ἀχαιΐνη: ἡ ἔλαφος. ἐν Ἐπιγράμμασι· καὶ σκύτος ἀμφιδόρου
Anth. στικτὸν ἀχαιΐνεω. καὶ Βάβριος· τοιαῦτα κωτίλλουσαν τὴν ἀχαιΐνην ἔπεισεν ἐλθεῖν δὶς τὸν αὐτὸν εἰς ᾅδην.

Hesy. 4682 Ἀχαιός, Συρακούσιος, τραγικὸς νεώτερος, ἔγραψε τραγῳδίας ι′.

Hesy. 4683 Ἀχαιός, Πυθοδώρου ἢ Πυθοδωρίδου, Ἐρετριεύς, τραγικὸς, γέγονε κατὰ τὴν οδ′ Ὀλυμπιάδα καὶ δράματα ἐδίδαξε μδ′, οἱ δὲ λ′ ἱστορήκασιν, ἄλλοι κδ′· ἐνίκησε δὲ α′. ἦν δὲ νεώτερος Σοφοκλέους ὀλίγῳ τινί. ἐπεδείκνυντο δὲ κοινῇ σὺν καὶ Εὐριπίδῃ ἀπὸ τῆς πγ′ Ὀλυμπιάδος.

Soph. 4684 Ἀχέων: μετοχή ἐστιν· ἀντὶ τοῦ δυσφορῶν ἐπὶ τῷ κεκρύφθαι. Σοφοκλῆς· κρυπτᾷ τ᾽ ἀχέων ἐν ἥβᾳ. ἀντὶ τοῦ ἐν ἥβῃ κρυπτῇ λυπούμενος.

Δ Soph. 4685 Ἄχερδος. Σοφοκλῆς· κοίλης τ᾽ ἀχέρδου κἀπὸ λαΐνου τάφου.
Suid. 4686 Ἀχερουσία ἐστὶ λίμνη ἐν ᾅδου, ἣν διαπορθμεύονται οἱ τελευτῶντες, τὸ νόμισμα, ὅπερ δανάκη λέγεται, τῷ πορθμεῖ διδόντες.

Σ+Δ 4687 Ἀχέρων: ποταμὸς ἐν ᾅδου μεμυθευμένος· παρὰ τὸ ἄχη
Ar. ῥεῖν. καὶ Ἀριστοφάνης ἐν Βατράχοις ἐκφοβῆσαι θέλων φησίν· Ἀχερόντειός τε σκόπελος αἱματοσταγής. διὰ τὸν Διόνυσον.

Greg. 4688 Ἀχέρων: τόπος τις μέσος τοῦ παντός· ἐν ᾧ ἀνίμησίς ἐστιν ὑδάτων καὶ κατάποσις, ἄχρι τοῦ τέλματος τοῦ παντὸς, σκοτεινός τις καὶ ἀφεγγής. ὁ δὲ Ἀχέρων καθαρσίῳ ἔοικε καὶ οὐ κολαστηρίῳ, ῥύπτων καὶ σμήχων τὰ ἁμαρτήματα τῶν ἀνθρώπων.

Suid. 4689 Ἀχέτας: οὐκ εἶδος τέττιγος, ἀλλ᾽ ἐπίθετον τέττιγος, ὥσπερ ὁ ἀκανθίας. ἀπὸ τοῦ ἠχεῖν ἐν ἀκάνθαις.

4690 Ἄχειρος: ὁ χειρὸς ἐστερημένος, κατὰ μεταπλασμόν. Πισίδης· ἄπους, ἄχειρος, οὐ βαρεῖ τὸν αὐχένα· πλήρεις ἑκάστῳ τῶν μελῶν αἱ συνθέσεις. περὶ τῆς Χοσρόου ὠμότητός φησι.

4680 gl. in A 254 4681 — ἔλαφος = Et. M. 180, 32 cf. H καὶ σκύτος —ἀχαιΐνεω Anth. 6, 165, 2 τοιαῦτα sq. Babr. 95, 87—8 4684 Soph. El. 159 c. sch.; λυπούμενος = Et. M. 181, 8, sch. B 694 4685 κοίλης sq. Soph. OC 1596 4687 — τό = Ba 175, 4, Σ^{a}; — μεμυθευμένος = Ap. S. 49, 32; — ποταμός = H, Et. M. 180, 46; ἄχη ῥεῖν = Ambr. 3974 cf. Et. M. 180, 47 ἐκφοβῆσαι sq. Ar. Ran. 470 c. sch. 4688 Nonnus in Greg. Naz. PG 36, 1053d—56a 4690 ἄπους sq. Pisid. Heracl. 1, 45—46

4681 Z 362. Anth. cf. 1721. Babr. cf. v. κωτίλλω 4684 Z 364 4686 ex v. Δ 58 4689 ex 798

A(GITFVM) 1 ἀπιοῦσαν] ἀπιοῦσιν sch. 5 κωτίλλουσαν] κωτίλλουσα s. v., κοτίλλουσα Babr. 9 Πυθοδωρίδου F, Bhd. Πυθοδωρία V Πυθοδώριδος rell. 11 α′] ἑνί V 17 τάφου A τάφρου rell. 4686 om. FV post 4689 AG 4688 non nov. gl. AM 24 τέλματος] τέρματος M^{ac} τις] τε M 26 ῥύπτων] ῥύπων IV 4689 om. F post 4695 A post 4685 GIT 27 ὥσπερ] ὥσπερ καί V cf. 798 30 οὐ βαρεῖ] ἀβαρεῖ V

4691 Ἀχείρωτον: ἄμωμον. Σ

4692 Ἀχηνία: ἀπορία, πενία. Ἀριστοφάνης Ἀμφιαράῳ· νόςῳ βιαcθεὶς, ἢ φίλων ἀχηνίᾳ. Σ

4693 Ἄχι: ἀντὶ τοῦ ῥᾳδίως.

4694 Ἀχίας· προφήτης οὗτος ἐπὶ Ἱεροβοὰμ βασιλέως τῶν Ἑβραίων ἦν. κάμνοντος δ' αὐτῷ κατ' ἐκεῖνον καιρὸν τοῦ παιδὸς, τὴν γυναῖκα αὐτοῦ προσέταξεν ἥκειν, ἔνθα διέτριβεν ὁ Ἀχίας, περὶ τῆς τοῦ παιδὸς ὑγείας, μετασχηματιcαμένης τὴν cτολήν. μελλούcης δὲ αὐτῆς εἰς τὴν οἰκίαν εἰcιέναι τὰς ὄψεις ἠμαυρωμένου διὰ τὸ γῆρας, ἐπιφανεὶς ὁ θεὸς ἀμφότερα αὐτῷ μηνύει, τήν τε τοῦ Ἱεροβοὰμ γυναῖκα, καὶ τί μέλλει λέγειν αὐτῇ. καὶ παριούcης ὡς ξένης ἀνεβόηcεν· εἴcελθε, ὦ γύναι· τί κρύπτεις cαυτήν; τὸν γὰρ θεὸν οὐ λανθάνεις. ἄπελθε δὲ πρὸς τὸν ἄνδρα· τάδε λέγει κύριος· ἐπεί cε μέγαν ἐκ μικροῦ καὶ μηδενὸς ὄντος ἐποίηcα, καὶ ἀποcχίcας τὴν βαcιλείαν ἀπὸ τοῦ Δαβὶδ γένους coὶ ταύτην ἔδωκα, cὺ δὲ τούτων ἠμνημόνηcας καὶ τὴν ἐμὴν θρηcκείαν καταλιπὼν χωνευτοὺc θεοὺc κατεcκεύαcας καὶ τούτους τιμᾷc, cὲ πάλιν καθαιρήcω καὶ πᾶν ἐξολοθρεύcω cου τὸ γένος καὶ κυcὶ καὶ ὄρνιcι βορὰν γενέcθαι ποιήcω. μεθέξει δὲ τῆς τιμωρίας καὶ τὸ πλῆθος ἐκπεcὸν τῆς ἀγαθῆς γῆς διαcπαρὲν εἰς τοὺc πέραν Εὐφράτου τόπους, διότι τοῖc coῖc ἀcεβήμαcι κατηκολούθηcε. τὸν δὲ cὸν υἱὸν καταλήψῃ τεθνηκότα. ἅπερ καὶ γέγονεν. EV

4695 Ἀχιλλεὺc Cτάτιος, Ἀλεξανδρεὺς, ὁ γράψας τὰ κατὰ Λευκίππην καὶ Κλειτοφῶντα, καὶ ἄλλα ἐρωτικὰ ἐν βιβλίοις ηʹ. γέγονεν ἔcχατον χριcτιανὸc καὶ ἐπίcκοποc. ἔγραψε δὲ Περὶ cφαίρας καὶ ἐτυμολογίας, καὶ Ἱcτορίαν cύμμικτον, πολλῶν καὶ μεγάλων καὶ θαυμαcίων ἀνδρῶν μνημονεύουcαν. ὁ δὲ λόγος αὐτοῦ κατὰ πάντα ὅμοιος τοῖc ἐρωτικοῖc. Hesy.

4696 Ἀχίλλειος εὐχή· ἣ ποτ' Ἀχιλλῆος ποθὴ ἵξεται υἷας Ἀχαιῶν. Δ
ὁ Κάμιλλος, ὁ Ῥωμαίων cτρατηγὸc, εὔξατο τὴν Ἀχίλλειον εὐχὴν, EV
ἐπιποθῆcαι Ῥωμαίους Κάμιλλον ἐν καιρῷ. ἀπήντηcε δὲ αὐτῷ οὐ πολὺ ὕcτερον· Κελτῶν γὰρ τὴν πόλιν καταλαβόντων ὁ δῆμος ἐπὶ Κάμιλλον κατέφυγε, καὶ δικτάτωρα αὖθιc εἵλετο, ὡς ἐν ταῖc Κελτικαῖc πράξεcιν ἀναγέγραπται.

4691 = Ba 175, 3, Σ^a **4692** cf. Sabb.; — Ἀριστοφάνης (fr. 20) = Ba 175, 6; ἀπορία = Σ^a, H **4693** l. cf. Σ^a v. ἀχή **4694** Ios. Ant. 8, 267—272 = EV 1, 64, 2—65, 3 **4695** — Κλειτοφῶντα cf. Phot. bibl. c. 87 ἔγραψε—μνημονεύουcαν ad alium rett. Rohde, Gr. Roman 471, Diels, Doxogr. 18 **4696** ἣ—Ἀχαιῶν A 240 ὁ Κάμιλλος sq. App. Ital. fr. 8 = EV 2, 217, 8—12

4692 Z 362 **4693** Z 365 **4696** App. hinc v. Κάμιλλος

4693 om. TFV 12 γὰρ θεόν AM, Exc., θεὸν γάρ GIT θεόν S A(GITFVM) 22 Στάτιος] Στάcιος FV cf. Tatio uap. Phot. 25 Ἱcτορίαν] ἱcτορίας V; ad haec εἴθε τούτοις προcεκύρηcα mg. add. AIM 32 δικτάτωρα] δικάτωρα A cf. Exc., δικάτωρ V

Ar. 4697 Ἀχιλλείων: τουτέστι κριθῶν καθαρῶν καὶ εὐγενῶν, οὕτω καλουμένων. Ἀριστοφάνης· Ἀχιλλείων ἀπομάττῃ. ἀντὶ τοῦ σιτήσεως
Σ τῆς ἐν Πρυτανείῳ μετέχεις. ἢ Ἀχίλλειοι κριθαί, αἱ εὐτελεῖς.
Ar. 4698 Ἀχθέσῃ: λυπηθήσῃ. τῷ χρόνῳ ποτ' ἀχθέσῃ. ἀντὶ τοῦ λυπηθήσῃ ποτὲ τοῦδε τοῦ πράγματος γενομένου.
Σ 4699 Ἄχθεται: λυπεῖται. καὶ Ἀχθεσθείς, λυπηθείς. ὁ δὲ
Σ+E ἀχθεσθεὶς τοῖς ἐπιτάγμασι πολλὰ καὶ δεινὰ ἀπεκρίνατο.
Δ Anth. 4700 Ἀχθεινή: λυπηρά, ὀλεθρία. ἀχθεινὰν δ' εἶδε βοοκτασίαν.
Δ καὶ Ἀχθεινός, ὁ ἐπίπονος.
Σ 4701 Ἀχθηδών: λύπη.
Hom. 4702 Ἄχθομαι: βαροῦμαι, ἀγανακτῶ. Ἀριστοφάνης· ἄχθομαι τοῖς
Ar. ταῦτι τοῖς τ' ἀλαζονεύμασιν. ἀντὶ τοῦ τοῖς κόλποις τοῖς πεποικιλμένοις· ἐπεὶ ὁ ταὼς ποικίλος. ἢ ὅτι πορφύραις ἐχρῶντο καὶ τιάραις. καὶ
Σ Ἄχθομαι αὐτοῦ τῷ ῥύπῳ, ἀντὶ τοῦ τῇ ἀνελευθερίᾳ καὶ μικρολογίᾳ. τὸν γὰρ ῥύπον ἐπὶ τῶν γλίσχρων καὶ ἀνελευθέρων ἐτίθεσαν. οὕτω
Ar. γοῦν ῥυποκονδύλους λέγουσι τοὺς τοιούτους. καὶ Ἀριστοφάνης·
E κρομύοις γὰρ ἄχθομαι. καὶ Ἰώσηπος· ὁ δὲ θεὸς ἄχθεται τῇ τε τοῦ βασιλέως τῶν Ἀμαληκιτῶν σωτηρίᾳ καὶ τῇ τῶν βοσκημάτων διαρπαγῇ τοῦ πλήθους, ὅτι μὴ συγχωρήσαντος αὐτοῦ ταῦτ' ἐπράχθη. καὶ
Δ+E Ἀχθόμενοι, βαρούμενοι, πιεζόμενοι. ἀμφί τε ἡμέραν μέσην τῷ
Σ ἡλίῳ ἀχθόμενοι τὰ ὅπλα κατέθεντο. καὶ Ἄχθος, βάρος, λύπη.
Σ 4703 Ἀχθοφόρον: βαστάζοντα. καὶ παροιμία· Οὓς οὐκ ἂν
Ar. ἄραιντ' οὐδ' ἑκατὸν Αἰγύπτιοι. πολλαχοῦ γὰρ ἀχθοφοροῦντας τοὺς Αἰγυπτίους μέμνηνται.
Σ 4704 Ἀχλύς: σκότος, ὁμίχλη, ζόφος, ἀμβλυωπία. καί, ἠέρος ἀχλύ-
Call. σαντος. ἀντὶ τοῦ σκοτισθέντος.
Σ 4705 Ἄχναι: λεπτὰ ἄχυρα ἢ ἀκαθαρσίαι. καὶ Ἄχνη ἁλός, τὸ
Anth. λεπτότατον τοῦ ὕδατος, ὁ ἀφρὸς τῆς θαλάσσης. ἐν Ἐπιγράμμασι·

4697 — μετέχεις Ar. Eq. 819 c. sch. Ἀχίλλειοι sq. = Ba 175, 13
4698 Ar. Nu. 865 c. sch. 4699 — λυπεῖται = Ba 175, 14, Σ[a], H cf. Ambr. 4001
4700 — λυπηρά cf. Ambr. 3997 ἀχθεινάν—βοοκτασίαν Anth. 6, 263, 6
ἀχθεινός sq. cf. H v. ἀχθινόν, aliter Ambr. 3950 4701 = Ba 175, 15, Σ[a] cf. H
4702 — βαροῦμαι sch. E 361 cf. sch. Ar. Pl. 234 vs. 11 ἄχθομαι pr.—13 τιάραις Ar. Ach. 63 c. sch. vs. 14 ἄχθομαι—15 τοιούτους = Ba 175, 18, Phryn. fr. 293 cf. Philol. Suppl. 6, 260, n. 281; ἄχθομαι—ῥύπῳ Ar. fr. 669 sed cf. fr. 718 et Pl. com. fr. 124 vs. 17 κρομύοις γὰρ ἄχθομαι Ar. Ach. 1100 vs. 17 ὁ—19 ἐπράχθη Ios. Ant. 6, 142 vs. 20 ἀχθόμενοι, βαρούμενοι cf. H; ἀμφί—κατέθεντο Proc. bell. 2, 18, 18 vs. 21 ἄχθος sq. = Ba 175, 16, Σ[a], H; βάρος = sch. M 452, Ap. S. 49, 27 4703 — βαστάζοντα = Ba 175, 17, Σ[a] οὓς sq. Ar. Ran. 1406 c. sch. 4704 — ἀμβλυωπία = Ba 175, 22, Σ[a] cf. H ἠέρος sq. Call. fr. 9 K., an. 10 S. c. sch. 4705 — θαλάσσης = Ba 172, 23, 24, Σ[a] cf. sch. E 499, H, Et. M. 181, 47, Ap. S. 49, 33, Apion

4700 Z 362 4702 Z 364 4703 cf. 3819 4704 Z 362, 364

A(GITFVM) 5 γενομένου] μαινομένου V 8 βοοκτασίαν] βουκτασίαν M Zon.
post 4701 ἀεὶ δὲ τοῦ παρόντος ἀχθηδὼν κακοῦ τρύσει σε (Aeschyl. Prom. 26) add. T

μῆλον θ' ἡδύπνουν λεπτῇ πεποκωμένον ἄχνῃ. καὶ Ἄχνη πυρός, Σ
ὁ καπνός. καὶ ἄχνη ὕπνου, ὁ Ἱπποκράτης φησὶ, καὶ ἄχνη λιμοῦ.
δηλοῖ δὲ καὶ λεπτὸν ξύσμα.

4706 Ἄχνους: ἀγένειος. τίς τὸν ἄχνουν Ἑρμῆν σε παρ' ὑσπλή- Δ Anth
γεσσιν ἔθηκεν;

4707 Ἀχνύμενος: λυπούμενος. Hom.

4708 Ἄχος: λύπη σιωπὴν ἐπιφέρουσα. παρὰ τοῦτο καὶ ἀχνύμενος. Σ
τουτέστι λυπούμενος. λήγετε τοῦδ' ἄχους· κακῶν γὰρ δυσάλωτος Hom.
οὐδείς. ἀντὶ τοῦ δύσληπτος, ἀλλ' εὐάλωτος. ἡ δὲ σύγκλητος, ὥσπερ Soph.
ἄχει τινὶ πεπληγμένη, ἐξηπορεῖτο. E

4709 Ἄχω: ἀντὶ τοῦ ἃ ἔχω. Σοφοκλῆς· κἀμοῦ ταλαίνης σμικρὰ μὲν τάδ', ἀλλ' Suid.
ὅμως ἄχω.

4710 Ἀχών: ἄμπελος. Σ

4711 Ἀχώρ: τὸ πιτυρῶδες τῆς κεφαλῆς. παρὰ τὸ ἄχνη, ἀχνώρ· Ecl.
καὶ ἀποβολῇ τοῦ ν ἀχώρ. κλίνεται δὲ ἀχῶρος διὰ τοῦ ω μεγάλου·
ὡς ἰχῶρος, τοῦ σεσηπότος αἵματος.

4712 Ἄχραντον: ἄψαυστον· κυρίως, οὗ χεὶρ οὐχ ἥψατο· ἀμό- Σ
λυντον.

4713 Ἀχράς: εἶδος ἀπίου. Ἀριστοφάνης· ἀχράς τις ἐγκλείσας' ἔχει Ar.
τὰ σιτία. μῶν ἦν Θρασύβουλος εἶπε τοῖς Λακωνικοῖς; ἡ ἀχρὰς ἐπέχει
τὴν γαστέρα. οὗτος δὲ ὁ Θρασύβουλος ἀντιλέγειν μέλλων τοῖς Λακε-
δαιμονίοις πρέσβεσι περὶ σπονδῶν ἐληλυθόσιν, εἶτα δωροδοκήσας, ἀχρά-
δας προσεποιήσατο βεβρωκέναι καὶ μὴ δύνασθαι λέγειν.

4714 Ἀχρειόγελως ἄνθρωπος: ὁ ἐπὶ τοῖς ἀχρήστοις καὶ μὴ Σ
σπουδαίοις γελῶν καὶ χαίρων.

4715 Ἄχρειον: τῷ τόνῳ ὡς ἄμεινον. Σ

4716 Ἄχρηστα. καὶ παροιμία· Εἰς ἄχρηστα μὴ ἀναλίσκειν. Δ
μή ποτ' εὖ ἔρδειν γέροντα, μὴ παῖδα βάσκανον, μήτε γυναῖκα λάλον, Prov.
μήτε παῖδα νήπιον μήτε γείτονος κύνα, μὴ λάλον κωπηλάτην.

4705 μῆλον—ἄχνη Anth. 6, 102, 3 vs. 1 ἄχνη πυρός sq. = Ba 175, 28, H cf. Et. M. 182, 55; Hippocr. ed. Kühlewein 2, 247, 20 4706 τίς sq. Anth. 6, 259, 1 4707 sch. A 103 = H 4708 — ἀχνύμενος = Ba 175, 26, Σ[a]; — λύπη = sch. B 171, H, Et. M. 182, 8, Ap. S. 49, 28 λυπούμενος cf. ad 4707 λήγετε—εὐάλωτος Soph. OC 1723 c. sch. 4710 = Ba 176, 24, Σ[a] 4711 = An. Ox. 2, 430, 18, Et. M. 182, 20 cf. Ba 176, 1, Herodian. gramm. 1, 49, 3 4712 = Ba 176, 6, Σ[a] cf. Et. M. 182, 26; ἀμόλυντον cf. H v. ἀχρανές 4713 Ar. Eccl. 355—6 c. sch. cf. Sabb. 4714 = Ba 176, 9, Phryn. fr. 294 4715 cf. Herodian. gramm. 1, 230, 10 4716 l. cf. Ambr. 3945 vs. 27 εἰς—κωπηλάτην cf. Diogen. VI 61

4706 cf. v. ὕσπληξ; Z 361 4708 Z 363 4709 Σοφοκλῆς sq. ex 1239 4710 Z 361 4713 — ἀπίου Z 363 4714 Z 361 4716 Prov. cf. v. μηδέποτ' εὖ et v. μήποτ' εὖ.

2 λιμοῦ] λίνου Hes. Et. 4709 om. IFV post 4710 AGT 12 ἄχω] ἔχω A A(GITFVM) 15 δέ om. FV

Ar. ζήτει ἕτερα ἐν τῷ Πυθαγόρας. μηδ' εἰς ὀρχηστρίδος εἰσάττειν (τουτέστιν εἰσπηδῆσαι), ἵνα μὴ πρὸς ταῦτα κεχηνὼς βληθεὶς ὑπὸ πορνίδος τῆς εὐκλείας ἀποθραυσθῇς (τουτέστιν ἐκπέσῃς), μηδ' Ἰαπετὸν καλέσαντα μνησικακῆσαι τὴν ἡλικίαν, ἐξ ἧς ἐνεοττοτροφήθης. τουτέστι λῆρον, μωρόν. Ἰαπετὸς δὲ εἷς τῶν γιγάντων. ἐνεοττοτροφήθης δὲ οἷον ἐτράφης. μὴ παρὰ τοὺς σαυτοῦ γονέας κακουργεῖν, ὅτι τῆς αἰδοῦς μέλλεις ἄγαλμ' ἀναπλήσειν. μηδ' ἀπαίδευτά τινα ποιήσῃς περὶ τοὺς γονέας σαυτοῦ, ὅπερ μέλλει τῆς αἰδοῦς τὰ ἀγάλματα πληρῶσαι.

Δ 4717 Ἀχρηστία. Ἀππιανός· ὁ δὲ Ὡράτιος λελωβημένος ἦν τὰ Ε σκέλη, ὑπατείας τε οὐκ ἔτυχεν οὔτε ἐν πολέμῳ οὔτε ἐν εἰρήνῃ διὰ τὴν ἀχρηστίαν τῶν ποδῶν.

Σ 4718 Ἄχρι· γενικῇ. Ἄχρις, ἀντὶ τοῦ μέχρις, ἕως. ἔστι δὲ καὶ Δ Ἄχρις, ἀντὶ τοῦ καθόλου, διόλου. καὶ Ὅμηρος· ἀμφοτέρω δὲ τένοντε Σ καὶ ὀστέα λᾶας ἀναιδὴς ἄχρις ἀπηλλοίησε. καὶ Ἄχρι κόρου. παροιμία ἦν, ὅτι ἄχρι κόρου ἐκεῖνος ἀναίσθητός ἐστι. καὶ, οὗτος ἄχρι κόρου ἐφενάκισεν.

4719 Ἄχρωμος· ἦν δὲ ἡ ἐργασία αὐτοῦ ἄχρωμος (τουτέστιν ἀναι-Σ δὴς)· ἐπὶ πορνείου γὰρ ἐκαθέζετο. καὶ Ἀχρώματος, ἀναιδής.

Anth. 4720 Ἀχρυλίς, ἡ Φρυγία.

Σ 4721 Ἀχυρμιαί: οἱ τόποι, εἰς οὓς τὰ ἄχυρα ἀποφέρεται λικμώ-Anth. μενα. καὶ ἐν Ἐπιγράμμασι· καὶ τριβόλους ὀξεῖς ἀχυρότριβας.

Σ 4722 Ἄψ: πάλιν. ἄψ ἀνασειράζω, καὶ πάλιν ἄγχι μένω. ἐν Ἐπιγράμμασι. Suid. ἀντὶ τοῦ ἀνθέλκω, ἀνατρέπω.

Ar. 4723 Ἀψάλακτος: ἀπαθὴς, ἀτιμώρητος. ἀψάλακτον γὰρ τὸ ἄθι-Suid. κτον. οὕτως Κράτης.

Σ Rhet. 4724 Ἀψαμένη: ἐξαρτήσασα. καὶ Ἄψασθαι παρὰ πᾶσιν ἐπὶ Δ τοῦ προσάψασθαι καὶ θιγεῖν τάσσεται. καὶ Ἄψαι, προσάψαι.

4716 μηδ' εἰς sq. Ar. Nu. 996—9, 994—5 c. sch. 4717 l. = Ambr. 3991 ὁ sq. App. Bas. fr. 10 4718 — γενικῇ = Et. Gud. 589 ἄχρι, ἄχρις—ἕως = Ba 176, 8, Σ^{a}, H cf. Et. M. 182, 52, Ap. S. 49, 29, sch. Δ 522, P 599 καθόλου = sch. Δ 522; ἀμφοτέρω—ἀπηλλοίησε Δ 521—2 vs. 15 ἄχρι sq. = Ba 176, 25, Σ^{a}, Zen. I 44 cf. Phryn. 50, 4; vs. 16 ἄχρι alt. sq. Dem. 19, 187 4719 — ἐκαθέζετο Artem. 4, 42 ἀχρώματος sq. = Ba 176, 11, Σ^{a} 4720 Anth. 6, 173, 1 4721 — λικμώμενα = Σ^{a}, Ba 176, 22, Et. M. 183, 5, H, Ap. S. 49, 30 cf. sch. Ε 502, Ambr. 3987—8 καὶ τριβόλους sq. Anth. 6, 104, 3 4722 — πάλιν = Ba 177, 12, H, sch. A 60, Ap. S. 50, 5 4723 sch. Ar. Lys. 275 (Stein) 4724 — ἐξαρτήσασα = Ba 176, 27, Σ^{a} θιγεῖν cf. Bk. 216, 29

4716 Ar. cf. 3324, v. εἰσάττειν, v. Ἰαπετός, v. θραυσθῇς, v. μήλῳ 4717 cf. v. Ὁράτιος et v. Ὡράτιος 4718 Z 365, Vind. 176 4719—20 Z 363 4720 cf. v. θαλαμηπόλος 4722 ἄψ alt. sq. ex 2063 4723 cf. v. Δ 845, unde οὕτως Κράτης; Z 365 4724 Z 366

A(GITFVM) 2 βληθείς] ἀληθείς A 8 περί FV παρά rell. 14 τένοντε] τένοντες A 19 πορνείου] πορνεία V 23 ἄψ alt.—24 ἀνατρέπω om. TFV post 4724 AG 25 ἀψάλακτον] ἀψάλατον AIT 26 οὕτως Κράτης om. FV

4725 Ἀψαύστως: ἀνεπάφως. Ἀππιανός· ὁ δὲ τοῖς σώμασι τῶν Κίμβρων ἀψαυστεῖν ἐκέλευεν, ἕως ἡμέρα γένηται, πολύχρυσα εἶναι δοκῶν. Σ E

4726 Ἀψεύδεια: ἡ ἀλήθεια. λέγεται δὲ καὶ ἀψευδεῖν, καὶ ἀψευδές. Σ

4727 Ἀψήκτῳ κοθόρνῳ: ἀκαταμάκτῳ, σκληρῷ, ἀμαλάκτῳ ὑποδήματι πατάξω τὸν γνάθον. Ar.

4728 Ἀψήφιστον· ὁ κατέχων τὸ ἀψήφιστον ἐν γνώσει ἐπιτελεῖ πᾶσαν τὴν γραφήν.

4729 Ἄψῖδες: καμάραι. Σ

4730 Ἀψικάρδιος· εἰ δὲ ἰδιωτικὸν παράπλημα ἀψικάρδιον ἐθέλεις, ἐρήσεται ἂν ταχέως. τῆς καρδίας ἁπτόμενον.

4731 Ἄψικορος: εὐμετάβλητος. ἢ ὁ ταχέως καὶ ἅμα τῷ ἅψασθαι κορεννύμενος. εἰδὼς τῶν Νομάδων τὴν ἀψικορίαν καὶ τὴν ἀθεσίαν τὴν πρὸς ἀνθρώπους. καὶ αὖθις· συντηρητικὸν δεῖ εἶναι πρὸς τοὺς φίλους καὶ μηδαμοῦ ἀψίκορον. Σ Δ E

4732 Ἀψιμαχία: συναφὴ μάχης. Ἀππιανός· τὸ μὲν πρῶτον ἔριδες ἦν καὶ ἀψιμαχίαι σμικραί, μετὰ δὲ συμβολαί τε ἐς τὴν ἀλλήλων. Σ E

4733 Ἀψιμισία: πρὸς ὀλίγον διαφορά. Σ

4734 Ἀψῖνης, Ἀθηναῖος, σοφιστής, Ὀνασίμου πατὴρ τοῦ σοφιστοῦ, τοῦ πατρὸς Ἀψίνου. Hesy.

4735 Ἀψῖνης, Γαδαρεύς, σοφιστής, σπαρείς, ὡς λόγος, ἐκ Πανός· μαθητεύσας δὲ ἐν Σμύρνῃ Ἡρακλείδῃ τῷ Λυκίῳ, εἶτα Βασιλικῷ ἐν Νικομηδείᾳ, ἐσοφίστευσεν Ἀθήνησι, βασιλεύοντος Μαξιμιανοῦ, ὑπατικοῦ λαβὼν ἀξίωμα. Hesy.

4736 Ἀψῖνης, Ὀνασίμου τοῦ σοφιστοῦ Ἀθηναίου, σοφιστὴς νεώτερος τοῦ Γαδαρέως Ἀψίνου. Hesy

4737 Ἄψορροι: ὀπισθόρμητοι. οὐκ ἐκτός; οὐκ ἄψορρον ἐκνεμῇ πόδα; Αἴας λέγει πρὸς Τέκμησσαν, τὴν αἰχμάλωτον γυναῖκα. Σ Soph.

4738 Ἀψοφητί: ἠρέμα. Σ

4725 — ἀνεπάφως = Ba 176, 28, Σ^a cf. H ὁ sq. App. Celt. fr. 14 4726 = Ba 177, 5; l. = Ambr. 4016 4727 Ar. Lys. 656 c. sch. 4729 = Ba 176, 29, Σ^a, H 4730 — ταχέως Marc. 9, 3, 5 4731 — εὐμετάβλητος = Ba 177, 8, Σ^a cf. H v. ἀψικόρως ὁ—κορεννύμενος = H cf. Ambr. 4006, Et. M. 183, 29 (= sch. Luc. 27, 11) εἰδὼς—ἀνθρώπους Polyb. 14, 1, 4 συντηρητικόν sq. Marc. 1, 16, 10 4732 — μάχης = Ba 177, 9, Σ^a, H τό sq. App. Bas. fr. 16 cf. Bk. 148, 4 4733 = Ba 177, 10, Σ^a, H, Ambr. 4018 cf. Et. M. 183, 31 4737 — ὀπισθόρμητοι = Ba 177, 13 cf. Ambr. 4021 = H, Et. M. 184, 19 et Ambr. 4005 οὐκ pr. sq. Soph. Ai. 368 c. sch. 4738 = Ba 177, 11, Σ^a. H

4725 Z 366; App. cf. v. Κίμβρος 4727 Z 365 4728 hinc v. ψῆφος 1, Z 366 4730 cf. v. παράπηγμα 4731 cf. Z 365 4733 Z 365

5 ἀκαταμάκτῳ sch., Kust. ἀκαταμάττω AFVM ἀκαμάτῳ GIT 6 τόν] A(GITFVM) τήν Ar. 10 ἰδιωτικόν] ἰδιωματικόν V παράπλημα] παράπημα s. v. et Marc. 4734—6 hic M, post 4740 rell. 19 Ἀθηναῖος] ἀξιόλογος M 23 Μαξιμιανοῦ] Μαξιμίνου Kust. coll. v. Γ 9 (Μαξίμου) 25 Ἀθηναίου] Ἀθηναῖος Daub 27 ἐκνεμῇ] ἐκνεμεῖ V, Soph.

Hesy. 4739 Ἄψυρτος, Προυσαεὺς, Νικομηδεὺς, στρατιώτης, στρατευσάμενος ἐπὶ Κωνσταντίνου τοῦ βασιλέως ἐν Σκυθίᾳ παρὰ τὸν Ἴστρον. ἱππιατρικὸν βιβλίον οὗτος ἔγραψεν καὶ φυσικὸν περὶ τῶν αὐτῶν ἀλόγων· καὶ ἕτερα. ἔγραψε καὶ Κίμων Ἀθηναῖος ἱπποσκοπικὸν βιβλίον θαυμάσιον.

E 4740 Ἄψυχος· τὰς προφυλακὰς βλέπων ὁ Φαμέας, ὢν οὐκ ἄψυχος, ἐξέκλινε τὰς πρὸς τὸν Σκιπίωνα συμπλοκάς. καί ποτε συνεγγίσας ταῖς ἐφεδρείαις, προβαλόμενος ὀφρὺν ἀπότομον ἀπέστη καὶ πλείω χρόνον.

4740 Polyb. 36, 8, 3

4739 cf. v. Κίμων 2 4740 cf. v. Φαμέας

A(GITFVM) 2 Κωνσταντίνου IF Κωνσταντίου M cp. rell. 8 προβαλόμενος] προβαλλόμενος GITV post 4436 Ἄωτον: τὸ ἀπάνθισμα. Ἀωτῶ: τὸ ἀπανθίζω καὶ ἄωτον, ἱμάτιον ἐξ ἐρίου λεπτοῦ καὶ μαλακοῦ κατεσκευασμένον. καὶ ἄωτον, τὸ μὴ ἔχον ὦτια add. V cf. 2860

1 Βαάλ. Δ

2 Βαβακατρεῦ: βάρβαρός ἐστι φωνή· συγκατατίθεται δὲ ὁ βάρβαρος θεός. αἱ γὰρ ἄσημοι φωναὶ ἀντὶ συγκαταθέσεώς εἰσιν. Ar.

3 Βαβάκινος: εἶδος χύτρας. Δ

4 Βαβάκτης: ὁ ὀργιστής. Δ

5 Βαβαί: θαυμαστικὴ φωνή. Σ

6 Βαβαὶ Μύξος: ἐπὶ τῶν κομπαζόντων καὶ μεγαλαυχούντων. Μύξος γὰρ ἐγένετο τῆς Ἀρτέμιδος ἱερεύς, ἀστεῖός τις καὶ μεγάλαυχος. Prov.

7 Βαβρίας ἢ Βάβριος· Μύθους ἤτοι Μυθιάμβους. εἰσὶ γὰρ διὰ χωλιάμβων ἐν βιβλίοις ι΄. οὗτος ἐκ τῶν Αἰσωπείων μύθων μετέβαλεν ἀπὸ τῆς αὐτῶν λογοποιΐας εἰς ἔμμετρα, ἤγουν τοὺς χωλιάμβους. Hesy.

8 Βαβοῦς: ὄνομα κύριον. Harp.

9 Βαβύλας: πηλός. βάθρον. βῆμα. Δ

10 Βαβύλας, ἐπίσκοπος Ἀντιοχείας. οὗτος, φασὶ, Νουμεριανῷ, οἱ δὲ Δεκίῳ, κατὰ δή τινα δαίμονα εἰσελθεῖν εἰς πληθύουσαν τὴν ἐκκλησίαν προθυμουμένῳ· στὰς γὰρ πρὸ τῶν θυρῶν ἀντισχεῖν φάσκων, εἰς δύναμιν μὴ περιόψεσθαι λύκον τῷ ποιμνίῳ ἐπεισερχόμενον. τὸν δὲ παραυτίκα μὲν ἀνακρουσθῆναι τῆς εἰσόδου, εἴτε στάσιν τοῦ ὄχλου ὑπειδόμενον, εἴτε καὶ ἄλλως αὐτῷ μεταβουλευθέν. ἐν χαλεπῷ μέντοι τὴν ἀντίστασιν τοῦ ἐπισκόπου ποιησάμενον, ἐπειδὴ ὡς ἑαυτὸν ἐπὶ τὰ βασίλεια ἀπηλλάγη, παραστήσασθαί τε αὐτὸν καὶ πρῶτα μὲν τὴν αἰτίαν τῆς κωλύσεως ἐγκαλεῖν, ἔπειτα μέντοι κελεύειν αὐτὸν τοῖς δαίμοσι θύειν, εἰ βούλοιτό γε τὴν ἐπὶ τῷ ἐγκλήματι δίκην διαφυγεῖν. τὸν δὲ πρὸς τὴν ἐπέγκλησιν ἀπολογήσασθαι καὶ τὴν πρόκλησιν διακρούσασθαι E

2 sch. Ar. Av. 1615 3 = Ambr. 19, H 4 = Ambr. 18 cf. H, Et. M. 183, 45, Bk. 223, 31 5 = Ba 178, 1, H cf. Ambr. 239 6 cf. Diogen. III 65, Paroem. ed. Gsf. 25, n. 249, Crusius Münch. SB 1910, 58, 3 8 Harp. 9 l. = Ambr. 38; πηλός cf. H et Ambr. 6—7, Et. M. 186, 1 v. βακίας, H v. βακοίας; βάθρον cf. H v. βάκοα 10 Philostorg. 7, 8, p. 89—92 (cf. Artemii passio § 54—5, Photii exc.)

1 cf. 24; Z 368 3 Z 369 6 hinc v. Μύξος 7 hinc v. χορίαμβος 9—10 Z 367

3 ἀντί] ἀντὶ τοῦ AF 5 ὀργιστής AFM, Ambr., ms. K in Zon. 368, ὀργισθείς in ὀρχισθείς corr. V, μανιώδης, ὁ ὀρχηστής, βακχευτής GI (simil. T) cf. Et. M. 10 χωλιάμβων FVM^{ac} χωριάμβων GIT χοριάμβων M^{ac}, s. v., χαριάμβων A; item 11 οὗτος] οὕς coni. Bhd. μύθων] τινὰς μ. Crusius, Babr. p. 8 15 εἰς] ἐκ M 16 γὰρ om. TV 17 περιόψεσθαι] προόψεσθαι M 19 ὑπειδόμενον] εἴτε θείᾳ δυνάμει συμποδισθέντα add. T αὐτῷ] αὐτῶν A cf. Philostorg. A(GITFVM)

τὴν μέν, φήσαντα ποιμένι ὄντι ἑαυτῷ πάντα προσήκειν ὑπὲρ τοῦ ποιμνίου προθυμεῖσθαι, τὴν δὲ, μὴ ἂν ἐλέσθαι τοῦ ὄντως ἀποστάντα θεοῦ ψευδωνύμοις ὀλετῆρσι δαίμοσι θύειν. εἶθ' ὁ μὲν ὡς ἑώρα μὴ πειθόμενον προσέταξεν αὐτὸν ἁλύσεσι καὶ πέδαις ἐνδησαμένους τὴν ἐπὶ θανάτῳ ἄγειν τῆς κεφαλῆς ἀφαιρήσοντας. ὁ δὲ, ἐπειδὴ ἤγετο τεθνηξόμενος, ταύτας ἀναλαβὼν ἤδε τὰς τοῦ ψαλμοῦ ῥήσεις· ἐπίστρεψον ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου, ὅτι κύριος εὐεργέτησέ σε. φασὶ δὲ καὶ τρεῖς παῖδας ἀδελφοὺς τὸ γένος κομιδῇ νέους ὑπ' αὐτῷ ἀνατρεφομένους ἁρπαγῆναί τε αὐτοὺς ὑπὸ τοῦ βασιλέως, καὶ ὡς οὐδ' αὐτοὶ θύειν ἤθελον, καίτοι παντοίας ἀνάγκης αὐτοῖς προσαγομένης, καὶ αὐτοὺς ἐκέλευσε τῶν κεφαλῶν ἀφαιρεῖν. οὓς, ἐπειδὴ ἦκον εἰς τὸ προκείμενον χωρίον, ὁ Βαβύλας ἑαυτοῦ προστησάμενος, προτέρους προσῆγε τῷ ξίφει, τοῦ μή τινα τρέσαντα αὐτῶν ἀναδῦναι τὸν θάνατον. καὶ ἀποτεμνομένων ταύτην ἀνειπὼν τὴν φωνήν· ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἃ μοι ἔδωκεν ὁ θεός, ἔπειτα αὐτὸς προὔτεινε τὸν αὐχένα τῷ ξίφει, ἐντειλάμενος τοῖς τὸ σῶμα αὐτοῦ συλλεξομένοις τὰς ἁλύσεις καὶ τὰς πέδας αὐτῷ συνθάψαι, ἵν' ᾖ μοι ταῦτα, φησὶ, κειμένῳ κόσμος. καὶ νῦν μετ' αὐτοῦ, ὥς φασι, ταῦτα τυγχάνει κείμενα.

Δ 11 Βαβυλωνία κάμινος· καὶ Βαβυλώνιοι παῖδες.

Δ 12 Βαγαῖος: ὄνομα κύριον. παλλομένων δὲ, λαγχάνει ἐκ πάν-
E των Βαγαῖος.

Σ 13 Βαγεύει: πλανητεύει.

Δ 14 Βάγιον: μέγα.

Δ 15 Βαγώας: ὄνομα κύριον· ὃς ἦν εὐνοῦχος.

Σ 16 Βάδην: περιπάτῳ ἐρχόμενος. τοὺς μὲν προαπέστειλεν, αὐτὸς
E δὲ ἐν πλινθίῳ τὴν στρατιὰν ἐπαγόμενος ἐχώρει βάδην. καὶ αὖθις·
Ar. βάδην καὶ σχολαίως ἀκολουθῶν. Ἀριστοφάνης· Μεγαρεῖς, ὅτ' ἐπείνων βάδην, Λακεδαιμονίων ἐδέοντο. ἀντὶ τοῦ ἐλίμωττον, ὑπὸ λιμοῦ διεφθείροντο. βάδην ἀντὶ τοῦ κατὰ βραχὺ αὐξανομένου τοῦ λιμοῦ καὶ ἐπίδοσιν λαμβάνοντος, προϊόντος ἐπὶ τὸ μεῖζον.

Δ 17 Βαδδίν: στολὴ ἱερά. Δανιήλ· ἦρα τοὺς ὀφθαλμούς μου καὶ εἶδον, καὶ ἦν ἀνὴρ ἐνδεδυμένος βαδδίν.

ΔΣ 18 Βάδιζε. καὶ Βαδίζου, ἀντὶ τοῦ βάδιζε. Κρατῖνος.

11 — κάμινος cf. Ambr. 180 12 — κύριον cf. Ambr. 39 παλλομένων sq. Hdt. 3, 128, 1 13 = Ba 178, 2 14 = H cf. Ambr. 203 15 — κύριον = Ambr. 44; εὐνοῦχος = Ambr. 26 16 — ἐρχόμενος = Ba 178, 3 cf. H Μεγαρεῖς sq. Ar. Ach. 535—6 c. sch. 17 — ἱερά = Ambr. 199; — ἦρα sq. Dan. 10, 5 18 βάδιζε cf. Ambr. 234 Κρατῖνος fr. 391

12 Hdt. cf. v. πάλος 13 Z 377 14 Z 375 16 cf. v. πλίνθιον 17 Z 372 18 Z 377

A(GITFVM) 2 ὄντως] ὄντος A cf. Philostorg. 4 ἐνδησαμένους AG ἐνδυσαμένους ITM 8 εὐεργέτησε] εὐηργέτησε M Artemii pass. 9 ἀνατρεφομένους] ἀναστρεφομένους M τε] τε καί T Artemii passio 15 ἀνειπών] ἀνειπόν $A^{ac}M^{ac}$ 11 om. V

19 Βαδιστέα: ἀντὶ τοῦ πορευτέον. ἐμοὶ δὲ βαδιστέα, οἱ σοφία καὶ δαίμων με ἄγει. Ar.

20 Βαδιστικοῦ: ὀξύποδος. Ἀριστοφάνης. ὡς ὄντος γε μὴ βαδιστικοῦ. Ar.

21 Βάδιλλος. Δ

22 Βάδιος: υἱός. σημαίνει δὲ καὶ ἵππου χροιάν. Δ

23 Βάδος: ἡ βάδισις. Ἀριστοφάνης Ὄρνισι· διὰ ταῦτα τόνδε τὸν βάδον βαδίζομεν. ἐν παιδιᾷ παρεσχημάτισται. ὡς γὰρ ἀπὸ τοῦ πατεῖν πάτος· Ὅμηρος· πάτον ἀνθρώπων ἀλεείνων· οὕτως ἀπὸ τοῦ βαδίζειν βάδος. Δ Ar. E

24 Βαήλ. Δ

25 Βαθάλη: ὄνομα κύριον. Δ

26 Βαθεῖα κόμη: ἡ δασεῖα. ἀπεκείρατο τὴν κόμην· ἣν δὲ πολλὴ καὶ ξανθὴ καὶ βαθεῖα. βαθείᾳ τῇ τριχὶ κομῶντα, καὶ γηραιὸν πολιᾷ. πλοῦτον εἶναι τὴν Λαφρίαν Ἄρτεμιν. E E

27 Βαθεῖαν αὖλακα: ὅπερ ἐστὶ στίχος γῆς ὑπὸ ἀρότρου. μεταφορικῶς ἀπὸ τοῦ βαθείας φρένας καὶ κεκρυμμένας σημαίνει. Σ

28 Βάθος· βάθος ἐστὶ φάλαγγος τὸ μετὰ τὸ μέτωπον ἅπαν. καὶ ὁ ἀπὸ λοχαγοῦ ἐπὶ οὐραγὸν στίχος κατὰ βάθος λέγεται. ζήτει περὶ τοιούτων ἐν τῷ τέλει τοῦ δευτέρου βιβλίου. Tact.

29 Βαμίδος.

30 Βάθρα· χθὲς μὲν καὶ πρώην δεδρακότες τοῦ καπηλείου καὶ τούτου βάθρα καλλύνων καὶ τοὔδαφος κορεῖν, ἄρτι δὲ χλαμύδας τὰς εὐπαρύφους ἐνδεδυκότες καὶ περόναις χρυσαῖς διαπεπερονημένοι καὶ σφραγῖσι χρυσοδέτοις διεσφιγμένοι. καὶ Βάθρον, θεμέλιον. καὶ Βάθρα, ἀγάλματα. ἀπολυομένου δὲ αὐτοῦ τοὺς βλαυτίους καὶ πρὸς βάθρον προσηρεικότος τὸν ἕτερον πόδα, προσδραμών τις τῶν στρατιωτῶν μετ' ἐγχειριδίου τοῦτον ἀπέτεμε. καὶ Σοφοκλῆς· Σαλαμῖνος ἔχων βάθρον ἀγχιάλου. τουτέστι τὸ θεμέλιον, τὸ ἕδρασμα, δι' ὃν ἵσταται ἡ Σαλαμίς. Βάθρον καὶ ἐφ' οὗ κάθηνται ἐν τοῖς συλλόγοις. E Soph. Σ

19 — πορευτέον cf. sch. Ar. Ach. 394 ἐμοὶ sq. Philostr. 1, 18 20 Ar. Ran. 128 c. sch. 21 = Ambr. 42 22 cf. Ambr. 5 et 90; — υἱός cf. H 23 διά sq. Ar. Av. 42 c. sch.; πάτον—ἀλεείνων Z 202 24 = Ambr. 49 25 l. = Ambr. 191 26 ἀπεκείρατο—vs. 14 βαθεῖα Iambl. fr. 8 πλοῦτον sq. fort. Aelian. 27 Tim. = Et. M. 185, 31; l. Aeschyl. Sept. 593 28 — λέγεται Tact. p. 222 30 — διεσφιγμένοι Eunap. fr. 63, F H G 4, 42 vs. 25 βάθρον—26 ἀγάλματα = Ba 178, 4, Et. M. 185, 44 cf. H Σαλαμῖνος—Σαλαμίς Soph. Ai. 135 c. sch. vs. 30 βάθρον—κάθηνται cf. Bk. 224, 7

19 cf. v. οἱ 1 20 Z 369 23 Z 368 24 cf. 1 26—27 Z 372 26 Iambl. cf. v. θυραυλεῖν. βαθείᾳ sq. hinc v. Λαφρία; λοῦτον sq. hinc v. A 4029 cf. 37 28 cf. post litt. Ψ 30 Eunap. hinc v. καλλύνων; cf. v. Ῥουφῖνος

1 οἱ] οἷον IFV 21 om. GT 24 om. T post 25 G 15 πλοῦτον] βαθύπλουτον Bas., cf. p. 448, 8. 9 17 τοῦ omnes Tim. Et. τούτου Kust. Ruhnken 19 ζήτει—20 βιβλίου ex AM; ζήτει ἐν τῷ μυχός I περὶ τοιούτων om. A 20 δευτέρου om. A 29 ex M 22 πρώην] πρώτην AGI τούτου] τοῦ τά v. Ῥουφῖνος 23 καλλύνων] καλλύνειν v. Ῥουφῖνος 27 προσηρεικότος] προσειρηκότος VM A(GITFVM)

E 31 Βαθυγνώμων ἄνθρωπος καὶ κρυψίνους. Ῥουφῖνος καὶ Γλίχων ἐπίτροποι Θεοδοσίου τοῦ βασιλέως.

Σ 32 Βαθύγλωσσοι: ἐλλόγιμοι, εὔγλωττοι.

Σ 33 Βαθυδίνης: ἐν βάθει ἔχων τὰ ῥεύματα.

Anth. 34 Βαθυκαμπῆ: ἐπιπολὺ καμπτομένην. καὶ βαθυκαμπῆ κλεῖδα συῶν.

Σ 35 Βαθυλήϊον: σιτοφόρον πεδίον.

Σ 36 Βαθυπέπλων: μεγάλων, ἐκ τοῦ παρακολουθοῦντος.

37 Βαθύπλουτος: πολὺν πλοῦτον ἔχουσα. εὐδαίμονα καὶ βαθύ-
E πλουτον εἶναι τὴν Λαφρίαν Ἄρτεμιν.

Δ 38 Βαθυρρείτης: ὁ βαθέα ῥεύματα ἔχων.

Σ 39 Βαθύς: ἀντὶ τοῦ πονηρός. οὕτως Μένανδρος.

Δ 40 Βαθύστρωτος κοίτη. τὸν δὲ τῆς βαθυστρώτου καταβᾶσα κοίτης ἐπεδίωκεν ἡ νύμφη. ἀντὶ τοῦ πολυτελοῦς.

Σ 41 Βαθύσχοινον: ὑψηλὰς σχοίνους φέροντα.

E 42 Βαθύτατα: παχέα. Αἰλιανός· αἰθρίας γὰρ οὔσης καὶ πανηλίῳ ἡμέρᾳ ἄφνω καὶ ἀδοκήτως νέφη συνδραμεῖν οἷα δή που βαθύτατα καὶ καταρρῆξαι πάμπολυν ὑετόν.

Δ 43 Βακάντης: ὁ σχετλιαστής.

44 Βακάντιβος: σχολαστὴς, μὴ παραμένων τῷ πράγματι αὐτοῦ.

Δ 45 Βακκαῖοι: ὥσπερ Ἐσσαῖοι. ἔστι δὲ ἔθνος Ἰβηρικόν.

ΣΔ 46 Βάκηλος: μέγας μὲν, ἀνόητος δὲ καὶ γυναικώδης. Βάκηλος,
Prov. εὐνοῦχος, ἀπόκοπος. καὶ παροιμία· Βάκηλος εἶ, κατὰ τῶν ἐκλύτων καὶ ἀνάνδρων. τοιοῦτοι γὰρ οἱ ἀπόκοποι.

Δ 47 Βάκις: ἐπίθετον Πεισιστράτου. ἦν δὲ χρησμολόγος. Φιλητᾶς
Ar. δὲ ὁ Ἐφέσιός φησι τρεῖς Βάκιδας· ὁ μὲν ἐξ Ἐλεῶνος τῆς Βοιωτίας, ὁ δὲ Ἀθηναῖος, ὁ δὲ Ἀρκὰς ἐκ πόλεως Καφύης, ὃς καὶ Κύδας ἐκαλεῖτο καὶ Ἀλήτης. Θεόπομπος δὲ ἐν τῇ θ′ τῶν Φιλιππικῶν ἄλλα τε πολλὰ περὶ τούτου τοῦ Βάκιδος ἱστορεῖ παράδοξα, καὶ ὅτι ποτὲ τῶν

31 Eunap. fr. 63, FHG 4, 42 32 = Ba 178, 5 cf. H 33 = Ba 178, 6, H 34 καί sq. Anth. 6, 306, 1—2 35 = Ba 178, 8 cf. sch. B 147, H 36 = Ba 178, 7 37 εὐδαίμονα sq. fort. Aelian. 38 cf. Ambr. 24 39 Μένανδρος fr. 1001 40 τόν—νύμφη Babr. 32, 7—8 41 = Ba 178, 9 42 αἰθρίας sq. Aelian. fr. 67 43 = Ambr. 4 44 l. cf. Ambr. 3; gl. iuris 45 l. = Ambr. 107 46 — γυναικώδης = Ba 178, 10, Lex. rhet. ap. Et. M. 185, 18 cf. H βάκηλος sec.—ἀπόκοπος cf. Ambr. 9; ἀπόκοπος cf. H, Bk. 222, 4 βάκηλος εἶ sq. cf. Zen. II 62, Philol. Suppl. 6, 261, n. 295; Men. com. fr. 477, Alexid. fr. 100 47 — Πεισιστράτου = Ambr. 15 χρησμολόγος sq. sch. Ar. Pac. 1071 cf. Zacher, Jahrb. f. cl. Phil., Suppl. 16, 726, 1; Theopomp. hist. FGrHist 115 fr. 77

31 hinc v. Γ 287 extr. cf. v. Ῥουφῖνος 32 Z 369 34 Z 372 35 Z 375 36 Z 372 37—8 Z 369 37 cf. 26 41 Z 375 44—7 Z 369 47 hinc v. Φιλητᾶς 2, v. Κύδας, v. κάθαρσις

A(GITFVM) 1 Γλίχων] Στελίχων v. Ῥουφῖνος 5 καμπτομένην AFV καμπτόμενον GIT 12 Βαθύστρωτος FVM Βαθύστροτος AG Βαθύστρατος IT 14 φέροντα] φέρον GIT Zon. 20 ἔθνος FVM ἔθος A ἐθνικόν GIT 27 Θεόπομπος] Θεόσπονδος V

Λακεδαιμονίων τὰς γυναῖκας μανείσας ἐκάθηρεν, Ἀπόλλωνος τούτοις τοῦτον καθαρτὴν δόντος.

48 Βακτηρεύειν: στηρίζεσθαι. Σ

49 Βακτηρία καὶ σύμβολον· οἱ λαχόντες δικάζειν ἐλάμβανον παρὰ Σ τῶν δημοσίων ὑπηρετῶν σύμβολον καὶ βακτηρίαν, καὶ οὕτως ἐδίκαζον. τὴν χρόαν ὁμοίαν εἶχε τῇ βακτηρίᾳ τὸ δικαστήριον. τὸ μέντοι σύμβολον ⟨μετὰ⟩ τὴν κρίσιν ἀποδιδοῦντες ἐκομίζοντο τριώβολον· ὅπερ καὶ δικαστικὸν γέγονεν.

50 Βάκτρον: ῥάβδος. γηραλέον νῦν ἀντὶ πανοπλίης βάκτρον Δ ἀμειψάμενος. λέγεται καὶ σκηπάνιον. ἀντὶ δὲ πλήκτρου, σκηπανίῳ Anth. τρομερὰς χεῖρας ἐρεισάμεθα.

51 Βάκχαι καὶ Σάτυροι καὶ Πᾶνες καὶ Σιληνοί, ὀπαδοὶ Διονύσου.

52 Βακχέβακχον ᾄσαι: ἀντὶ τοῦ εὐφημῆσαι τὸν Διόνυσον. Ar. Βάκχαν γὰρ ὁ Διόνυσος.

53 Βακχευούσας σὺν τῷ μέλει τῷ βακχείῳ τε καὶ ἐνθέῳ.

54 Βακχεύων: μαινόμενος. καὶ Κατεβακχεύοντο, τουτέστιν Δ ἐνεθουσίων ἐπιπνοίας τινὸς πληρωθέντες. ἐπ' αὐτήν που τὴν τελε- x + E ιουργὸν κατεβακχεύοντο πρᾶξιν χωρεῖν σώφρονι μανίᾳ ἐς συμπλοκὴν ἐξοιστρούμενοι.

55 Βακχεία ποιμαντική· καὶ Βακχεῖος. Δ

56 Βάκχης τρόπον: ἐπὶ τῶν ἀεὶ στυγνῶν καὶ σιωπηλῶν· παρόσον Prov. αἱ Βάκχαι σιγῶσιν.

57 Βάκχος: οὕτως οὐ μόνον τὸν Διόνυσον ἐκάλει, ἀλλὰ καὶ πάν- Ar. τας τοὺς τελοῦντας τὰ ὄργια· οὐ μὴν καὶ τοὺς κλάδους οἱ μύσται φέρουσιν. ἔστι δὲ καὶ στεφάνου εἶδος. Βάκχοισιν κεφαλὰς πολυανθέσιν ἐστέψαντο. καὶ Πισίδης· πολλοὺς δὲ Βάκχους ἦν ὁρᾶν ἀκουσίως τὴν ἐσχάτην ὄρχησιν ἐξορχουμένους.

58 Βακχίδης: ὁ τοῦ Διονύσου υἱός. Δ

59 Βακχυλίδης, Κεῖος, ἀπὸ Κέω τῆς νήσου, πόλεως δὲ Ἰουλίδος Hesy. (ἔχει γὰρ πόλεις δ', Ἰουλίδα, Καρθαίαν, Κορεσσίαν, Ποιήεσσαν), Μέδωνος υἱὸς, τοῦ Βακχυλίδου τοῦ ἀθλητοῦ παιδός· συγγενὴς Σιμωνίδου τοῦ λυρικοῦ, καὶ αὐτὸς λυρικός.

48 l. = Ba 178, 11 49 cf. Bk. 185, 4 et 220, 17, sch. Patm. in Dem. 18, 210 (Bull. corr. hell. 1, 144) 50 — ῥάβδος cf. H v. βακτηρία; l. = Ambr. 202 γηραλέον—ἀμειψάμενος Anth. 6, 81, 5—6; ἀντί sq Anth. 6, 83, 5—6 52 — Διόνυσον sch. Ar. Eq. 408 Βάκχαν sq. cf. Ambr. 93 54 — μαινόμενος cf. H, Ba 178, 13, Et. M. 185, 10 ἐπ' sq. Th. Simoc. 5, 5, 1 55 Βακχεῖος cf. Ba 178, 13, Ambr. 93 et 121 56 cf. Diogen. III 43, Cohn, Z. d. P. 75 57 — ἐστέψαντο sch. Ar. Eq. 408 cf. Bk. 224, 32; Βάκχοισιν—ἐστέψαντο Nicand. fr. 130 πολλούς sq. Pisid. fr. 67 58 = Ambr. 16 cf. 64 et 122

48 Z 377 49 cf. v. σύμβολον 1 50 Z 375 52 Z 376 54 Th. cf. v. τελεσιουργήσας 56 cf. v. στέγανον 59 Z 369

4 οἱ—6 σύμβολον om. A 6 χρόαν] χρόαν δὲ T 7 ⟨μετά⟩ add. m. rec. in G, A(GITFVME) Port. ἀποδιδοῦντες] ἀποδιδόντες T 52 om. GIT 14 Βάκχαν AFME^{ac} Βάκχης V Βάκχος E^{ac} 23 Βάκχος om. V ἐκάλει] ἐκάλουν VM^{ac} 24 καὶ τοὺς κλάδους] ἀλλὰ καὶ τοὺς κλάδους, οὕς sch. 30 Καρθαίαν Gsf., s. v.: Καρθέαν omnes

Prov. 60 Βάκχυρις: ἐπὶ τῶν δικαιοτάτων. τοιοῦτος γὰρ οὗτος, βασιλεὺς Αἰγύπτου.

Ar. 61 Βαλανάγρα: ἡ κλείς, παρὰ τὸ ἀγρεύειν τὴν βάλανον. βάλανος δέ ἐστι τὸ εἰς τὸν μοχλὸν ciδήριον, ὃ καλοῦμεν μάγγανον. καὶ βάλανοι, τὰ μάγγανα τῆς κλειδώσεως. καὶ βεβαλάνωται, ἀντὶ τοῦ κεκλείδωται.

Δ 62 Βαλανεώτης.

Prov. 63 Βαλανεύς: ἐπὶ τοῦ πολυπράγμονος καὶ περιέργου.

Σ 64 Βαλανειομφάλους: τὰς φιάλας οἱ κωμικοὶ καλοῦσι. Βαλανεῖον δὲ ἐκλήθη, διότι τὰς βαλάνους ἐσθίοντες τὰ κελύφη ἔκαιον. λέγουσι δὲ ὅτι οἱ πολλοὶ ἐλαττοῦσι τὸν ἀέρα τῷ λουτρῷ, εἰς ἑαυτοὺς αὐτὸν ἕλκοντες. καὶ Βαλανείτης, ὁ παρὰ τοῖς πολλοῖς καλούμενος περιχύτης. ἔστι δὲ τὸ βαλανεῖον ὀδὸς ἐπὶ τρυφήν. ὅτι τὸ

Suid. καταρχὰς, μὴ ὄντων βαλανείων, ἐν ταῖς σκάφαις καὶ πυέλοις οἱ ἀρχαῖοι ἐλούοντο.

Δ 65 Βαλανίς: ἡ τοῦ βαλανέως γυνή.

Ar. 66 Βάλανος: τὸ αἰδοῖον καὶ τὸ ψέλιον. καὶ Βάλανοι φοινίE κων. οἶνον ἔπινον ἀπὸ τῆς βαλάνου τῆς ἀπὸ τοῦ φοίνικος. καὶ

Suid. αὕθις· αἱ δὲ βάλανοι τῶν φοινίκων, οἷας μὲν ἐν τοῖς Ἕλλησιν ἔστιν ἰδεῖν, τοῖς οἰκέταις ἀπέκειντο, αἱ δέ τοῖς δεσπόταις ἀποκείμεναι ἦσαν ἀπόλεκτοι.

Σ 67 Βαλάντιον: μάρσιπος. Εὐνάπιος· εἴτε φιλοχρήματος εἴη καὶ E δοῦλος τῶν βαλαντίων. καὶ ταῦτα σαφῶς ἐκπυνθανόμενοι πρὸς ταῦτα διεστρατήγουν τὸν πόλεμον.

Σ 68 Βαλαντιοτόμος: κλέπτης. καὶ Βαλαντιοτόμοι. χρημάτων τε μεγάλων ἐωνημένοι ἦγοντο μοιχοὶ, πόρνοι, τοιχωρύχοι, βαλαντιο-

Ar.? τόμοι, ἀνδραποδισταὶ καὶ τὰ τοιαῦτα ἔθνη. Βαλαντιοτόμοι δὲ οἱ τὰ βαλάντια κλέπτοντες.

Δ 69 Βαλβίς· Βαλβῖδος. βάσις ταπεινὴ, ἡ ἀφετηρία, καὶ ὁ καμΣ πτός. ὥσπερ ἐκ βαλβῖδός τινος οἱ τὰ τέθριππα ἀφιέντες, ἀναπετα-

60 cf. Paroem. ed. Gsf. 20, n. 209, Zen. II 60 61 sch. Ar. Vsp. 155; — μάγγανον = Ba 180, 7; Lex. rhet. in Et. M. 185, 52, sch. Thuc. 2, 4, 3 cf. Bk. 220, 29; — κλείς = gl. Hdt. 3, 155, H; βάλανοι sq. sch. Ar. Av. 1159 62 = Ambr. 45 63 = Paroem. ed. Gsf. 25, n. 247, Philol. Suppl. 6, 261, n. 293 cf. H 64 — καλοῦσι cf. Ath. 11, 501 d, f (Cratin. fr. 50), Bk. 225, 6, H vs. 13 περιχύτης cf. H v. βαλανεύς ἔστι—τρυφήν Artem. 1, 64 cf. sch. Ar. Nu. 838 66 — ψέλιον sch. Ar. Lys. 413 βάλανοι φοινίκων Xen. An. 2, 3, 15; οἶνον—φοίνικος Xen. An. 1, 5, 10 67 — μάρσιπος = Ba 178, 14 cf. H, Et. M. 186, 49 εἴτε sq. Eunap. fr. 90, FHG 4, 53 68 — κλέπτης = H, Ba 178, 15, Ambr. 2, Phryn. fr. 296(?) χρημάτων—ἔθνη Philostr. 4, 22 vs. 25 βαλαντιοτόμοι sq. cf. sch. Ar. Ran. 772 69 — βαλβῖδος = Ambr. 143 βάσις—καμπτός = Ba 178, 17, Et. Gen. cf. Et. M. 186, 23, H, An. Ox. 2, 431, 17

60 Z 369 64 περιχύτης Z 369. ὅτι sq. ex v. A 4123 65 Z 372 66 Z 369, 372. καὶ αὖθις sq. ex v. A 2991 cf. 3381 68 cf. v. ἔθνος

A(GITFVM) 4 καλοῦμεν] καλούμενον A 63 non nov. gl. AV 11 τῷ λουτρῷ] τῶν λουτρῶν A 13 ὅτι—14 ἐλούοντο om. TFV 16 Βάλανος] ζήτει παράνω ἐν τῷ βαλανάγρα add. AM^{mg} 17 καί—19 ἀπόλεκτοι om. FV 20 Βαλάντιον] Βαλλάντιον A; item 23. 25 26 τά] τὰ ἀρχόντων GI τὰ ἄρχοντα T τὰς ἀρχάς M 27 βαλβῖδος om. FV

cθείcης τῆς πύλης. καὶ Βαλβῖcιν, ἀντὶ τοῦ ταῖς ἀρχαῖς. εἴρηται Harp. + Ar.
δὲ ἀπὸ τῶν δρομέων. ἡ γὰρ ὑπὸ τὴν ὕcπληγα γινομένη γραμμὴ,
διὰ τὸ ἐπ' αὐτῆς βεβηκέναι τοὺς δρομέας, βαλβὶς καλεῖται. ἀπὸ τοῦ
ἄλλομαι ἁλμὶς, ἁλβὶς, ὑπερβιβαcμῷ βαλβίς. ἢ ἀπὸ τοῦ βαίνω.
70 Βάλε, βάλε, τὸ τρίτον εἶη: ἀντὶ τοῦ εἴθε μοι. Call.
71 Βάλλ' ἐc κόρακας: τουτέcτιν ἄπιθι εἰς ἀπώλειαν καὶ φθόρον. Ar.
ἀπὸ ἱcτορίας ἐν ταῖς παροιμίαις κειμένης.
72 Βαλεντινιανός, βαcιλεὺc Ῥωμαίων. οἱ δὲ Οὐαλεντινιανός. καὶ ζήτει ἐν Suid.
τῷ Σαλούcτιος.
73 Βαλεριανός, βαcιλεὺc Ῥωμαίων.
74 Βάλλ' ἐc Μακαρίαν: ἐπὶ τῶν ἑαυτοὺc εἰc κίνδυνον κατ' ἀρετὴν Prov.
διδόντων.
75 Βάλλ' ἐc Μακαρίαν: οἷον εἰc ᾅδου. Μακαρία γὰρ ἡ Ἡρα- Σ
κλέους, ὁπηνίκα ἐπεcτράτευcεν ὁ Εὐρυcθεὺc ταῖς Ἀθήναις, ἑαυτὴν
ἐπέδωκε cφάγιον ὑπὲρ τῆς τῶν λοιπῶν cωτηρίας. τὸ δ' αὐτὸ τοῦτο
καὶ οὕτωc λέγουcιν, ἐc Μακαρίαν, καὶ εἰc Μακαρίαν.
76 Βάλλεται: πλήττεται, πυρπολεῖται. βάλλεται δὲ ἡ ναῦc cκηπτῷ, E
καὶ ἦν δέοc ἐξαφθῆναί τε καὶ καταδῦναι τὸ cκάφοc.
77 Βαλεῖν: τὸ πόρρωθεν πέμψαι. οὐτάcαι δὲ καὶ νύξαι καὶ τύψαι,
τὸ ἐκ χειρὸc τρῶcαι. Βάλλειν παρ' Ὁμήρῳ καὶ ἐπὶ τοῦ τυγχά- Hom.
νειν. βάλεν ἄγρια πάντα.
78 Βάλλειν μήλοιc: ἐπὶ τῶν τυγχανόντων ὧν ἐρῶcιν. καὶ Prov.
Βάλλω· αἰτιατικῇ. τοὺc πόρρωθεν βάλλων τοξεύμαcι τοῖc ἐκ μέλανοc. καὶ τόνδ' Syn.
οὐ δύναμαι βαλέειν κύνα λυccητῆρα.
79 Βάλλ' εἰc ἔχοντα τὴν ἐπιcτήμην: ἐπὶ τῶν λοιδορούντων Prov.
τοὺc ὁμοτέχνουc.
80 Βάλλ' εἰc ὕδωρ: ὅτι καταπόντιcον. Prov.
81 Βακτηρία καὶ cχῆμα καὶ τριβώνιον, ἢ τριώβολον: τοῦτο Prov.
ἐπὶ τῶν cκωπτόντων δικαcτὰc τοὺc Ἀθήνηcιν.
82 Βαλίαν: τὴν ἔλαφον τὴν κατάcτικτον. καὶ Βαλίων ἀνέ- Σ
μων· λήγετε πνοιαὶ βαλίων ἀνέμων. τουτέcτι cφοδρῶc πνεόντων.

69 βαλβῖcιν—καλεῖται Harp. = Et. M. 186, 23 cf. Ael. D. fr. 90 ex Eust. O. 1404, 55; ἀρχαῖc cf. Ambr. 143; ἡ sq. sch. Ar. Eq. 1159 70 Call. fr. 38 K., 66e S. c. sch. cf. sch. Dionys.Thrac. Gramm. Gr. 1, 3, 60, 12, Et. Gen. ap. Miller, Mél. 207 71 sch. Ar. Nu. 133 74 = Zen. II 61 in fine 75 = Sabb. cf. Eust. O. 1405, 37, Tim., sch. Ar. Eq. 1151, H, Philol. Suppl. 6, 230, n. 23 77 cf. sch. Eur. Hipp. 684, Lehrs, Aristarch. 51 sqq.; — οὐτάcαι cf. Eust. I. 506, 14, sch. A in Δ 540; οὐτάcαι—τρῶcαι = Ammon. 40 τυγχάνειν sq. Ε 52 c. sch. A 78 — ἐρῶcιν = Diogen. III 63 βάλλω—τοξεύμαcι = An. Ox. 4, 288, 6; καὶ τόνδ' Θ 299 79 = Diogen. III 56 80 = Zen. II 72 81 cf. Macar. II 73, Philol. Suppl. 6, 261, n. 298 82 — κατάcτικτον cf. H, Ba 178, 16, sch. Eur. Hec. 90 λήγετε—ἀνέμων Synes. hymn. 3, 77—8

69 cf. v. A 4588 71 Z 378 72 ex v. Οὐαλεντινιανός 2 75 cf. v. Μακαρία 76 Z 378 77 hinc v. νύξαι, v. οὐτάcας, v. τύψαι; Z 378

72—3 om. FV 74 om. FM 16 Μακαρίαν pr.] Μακαιρίαν ed. pr. A(GITFVM)
22 καί—24 λυccητῆρα om. TFV post 79 G 24 λυccητῆρα pr. λυcιτῆρα omnes
28 τοῦτο] τοῦτό ἐcτιν V

Anth. παρὰ Συνεσίῳ τῷ Κυρηναίῳ. καὶ αὖθις· θηρεύων βαλίους συνομήλικας ἐν νομῷ ὕλης· ᾤχεο γὰρ πυμάτ' εἰς Ἀχέροντος ὁδόν.

Ε 83 Βαλιαρίδων νήσων σφενδονῆται εὔστοχοι.

Δ 84 Βαλίος: ἵππος.

Σ 85 Βαλμός: στῆθος.

86 Βάλλων Σωκράτη καὶ Ζήνωνα τοῖς ἐκ Διονυσίων σκώμμασι, καὶ τοὺς ὑπ' αὐτῶν ἀξιῶν πάσης ἐλαύνεσθαι γῆς καὶ θαλάττης, ὡς ὄντας κῆρας πόλεών τε καὶ πολιτείας· νῦν δὲ στεφανῶν αὐτοὺς καὶ παράδειγμα τιθέμενος βίου γενναίου καὶ σώφρονος.

Prov. 87 Βαλὼν φεύξεσθ' οἴει; πρὸς τοὺς κακόν τι δράσαντας καὶ οἰομένους ἐκφεύγειν.

88 Βαλτάσαρ: οὕτως ἐπεκλήθη ὁ Δανιὴλ εἰς τιμὴν τῆς τῶν ἀπορρήτων σαφηνείας.

Σ 89 Βάμμα Κυζικηνόν: τὴν ἀκάθαρτον ἀσχημοσύνην Ἀττικοὶ λέ-

Ar. γουσι. καὶ ἑτέρα παροιμία· Βάμμα Σαρδιανικόν, ἀντὶ τοῦ μή σε ἐρυθρὸν ποιήσω· οἷον ἵνα μή σε φοινίξω. νῆσος γάρ ἐστι μεγίστη ἡ Σαρδὼ πρὸς τῇ Ἰταλίᾳ, ἐν ᾗ γίνονται πορφύραι διάφοροι καὶ ὀξύταται. βούλεται οὖν δηλοῦν, ἵνα μή σε πλησὰς ἐντρίψω. ζήτει ἐν τῷ ἄγχουσα περὶ ἐρυθήματος γυναικῶν.

Suid. 90 Βάμβαξ, ἢ πάμβαξ καὶ παμβακίς: τὸ παρὰ πολλοῖς λεγόμενον βαμβάκιον. ἐν Ἐπιγράμμασι· καὶ τὴν τρυτοδόκην κοιτίδα παμβακίδων.

Σ 91 Βαμβαίνει: διστάζει, τρέμει τοῖς ποσὶ καὶ τῇ γλώττῃ ἀσήμως φθέγγεται.

Σ 92 Βάναυσος: πᾶς τεχνίτης διὰ πυρὸς ἐργαζόμενος. βαῦνος γὰρ

Ε ἡ κάμινος. καί, τοῖς ἐκ τῆς ἀγορᾶς βαναύσοις φέρειν προσέταξε βέλη καὶ παραβάλλειν ἔξω παρὰ τὸν θεμέλιον τοῦ τείχους.

EV 93 Βάναυσος· ἐπὶ τούτοις σεμνύνεται κατὰ τὴν πολιτείαν, ἐφ' οἷς ἂν καὶ τελώνης σεμνυνθείη βάναυσος. ἐπὶ γὰρ τῷ πολλὰ καὶ λυσιτελῶς πωλεῖσθαι κατὰ τὴν πόλιν καὶ δαψιλῆ τὰ πρὸς βίον ὑπάρχειν πᾶσιν, ἐπὶ τούτοις μεγαλαυχεῖ.

E? 94 Βάνδον: οὕτω καλοῦσι Ῥωμαῖοι τὸ σημεῖον τὸ ἐν πολέμῳ.

Soph. 95 Βάξιν: φήμην. Σοφοκλῆς· εἰ γὰρ ἐν ταῖς ξυμφοραῖς ταῖς νῦν νομίζεις πρός γ' ἐμοῦ πεπονθέναι λόγοισιν εἴτ' ἔργοισιν εἰς βλάβην

82 θηρεύων sq. Anth. 7, 203, 3—4 84 cf. Et. Gud., Et. M. 186, 27 85 = Ba 178, 18, H 86 Synes. Dio, PG 66, 1117c—d 87 = Zen. II 71, Philol. Suppl. 6, 230, n. 18, 261, n. 288 89 — λέγουσι = Et. M. 187, 24 (= Et. Gen.) βάμμα Σαρδιανικόν—ἐντρίψω sch. Ar. Ach. 112 91 = Lex. rhet. ap. Et. M. 187, 27 cf. H, sch. K 375 92 — κάμινος = Ba 178, 20, Lex. rhet. ap. Et. M. 187, 38 cf. gl. Dionys. PG 4, 24, Bk. 222, 20, sch. Pl. Theaet. 176c, Rep. 495e, H v. βαναυσία τοῖς sq. Polyb. 1, 40, 9 93 Polyb. 12, 13, 9 = EV 2, 130, 21—24 94 cf. Proc. bell. 4, 2, 1, Byz. Zt. 23, 48, Rigalt. Gloss. tact. p. 28 sq. 95 Soph. OT 515—9 c. sch.

83 hinc v. σφενδονῆται; cf. v. Μναασῖος; Z 373 86 cf. v. Διονυσίων et v. κῆρας 89 hinc v. Σαρδώ; cf. v. ἵνα μή 90 ex v. πάμβαξ 91 Z 378 92 cf. 194, partim hinc 95 cf. v. μακραίωνος

A(GITFVM) 90 om. FV post 91 A 32 Σοφοκλῆς pr. Ἀριστοφάνης omnes

φέρον, οὗτοι βίου μοι τοῦ μακραίωνος πόθος φέροντι τήνδε βάξιν. ἀντὶ τοῦ οὐ βούλομαι ζῆν ἐπὶ ταύτῃ τῇ φήμῃ.

96 Βαπτά: βαπτὰ ἱμάτια ἐφόρουν οἱ νυμφίοι πρὸς τὸ φαίνεσθαι τεκμήριον τῆς φθορᾶς. Ἀριστοφάνης Πλούτῳ· οὔθ' ἱματίων βαπτῶν δαπάναις κοσμῆσαι ποικιλομόρφων. ἀντὶ τοῦ ἑτεροχρόων. Ar

97 Βαπτίζω· αἰτιατικῇ. Synt.

98 Βάπτουσι: πλύνουσιν. Ἀριστοφάνης· πρῶτα μήτ' ἄρια βάπτουσι θερμῷ κατὰ τὸν ἀρχαῖον νόμον. ἀντὶ τοῦ οὐδὲν καινοτομοῦσιν. Ar.

99 Βάραθρον: χάσμα τι φρεατῶδες καὶ σκοτεινὸν ἐν τῇ Ἀττικῇ, ἐν ᾧ τοὺς κακούργους ἔβαλλον· ἐν δὲ τῷ χάσματι τούτῳ ὑπῆρχον ὄγκινοι, οἱ μὲν ἄνω οἱ δὲ κάτω. ἐνταῦθα τὸν Φρύγα τὸν τῆς μητρὸς τῶν θεῶν ἐνέβαλον ὡς μεμηνότα, ἐπειδὴ προέλεγεν, ὅτι ἔρχεται ἡ μήτηρ εἰς ἐπιζήτησιν τῆς κόρης. ἡ δὲ θεὸς ὀργισθεῖσα ἀκαρπίαν ἔπεμψε τῇ χώρᾳ· καὶ γνόντες τὴν αἰτίαν διὰ χρησμοῦ τὸ μὲν χάσμα κατέχωσαν, τὴν δὲ θεὸν θυσίαις ἵλαον ἐποίησαν. Ar.

100 Βάραθρον: τόπος βαθὺς, ὅπου οἱ κακοῦργοι ἐμβάλλονται Ἀθήνησι καὶ οἱ ἐπὶ θανάτῳ· ὥσπερ εἰς τὸν Κεάδαν οἱ Λακεδαιμόνιοι. Σ

101 Βάραθρον: ὄρυγμά ἐστιν, εἰς ὃ ὁ τῆς Ἱπποθοωντίδος δῆμος τοὺς ἐπὶ θανάτῳ κατακρίτους ἐνέβαλλον. ἐν δὲ Φιλιππικοῖς ὁ Δημοσθένης τὴν λέξιν οὐ κυρίως εἶπεν, ἀλλ' ἐκ μεταφορᾶς, οἷον ἐν τῷ ὀλέθρῳ. Harp.

102 Βαρακηνίς: ἡ ἄκανθα. Δ

103 Βαράμης. Δ

104 Βαρβαρίζει: ἀντὶ τοῦ τὰ τῶν βαρβάρων φρονεῖ. οὕτως Πλάτων. ἔστι δὲ βαρβαρισμὸς ἐκ τῶν κακιῶν λέξις παρὰ τὸ ἔθος τῶν εὐδαιμονούντων Ἑλλήνων· κολοικισμὸς δέ ἐστι λόγος ἀκαταλλήλως συντεταγμένος· ὡς τὸ ἐγὼ περιπατῶν ὁ τοῖχος ἔπεσεν. Σ Phil

105 Βαρβάρους: ἀντὶ τοῦ ἀφώνους ἢ ἀνηκόους ἀνθρώπων καὶ μὴ εἰδότας αὐτῶν τὴν φωνήν. Ἀριστοφάνης Ὄρνισιν· ἐγὼ γὰρ αὐτοὺς βαρβάρους ὄντας προτοῦ, ἐδίδαξα τὴν φωνὴν συνῶν πολὺν χρόνον. περὶ τῶν ὀρνέων λέγει ὁ ἔποψ. Ar.

106 Βαρδίσαγνος: ὁ τὰς γυναῖκας βιαζόμενος. Δ

107 Βάρβιτος: εἶδος ὀργάνου μουσικοῦ. Δ

96 Ar. Pl. 530 c. sch. 97 = Synt. Laur. et Gud., An. Ox. 4, 288, 3 98 Ar. Eccl. 215—6 c. sch. 99 sch. Ar. Pl. 431 (cf. Orphic. fr. ed. Kern p. 116) 100 — ἐμβάλλονται = Ba 178, 23, Et. M. 187, 53; Ἀθήνησι sq. = Bk. 219, 10 cf. Ammon. 38 sq. 101 Harp. cf. Tim. ἐν sq. = Et. M. 187, 56; Dem. 8, 45; 10, 16 102 = Ambr. 131 cf. H 104 — φρονεῖ Phryn. fr. 297 cf. ad v. A 3728; l. cf. Ambr. 231; Πλάτων Alcib. 1, 120b ἔστι—συντεταγμένος Laert. 7, 59 105 Ar. Av. 199—200 c. sch. 106 = Ambr. 11 cf. H v. βαρδῆν 107 = Et. M. 188, 16, Et. Gen., H

98 Z 378 99 hinc v. ὄγκινοι; Z 376 100 hinc v. Κεάδαν 101 Vind. 8 104 hinc v. κολοικισμός 105 hinc v. ἔποψ 106 Z 370 107 cf. 110

100, 101 non nov. gl. A 18 Ἱπποθοωντίδος] Ἐπιθοωντίδος FV 19 ἐνέβαλλον] ἐνέβαλον TVM^{ac} cf. Harp. ad 104 init. καὶ βαρβαρισμός mg. add. A, βαρβαρισμός mg. add. M A(GITFVM)

Hom. 108 Βάρδιστοι: βραδύτατοι.

E 109 Βάρβιος, Φιλιππικός· οὗτος ἐπὶ τῶν τριῶν τυράννων ἦρχε. θέραψ δὲ ἦν τὸν τρόπον καὶ κολακικὸς, καὶ μέντοι καὶ τῷ περὶ τὸν Ἀντώνιον θιάσῳ κατείλεκτο· καὶ ταύτην γε τὴν ἀρχὴν ἦρχε τὴν ἐκείνου χάριν. τοῦτόν τε οὖν τὸν τότε κοβαρὸν καὶ πορφυροῦν τῇ τιμῇ καὶ ἐν ἀγορᾷ τῇ Ῥωμαίων ὑψηλὸν διάγοντα καὶ δικάζοντα ὁ δεσπότης ἀνέγνω ἐλθὼν πρότερον μὲν ἀποδράντα, ἐν ἐκείνῳ δ' οὖν τοῦ καιροῦ πομπεύοντα ἁβρὸν καὶ κυδρούμενον καὶ σὺν τῇ ἀρχῇ θρυπτόμενον. καὶ προσελθὼν ἡσυχῇ κατόπιν θοιματίου λαβόμενος, χαῖρε, εἶπε, τὸ ὄνομα προσθεὶς τὸ ἀρχαῖόν τε καὶ δοῦλον. καὶ ἐκεῖνος ἐκπλήττεται ῥᾳδίως τὸν δεσπότην γνωρίσας καὶ δεῖται σιωπᾶν καὶ ἐς τὰ οἰκεῖα ἄγει, καὶ καταβαλὼν πάμπλειστα, εἶτα μέντοι ἑαυτὸν ἐλύσατο. καὶ αἰδοῖ Ἀντωνίου τῇ κηλῖδι τῇδε σιγὴ κατεχύθη ἀργυρώνητος. ἔκρινα δὴ καὶ ταύτην τῆς τύχης μὴ σιγῆσαι τὴν παιδιάν.

Σ+Δ 110 Βάρβιτον: ψαλτήριον, κιθάρα. εἶδος ὀργάνου μουσικοῦ. ὦ τὸ

Anth. φίλον στέρξας, φίλε, βάρβιτον. περὶ Ἀνακρέοντος ὁ λόγος. παροι-

Ar. μία ἐπὶ τῶν ἀνομοίων. Ἀριστοφάνης· τίς ἡ στολή; τίς ἡ τάραξις τοῦ βίου; τί βάρβιτος λαλεῖ κροκωτῷ; τί δὲ λύρα κεκρυφάλῳ; τί λήκυθος καὶ στρόφιον; ὡς ἀξύμφορον. τίς δὲ κατόπτρου καὶ ξίφους κοινωνία;

Δ 111 Βαργαδώθ: υἱὸς Λύπης.

Δ Etym. 112 Βαρέως. βασταγμάτων.

113 Βαρεῖα χείρ: ἡ δυνατή. συνέστη δὲ πλῆθος ἱκανὸν, καὶ βαρεῖα χεὶρ καὶ παράδοξος.

Σ 114 Βάρεις: πλοῖα, τείχη, στοαὶ, αὐλαὶ, πύργοι, σφαῖραι. ὁ δὲ

x+Σ ἐπεμέλλετο βαρῶν. τουτέστι τειχῶν. δέξαι μ', εἰ καὶ σοὶ μέγα

Anth. βρίθεται ὀκρυόεσσα βάρις, ἀποφθίμενον τὸν κύνα Διογένη.

Thdr. 115 Βάρεις ἐλεφάντιναι: αἱ πανταχοῦ τῆς γῆς ἐκκλησίαι, μία δὲ

Δ τῇ πίστει, ἐν αἷς γεραίρεται ὁ θεός. καὶ Βάρεων, ἡ γενικὴ τῶν πληθυντικῶν. Βάρις δὲ στοὰ καὶ πόλις.

Δ 116 Βαρθολομαῖος: ὄνομα κύριον.

108 sch. Ψ 310 = H, Et. M. 188, 27 cf. Ap. S. 50, 24, Ambr. 33 109 Aelian. fr. 66 110 — κιθάρα = Ba 178, 19, Et. M. 188, 16, Et. Gen. cf. H εἶδος—μουσικοῦ cf. ad 107 ὦ—βάρβιτον Anth. 7, 23b 1 ἐπί sq. Ar. Th. 136—40 c. sch. 137 111 = Ambr. 13 112 cf. Et. Gud.; l. cf. Ambr. 102 114 — σφαῖραι = Et. M. 188, 31, An. Ox. 2, 352, 13, Et. Gud., Σ°; -- πύργοι = Ba 179, 1, Et. Parv. ap. Miller, Mél. 323 cf. H; στοαί cf. Ambr. 133 ὁ—βαρῶν Iul. ep. 30, p. 36, 8—9 δέξαι sq. Anth. 7, 67, 3—4 115 — ἐκκλησίαι cf. Thdr. in Ps. 44, 10, PG 80, 1193a βαρέων sq. cf. Et. Gud.; βάρις, στοά = Ambr. 133 cf. ad 114 116 = Ambr. 41

108 Z 370 109 cf. v. θεόληπτος, v. θέραψ, v. κυδρούμενον, v. θοιμάτιον 110 cf. 107 114 hinc 125. Iul. cf. v. Μουσώνιος 1. Anth. cf. v. A 3688 et v. ὀκριόεις 115 Z 373

A(GITFVM) ὁ τε] γε Bhd. del. Hercher τότε] τε A 7 ἐν om. VM δ' οὖν] δέ V δ' ὦ M 16 φίλον] φίλτρον GΥΡIT 19 ἀξύμφορον M ἀξύμφον T ὀξύμφορον AGI οὐ ξύμφορον V ξύμφορον F 21 Βαρέως] Βαρέων GITM^{ac} βασταγμάτων om. FV 24 σφαῖραι] σφῦραι An. Ox., Et. Gud., Σ° 26 ὀκρυόεσσα s. v., Anth. ἀκρυόεσσα AT ἀκρυόεσσα GIV ἀκριόεσσα F ἀκουόεσσα M

117 Βαρκαίοις: Λιβυκοῖς. Βάρκη γὰρ πόλις Λιβύης, ἡ νῦν Πτολε- Soph.
μαῖς καλουμένη.
118 Βάρνη: υἱὸς ἁλλόμενος. Δ
119 Βαρόεις. Δ
120 Βάρος: ἐπὶ τῶν μεγίστων πόλεων. ἡ δὲ Καπύη μεταθεμένη E
πρὸς τοὺς Καρχηδονίους τῷ βάρει συνεπεσπάσατο καὶ τὰς ἄλλας
πόλεις.
121 Βάρος· περὶ Πολέμωνος· ἦν δὲ καὶ τὸ βάρος οἱονεὶ Δώριός
τις οἰκονομία. προορώμενος δὲ καὶ κατορρωδῶν τὸ βάρος καὶ τὸ E
φιλόνεικον τῶν ἀνθρώπων. ἀντὶ τοῦ τὸ πλῆθος, τὴν ἰσχύν. Πολύ-
βιός φησι. καὶ αὖθις· ἐπισημηνάμενος δὲ τοῦ Σικυῶνος τὴν ὀχυρό- E
τητα καὶ τὸ βάρος τῆς τῶν Ἀργείων πόλεως ἦλθεν εἰς Ἐπίδαυρον.
καὶ αὖθις· ἐπολυπραγμόνησαν ἀκριβῶς τῆς πόλεως τὴν θέσιν καὶ τὸ EL
βάρος. βάρος γὰρ ἡμᾶς οὐδὲν ἐκ τούτων ἔχει. οὐ γὰρ λόγοισι Soph.
τὸν βίον σπουδάζομεν λαμπρὸν ποιεῖσθαι μᾶλλον, ἢ τοῖς ὀρωμένοις.
122 Βάρος: ὄνομα κύριον. ἦν δὲ ἱερεύς. καὶ ζήτει τὴν περὶ τούτου ἱστορίαν Suid.
ἐν τῷ ἔμβαρός εἰμι.
123 Βάρρων, ἱστορικός. ἐπιτομὴν τῶν κατ' Ἀλέξανδρον τὸν Μα- Hesy.
κεδόνα.
124 Βαρῶ· αἰτιατικῇ. Synt.
125 Βαρῶν: τειχῶν. Suid.
126 Βαρσύμης Πέτρος· ζήτει ἐν τῷ δέξιος.
127 Βαρύβρομος: βαρύηχος. καὶ πόντον βαρύβρομον. διὰ τὸν Ar.
τῶν κυμάτων ψόφον.
128 Βαρυδαίμων: ἀτυχής. ὁ δὲ Κρὴς ὑπάρχων καὶ φύσει ποι- Δ
κίλος, πᾶν ἐβάσταζε πρᾶγμα καὶ πᾶσαν ἐπίνοιαν ἐψηλάφα. ἀντὶ τοῦ E+Σ
διεσκέπτετο.
129 Βαρυηχέος: τοῦ μέγα ἠχοῦντος. οἱ γὰρ βαρεῖς ποταμοὶ Ar.
ῥέοντες μέγαν ἦχον ἀπεργάζονται. Ἀριστοφάνης Νεφέλαις· ἀπ'
Ὠκεανοῦ βαρυηχέος.
130 Βαρύμηνις: μνησίκακος. Σ
131 Βαρυνόμενος: καταπονούμενος. Πολύβιος· ὁ δὲ ἐξαναστὰς E
προῆγε, τὰ μὲν ὑπὸ τῆς ἀρρωστίας, τὰ δὲ ὑπὸ τῆς ἡλικίας βαρυνό-
μενος. εἶχε γὰρ ο' ἔτος.

117 sch. Soph. El. 727; — Λιβύης = H 118 = Ambr. 132 cf. Lagarde 188, 65 121 — οἰκονομία Laert. 4, 19 vs. 9 προορώμενος—ἀνθρώπων Polyb. fr. 25 vs. 11 ἐπισημηνάμενος—Ἐπίδαυρον Polyb. 30, 10, 4 vs. 13 ἐπολυπραγμόνησαν—14 βάρος pr. Diodor. 33, 28a = EL 407, 7—8 vs. 14 βάρος alt. sq. Soph. OC 1142—4 122 — κύριον = H 123 cf. Flach, Rh. Mus. 36, 318 124 = Synt. Laur. 127 Ar. Nu. 284 c. sch. 128 ὁ—ἐψηλάφα Polyb. 8, 16, 4 διεσκέπτετο cf. 173, ad quod exemplum rett. Kust. 129 Ar. Nu. 278 c. sch. 130 = Ba 179, 2 131 ὁ sq. Polyb. 23, 12, 1

120 hinc v. Καπύη 121 Diodor. cf. v. ἴδιον 1 122 ex v. ἔμβαρος 125 ex 114 130 Z 370

6 συνεπεσπάσατο] συνεσπάσατο $A^{ac}FV$ 122 om. FV mg. ad 115 A post A(GITFVM) 116 G post 115 I post 117 T 16 ἦν—17 εἰμι om. T 125 ex IM

Synt. 132 Βαρύνω· αἰτιατικῇ. καὶ Βαριῶ· αἰτιατικῇ.

Σ 133 Βαρυπήμων: ἄθλιος, βεβαρημένος, κακός.

134 Βαρυπρεπής: πολυτελής. καὶ τὸ μέσον τῆς ἡμέρας εὐωχία
E περιεκέχυτο βαρυπρεπὴς τῷ Λέοντι καὶ πρὸς ἑαυτὴν ἐκάλει.

Δ 135 Βαρυσυμφορώτατος: δυστυχής. νομίζων ἑαυτὸν βαρυσυμ- 5
φορώτατον γεγονέναι πάντων ἀνθρώπων.

Δ 136 Βασάν: αἰσχύνη. εἶπε Κύριος, ἐκ Βασὰν ἐπιστρέψω. ὁ Δαβὶδ
φησι.

Σ + Ar. 137 Βασανίζειν: οὐ τὸ αἰκίζεσθαι καὶ τιμωρεῖσθαι καὶ μαστιγοῦν
σημαίνει παρὰ τοῖς Ἀττικοῖς, ἀλλὰ τὸ χωρὶς πληγῶν ἀνακρίνειν καὶ 10
ἐλέγχειν τἀληθὲς διὰ λόγων· ἀπὸ τῆς βασάνου τῆς χρυσοχοϊκῆς λίθου
E μεταφορικῶς. καὶ Πολύβιος· τότε νομίσας τὴν ἐκ πυρὸς ἔχειν
Harp. βάσανον ἀπελύθη τῆς ὑποψίας. καὶ Βασανίσας· αἰτιατικῇ. ἀντὶ
Ar. τοῦ δοκιμάσας κέχρηνται ἅπαντες οἱ ἀξιόλογοι. ὁ δὲ Ἀριστοφάνης
ῥῦτως· βασάνιζε τουτονὶ λαβών, κἂν ποτέ μ' ἔλῃς ἀδικοῦντ', ἀπό- 15
κτεινόν μ' ἄγων. καὶ πῶς βασανίζω; πάντα τρόπον. ἐν πίνακι δήσας,
κρεμάσας, ὑστριχίδι μαστιγῶν, δαίρων, στρεβλῶν· ἔτι δ' ἐς τὰς ῥῖνας
ὄξος ἐγχέων, πλίνθους ἐπιτιθεὶς, πάντα τἄλλα, πλὴν πράσῳ μὴ τύπτε
τοῦτον μηδὲ γητείῳ νέῳ. ἐπειδὴ οἱ ἐλεύθεροι πρὸ τούτου ἐδαίροντο
πράσοις καὶ σκορόδοις. βασάνιζε αὐτὸν πανταχῶς, μὴ ἐν παιδιᾷ, μηδὲ 20
ὡς τοὺς ἐλευθέρους παῖδας τῷ ἐκκαυλήματι τοῦ πράσου ἢ τοῦ γητείου,
τουτέστιν ἀμπελοπράσου, ἢ ὥς τινες, πράσου φύλλῳ.

Δ 138 Βασανῖτις: χώρα.

Harp. 139 Βάσανος: λίθος ἐστὶν ἡ τὸ χρυσίον παρατριβόμενον δοκιμάζουσα.
οὕτως Ἀντιφῶν καὶ Πίνδαρος καὶ Σοφοκλῆς. Ὑπερίδης δὲ τὰ ἐν 25
ταῖς βασάνοις εἰρημένα ὑπὸ τῶν βασανιζομένων καὶ ἀναγραφομένων
Prov. βασάνους ὠνόμασε. καὶ παροιμία· Βάσανος λίθος, ἐπὶ τῶν ἐξετα-
ζόντων ἐν λόγοις ἢ ἔργοις· παρόσον ἡ Λυδία λίθος τὸν χρυσὸν δοκι-
Suid. μάζει. ὅτι οἱ ἔξω φασίν· ἡ ἀμφισβήτησις κρίσει ἀναρτάσθω, ἡ δὲ κρίσις τοὺς
ἐλέγχους βασανιζέτω, ἡ δὲ βάσανος τὸ δέον ὁριζέτω, ὁ δὲ ὅρος γεγράφθω, τὰ δὲ 30

132 — αἰτιατικῇ pr. = An. Ox. 4, 288, 7 133 = Ba 179, 4 134 καί sq. Malcho attr. Bhd. 135 νομίζων sq. cf. Byz. Zt. 23, 101, 1 136 — αἰσχύνη = An. Ox. 2, 431, 28, H, Lagarde 174, 92; εἶπε—ἐπιστρέψω Ps. 67, 23 137 — ἀλλά + ἀνακρίνειν—λόγων = Lex. rhet. ap. Et. M. 188, 57 cf. sch. Pl. Rep. 503a; τὸ χωρίς—ἀνακρίνειν + ἀπό—λίθου sch. Ar. Ran. 616 cf. Et. M., sch. Pl. τότε—ὑποψίας Polyb. fr. 26 αἰτιατικῇ cf. An. Ox. 4, 288, 4 βασανίσας—ἀξιόλογοι Harp. = Et. M. 189, 3 vs. 15 βασάνιζε sq. Ar. Ran. 616—622 c. sch. 621 138 = Ambr. 160 139 — ὠνόμασε Harp.; — δοκιμάζουσα = Et. M. 189, 1 cf. Bk. 225, 19, H v. βασανίτης; Antiph. fr. 161; Pind. P. 10, 105; Soph. fr. 930; Hyper. fr. 5 vs. 27 βάσανος—28 δοκιμάζει = Cohn Z. d. Par. 75, n. 26, Philol. Suppl. 6, 230, n. 20

134 Z 373 135 Z 370 137 cf. Z 379; Ar. cf. v. Γ 261 139 Z 374. ὅτι οἱ sq. ex v. A 1766

A(GITFVM) 132 ex AIM 1 καί—αἰτιατικῇ ex A 7 ὁ om. FV 15 ἀδικοῦντ'] ἀδικοῦντες A ἀδικοῦντας F ἀδικοῦντα VM 17 ὑστριχίδι] ὑποστριχίδι GIM 138 om. M 28 λίθος] λίθῳ. AIM 29 ὅτι—p. 457, 3 κρίσεις om. TFV

γεγραμμένα κυρούcθω, τὰ δὲ κυρωθέντα βεβαιούcθω τοῖc ἔργοις, καὶ πᾶca ἀψιμαχία οἰχέcθω, καὶ πάλιν φιλία χορευέτω. καὶ οὐ δεῖ ἀπεριcκέπτωc ποιεῖcθαι τὰc κρίceιc.

140 Βαccαρικά ἤτοι Διονυciακὰ ἔγραψε Cωτήριχοc, γεγονὼc ἐπὶ Διοκλητιανοῦ. καὶ Βαccαρικοῦ. ἐν Ἐπιγράμμαci· cτρεπτὸν Βαccαρικοῦ ῥόμβον θιάcοιο μύωπα. τουτέcτι πορνικοῦ. Hesy. Anth.

141 Βαccαρίc: ἑταῖρα, πόρνη. ἐν Ἐπιγράμμαci· Βαccαρὶc Εὐρυνόμη cκοπελοδρόμοc, ἡ ποτὲ ταύρων πολλὰ τανυκραίρων cτέρνα χαραξαμένη. Δ Anth.

142 Βάccαροc: ἀλώπηξ κατὰ Ἡρόδοτον. Σ

143 Βαcιλεύω· ὅταν cημαίνῃ τὸ ἐξουciάζω καὶ ἄρχω, μετὰ γενικῆc cυντάccεται· ὅταν δὲ cημαίνῃ τὸ ποιῶ βαcιλέα, αἰτιατικῇ. καὶ τοῦτον μόνον τῶν ἁπάντων οὐ καλῶc ἐφιλανθρωπεύcατο, καὶ cῶcαι καὶ βαcιλεῦcαι τὸν κακῶc καὶ cωθέντα καὶ βαcιλεύcαντα. Synt.

144 Βαcιλεὺc μέγαc: ὁ τῶν Περcῶν. τοὺc δὲ ἄλλουc προcετίθεcαν καὶ τῶν ἀρχομένων τὰ ὀνόματα· οἷον Λακεδαιμονίων, Μακεδόνων. διαφέρει δὲ βαcιλεὺc τυράννου. βαcιλεὺc μὲν γὰρ ἀπὸ προγόνων κατὰ διαδοχὴν τὴν ἀρχὴν ἐπὶ ῥητοῖc λαβὼν πέραcι, τύραννοc δὲ, δc βιαίωc τὴν ἀρχὴν cφετερίζεται. χρῶνται δὲ ἀδιαφόρωc ἑκατέροιc ὀνόμαcιν. Ἱέρωνα γὰρ βαcιλέα Πίνδαροc καλεῖ, τύραννον ὄντα, καὶ Διονύcιον· καὶ Εὔπολιc Πειcίcτρατον βαcιλέα καλεῖ. καὶ τοὺc βαcιλεῖc τυράννουc. Ar.

145 Βαcιλέωc ἐγκέφαλοc· ζήτει ἐν τῷ Διὸc ἐγκέφαλοc. λύcιc ὀνείρου· ἄνακτι προcλαλῶν τιc ἄπρακτοc μένει. On.

146 Βαcιλεία: τὸ ἀξίωμα. καὶ τὸ ἔθνοc τὸ βαcιλευόμενον· οἷον Περcῶν, Ἰνδῶν, Ἀράβων.

147 Βαcιλεία ἐcτὶν ἀνυπεύθυνοc ἀρχή. οὐ μόνον δὲ ἐλευθέρουc εἶναι τοὺc cπουδαίουc, ἀλλὰ καὶ βαcιλέαc. ἡ γὰρ βαcιλεία ἀρχὴ ἀνυπεύθυνοc, ἥτιc περὶ μόνουc ἂν τοὺc cοφοὺc cυcταίη. Βαcιλεία. οὔτε φύcιc οὔτε τὸ δίκαιον ἀποδιδοῦcι τοῖc ἀνθρώποιc τὰc βαcιλείαc, ἀλλὰ τοῖc δυναμένοιc ἡγεῖcθαι cτρατοπέδου καὶ χειρίζειν πράγματα νουνεχῶc· οἷοc ἦν Φίλιπποc καὶ οἱ διάδοχοι Ἀλεξάνδρου. τὸν γὰρ υἱὸν κατὰ φύcιν οὐδὲν ὠφέληcεν ἡ cυγγένεια διὰ τὴν τῆc ψυχῆc ἀδυναμίαν. τοὺc δὲ μηδὲν προcήκονταc βαcιλεῖc γενέcθαι cχεδὸν ἁπάcηc τῆc οἰκουμένηc. Suid. Δ

140 cτρεπτόν—μύωπα Anth. 6, 165, 1 141 πόρνη cf. Et. M. 190, 52 βαccαρίc alt. sq. Anth. 6, 74, 1—2 142 = Ba 179, 12, Et. M. 191, 1 cf. H; Hdt. 4, 192, 2 143 cf. Synt. Gud. p. 589, An. Ox. 4, 287, 26; καὶ τοῦτον sq. Greg. Naz. PG 35, 533a 144 sch. Ar. Ach. 61; Pind. O. 1, 35; Eupol. fr. 123 145 ἄνακτι sq. Astramps. 147 — ἀρχή pr. Laert. 7, 122 vs. 29 βαcιλεία = Ambr. 168

140 cf. v. Cωτήριχοc; cf. Z 376. Anth. cf. v. ῥόμβοc et v. cτρεπτόc
141 cf. Z 373 144 hinc v. μέγαc β. 146 οὐ—cυcταίη ex v. δοῦλοι

8 τανυκραίρων Anth. τανυκρέρων AGIM τανυκέρων TV τανυκρέων F A(GITFVM)
143 om. FV post vs. 23 ἐγκέφαλοc A 12 τοῦτον| τοῦτο T 13 ἐφιλανθρωπεύcατο] ἐφιλανθρωπεύcαντο A 17 δὲ om. FVM 21 Διονύcιον AT Διονύcιοc FVM cp. GI; καὶ Δ. om. sch., ad finem gl. reiecit Bhd. βαcιλέα om. FV 27 οὐ—29 cυcταίη ex I (post 149), M 29 βαcιλεία nov. gl. GIFVM 30 τοῖc pr.] τοῖc ἁπλῶc M

148 Βασιλεία· ὅτι ἡ βασιλεία κτῆμα τῶν κοινῶν, ἀλλ' οὐ τὰ δημόσια τῆς βασιλείας κτήματα. διὸ τὰς ἐξ ἀνάγκης καὶ μεθ' ὕβρεως εἰσπράξεις ὥσπερ τυραννικὰς ἀκολασίας μισεῖν δεῖ, τὰς δὲ σὺν λόγῳ καὶ φιλανθρωπίᾳ τῶν εἰσφορῶν ἀπαιτήσεις ὥσπερ κηδεμονίαν τιμᾶν.

Δ 149 Βασιλείδης: ὁ τοῦ βασιλέως.

Hesy. 150 Βασίλειος, Καισαρείας τῆς Καππαδοκῶν ἐπίσκοπος (ἥτις πρώην Μάζακα ἐκαλεῖτο), ἑταῖρος Γρηγορίου τοῦ Ναζιανζῶν ἐπισκόπου. γέγονε δὲ γονέων περιφανῶν, Βασιλείου τε καὶ Ἐμμελείας, ὧν ἄνωθεν ἡ συγγένεια· ἀνὴρ ἐλλογιμώτατος καὶ πάσης παιδείας εἰς ἄκρον ἐληλακώς. οὗτος ἔγραψε πλεῖστα, ἐν οἷς θαυμάζεται τὰ εἰς τὴν Ἑξαήμερον. καὶ κατ' Εὐνομίου δὲ ἐξαιρέτους συνέταξε λόγους, καὶ περὶ τοῦ ἁγίου πνεύματος τεῦχος, καὶ τὰς εἰς τὴν Ἑξαήμερον ὁμιλίας θ'· ἕτερον τεῦχος ἀσκητικόν, περὶ παρθενίας ἄλλο· Ἔπαινον εἰς τοὺς μ' Μάρτυρας, ἕτερον εἰς Γόρδιον, ἄλλον εἰς Βαρλαάμ, ἕτερον εἰς Ἰουλίττην. εἰς διαφόρους ψαλμοὺς Ἠθικοὶ λόγοι διάφοροι· ἐπιστολαί, ὧν οὐδὲν ἄμεινον, πρός τε τὸν σοφιστὴν Λιβάνιον καὶ πρὸς τὸν φίλον Γρηγόριον καὶ εἰς ἄλλους πλείονας. τοῦδέ γε Βασιλείου καὶ Φιλοστόργιος μνήμην πεποίηται ἐν τῇ κατ' αὐτὸν ἱστορίᾳ γράφων οὕτως· Βασίλειος γὰρ ἤκμαζε κατ' ἐκείνους τοὺς χρόνους ἐν Καισαρείᾳ τῆς Καππαδοκίας καὶ Γρηγόριος ἐν τῇ Ναζιανζῷ (σταθμὸς δὲ οὗτος ὁ τόπος Καππαδοκίας) καὶ Ἀπολινάριος ἐν τῇ Λαοδικείᾳ τῆς Συρίας. τρεῖς δὴ οὗτοι ἄνδρες τότε τοῦ ὁμοουσίου προὐμάχουν κατὰ τοῦ ἑτεροουσίου, μακρῷ πάντας παρενεγκόντες τοὺς πρότερον καὶ ὕστερον ἄχρις ἐμοῦ τῆς αὐτῆς αἱρέσεως προστάντας, ὡς παῖδα παρ' αὐτοῖς κριθῆναι τὸν Ἀθανάσιον. τῆς τε γὰρ ἔξωθεν καλουμένης παιδεύσεως ἐπὶ πλεῖστον οὗτοι προεληλύθεσαν, καὶ τῶν ἱερῶν γραφῶν, ὁπόσα εἰς ἀνάγνωσιν καὶ τὴν πρόχειρον μνήμην ἐτέλει, πολλὴν εἶχον τὴν ἐμπειρίαν, καὶ μάλιστά γε αὐτῶν ὁ Βασίλειος. καὶ μὴν καὶ συγγράφειν ἕκαστος αὐτῶν ἐς τὸν ἑαυτοῦ τρόπον ἦν ἱκανώτατος. τῷ μέν γε Βασιλείῳ τὸ πανηγυρικὸν εἶδος τοῦ λόγου μακρῷ ἄριστα εἶχεν· ἦν γὰρ πανηγυρίσαι λαμπρότατος· ὁ δέ γε Ἀπολινάριος ἐν τῷ ὑπομνηματικῷ εἴδει τῆς λέξεως καὶ αὐτὸς ἄριστα εἶχε· τῷ δέ γε Γρηγορίῳ καὶ παρ' ἀμφοτέροις ἐξεταζομένῳ μείζω βάσιν εἰς συγγραφὴν εἶχεν ὁ λόγος. τοσαῦτα περὶ αὐτῶν ὡς ἐν παραδρομῇ Φιλοστόργιος ὁ Ἀρειανὸς ἔγραψε. τελευτᾷ δὲ Βασίλειος Γρατιανοῦ τὰ Ῥωμαίων σκῆπτρα

149 cf. Ambr. 37 150 cf. Wentzel TU 13, 3, 16 sq.; — ἐκαλεῖτο + κατ' Εὐνομίου—ἀσκητικόν + τελευτᾷ—Γρατιανοῦ = Hieron. vir. ill. 124; vs. 19 Βασίλειος—34 λόγος Philostorg. 111—113 cf. Hesychii vita Gregorii e cod. Mosq. TU 13, 3, 6—7, Bidez, Philostorg. p. LXXVI sq., Phot. exc. Philostorg.

148 hinc v. Δ 460 150 init. cf. v. Καισάρεια, v. A 1029; Philostorg. cf. v. A 3397, v. Γ 450

A(GITFVM) 4 εἰσφορῶν] εἰς συμφορῶν V 6 ἥτις—p. 459, 1 διέποντος om. F 7 Ναζιανζῶν $A^{ac}M^{ac}$ cf. ad vs. 20, Ναζιανζῶν rell. 20 Ναζιανζῷ A^{ac}, Mosq. cf. Phot. Ναζιανζῶν in Ναζιανζῶν corr. M, Ναζιανζῷ rell., v. A 3397, v. Γ 450

διέποντος. ὅτι ὁ μέγας Βασίλειος ἀδελφοὺς εἶχε δ', τόν τε Γρηγόριον τὸν Νύσσης ἐπίσκοπον, καὶ Πέτρον καὶ αὐτὸν ἐπίσκοπον, καὶ ἑτέρους δύο μονάσαντας.

151 Βασίλειος, Ἀγκυρανὸς, ἐπίσκοπος τῆς αὐτῆς πόλεως, ἰατρὸς τὴν τέχνην. οὗτος ἔγραψε κατὰ Μαρκέλλου, καὶ περὶ παρθενίας, καὶ ἕτερα οὐκ ὀλίγα ἄλλα. βασιλεύοντος Κωνσταντίνου Μακεδονιανῆς θρησκείας ἅμα Εὐσταθίῳ Σεβαστιανῷ ἤρξεν. Hesy.

152 Βασίλειος ἕτερος, ἐπίσκοπος Εἰρηνουπόλεως τῆς Κιλικίας, ἐπὶ Ἀναστασίου βασιλέως, τὴν φρένα καὶ τὴν ἄσκησιν τῷ ὁμωνύμῳ Βασιλείῳ Καισαρείας ἐοικώς. ἔγραψε κατὰ Ἀρχελάου πρεσβύτου Κολωνείας. Hesy.

153 Βασίλειος· τὰ διὰ τοῦ ιος ὀνοματικὰ διὰ τοῦ ι γράφονται, πλὴν δ', Ἄρειος, Ἡράκλειος, Βασίλειος. καὶ Βασίλειος στοά· δύο εἰσὶ στοαὶ παρ' ἀλλήλας, ἥ τε τοῦ Ἐλευθερίου Διὸς καὶ ἡ Βασίλειος. ἔστι δὲ καὶ γ', ἡ πάλαι μὲν Ποικίλη. Harp.

154 Βασίλειοι παῖδες ἑξακισχίλιοι· οἵτινες κατὰ πρόσταξιν Ἀλεξάνδρου τοῦ Μακεδόνος τὰ πολέμια ἐξήσκουν ἐν Αἰγύπτῳ.

155 Βασιλειῶντα κτείνει: ἐπιθυμοῦντα βασιλεῦσαι. Δ

156 Βασιλήϊος. Δ

157 Βασιλική· ὅτι ἐν τῇ βασιλικῇ ὀπίσω τοῦ μιλίου ἵστατο ἀνδρεῖκελον ἄγαλμα χρυσέμβαφον, ἔνθα ἦν καὶ τὸ ἔξαμμον ἕως Ἡρακλείου τοῦ βασιλέως, γονυκλινὲς Ἰουστίνου τοῦ τυράννου. ἐκεῖ ὁ Τέρβελις ἐδημηγόρησεν· ἐν οἷς ἐλέφας ἵστατο παμμεγέθης, ὑπὸ Σευήρου κατεσκευασμένος. ἔνθα ἦν καὶ σχολὴ φυλαττόντων πολλή· ἔμενε δὲ ἐκεῖσε ἀργυροκόπος ἐν πλαστοῖς ζυγοῖς τὴν πράσιν ποιούμενος. καὶ τοῦ οἰκήματος αὐτοῦ πορθουμένου ἠπείλει τῷ τὸν ἐλέφαντα φυλάττοντι θάνατον, εἰ μὴ τοῦτον κρατήσειεν. ὁ δὲ θηροκόμος οὐκ ἐνεδίδου· ὃν φονεύσας ὁ ζυγοπλάστης δέδωκε βορὰν τῷ ἐλέφαντι. τὸ δὲ θηρίον ἀτίθασσον ὂν καὶ αὐτὸν ἀνεῖλε. καὶ ὁ Σευῆρος ἀκούσας τῷ θηρίῳ θυσίαν ἤνεγκεν. ἐν αὐτῷ δὲ τῷ τόπῳ παρευθὺ ἀνετυπώθησαν τό τε θηρίον καὶ ὁ θηροκόμος. ἔνθα καὶ Ἡρακλῆς ἐλατρεύθη πολλὰς θυσίας δεξάμενος, ὃς ἐν τῷ ἱπποδρομίῳ μετετέθη. ἐπὶ δὲ Ἰουλιανοῦ ὑπατι-

151 = Hieron. vir. ill. 77 153 — Βασίλειος sec. cf. Et. M. s. v. Ταλασία 746, 19, Ps. Herodian. 172 Βασίλειος στοά sq. Harp.; — vs. 12. 13 Βασίλειος = Bk. 222, 29, H cf. Ael. D. fr. 91 ex Eust. O. 1425, 42, Sabb. 155 cf. Ambr. 216 et 222; l. Ios. Bell. 1, 85 156 = Ambr. 55 157 Preger 39—41 cf. 171

151 hinc v. Εὐστάθιος 152 hinc v. A 4084 155 Z 379 157 hinc v. ἔξαμμον et v. στήλη

1 ὅτι—2 μονάσαντας om. F mg. bis A post p. 458, 6 ἐπίσκοπος V A(GITFVM)
3 Ἀγκυρανός] Ἀγκυριανός A 9 πρεσβύτου] πρεσβυτέρου TV post 152 Βασίλειος ἄλλος, ἑταῖρος τοῦ Χρυσοστόμου, μέμνηται ἐν ταῖς Μαργαρίταις καὶ ἑτέρωθι πολλαχοῦ add. T; B. ἕτερος, Σελευκείας, ἑταῖρος τ. Χ. πρὸς ὃν ἐν τοῖς περὶ ἱερωσύνης λόγοις διαλέγεται add. E (sec. Gsf.) cf. Phot. bibl. p. 116a 27—9
10 ὀνοματικά] ὀνόματα AFV γράφονται AV cp. rell. 11 δ'] vitium perspexit Kust. 13 Παανάκτιος] Πυανάκτιος Harp. ep., Ἀνάκτιος Harp., Πεισιανάκτιος s. v. et v. Ζήνων 20 ἔξαμμον] ἔξαμον V cf. Preger

κοῦ ἀπὸ Ῥώμης ἦλθεν εἰς τὸ Βυζάντιον καὶ εἰσήχθη ἐν ἀπήνῃ καὶ νηὶ καὶ στῆλαι δέκα.

Harp. 158 Βασιλικὴ διαδρομή: ἡ γενομένη τοῦ βασιλέως παρόντος διαδρομή. ἔστι δὲ οὗτος εἷς τῶν Ἀθήνηςιν θ' ἀρχόντων· ὃς βασιλικὴ διαδρομὴ καλεῖται.

Hesy. 159 Βασιλικός, σοφιστής. Περὶ τῶν διὰ τῶν λέξεων σχημάτων, Περὶ ῥητορικῆς παρασκευῆς ἤτοι περὶ ἀσκήσεως, Περὶ μεταποιήσεως· καὶ ἄλλα τινά.

Δ 160 Βασιλίνδα: τὴν βασιλείαν.

Suid. 161 Βασιλίνδα: εἶδος παιδιᾶς.

Σ 162 Βασιλίς: ἡ τοῦ βασιλέως γυνή· ὡς καὶ βαλανίς, ἡ τοῦ βαλανέως.

Ε 163 Βασιλίσκος, Βηρίνης ἀδελφὸς τῆς βασιλίδος, ἐπὶ Λέοντος τοῦ βασιλέως ἀντὶ Ῥουστικίου στρατοπεδάρχου ἠρέθη, εὐεπίτευκτος μὲν ὢν ἐν μάχαις, βραδύνους δὲ καὶ φενακίζουςιν ὑπαγόμενος ῥᾳδίως.

Ε 164 Βασιλίσκος· ὅτι Βασιλίσκος, ὁ Ῥωμαίων τῶν ἑῴων βασιλεὺς, τῶν ἐκκληςιῶν τοὺς ἐπιςκόπους εἰςέπραττε χρήματα καὶ Ἀκάκιον τὸν Κωνςταντινουπόλεως ἐπίςκοπον μικροῦ δεῖν ἀπώςατο, εἰ μὴ τῷ πλήθει τῶν λεγομένων μοναχῶν ἀπεκρούςθη. πολύς τε ἦν πρὸς ἐπιθυμίαν χρημάτων, ὡς μηδὲ αὐτῶν τῶν τὰς εὐτελεῖς καὶ βαναύςους μετιόντων ἐπιστήμας ἀπέχεςθαι. καὶ ἦν ἅπαντα μετὰ δακρύων τῇ τῶν τοιούτων εἰςφορῶν εἰςπράξει. καὶ ζήτει ἐν τῷ Ἁρμάτος.

Σ | 165 Βάςιμος: πορευτικὴ. εὐεπίβατος. καὶ Βάςιμοι τόποι, οἱ πορεύςιμοι.

Soph. 166 Βάςις: βάδις. κυνὸς Λακαίνης ὥς τις εὔρινος βάςις.

Δ 167 Βασκανία καὶ Βάσκανος. ὅτι τὸ βάσκανος ἁπλῶς ἐπὶ λοιδορίας τιθέαςιν. οὐ ψεύδει καίπερ σφόδρα βάσκανος οὖςα.

Harp. 168 Βασκαίνει· δοτικῇ. ἀντὶ τοῦ αἰτιᾶται καὶ μέμφεται καὶ συκοφαντεῖ. οὕτως Δημοςθένης ἐν τῷ ὑπὲρ Κτηςιφῶντος. καὶ ἐν τοῖς ἑξῆς, βάσκανον δὲ καὶ πικρὸν καὶ κακόηθες οὐδέν ἐστι πολίτευμα ἐμόν, φηςίν. ἀντὶ τοῦ φιλαίτιον καὶ συκοφαντικόν.

Synt. 169 Βασκαίνω coι ἀεί· ὁ δὲ Λιβάνιος αἰτιατικῇ· τὸν προσήκοντα βασκαίνουσι.

Σ 170 Βασμοί: βαθμοί.

158 Harp. 160 cf. Ambr. 135, sch. Soph. Ant. 941 161 = H cf. Poll. 9, 110, Eust. O. 1425, 41 (Ael. D. fr. 91) 162 = Ba 179, 5, Et. M. 189, 7 163 Malch. fr. 7, FHG 4, 116 164 Malch. fr. 7, FHG 4, 116 165 — πορευτική = Ba 179, 3 cf. H 166 Soph. Ai. 8 c. sch. 7 167 Βασκανία cf. Ambr. 175 τό sq. Ar. Pl. 571 c. sch. 168 — δοτικῇ cf. An. Ox. 4, 287, 28, Bk. 130, 21 ἀντί sq. Harp. = Et. M. 190, 28 cf. Sabb.; Dem. 18, 189; βάσκανον—ἐμόν Dem. 18, 108 169 cf. Synt. Gud. p. 589, Thom. 60, 12 170 = Ba 179, 10 cf. H, Moeris 192, 30, Phryn. ecl. 324

160 Z 374 161 ex v. Κῦρος 4 162 Z 374 164 cf. v. A 783 fin. 165 cf. Z 373, 376

A(GITFVM) 161 ex I (post 158), M 18 Ῥουστικίου] Ῥουστικοῦ A 19 μηδέ] μηδέν A μή V 20 μετά] μετά AV 169 om. GTFV post 170 A 31 τόν] ἀεὶ τόν A

171 Βάccoc Κορίνθιος· Ἀπολλώνιος πρὸς τοῦτον διηνέχθη. πατραλοίας μὲν γὰρ οὗτος ἐδόκει καὶ ἐπεπίστευτο, σοφίαν δὲ ἑαυτοῦ κατεψεύδετο, καὶ χαλινὸς οὐκ ἦν ἐπὶ τῇ γλώττῃ. λοιδορούμενον δὲ αὐτὸν ἐπέσχεν ὁ Ἀπολλώνιος, οἷς τε ἐπέστειλεν οἷς τε διελέχθη κατ' αὐτοῦ. πᾶν γὰρ ὅπερ ὡς ἐς πατραλοίαν ἔλεγεν, ἀληθὲς ἐδόκει· μὴ γὰρ ἄν ποτε τοιόνδε ἄνδρα ἐς λοιδορίαν ἐκπεσεῖν μηδὲ ἀνειπεῖν τὸ μὴ ὄν.

172 Βαcτάζω· αἰτιατικῇ. Synt.

173 Βαcτάcαc: ἀντὶ τοῦ δοκιμάσας. Εὔπολις· ἄγε δή, πότερα βούλεσθε τὴν διάθεσιν ψδῆς ἀκούειν ἢ τὸν ἀρχαῖον τρόπον; ἀμφότερ' ἐρεῖς. ἐγὼ δ' ἀκούσας τὸν τρόπον, ὃν ἂν δοκῇ μοι βαστάσας, αἱρήσομαι. πᾶν τὸ συμβησόμενον ἐπὶ λόγον ἄγων καὶ βαστάζων. ἀντὶ τοῦ δοκιμάζων. καὶ Βάcταγμα· δῆλον ἐγένετο διότι μέγα τὸ βάσταγμα τῆς πόλεως ἦν. πλεῖον γὰρ κ' μυριάδων ὅπλα παρέδωκαν Ῥωμαίοις καὶ καταπέλτας ,β'. καὶ Βαcτάcαι οὐ τὸ ἆραι δηλοῖ παρὰ τοῖς Ἀττικοῖς, ἀλλὰ τὸ ψηλαφῆσαι καὶ διασκῶσαι καὶ διασκέψασθαι τῇ χειρὶ τὴν ὁλκήν. Σ E Σ

174 Βαcταχθείη: ἀρθείη, κλαπείη. ὁ δὲ Λακύδης cφραγισάμενος διὰ τῆς ὀπῆς τὸν δακτύλιον ἐρρίπτει, ὡς μηδέποτε αὐτοῦ περιαιρεθείη καί τι βασταχθείη τῶν ἀποκειμένων.

175 Βάτα Κάρας: ἐπὶ τῶν παχέων καὶ δυνατῶν. κατὰ διαστολὴν δὲ ἀναγνωστέον. Prov.

176 Βατά: βάσιμα. Ἀρριανός· πάντα δὲ τῷ Ἀλεξάνδρῳ βατά τε καὶ ἐξαιρετέα εἶναι ἐδόκει. Σ + E

177 Βάταλος: βδελυρὸς, αἰσχρός. Σ

178 Βάταλος: οὕτως ἐκλήθη ὁ Δημοσθένης νέος ὢν, ὡς γυναικώδης· γηράσας δὲ ἀργὰς, ἀπὸ ὄφεως οὕτω καλουμένου. Σ

179 Βαταναία: χώρα. Δ

180 Βατταρισμοί: φλυαρίαι. Σ

181 Βατήρ: ἡ ἀρχὴ τοῦ τῶν πεντάθλου σκάμματος. αὐτὸν κέκρουκας τὸν βατῆρα τοῦ λόγου, φησί τις. οἷον τὸ ἐπικαιρότατον καὶ τὸ πρῶτον. Σ

171 Philostr. 4, 26 172 = An. Ox. 4, 288, 9 173 ἄγε—αἱρήσομαι Eup. fr. 303 δῆλον—,β' Polyb. 36, 6, 7 174 ὁ sq. Laert. 4, 59 175 cf. Paroem. ed. Gsf. 24, n. 242 176 πάντα sq. Arr. 4, 21, 3 177 = Ba 179, 13, sch. Dem. 18, 180 cf. Et. M. 191, 15, Bk. 185, 3 178 = sch. Dem. 18, 180 cf. Et. M. 191, 14 = Bk. 221, 26 179 = Ambr. 159 cf. 176 180 = Ba 179, 14 cf. H 181 = Lex. rhet. (= Et. Gen.) ap. Et. M. 192, 3 cf. Ael. D. fr. 90 ex Eust. O. 1404, 58, Seleuc. ap. Bk. 224, 12, H

173 hinc v. Δ 750, Z 379; cf. v. ἐβάστασεν; διασκέψασθαι cf. 128 176 cf. 184, Z 376 178 cf. v. A 3760, v. Δ 454 180 cf. Z 371 181 cf. v. A 4511

10 τόν] τό A 13 δῆλον] δήλων FV 14 πλεῖον] πλείων F πλείονα pr. A(GITFVM) 15 ,β' Kust. coll. App. Pun. 80, β' IFVM, δύο AG 25 et 26 Βάταλος] Βάτταλος FV 30 πεντάθλου] πεντάθλων FM, Eust. Bk. Hes.

Ar. 182 Βατίς: εἶδος ἰχθύος. καὶ Βατιδοσκόποι, οἱ ὀψοφάγοι.

Ecl. 183 Βαττολογία: ἡ πολυλογία. ἀπὸ Βάττου τινὸς, μακροὺς καὶ πολυστίχους ὕμνους ποιήσαντος, ταυτολογίας ἔχοντας.

Σ 184 Βατός: ὁ βάσιμος τόπος.

EV 185 Βάττος: ὄνομα κύριον. ἰσχνόφωνος καὶ τραυλός. πόλις ἦν Κρητικὴ Ὀαξός, ἐν τῇ Ἐτέαρχος βασιλεὺς, ὃς ἐπὶ θυγατρὶ ἀμήτορι, τῇ οὔνομα ἦν Φρονίμη· παρέχουσά τε κακὰ καὶ πᾶν ἐπ' αὐτῇ μηχανωμένη, καὶ τέλος μαχλοσύνην ἐπενεγκοῦσά οἱ πείθει τὸν ἄνδρα ταῦτα ἔχειν οὕτως. ὁ δὲ ἀναγνωσθεὶς ὑπὸ τῆς γυναικὸς ἔργον οὐχ ὅσιον ἐμηχανᾶτο ἐπὶ τῇ θυγατρί. ἦν γὰρ δὴ Θεμίσων ἀνὴρ Θηραῖος ἔμπορος ἐν τῇ Ὀαξῷ· τοῦτον ὁ Ἐτέαρχος παραλαβὼν ἐπὶ ξεινίᾳ ἐξορκοῖ ἢ μέν οἱ διηκονήσειν ὅ τι ἄν δεηθείη. ἐπεί τε δὴ ἐξώρκωσεν, ἀγαγὼν οἱ παραδιδοῖ τὴν ἑαυτοῦ θυγατέρα καὶ ταύτην ἐκέλευε καταποντῶσαι ἀπαγαγόντα. ὁ δὲ Θεμίσων περιεμέκτησεν ἐν τῷ πελάγει, καὶ ἀφοσιούμενος τὴν ἐξόρκωσιν τοῦ Ἐτεάρχου σχοινίοις αὐτὴν διαδήσας καθῆκεν ἐς τὸ πέλαγος, ἀνασπάσας δὲ ἀφίκετο ἐς τὴν Θήραν. ἐντεῦθεν δὲ τὴν Φρονίμην παραλαβὼν Πολύμνηστος, ἐὼν τῶν Θηραίων ἀνὴρ δόκιμος, ἐπαλλακεύετο. χρόνου δὲ περιιόντος ἐξεγένετό οἱ παῖς ἰσχνόφωνος καὶ τραυλὸς, τῷ οὔνομα ἐτέθη Βάττος.

Σ 186 Βάττου σίλφιον: ἐπὶ τῶν σπανίους τιμὰς λαμβανόντων. οἱ γὰρ Κυρηναῖοι ἐνὶ τῶν Βάττων ἐξαίρετον ἔδοσαν τὸ σίλφιον, καὶ τοῦ νομίσματος ἐπὶ μὲν θατέρου Ἄμμωνα, ἐπὶ δὲ θατέρου σίλφιον ἐτύπωσαν. οἱ δὲ ἐπὶ Λιβύης Ἀμπελιῶται εἰς Δελφοὺς ἀνέθεσαν καυλὸν σιλφίου.

Ar. 187 Βάττου σίλφιον· Ἀριστοφάνης Πλούτῳ· οὐδ' ἂν δοίης γέ μοι καὶ τὸ Βάττου σίλφιον. τὸ ἐν τῇ Λιβύῃ, ὃ θεραπεύει πολλά· ἡδύοσμόν ἐστι καὶ πολύτιμον. Βάττος γὰρ τὴν Κυρήνην κτίζει.

Hesy. 188 Βάτων, κωμικός· δράματα αὐτοῦ Συνεξαπατῶν, Ἀνδροφόνος, Εὐεργέται.

Ar. 189 Βατράχειον: εἶδος χρώματος. ἀπὸ τούτου καὶ βατραχὶς ἱμάτιον. ἐχρίοντο δὲ τῷ βατραχείῳ τὰ πρόσωπα πρὶν ἐπινοηθῆναι τὰ προσωπεῖα. καὶ Βατραχίς, εἶδος ἐσθῆτος ἀνθίνης, ὅμοιον τῷ ὀνόματι Δ ἐχούσης τὸ χρῶμα. καὶ Βατράχειος μοῖρα.

182 sch. Ar. Pac. 811, 808 cf. H = Bk. 224, 20 183 = Et. Gen., An. Ox. 2, 431, 12, Et. M. 191, 28; l. = Ambr. 182 184 = Ba 179, 11 cf. H, Philop. diff. 185 Hdt. 4, 154—155, 1 = EV 2, 14, 7—15, 2 186 cf. H, Paroem. ed. Gsf. 27, n. 258, Bk. 224, 30 187 — πολύτιμον sch. Ar. Av. 533; Ar. Pl. 925; Βάττος sq. sch. Ar. Pl. 925 188 cf. Wagner, Symb. com. graec. 54 189 — προσωπεῖα sch. Ar. Eq. 522; vs. 32 βατραχὶς—33 χρῶμα sch. Ar. Eq. 1406 βατράχειος sq. = Ambr. 187

182 cf. v. Μελάνθιος 184 cf. 176 185 hinc v. A 1584 et v. περιεμεκτήσας; cf. v. A 1332 (et v. Θεμίσων), v. A 4639 187 cf. v. σίλφιον 1 188 cf. v. Πλάτων 2 in fine 189 cf. v. Μάγνης 1. Z 376

A(GITFVM) 5 Βάττος] Βάττης IM^{ac} cf. 19 12 διηκονήσειν AM διακονήσειν GIV 19 Βάττος G^{ac}VM^{ac} Βάττης AG^{ac}IM^{ac} 20 τῶν VM τούς rell.

190 Βάτραχος ἐκ Σερίφου: ἐπὶ τῶν ἀφώνων. παρόσον οἱ ἐν Σερίφῳ βάτραχοι κομισθέντες εἰς Σκῦρον οὐκ ἐφθέγγοντο. Prov.

191 Βατράχῳ ὕδωρ: ὡς γαλῇ στέαρ. ἐπὶ τῶν ταῦτα διδόντων, οἷς χαίρουσιν οἱ λαμβάνοντες. καὶ Βατράχοις οἰνοχοεῖς, ἐπὶ τῶν ταῦτα παρεχόντων, ὧν οὐ χρῄζουσιν οἱ λαμβάνοντες. Prov.

192 Βαῦζων: ὑλακτῶν. Ἀριστοφάνης· βαῦζων καὶ γὰρ ἐγὼ τοιοῦτος ἦν. ἀντὶ τοῦ ἤμην. Ar.

193 Βαυκαλᾶν: τιθηνεῖσθαι μετ' ᾠδῆς τὰ παιδία. Σ?

194 Βαῦνος: κάμινος. ἐξ οὗ καὶ βάναυσοι. οἱ διὰ πυρὸς ἐργαζόμενοι, οἱ τεχνῖται. Σ Suid.

195 Βαυὼ καὶ Δημώ: ὀνόματα σοφῶν γυναικῶν. ἐξένισεν ἡ Βαυὼ τὴν Δημώ. Suid.

196 Βάψας τὴν κώπην ἔπλευσας, ἐλθὼν πρὸς τοὺς ναυτοδίκας, οἳ τὰς τῆς ξενίας ἐδίκαζον. ἢ ἀπὸ τῶν φαρμακοποιούντων. λέγουσι γὰρ τὸ βάψας ποιήσω μέλαν. Σ

197 Βδέλλα· ὁ Σολομών φησι· τῇ βδέλλῃ ἦσαν γ' θυγατέρες ἀγαπήσει ἀγαπώμεναι· καὶ αἱ γ' αὗται οὐκ ἐνεπίμπλαντο, καὶ ἡ δ' οὐκ ἠρκέσθη εἰπεῖν ἱκανή. βδέλλα ἡ ἁμαρτία. θυγάτηρ αὐτῆς πορνεία, φθόνος, εἰδωλολατρία, αἳ οὐκ ἐμπίπλανται διὰ τῶν ἀτόπων πράξεων. ἡ δ' ἡ πονηρὰ ἐπιθυμία.

198 Βδέλλεται: ἀμέλγει. Πλάτων εἰς τὸν Θεαίτητον βδάλλεται λέγει. Σ

199 Βδέλυγμα: πᾶν εἴδωλον καὶ πᾶν ἐκτύπωμα ἀνθρώπου οὕτως ἐκαλεῖτο παρὰ Ἰουδαίοις. E

200 Βδέλυγμα ἐρημώσεως: τὸν Ἀδριανοῦ τοῦ βασιλέως ἀνδριάντα. ὁ γὰρ Ἀδριανὸς καθεῖλε τὴν πόλιν ἄρδην. μετὰ γὰρ τὴν Οὐεσπασιανοῦ καὶ Τίτου γενομένην ἐρήμωσιν ἐπὶ Ἀδριανοῦ συστάντες οἱ Ἰουδαῖοι ἐσπούδαζον ἐπὶ τὴν προτέραν ἐπανελθεῖν πολιτείαν. στασιάσαντες οὖν εἰς παντελῆ ἐρήμωσιν ἑαυτοὺς κατέστησαν· καὶ τὸ ἑαυτοῦ ὄνομα ἐπέθηκε τοῖς λειψάνοις τῆς πόλεως Αἰλίαν αὐτὴν προσαγορεύσας· Αἴλιος γὰρ Ἀδριανὸς ἐκαλεῖτο. E

190 = Paroem. ed. Gsf. 25, n. 248 cf. Diogen. III 44 191 — λαμβάνοντες = Zen. II 79; βατράχοις sq. = Zen. II 78 192 — ὑλακτῶν cf. H; βαῦζων alt. sq. Ar. Th. 173 c. sch. 193 cf. H 194 — κάμινος = Ba 179, 15, 178, 21, Et. M. 192, 14, 187, 38 cf. sch. Ar. Ach. 86 196 cf. Ar. fr. 225 ex Harp. (et fr. com. ad. 743!); H; ναυτοδίκας—ἐδίκαζον cf. P v. ναυτοδίκαι 1 197 Prov. Sal. 30, 15 c. sch. 198 cf. Et. M. 192, 25 (= An. Ox. 2, 352, 1), Orion. 35, 24; — ἀμέλγει = Ba 179, 16; Πλάτων Theaet. 174d cf. sch., H, Moeris 192, 15, sch. Luc. 239, 25 199 Georg. 416, 16—17 200 Georg. 415, 16—416, 8

192—3 Z 379 194 cf. 92, unde οἱ sq. 195 ex v. Δ 473 197 Z 380 198 Z 381 199 Z 380 200 hinc v. Αἴλιος, cf. v. Αἰλία

2 Σκῦρον IT Κῦρον rell. 4 βατράχοις Prov. βατράχους omnes 9 οἱ— A(GITFVM) 10 τεχνῖται om. FV 195 om. GTFV mg. A post 192 I 11 Βαυὼ pr. AI Βαβὼ M ἐξένισεν IM ἐξενίσας A Βαυὼ alt. I Βαυβὼ A Βαβὼ M 15 ἀγαπήσει—19 ἐπιθυμία] καὶ τὰ ἑξῆς F om. V 16 ἐνεπίμπλαντο] ἐνεπίμπλανται A 18 ἐμπίπλανται] ἐπίμπλανται AI 20 βδάλλεται] βδέλλεται FM

Ε 201 **Βδέλυγμα ἐρημώσεως**: σημεῖον τῆς ἐρημώσεως. ἦσαν δὲ εἰκόνες τινὲς ἀπηγορευμέναι τῷ νόμῳ, εἰς τοῦτον εἰσκομιζόμεναι. ὃ δὴ Πιλᾶτος πεποίηκε νύκτωρ ἐς τὸν ναὸν τοῦ βασιλέως εἰκόνα εἰσαγαγών.

Ε 202 **Βδέλυγμα ἐρημώσεως**· ὅτι Ἀντίοχος ὁ Ἐπιφανὴς, υἱὸς Σελεύκου τοῦ Φιλοπάτορος, ἀνὴρ ὑπάρχων δεινὸς καὶ πλεονέκτης· ὃς παραλαβὼν τὴν πόλιν δορυάλωτον ἀνεῖλε μυριάδας ιη′. κατατολμήσας οὖν καὶ εἰς τὸ ἅγίασμα εἰσελθὼν ἐν ὑπερηφανίᾳ πολλῇ καὶ στήσας βωμὸν καὶ εἴδωλον βδέλυγμα ἐρημώσεως καὶ τὸν ναὸν μιάνας δι' ἀκαθάρτων θυσιῶν ἱερὸν Διὸς Ὀλυμπίου προσηγόρευσεν· καὶ τοὺς μὴ ἀπογευομένους τῶν χοιρείων κρεῶν ἀνῄρει. ἐφ' οὗ καὶ οἱ ἅγιοι
Suid. Μακκαβαῖοι ἀνῃρέθησαν. οἱ δὲ λέγουσιν Ἀδριανὸν στῆσαι τὸν ἀνδριάντα. ζήτει τὴν κατασκευὴν τοῦ τοιούτου ἀγάλματος ἐν τῷ Ἀντίοχος.

203 **Βδελυγμία**· ὁ Χρυσόστομος ἐχρήσατο τῇ λέξει ταύτῃ ἐν τῇ κατὰ Ἰωάννην ἑρμηνείᾳ τοῦ εὐαγγελίου.

Σ 204 **Βδελυρός**: αἰσχροποιός. Αἰλιανός· καὶ ἥ γε πασῶν βδελυ-
Ε ρωτέρα καὶ τὸν παναγέστατον παρθενῶνα τῶν ἑαυτῆς ἐνέπλησε κα-
Δ κῶν. καὶ **Βδελυρία**, ἡ ἀκολασία.

Syn. 205 **Βδελύσσω**· αἰτιατικῇ.

Σ 206 **Βδελύττεσθαι**· αἰτιατικῇ. μυσάττεσθαι, ναυτιᾶν, ἀποστρέφεσθαι. Ἀπολλόδωρος Κυρηναῖος, μισεῖν. ἀπὸ τούτου καὶ ἡ βδελυγμία ἀπὸ
Ar. τοῦ μίσους· καὶ ἡ βδελυρία. καὶ βδελυττόμενον τὸν Λέπρεον ἀπὸ Μελανθίου. οὗτος εἶχε λέπραν. ἐκωμῳδεῖτο δὲ καὶ εἰς μαλακίαν. ἦν δὲ καὶ κακοπράγμων καὶ ὀψοφάγος καὶ λάλος. νὴ τοὺς θεούς, ὃς οὐκ ἰδὼν βδελύττομαι τὸν Λέπρεον ἀπὸ Μελανθίου.

Σ 207 **Βδέννυσθαι**: ἐκκενοῦσθαι τὴν κοιλίαν σημαίνει, οὐ τὸ πέρδεσθαι. ὃ καὶ ἐπιχωριάζει μέχρι τοῦ νῦν· βδέει γὰρ λέγομεν.

Ar. 208 **Βδύλλετε**: εὐτελίζετε, φοβεῖσθε, καὶ τρέμετε. Ἀριστοφάνης· τί βδύλλεσθ' ἡμᾶς; οὔτι που πολλαὶ δοκοῦμεν εἶναι; καὶ μὴν μέρος γ' ἡμῶν οὔπω τὸ μυριοστόν.

Ar. 209 **Βδύλλει**: καταπέπληγε, βδελύττεται, μισεῖ. ὅ τε πένης βδύλλει λεώς.

201 Georg. 302, 21—303, 3 202 — ἀνῄρει Georg. 287, 3—4, 25—288, 10 204 — αἰσχροποιός Tim. vs. 16 καί—κακῶν Aelian. fr. 163 βδελυρία = Ambr. 338 206 αἰτιατικῇ cf. An. Ox. 4, 288, 10 μυσάττεσθαι—ἀποστρέφεσθαι cf. Et. M. 192, 33 (= Et. Gen.), An. Ox. 2, 431, 21; μισεῖν cf. H v. βδελυσσόμενοι; ἀπό—βδελυρία = Lex. rhet. ap. Et. Gen. cf. Et. M. 192, 38 vs. 22 βδελυττόμενον sq. Ar. Av. 150—1 c. sch. 207 — κοιλίαν = Ba 179, 17 cf. H, Ambr. 340 208 Ar. Lys. 354—5 c. sch. 209 Ar. Eq. 224 c. sch.

202 cf. v. A 2693, unde fin. 206 cf. v. μυσάττομαι; Z 381. Ar. cf. v. Λέπρεος 207 Z 380 209 Z 381

A(GITFVM) 7 δορυάλωτον] δοριάλωτον AF cf. v. A 2693 12 οἱ—ἀνδριάντα om. FV 13 Ζήτει—Ἀντίοχος ex M 203 om. GTFV 27 ὃ—λέγομεν om. FV Zon.

210 Βαιαί: μικραί. καὶ Βαιός, ἰδίως ἀντὶ τοῦ εἷς. Σοφοκλῆς· Δ
πότερον ἐχώρει βαιὸς ἢ πολλοὺς ἔχων λοχίτας ἄνδρας; καὶ ἐν Αἰχμα- Soph.
λωτίσιν· ἔσπεισα βαιᾶς κύλικος ὥστε δεύτερα. καὶ αὖθις· ὁ δ' εἶπε
πρός με βαιὰ, ἀεὶ δ' ὑμνούμενα· γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει.
κἀγὼ μαθοῦσ' ἔληξ'· ὁ δ' ἐσσύθη μόνος.
211 Βαιθήλ: θεῖος ναός.
212 Βαίτη: διφθέρα. Βαίτη δὲ κἂν θέρει καὶ ἐν χειμῶνι Δ
ἀγαθόν, ἐπὶ τοῦ κατὰ τὴν χρείαν προσφόρου. Prov.
213 Βαιτική: ἡ ἤπειρος.
214 Βεβαλανωμένον: ἀντὶ τοῦ κατεχόμενον ὑπὸ τῆς κόπρου. Ar.
Ἀριστοφάνης· μή με περιΐδῃς διαρραγέντα, μηδὲ βεβαλανωμένον.
215 Βεβαιῶ· αἰτιατικῇ. Synt.
216 Βεβαιώσεως: δίκης ἐστὶν ὄνομα, ἣν δικάζοντες οἱ ὠνησά- Harp.
μενοί τι.
217 Βέβηκεν: ἕστηκεν, ἐπέπηκτο.
218 Βέβηλος τόπος: ὁ βατὸς πᾶσι καὶ ἀκάθαρτος. καὶ βέβηλος Soph.
ἀνήρ, ὁ ἀμύητος καὶ μιαρός. Εὐριπίδης· οὐ θέμις βεβήλοις ἅπτε-
σθαι δόμων. καὶ, ἀείδω ξυνετοῖσι, θύρας δ' ἐπίθεσθε βέβηλοι.
καὶ Βεβηλοῦνται, μιαίνονται. Ps.
219 Βεβηκός: ἀσφαλές. Σ
220 Βέβιος Κρίσπος· Ζήτει περὶ δείπνου ἐν τῷ Βιτέλλιος.
221 Βέβριθε: βαρύνεται. Σ
222 Βεβριθυῖα: βαρεῖα, ἰσχυρά. Σ
223 Βέβρυχεν: ἠχεῖ. Σ
224 Βεβυσμένα: λαθραῖα, ἢ πεπρωμένα. καὶ Βεβυσμένον, Σ Hom.
πεπληρωμένον. κεκαλυμμένον. Ἀριστοφάνης· δός μοι χυτρίδιον Ar.
σπογγίῳ βεβυσμένον. ἢ ὅτι χύτραν ἔφερον, ἐν ᾗ ἦν σπόγγος πεπληρω-

210 — μικραί cf. Ambr. 148, Ps. Herodian. 5; H = Et. M. 192, 48 βαιός—δεύτερα Soph. OT 750—1 c. sch. (ed. Dindorf. Oxon. p. 42) cf. H; Soph. fr. 39; ὁ sq. Soph. Ai. 292—4 211 cf. Ambr. 31 et 151 212 — διφθέρα = Ambr. 150, Herodian. gramm. 1, 344, 3; 2, 426, 14; sch. Theocr. 3, 25 d, 5, 14—16 f cf. H, Et. M. 193, 3 213 = Ambr. 149 214 Ar. Eccl. 239—40 c. sch. 215 = An. Ox. 4, 288, 12 216 Harp. cf. Bk. 219, 33 217 — ἕστηκεν = rec. man. Ba 179, 18; ἐπέπηκτο cf. H v. βεβήκει 218 — vs. 18 βέβηλοι sch. Soph. OC 10 cf. Lex. rhet. ap. Et. Gen., Et. M. 193, 58, Ba 179, 20, H; Eur. fr. 648; ἀείδω—βέβηλοι Orphic. fr. ed. Kern fr. 334 βεβηλοῦνται sq. = An. Ox. 2, 431, 22, H 219 = Ba 179, 18, H 221 = Ba 179, 21 cf. H 222 = Ba 179, 22 cf. H, sch. Φ 385 223 = Ba 179, 23, sch. ε 412 cf. H 224 — πεπρωμένα = Ba 179, 24 βεβυσμένον, πεπληρωμένον sch. δ 134 cf. H δός sq. Ar. Ach. 463 c. sch. cf. Pap. Oxyrrh. 15 p. 153

212 Z 374 214 cf. v. πρωκτός. Z 385 217 Z 385 223 Z 385 224 cf. v. σπογγιά. Z 384

2 λοχίτας] λοχίας τούς A 211 om. GTFV post 212 A 7 θέρει—8 ἀγα- A(GITFVM)
θόν] χειμῶνι κἂν θέρει καλόν Mein. Jahns Jb. 87, 380 213 om. GTFV post 211 AI 13 δίκης om. FV δικάζοντες] δικάζονται T Harp. 18 δόμων] δ' ὅμω A βέβηλοι] βεβήλοις GT^{ac} 19 καί—μιαίνονται om. TV 21 Βέβιος M Βέβαιος AI 25 πεπρωμένα] λεπρωμένα V πεπυρωμένα Zon. πεπληρωμένα Kust. 26 πεπληρωμένον—27 βεβυσμένον om. A 27 σπογγίῳ] σπογγιᾷ GIT, s. v.

μένος μέλιτος, ἣν ἐτίθεσαν ἐν τῷ στόματι τῶν παίδων, διὰ τὸ ἐκμυζᾶν· ἢ ὅτι οἱ πένητες τὰ τρήματα τῆς χύτρας σφηνοῦσι σπόγγοις. ἢ τετρημένα πανταχοῦ.

Call. 225 Βέβυστο: ἐπεπλήρωτο. βέβυστο δὲ πᾶσα χόλοιο.

Thdr. 226 Βεελφεγώρ: Βέελ, ὁ Κρόνος· Φεγώρ, ὁ τόπος, ἐν ᾧ ἐτιμᾶτο. 5

Ps. ἐτελέσθησαν οὖν τῷ Βεελφεγώρ. ἀντὶ τοῦ ἐν τῷ τόπῳ τοῦ Φεγὼρ εἰδώλου.

227 Βεζέκ: ἀστραπή. Ἰεζεκιήλ· ἀνέκαμπτον δὲ ὡς εἶδος τοῦ Βεζέκ. ὅ ἐστι τῆς ἀστραπῆς.

Ar. 228 Βεκεσέληνε: ἤτοι ἀπόπληκτε καὶ σεληνόπληκτε· ἢ τὰ β′ σύγκειται ὡς ἓν, τὸ βέκος καὶ ἡ σελήνη· ἀρχαῖα δὲ ἀμφότερα. ἢ ὅτι 10 οἱ Λυδοὶ τὸν ἄρτον βέκος ἐκάλουν ἢ Φρύγες. διεβάλλοντο δὲ ὡς ἀνόητοι. ἀπὸ τῆς οὖν διαλέκτου σκώπτει αὐτούς. ἡ δὲ περὶ τοῦ βέκε ἱστορία, ἥ ἐστι φωνὴ Φρυγῶν σημαίνουσα τὸν ἄρτον, παρὰ Ἡροδότῳ φανερά ἐστιν ἐν β′.

Ar. 229 Βεκεσέληνε: ἀρχαῖε, τουτέστιν ἀνοητότατε. παρῆκται δὲ ἀπὸ 15 τοῦ προσέληνε. τοὺς γὰρ Ἀρκάδας ἀρχαιοτάτους καὶ πρὸ τῆς σελήνης φάσκοντας γεγονέναι προσελήνους ἐκάλουν. βεκεσέληνε οὖν ὡς προσέληνε. ἔχεται δὲ καὶ αὐτὸ καθ' αὑτὸ τὸ βεκεσέληνε ἱστορίας τοιαύτης. Ψαμμήτιχος Αἰγυπτίων βασιλεύσας ἠθέλησε γνῶναι, τίνες πάντων ἀνθρώπων πρεσβύτεροι καὶ πρῶτοι γένοιντο. ὡς δὲ πάνυ 20 πολυπραγμονῶν οὐχ οἷός τε ἦν ἀνευρεῖν τὸ ἀκριβὲς διὰ τὸ πολλοὺς περὶ τούτου φιλονεικεῖν, μηχανᾶταί τι τοιοῦτο. λαβὼν ἀρτίτοκα δύο παιδία εἰς οἴκημα κατέκλεισεν ἀνακεχωρηκὸς παντάπασι. καὶ οἱ μὲν λέγουσιν, ὡς αἶγας ὑπέπεμπεν αὐτοῖς, ἃς θηλάζοντα ἐτρέφετο τὰ παιδία· οἱ δὲ, ὡς τροφοὺς παρέστησε τὰς γλώσσας αὐτῶν ἐκτεμὼν 25 ὥστε τῆς φωνῆς αὐτῶν μὴ ἀκούειν τὰ παιδία. ταῦτα δὲ ὁ Ψαμμήτιχος ἐποίει βουλόμενος εἰδέναι, τίνα ποτὲ τὰ παιδία πρώτην προήσουσι φωνὴν, ἀπαλλαγέντα τῶν ἀσήμων κνυζημάτων. ὡς οὖν τριετὴς αὐτοῖς διεγεγόνει χρόνος τῆς τοιαύτης τροφῆς, εἰσέπεμψεν εἰς τὸν οἰκόν τινα τῶν φιλτάτων ἐντειλάμενος σιωπῇ παρελθεῖν. τοῦ δὲ 30 ἀνεῳξαντος τὰς θύρας, ὀρέγοντα τὰς χεῖρας τὰ παιδία βέκος ἐκάλουν. Φρύγας δὲ τὸν ἄρτον οὕτως καλεῖν. καὶ οὕτω μὲν Ψαμμήτιχον εὑρεῖν τε καὶ πιστεῦσαι γεγονέναι πρώτους Φρύγας. εἰ δὲ ὁ πρῶτος λόγος ἀληθὴς, ὅτι ἐξέθρεψαν τὰ παιδία αἱ αἶγες καὶ οὐ γυνὴ, θαυμαστὸν οὐδὲν, κατακούοντα τῆς αἰγὸς μιμήσασθαι τὴν ἐκείνης φωνὴν, 35

225 Call. fr. 109 K., an. 11 S. c. sch. cf. Babr. p. 217 226 — ἐτιμᾶτο Thdr. in Ps. 105, 28, PG 80, 1729a ἐτελέσθησαν—Βεελφεγὼρ Ps. 105, 28 ἐν sq. = An. Ox. 2, 431, 26 227 — Ἰεζεκιήλ (1, 14) = H 228 sch. Ar. Nu. 397; σεληνόπληκτε cf. H, Ambr. 251 ἄρτον—Φρύγες cf. Ambr. 252, H; Ἡροδότῳ 2, 2 229 sch. Ar. Nu. 397 cf. sch. Ap. R. 4, 262

226 cf. v. Φεγώρ. Z 382 227 cf. Z 381 229 cf. v. προσέληνοι

A(GITFVM) 3 τετρημένα M τετριμένα I τετρημμένα rell. 6 ἐτελέσθησαν—εἰδώλου om. ATFV 227 ex GIT 11 οἱ Λυδοί] ἄμφοδοι V om. in lac. F, del. Bhd. ἢ] οἱ A Bhd. 13. 14 Ἡροδότῳ] Ἡροδότου A cp. I 17 βεκεσέληνε] βιασκεσέληνε A 22 τοιοῦτο AGM τοιοῦτον IT 29 διεγεγόνει] ἐγεγόνει V Hdt.

συμπεσεῖν δὲ καὶ παρὰ Φρυξὶ τὸ τοιοῦτον ῥῆμα. οὕτως οὖν καὶ τὸ βεκεσέληνε τὸ ἀρχαῖον δηλοῖ, συγκειμένης τῆς λέξεως ἐκ τοῦ βέκους, διὰ τὴν εἰρημένην ἱστορίαν· καὶ τοῦ προσέληνε, διὰ τὸ τοὺς Ἀρκάδας προσελήνους καλεῖσθαι.

230 Βέλεμνα: βέλη. Hom.

231 Βελλεροφόντης· ὃν ὁ Προῖτος ἐβούλετο διὰ γραμμάτων αὐτοῦ τῶν πρὸς Ἰοβάτην ἀνελεῖν. Suid.

232 Βελεστίχη. Suid.

233 Βελισάριος, ὁ στρατηγὸς, ἦν μὲν τὸ σῶμα καλός τε καὶ μέγας καὶ εὐπρόσωπος πάντων μάλιστα. οὕτω δὲ πρᾴου τε καὶ εὐπρόσοδον παρεῖχεν αὑτὸν τοῖς ἐντυγχάνουσιν ὥστε ἀνθρώπῳ πένητί τε λίαν καὶ ἀδόξῳ ἐμφερῆ εἶναι. ἔρως δὲ αὐτοῦ τῆς ἀρχῆς πρός τε στρατιωτῶν ἀεὶ καὶ ἀγροίκων ἄμαχός τις ἐγίνετο, ὅτι δὴ ἐς μὲν στρατιώτας φιλοδωρότατος ἐγεγόνει ἀνθρώπων ἁπάντων· τῶν τε γὰρ ἐν ξυμβολῇ ἠτυχηκότων χρήμασι μεγάλοις παρεμυθεῖτο τὰ τραύματα καὶ τοῖς εὐδοκιμήσασι ψέλιά τε καὶ στρεπτοὺς ἆθλα παρείχετο, ἵππου δὲ ἢ τόξου ἢ ἄλλου ὁτουοῦν στρατιώτου ἐν τῇ μάχῃ ἀπολωλότος ἕτερον ἀντ' αὐτοῦ πρὸς Βελισαρίου αὐτίκα ὑπῆρχεν· ἐς δὲ τοὺς ἀγροίκους, ὅτι δὴ τοσαύτῃ φειδοῖ τε καὶ προνοίᾳ ἐχρῆτο ὥστε βιασθῆναι μὲν αὐτοῖς οὐδὲν πώποτε στρατηγοῦντος Βελισαρίου τετύχηκεν. ἀπεδίδοντο γὰρ αὐτοῖς κατὰ γνώμην τὰ ὤνια πάντα, καὶ ἡνίκα ἀκμάζοι τὰ λήϊα, εἰς τὸ ἀκριβὲς διεφύλασσε, μή τινι παριοῦσα ἡ ἵππος λυμήνηται, τῶν δὲ ὡραίων ἐν τοῖς δένδροις ὄντων ἅψασθαι αὐτῶν οὐδενὶ τοπαράπαν ἐξῆν. ἦν δὲ καὶ σώφρων καὶ λίαν ἐνάρετος. E

234 Βέλος: καὶ τὸ τραῦμα ὁμωνύμως τῷ τιτρώσκοντι παρ' Ὁμήρῳ. Hom.

235 Βελονοπώλης: οὗτος παράσιτος ἦν, ὥς φησιν Ἀριστοφάνης. Ar.

236 Βέμβηξ: ὁ ξύλινος στρόμβος. οἱ δ' ἄρ' ὑπὸ πληγῇσι θοὰς βέμβηκας ἔχοντες ἔστρεφον εὑρείῃ παῖδες ἐνὶ τριόδῳ. Ἀριστοφάνης· βέμβηκος οὐδὲν διαφέρειν δεῖ. ἀντὶ τοῦ εὐκίνητον καὶ εὔστροφον εἶναι δεῖ. ἔστι δὲ βέμβηξ ἐργαλεῖον, ὃ μάστιγι στρέφουσιν οἱ παῖδες. ἢ παίγνιον τῶν παίδων, ὡς τροχὸς, ὃς μάστιγι δακόμενος στρέφεται. καὶ Βεμβηκιᾶν, τὸ περιστρέφεσθαι. καὶ Βεμβηκίζωσιν. Ἀριστοφάνης· ἵν' ἐφ' ἡσυχίας ἡμῶν πρόσθεν βεμβηκίζωσιν ἑαυτούς. Βέμβηξιν. Δ Anth. Ar. Δ Ar. Δ

237 Βενεβεντός: ὄνομα πόλεως Καλαβρίας, ἣν κτίζει Διομήδης. εἰς γὰρ τὸν ἀπόπλουν καταχθεὶς εἰς τὰ ἴδια οὐκ ἐδέχθη, ἀλλὰ δι-

230 sch. O 484 = Ap. S. 51, 1, Et. M. 194, 32, H cf. Ambr. 313 233 Proc. bell. 7, 1, 6—11 234 = sch. A in Θ 513; τραῦμα = Ba 179, 25, H 235 sch. Ar. Pl. 175 236 — στρόμβος cf. Ambr. 243 οἱ—τριόδῳ Anth. 7, 89, 9—10 = Laert. 1, 80 βέμβηκος—στρέφεται Ar. Av. 1461 c. sch. ἵν'—ἑαυτούς Ar. Vsp. 1517 237 = Cedren. 1, 234, 12—16 cf. Patzig, Byz. Zt. 1, 138; 9, 362

231 ex v. Ἰοβάτης 232 ex v. Σωτάδης 2 234 Z 384 237 hinc v. A 3791, v. Διομήδειος ἀνάγκη fin.; Z 383

231 om. GTFV post 229 A 232 ex AM 21 αὐτοῖς] αὐτούς M A(GITFVMB)
30 ὃ TM: ὃν rell. 31 δακόμενος] διωκόμενος M^{ac}B δερόμενος sch. 34 βέμβηξιν om. V 36 εἰς pr.—p. 468, 2 Βενεβεντόν] καὶ τὰ ἑξῆς F om. V

ωχθεὶς ἀπῆλθεν εἰς Καλαβρίαν καὶ κτίζει πόλιν, ἣν ἐκάλεσεν Ἀργυρίππην, τὴν μετονομασθεῖσαν Βενεβεντόν.

238 Βενεβεντὸν λέγουσι πνευμάτων βίαν.

Δ 239 Βενετιανός: ὄνομα κύριον.

240 Βενιαμίν· ἐπὶ Σαμψὼ κρίνοντος τὸν Ἰσραὴλ διὰ τὴν παράνομον μίξιν τοῦ Βενιαμὶν π′ καὶ ζ′ κατηναλώθησαν χιλιάδες. Ζήτει ἐν τῷ Σαμψών.

241 Βέρεδον.

Hom. 242 Βέρεθρον: βάθος. νῦν πλέον ἢ τὸ πάροιθε πύλας κρατεροῖο
Auth. βερέθρου ὄμμασιν ἀγρύπνοις τριτσὲ, φύλασσε, κύον.

Suid. 243 Βερεκύντῃ· ὁ δὲ ἐν Βερεκύντῃ ἐχειμέριζεν. ἀντὶ τοῦ ἐχείμαζεν.

Ar. 244 Βερέσχεθοι: οἱ ἀνόητοι. πέπλασται δὲ ἡ λέξις παρὰ Ἀριστοφάνει.

Δ 245 Βεροιαίοις.

EV 246 Βεσπασιανός, βασιλεὺς Ῥωμαίων. οὗτος ἦν ἤπιος καὶ προσηνὴς ὡς μηδὲ τὰς εἰς αὐτόν τε καὶ τὴν βασιλείαν γινομένας ἁμαρτίας πέρα τιμωρεῖσθαι φυγῆς· τάς τε γὰρ ἀπεχθείας καὶ τὰ προσκρούματα τῆς διανοίας ταχέως ἀπεσείετο καὶ σκώμματα ῥητόρων, ὑφ' ὧν ἠφίετο, καὶ δήμων ἐς αὐτὸν ἀπορριπτούμενα κούφως τε καὶ γαληνῶς ἔφερεν· ἔς τε τὰς ἐντεύξεις κοινὸς καὶ δημοτικὸς ὢν ἀπεσκήνου μὲν ἐς τὰ
E πολλὰ τῶν βασιλείων. οὗτος τοῖς ἀρίστοις τῶν πώποτε βασιλέων παραβάλλεσθαι ἄξιος ἦν· ὅς γε καὶ τὸν ἰδιώτην ἑαυτοῦ βίον ἐπίδοξον πολλοῖς τε καὶ μεγάλοις ἀπετέλεσε κατορθώμασι. Κλαυδίῳ γὰρ τῷ βασιλεῖ στρατηγῶν ἐπὶ Γερμανοὺς καὶ Βρεττανοὺς λ′ καρτερὰς μάχας πρὸς τοὺς πολεμίους ἀντιπαρεστήσατο. ἐς δὲ τὴν ἡγεμονίαν παρελθὼν μετρίως τε καὶ σωφρόνως τὴν ἀρχὴν διῴκητο, ἐπιθυμητικῶς μὲν δοκῶν ἔχειν χρημάτων· οὐ μὴν ὥστε παρὰ δίκην ἀφαιρεῖσθαί τινα τῶν οἰκείων. καὶ τὸν πλοῦτον οὐκ ἐς τὰς ἡδονάς, ἀλλ' ἐς τὰς δημοσίας χρείας ἐποιεῖτο. οὔκουν εὕροι τις ἂν ἕτερον πρὸ τοῦδε βασιλέα οὔτε δαψιλέστερον, οὔτε πρὸς τὸ ἴσον τε καὶ δίκαιον ἐξητασμένον τὴν πρὸς τὰς δωρεὰς ἐλευθεριότητα.

247 Βεστιάριον: παρὰ Ῥωμαίοις τόπος, ἔνθα ἡ ἀναγκαία ἀπόκειται ἐσθής.

Δ 248 Βείδιος: ὁ ἔνδοξος.

Δ 249 Βειέλοπες: οἱ λῶροι.

242 sch. Θ 14 = Ambr. 314, H cf. Ap. S. 51, 6 = Et. M. 194, 28 νῦν sq. Anth. 7, 70, 1—2 244 sch. Ar. Eq. 634 = Pap. Oxyrrh. 15, p. 153 245 cf. Ambr. 259, 291 246 — vs. 21 βασιλείων Io. Antioch. fr. 99, FHG 4, 578 = EV 1, 185, 17—23 οὗτος sq. cf. Eutrop. p. 131, FHG 4, 578 not., Byz. Zt. 23, 21 247 = Lex. Rom. Barocc. 248 = Ambr. 246 249 cf. H; l. = Ambr. 280 cf. 289

238 cf. v. καπνίας 240 cf. v. Σαμψὼν 241 cf. Z 384 243 ex v. χειμερία 244 Z 383 247 Z 384 249 cf. Z 382

A(GITFVM) 238 om. V mg. AI post 244 T 241 om. GTFV 10 κύον] κύων AF 243 om. TFV post 244 A 22 παραβάλλεσθαι] περιβάλλεσθαι A 248—9 om. FV

250 Βή τὸ μιμητικὸν τῆς τῶν προβάτων φωνῆς, οὐχὶ βαὶ λέγουσιν Σ
Ἀττικοί. Κρατῖνος Διονυσαλεξάνδρῳ· ὁ δὴ λοίσθιος ὥσπερ πρόβατον
βὴ βὴ λέγων βαδίζει.
251 Βῆ: ἔβη, ἐπορεύθη. καὶ Βῆ δὲ, ἐπορεύθη. Δ Hom.
252 Βηθανία: πόλις Παλαιστίνης· ὃ δὲ λέγει ὁ εὐαγγελιστὴς Ἰω-
άννης, ὅτι ταῦτα ἐν Βηθανίᾳ ἐγένετο, ἐσφαλμένως γέγραπται. ἡ γὰρ
Βηθανία ἔνθεν ἐστὶ τοῦ Ἰορδάνου· ἡ δὲ Βηθαβαρὰ, ὅπου ἦν Ἰωάννης
βαπτίζων, πέραν ἐστὶ τοῦ Ἰορδάνου. γραπτέον οὖν ὀρθῶς οὕτως·
ὅτι ταῦτα ἐν Βηθαβαρᾷ ἐγένετο· ἀλλ' οὐκ ἐν Βηθανίᾳ.
253 Βηθσαϊδᾶ. Δ
254 Βηθσφαγή. Δ
255 Βηθύλος: εἶδος ὀρνέου. Δ
256 Βηλός: βαθμὸς θύρας· ἢ οὐρανός. Σ
257 Βῆμα: ὁ λίθος τοῦ δικαστηρίου. Ἀριστοφάνης· τὸ δὲ βῆμα τί Ar.
σοι χρήσιμον ἔσται; τοὺς κρατῆρας καταθήσω καὶ τὰς ὑδρίας.
258 Βῆμα: δικαστικὴ τράπεζα. οὐ μακρὰν δὲ τῶν πυλῶν τὸ
δικαστικὸν βῆμα προσέταξε δοθῆναι.
259 Βημάρχιος, Καισαρεὺς ἐκ Καππαδοκίας, σοφιστής. οὗτος ἔγραψε Hesy.
τὰς Κωνσταντίνου τοῦ βασιλέως πράξεις ἐν βιβλίοις δέκα, μελέτας τε
καὶ λόγους διαφόρους.
260 Βήνη: ὄνομα πόλεως Κρήτης. Suid.
261 Βὴξ ἀντὶ πορδῆς: ἐπὶ τῶν ἐν ἀπορίᾳ προσποιουμένων τι Prov.
πράττειν. παρ' ὅσον οἱ πέρδοντες λανθάνειν πειρώμενοι προσποι-
οῦνται βήττειν. καὶ νέα παροιμία· Ἀπορία ψάλτου βήξ.
262 Βηρία: πόλις. Δ
263 Βηρίνη. Βηρίνης, τῆς γυναικὸς τοῦ μεγάλου Λέοντος, δύο Δ
στῆλαι ἦσαν, μία μὲν βορειοτάτη τοῦ ἁγίου Ἀγαθονίκου μετὰ τὴν ἄνοδον
τῶν ἀναβαθμῶν, ἑτέρα δὲ κατὰ τὸ μέρος τῆς ἁγίας Βαρβάρας. καὶ

250 = Lex. rhet. ap. Et. M. 196, 8 cf. Ael. D. fr. 92 ex Eust. O. 1721, 26 (cf. I. 768, 13); Cratin. fr. 43 251 — ἐπορεύθη pr. = H; — ἔβη = Ambr. 427; ἐπορεύθη = Ap. S. 51, 14, Et. M. 196, 1 βῆ δέ sq. sch. A 34 = H 252 — πόλις cf. Ambr. 408, 413; ὃ sq. cf. Theophylact. Achr. PG 123, 1172a—b in Ioh. 1, 28 253 = Ambr. 401, Ps. Herodian. 5 254 = Ambr. 399, Ps. Herodian. 5 255 = Et. M. 196, 54, Ambr. 343 256 = Ba 179, 26, Et. M. 196, 19 cf. sch. A 591, H; — θύρας cf. Ap. S. 51, 15 οὐρανός = Bk. 225, 29 (= H), Philop. diff., Ps. Herodian. 6 257 Ar. Eccl. 677—8 c. sch. 260 cf. Steph. Byz. 261 — βήττειν = Diogen. III 62 νέα sq. Politis, Μελεταὶ τοῦ βίου etc. 3, 103 sq. 262 = Ambr. 412 263 = Preger 37

250 Z 387 255 Z 385 257—8 Z 387 259 Z 386 260 ex v. Ῥιανός 263 Z 386

4 καί—ἐπορεύθη om. TF καί om. V, nov. gl. ἐπορεύθη] δέ add. Hes. coniecit Gsf. 252—5 om. FV; 255, 252, 251, 253—4 ordo in A, 251, 253—5, 252 ordo in GIM, 251, 255, 253—4, 252 in T 5 ὃ—9 Βηθανίᾳ om. T 258 om. T 16 οὐ—17 δοθῆναι om. G 18 ἔγραψε om. FV 260 om. AFV post 257 T post 258 G 21 πόλεως Κρήτης GI, v. Ῥιανός, πόλεως ἐν Κρήτῃ T, κύριον M 24 καί—βὴξ om. FV post 262 A 262 om. GFV post 260 T 26 Βηρίνη] Βηρίνηα A Βηρίνα Bhd. δύο—p. 470, 3 αὐτῆς] καὶ τὰ ἑξῆς F A (GITFVM)

ἡ μὲν τοῦ ἁγίου Ἀγαθονίκου γέγονεν ἔτι ζώντος τοῦ Λέοντος, ἡ δὲ ἄλλη μετὰ τὴν τελευτὴν αὐτοῦ, ἡνίκα Βασιλίσκον τὸν ἀδελφὸν αὐτῆς ἔστεψε, φυγόντος Ζήνωνος τοῦ γαμβροῦ αὐτῆς.

E 264 Βῆρος: στρατηγὸς Ῥωμαίων. οὗτος οὐκ ἦν κατεσπουδασμένος, ἀλλὰ μέθης νόσῳ ἀνειμένος ἐκ τοῦ ἐπὶ πλεῖστον, καὶ ἀπ' αὐτοῦ θράσει ἀπερισκέπτῳ ἑαυτὸν εἶχετο.

265 Βηρούνιον: ὄνομα πόλεως. Νωρικοὶ γὰρ ἔθνος, ἔνθα συὸς χρῆμα θεόπεμπτον τὴν χώραν ἐλυμαίνετο, καὶ αὐτῷ πάντες ἐπιχειροῦντες οὐδὲν ἤνυον, μέχρι τις ἀνὴρ τὸν σὺν περιτρέψας ἐπὶ τοὺς ὤμους ἀνέθετο, οἷόν τι καὶ περὶ Καλυδόνος μυθεύεται. οἱ δὲ Νωρικοὶ ἐπεβόησαν εἷς ἀνὴρ τῇ ἰδίᾳ φωνῇ, τουτέστι βηρούνους. ὅθεν ἡ πόλις Βηρούνιον ἐκλήθη.

Prov. 266 Βησᾶς ἔστηκεν οἷον ἀχανής· οὗτος ἔστηκεν ἀχανὴς καὶ παταγώδης καὶ ὑπόμωρος.

Harp. 267 Βησσηΐς: δῆμός ἐστι τῆς Ἀντιοχίδος Βῆσσα.

Δ 268 Βία: ἡ ὁρμὴ, ἡ ῥύμη. ὁ δὲ τῇ βίᾳ τοῦ σώματος ἐξωθεῖ τὰς E πύλας ἐς τὸ ἔσω.

Synt. 269 Βιάζω· αἰτιατικῇ.

270 Βίαντος Πριηνέως δίκη: οὗτος εἷς τῶν ἑπτὰ σοφῶν. λέγεται δὲ εἰς τὰς δίκας δεινότατος γεγονέναι εἰπεῖν· ἐπ' ἀγαθῷ μέντοι τῇ τῶν λόγων ἰσχύϊ ἐχρῆτο. Ἱππώναξ· δικάζεσθαι Βίαντος τοῦ Πριηνέως κρείσσων.

Anth. 271 Βιαρκέος: τῆς εἰς τὸ ζῆν ἐπαρκούσης. ἐν Ἐπιγράμμασι· βιαρκέος ἄλλος ἀπ' ἄλλης αὔθαιμοι τριτταὶ δῶρα λινοστασίης.

Σ 272 Βιβάζει: συζεύει, ὀχεύει.

Δ 273 Βιβλιαφόρος: γραμματοφόρος. ὁ δὲ πέμπει βιβλιαφόρον μὴ θορυβεῖσθαι παρακελευόμενος. καὶ πᾶσα γραφὴ βιβλιαφόρος λέγεται.

274 Βίβλινος οἶνος: ἀπὸ χωρίου οὕτως ἐκλήθη.

Δ 275 Βιβλίον: ἡ ἐπιστολή.

Thdr. 276 Βίβλοι θεοῦ: ἡ γνῶσις αὐτὴ καὶ ἡ ἄληστος μνήμη. Δαβὶδ· καὶ ἐπὶ τὸ βιβλίον σου πάντες γραφήσονται.

277 Βιδίνη: πόλις Σκυθίας.

E 278 Βιαιότερον: ἐπικρατέστερον. τῆς τῶν ἰατρῶν ἐπιστήμης βιαιότερον ἦν τὸ νόσημα.

264 Proc. bell. 7, 27, 5 266 = Paroem. ed. Gsf. 26, n. 255 267 Harp. 268 l. = Ambr. 496 270 cf. Strabo 14, 12, p. 636 λέγεται sq. Laert. 1, 84; Hipponact. fr. 79 271 βιαρκέος alt. sq. Anth. 6, 179, 1—2 272 = Ba 179, 28 cf. H, Bk. 85, 6 274 cf. Ath. 1, 31 a 275 cf. H 276 Thdr. in Ps. 138, 16, PG 80, 1940 b 278 τῆς sq. Aelian. fr. 89 (falso Dam. fr. 125)

264 cf. Z 386 265 Z 387 266 Z 386 268 Z 388 270 cf. v. δικάζεσθαι 271 Z 388 272 cf. Z 389 278 Z 387 275—6 Z 389 276 Vind. 2

A(GITFVM) 1 ἔτι om. V, Anon. Treu 11 βηρούνους] βηρόνους A 23 τῆς] τό A 26 βιβλιαφόρος] βιβλιοφόρος M (ubique) 29 οὕτως] οὗτος VM 277 om. TFV mg. A post 278 G post 587 I 33 Βιδίνη AG Βυδίνη IM

279 Βίαιοι οὗτοι ἐγίνοντο· Φάλαρις, Ἔχετος, Διονύσιος καὶ ὁ Κασσανδρέων τύραννος, ὑπερβαλὼν παρανομίᾳ· καὶ Λίγγις, ἀδελφὸς Ἴλλου νόθος, καὶ οὗτος βίαιος.

280 Βιαίων: ὄνομα δίκης ἐστὶ κατὰ τῶν βίᾳ πραττόντων ὁτιοῦν· ὁ δὲ ἁλοὺς ἀποτίνει εἰς τὸ δημόσιον ἴσον τῷ ἑλόντι. Δημοσθένης κατὰ Μειδίου. εἰσὶ δὲ καὶ ἐν τοῖς Λυσιακοῖς φερόμενοι λόγοι βίαιοι. καὶ δῆλον ὅτι οὐκ ἐπὶ φθορᾷ παρθένων οὔτε τὸ ὄνομα οὔτε ἡ δίκη ἐλέγετο, ἀλλὰ καὶ ἐπ' ἄλλων. Harp.

281 Βιζακίων: μικρῶν λίθων.

282 Βιζύη: πόλις Θρᾳκική. Δ

283 Βιθίας: ὄνομα κύριον. καὶ ἡ μὲν κατὰ τὸν Βιθίαν ἐλπὶς τούτῳ τῷ τρόπῳ διέπεσεν. Δ Suid.

284 Βικάριος: παρὰ Ῥωμαίοις διάδοχος.

285 Βίκος: τὸ ἀγγεῖον. καὶ Βικίδιον διὰ τοῦ ι ἡ παράδοσις. Δ

Ξενοφῶν· Κῦρος γὰρ ἔπεμπε βίκους ἡμιδεεῖς οἴνου. καὶ Βίκος, τὸ σπέρμα. EV Δ

286 Βίκτορα.

287 Βινεῖν: τὸ συνουσιάζειν· ἢ τὸ πιπίζειν. ἐν Ἐπιγράμμασι· ἀδὺ τὸ βινεῖν ἐστι· τίς οὐ λέγει; ἀλλ' ὅταν αἰτῇ χαλκὸν, πικρότερον γίνεται ἑλλεβόρου. Δ Anth.

288 Βινεῖν: περαίνειν. καὶ βινεῖν με διαλελημμένον. καὶ Βινήσομεν. Ἀριστοφάνης· εἶτα βινήσας ἐκεῖθεν αὖθις αὖ κατέπτατο. ὥστ' εἴ τις ἡμᾶς μὴ διαλλάξει ταχὺ, οὐκ ἔσθ' ὅπως μὴ Κλεισθένη βινήσομεν. οὗτος ἐπὶ θηλύτητι ἐκωμῳδεῖτο. καὶ αὖθις Ἀριστοφάνης· ἔπαυσα τοὺς βινουμένους τὸν γρύπον ἐξαλείψας. Ar. Suid

289 Βῖνος: ὄνομα θεᾶς.

290 Βιοδώρα: ἡ γῆ. Δ

291 Βίολα: πέδιλα, ὑποδήματα. Σ

292 Βίος: σημαίνει δ' παροξυτόνως. Βιὸς δὲ τοῦ τόξου ἡ νευρά. Δ

293 Βίος: ποτὲ μὲν ἡ οὐσία τῶν κτημάτων, ποτὲ δὲ αὐτὸ τὸ ζῆν. καὶ παροιμία· Βίον μεμαγμένον, ἐπὶ τῶν εὐδαιμονιζόντων ἐπὶ Prov.

279 cf. Io. Antioch. fr. 214, FHG 4, 620 280 Harp. cf. Sabb.; Dem. 21, 44 284 = Lex. Rom. Barocc. 285 — ἀγγεῖον = Ambr. 439, Ps. Herodian. 6 cf. Ambr. 505 Κῦρος—οἴνου Xen. An. 1, 9, 25 = EV 2, 65, 21—2 vs. 15 βίκος sq. cf. Ambr. 439 286 cf. Ambr. 443, 462 287 — συνουσιάζειν = Et. M. 197, 47, Ambr. 514, sch. Ar. Ran. 740 ἀδὺ sq. Anth. 5, 28, 1—2 288 βινεῖν alt.— διαλελημμένον Ar. Eccl. 1090; εἶτα—κατέπτατο Ar. Av. 796; ὥστ'—ἐκωμῳδεῖτο Ar. Lys. 1091—2 c. sch. 289 cf. Ambr. 480 291 = Ba 179, 27 cf. Et. M. 196, 34 e Panyasi 292 — παροξυτόνως = Gramm. gr. 1, 3, 162, 3 cf. Et. M. 198, 13 βιός sq. = Ambr. 438, Ps. Herodian. 173 cf. Philop. diff., H, Ap. S. 51, 18, sch. Δ 125, Et. M. 198, 22, Orion. 31, 1 293 — ζῆν Artem. 4, 32 vs 31 βίον—p. 472, 1 βίῳ = Miller, Mél. 383

279 cf. v. Λίγγις 281 Z 389 283 καί sq. ex v. Δ 905 284—5 Z 388 288 καὶ αὖθις sq. ex v. Γ 467 290 cf. v. ζείδωρον 291 Z 389 292 cf. 312 293 Artem. Z 388. Prov. cf. 295 et v. A 1183

11 καί—12 διέπεσεν om. FV 284 om. A 15 καί—16 σπέρμα om. FV A(GITFVM) 286 ex $A^{ms}I^{ms}M$ 24 καὶ αὖθις—25 ἐξαλείψας ex M 25 γρύπον v. Γ 467: lac. in M 289 ex $A^{ms}I^{ms}M$ 26 Βῖνος AM Βῖμος I Βίνις Ambr.

πολυτελεῖ καὶ ἡδεῖ βίῳ. καὶ παροιμία· Βίον ἀληλεσμένον, ἐπὶ τῶν ἐν ἀφθονίᾳ τῶν ἐπιτηδείων ὄντων.

E 294 Βίος· ἐκ τῶν Φίλωνος. ὅτι ἡ τοῦ Χριστοῦ ἐκκλησία δύο βίους νομοθετεῖ καὶ τρόπους, τὸν μὲν ὑπερφυῆ καὶ τῆς κοινῆς καὶ τῆς ἀνθρωπίνης πολιτείας ἐπέκεινα, οὐ γάμους, οὐ παιδοποιΐας, οὐ περιουσίας ὕπαρξιν παραδεχόμενος, ἀλλ' ὅλον διόλου τῆς κοινῆς συνήθους τῶν βιωτικῶν ἀνθρώπων ἀγωγῆς παρηλλαγμένος. καὶ μετ' ὀλίγα· ὁ δὲ δεύτερος καὶ ὑποβεβηκὼς ἀνθρωπινώτερος καὶ τοῦ πρώτου λίαν ἀσύγκριτος, ὃς καὶ γάμοις συγκατιέναι σώφροσι καὶ παιδοποιΐαις, οἰκονομίας τε τῆς κατὰ τὸ δίκαιον ἐπιμελεῖσθαι καὶ στρατευομένοις τὰ πρακτέα ὑποτίθεσθαι, ἀγρῶν τε καὶ ἐμπορίας καὶ τῆς ἄλλης πολιτικωτάτης ἀγωγῆς μετὰ τοῦ θεοσεβοῦς φροντίζειν, οἷς καὶ ἀσκήσεων καιροὶ μαθητείας τε καὶ τῶν θείων λογίων ἀκροάσεως ἀφωρίσθησαν, καὶ δεύτερος εὐσεβείας ἀπενεμήθη βαθμὸς, κατάλληλον τῷ τοιῷδε βίῳ παρέχων τὴν ὠφέλειαν. τοῦ ἁγίου Ἀθανασίου. δύο εἰσὶν ὁδοὶ ἐν τῷ βίῳ καὶ δύο πολιτεῖαι, ἡ μὲν μετριωτέρα καὶ βιωτικὴ φέρουσα καρπὸν ἐν λ', ἡ δὲ ἀγγελικὴ καὶ ἀποκόσμιος φέρουσα καρπὸν τὸν τέλειον ἐν ρ'. ὡσαύτως καὶ ὁ παλαιὸς βίος εἰς δύο διῃρεῖτο, εἰς τὸν Φαρισαϊκὸν καὶ ὑψηλὸν καὶ εἰς τὸν ὑποδεέστερον τὸν κοσμικόν. κατὰ

Phil. δὲ φιλοσόφους βίων αἱρέσεις τρεῖς ἠθικαί·



Σ? 295 Βίος ἀκανθώδης: ὁ τραχὺς καὶ σκληρὸς, ὁ παλαιός. καὶ Βίος ἀληλεσμένος, ὁ εὐχερὴς καὶ ἡδύς. ἐπὶ τῶν ἐν ἀφθονίᾳ

Prov. τῶν ἐπιτηδείων ὄντων. καὶ Βίος ἐξηυλημένος, ἐπὶ τῶν ἀχρήστων. ἐκ μεταφορᾶς τῶν ἀχρείων αὐλῶν. καὶ Βίος μεμαγμένος, ἐπὶ τῶν ἐξ ἑτοίμου καὶ ἀπόνως τρεφομένων.

Soph. 296 Βιοστερῆ: ἐνδεᾶ. κἀπὶ προσπόλου μιᾶς βιοστερῆ χωροῦντα.

Σ 297 Βιοτὴ καὶ Βίοτος: ζωὴ, καὶ τὰ πρὸς τὸ ζῆν· καὶ ἡ οὐσία.

Anth. ἐν Ἐπιγράμμασιν· Ἑλλήνων βιοτῇ δεύτερον ἠέλιον.

Δ 298 Βιοτεύω, Βιοτεία καὶ Συμβιοτεύω.

293 βίον sq. cf. ad v. A 1183 294 — κοσμικόν Georg. 334, 7, 14—19, 335, 7—24, 336, 6—8 (ex Euseb. h. e. 2, 17—18 et Athanas. PG 26, 1173 c) 295 vs. 23 ἐπί—ὄντων cf. ad 293 vs. 24 βίος—25 αὐλῶν = Zen. II 64; vs. 25 βίος sq. = Paroem. ed. Gsf. 27, n. 259 296 κἀπί sq. Soph. OC 746—7 297 — οὐσία = Ba 179, 29; βιοτή—ζωή cf. Ambr. 472, Ps. Herodian. 330, H; βίοτος—ζῆν = Ap. S. 51, 23 cf. H, Et. M. 198, 32, sch. α 287, sch. Ap. Rh. 1, 272, Ambr. 432 Ἑλλήνων sq. Anth. 7, 6, 2 298 Βιοτεύω = Ambr. 512; βιοτεία = Ambr. 486

294 cf. v. Εὐσέβιος 2. Athan. hinc v. ὁδοί 295 cf. 293 et v. A 1183

A(GITFVM) 3 Φίλωνος] Εὐσεβίου τοῦ Παμφίλου καὶ οὐχὶ Φίλωνος add. rec. in mg. A δύο om. A 8 ἀνθρωπινώτερος F Georg. ἀνθρωπινώτερον TV ἀνθρωπινώτατος rell. 10 τῆς] ταῖς GI¦T 19 κατά—21 λογική mg. AIV, sed κατά—ἠθικαί IV iterum in textu; θεωρητική—λογική iterum in mg. GIT; schema om. M 20 ἠθικαί] ἠθική GI 21 θεωρητική] θεωρητικός G^{mg}I cp. AV κρητική F πρακτική] πρακτικός GI^{mg} λογική G textu, FM, λογικός $G^{mg}I^{mg}$ λογισμός AV 22 ὁ alt.] καί ed. pr. 27 χωροῦντα] χωροῦνται FVM 298 om. FV

299 Βιοῦται: ἀντὶ τοῦ ζῇ ἢ ζήσεται. οὕτως Ἡρόδοτος. Σ
300 Βιῶναι: ζῆσαι. Σ
301 Βιώνης: ὁ τὰ δημόσια ἀγοράζων. Σ
302 Βιῶνται: μετὰ βίας εἰσελεύσονται. προδήλου δ' οὔσης τοῖς E
Καρχηδονίοις τῆς τῶν ἐχθρῶν ἐπιβουλῆς, ὅτι βιῶνται διὰ τοῦ πτώματος τοῦ τείχους, παρεσκευάζοντο πρὸς τὴν χρείαν.
303 Βιώσιμος: ἐλπίδα ἔχων τοῦ ζῆσαι. ὁ δὲ ἀνέβλεψέ τε καὶ ἔφη, E
ὅτι βιώσιμος εἴη.
304 Βιώσιμος: ὁ ζῆσαι ἐν βίῳ δυνάμενος.
305 Βιώτω: ζησάτω. Σ
306 Βίρρον: ἱμάτιον Ῥωμαϊκόν.
307 Βιστάκια: τὰ παρ' ἡμῖν πιστάκια λεγόμενα.
308 Βιστονία: ἐπίθετον τῆς γεράνου. ἁρπάκτειραν ἐρύκων σπέρ- Anth.
ματος ὑψιπετῆ Βιστονίαν γέρανον.
309 Βιτέλλιος, βασιλεὺς Ῥωμαίων, ὁ Γάλβαν διαδεξάμενος, πᾶν E
αἶσχος ἀναδεδεγμένος ἔν τε τοῖς ἄλλοις τοῖς κατὰ τὸν βίον καὶ οὐχ ἥκιστα τῷ κατὰ γαστρὸς ἀκρατῶς τε καὶ ἀκορέστως ἔχειν. πολλάκις γὰρ οὐ μόνον τῆς ἡμέρας, ἀλλὰ καὶ τῆς νυκτὸς εἶτον ᾐρεῖτο καὶ παρὰ τὰς δείπνων παρασκευὰς τὸ πολὺ τῶν δημοσίων ἀπετρύετο. δέκα γὰρ δὴ μυριάδας ἀργυρίου ἐπὶ δισχιλίαις καὶ φ' ἐς τὰ δεῖπνα δεδαπανηκέναι ἱστόρηται, συνεχῶς μὲν καὶ ἁπλήστως ἐμφορούμενος, συνεχῶς δὲ ἅπαντα ἀπερευγόμενός τε καὶ ἐξεμῶν. ᾧ δὴ καὶ μόνῳ διεγένετο, ἐπεὶ οἵ γε σύσσιτοι αὐτοῦ καὶ πάνυ κακῶς εἶχον. Βέβιος γοῦν Κρίσπος διὰ νόσον χρόνου τινὸς ἀπολειφθεὶς τοῦ συμποσίου μάλα στωμύλως ἔφη· εἰ μὴ ἐνενοσήκειν, ἀπολόμην ἄν. ἐς τόδε γοῦν καὶ τὸ παρὰ τῷ ἀδελφῷ δεῖπνον τοῦ Βιτελλίου ἐπίσημον γεγονὸς διαμνημονεύεται· καθ' ὅ φασι δίχα τῆς λοιπῆς πολυτελείας δισχιλίους μὲν ἰχθῦς, ἑπτακισχιλίους δὲ ὄρνις ἐπὶ τὴν θοίνην παρενεχθῆναι. ἐπήνει δὲ καὶ τὰ Νέρωνος καὶ τὸν νεκρὸν τοῦ Νέρωνος ἐς κοῖλόν τινα καὶ ἀφανῆ τάφον κατακείμενον ἀπεσέμνυνε. πρὸς δὲ τῶν στρατηγῶν Οὐεσπασιανοῦ, μεταποιουμένου τῆς βασιλείας ἤδη, κατακτείνεται.
310 Βίτιννα· σάνδαλα μὲν τὰ ποδῶν θαλπτήρια ταῦτα Βίτιννα, Anth.
εὐτέχνων ἐρατῶν σκυτοτόμων καμάτων.

299 Ἡρόδοτος 2, 177, 2 300 = Ba 179, 31, Σ^{e}, H, sch. K 174, Et. Gen. 301 = Ba 180, 1, H 302 προδήλου sq. [Polyb.] fr. 121 303 ὁ sq. Aelian. fr. 42 (falso Dam. fr. 120) 305 = Ba 180, 2, sch. Θ 429, Et. M. 198, 47 cf. H 307 cf. Ath. 14, 649e 308 ἁρπάκτειραν sq. Anth. 7, 172, 1—2 309 Eutrop. p. 129 cf. Io. Antioch. fr. 97, FHG 4, 577 = EV 1, 184, 27—185, 16; Cass. D. 65, 2—3 cf. de Boor Byz. Zt. 23, 20 310 Anth. 6, 206, 1—2

299 Z 389 301 Z 388 302 Z 390 306 cf. v. ἐφεστρίς. Z 389 307 Z 389 308 hinc v. Γ 181. Anth. cf. v. φῆρας 309 cf. v. A 3089 et v. ᾐρεῖτο. Z 388 310 cf. v. θαλπτήρια

19 παρά] περί E^{ec} Dr. 25 ἀπολόμην] ἀπωλόμην M 30 τῶν στρατηγῶν AVA(GITFVME) τὸν στρατηγόν GIT τῶν στρατιωτῶν M 33 εὐτέχνων] εὐτέχνως M

Anth. 311 Βιττίον· τῆς πέζης τὰ μὲν ἄκρα τὰ δεξιὰ Βιττίον εἰργάσατο. πέζα γὰρ ὕφασμα.

Hom. 312 Βιοῖο: τῆς τοῦ τόξου νευρᾶς.

Δ 313 Βλάβη· καὶ Βλάβος, οὐδετέρως. τὸ ἁμάρτημα. Ἀριστο-
Ar. φάνης Βατράχοις.

Σ 314 Βλάξ: μαλακὸς, χαῦνος· ἐκλελυμένος· ἢ μωρός.

Δ 315 Βλάκα· αἰτιατική. τὸν εὐήθη καὶ ἀνόητον. εἴρηται δὲ ἀπὸ
Σ ἰχθύος τινὸς, ὁμοίου σιλούρῳ, ἀχρήστου δὲ οὕτως ὡς μηδὲ κύνα αὐτῷ χρῆσθαι. Πολιτείας δ΄· βλακικόν τε ἡμῶν τὸ πάθος. ὡς εἴ τις τις πνευμονίαν ἀπὸ τοῦ θαλαττίου ζῴου ὄντος ἀναισθήτου. οἱ δ' ἀπὸ τοῦ πρὸς τῇ Κύμῃ χωρίου τῆς Βλακείας, οὗ μνημονεύει καὶ Ἀριστοτέλης. καὶ ἐν Ἀλεξανδρείᾳ δὲ τέλος τι βλακεννόμιον, ὃ οἱ
Ε ἀστρολόγοι τελοῦσι, διὰ τὸ τοὺς μωροὺς εἰσιέναι πρὸς αὐτούς. ἐλι-
Δ νύοντα καὶ βλακεύοντα κλάειν ἐῶσι. καὶ ἡ αἰτιατικὴ τῶν πληθυν-
Σ τικῶν βλάκας. ἔστι δὲ μωρός τις μὴ εἰδὼς τὰ πράγματα διακρῖναι.

Σ+Δ 316 Βλακεύεται καὶ Βλακεύει: μαλακίζεται. Δαμάσκιος· καὶ παροξύνων τῷ λόγῳ τοὺς ἐν ἔργῳ βλακεύοντας. οὐδεμιᾶς γοῦν ἐτίθετο κακίας ἐλάττω τὴν ῥᾳθυμίαν, ἁπασῶν δὲ σχεδὸν τὴν μεγί-
Ε στην. καὶ Ξενοφῶν· εἴ τις αὐτῷ δοκοίη τῶν πρὸς τοῦτο τεταγμένων βλακεύειν, ἐκλεγόμενος τὸν ἐπιτήδειον ἔπαιεν ἂν τῇ βακτηρίᾳ.

Σ 317 Βλακεία: ὑπεροψία, μωρία. οἱ στράτορες τριώβολον ἐλάμ-
Ar. βανον βλακείας χάριν.

318 Βλακεία: ῥᾳστώνη, ἔκλυσις, χαυνότης. οὐ γὰρ στρατηγῶν
Ε βλακείαις ἢ φιλοψυχίαις τὰ πράγματα ἐπέτρεψεν, ἀλλ' αὐτὸς ἐπὶ τὸν πόλεμον ἑαυτὸν ἀναδείξας στρατηγὸν ἐξώρμησεν.

Ar. 319 Βλακικῶς: ἀντὶ τοῦ βραδέως. ὡς βλακικῶς διακονεῖς.

311 — εἰργάσατο Anth. 6, 286, 1—2 312 sch. A 49 cf. H 313 — οὐδετέρως cf. Thom. 53, 6, Bk. 85, 26, Moeris 193, 1, H; βλάβος, οὐδετέρως = Ambr. 563 τό sq. sch. Ar. Ran. 1151 314 — χαῦνος cf. sch. Pl. Gorg. 488 a, Et. M. 199, 1; ἐκλελυμένος cf. Phryn. 53, 19; μωρός = Ba 180, 11, H 315 τὸν εὐήθη—vs. 13 αὐτούς = Et. M. 198, 57 + 199, 13 e Lex. rhet. cf. Erotian. et sch. Pl. Polit. 307 c (Boetho attr. Cohn, Jahns Jb. Suppl. 13, 798); — χρῆσθαι = Ba 180, 4, Σ° cf. Eust. O. 1405, 34, H v. βλακεύειν, Erotian.; ἀνόητον cf. sch. Luc. 255, 9; Pl. Rep. 432 d; Aristot. fr. 482 ἐλινύοντα—ἐῶσι fort. Aelian. cf. hist. an. 4, 43 vs. 15 μωρός sq. = Ba 180, 10 316 Βλακεύεται + μαλακίζεται = Ba 180, 13; βλακεύει cf. H vs. 16 καί—18 μεγίστην Dam. fr. 237 cf. Phot. bibl. 350 a 4—5 εἴ sq. Xen. An. 2, 3, 11 317 — μωρία = Ba 180, 12 cf. sch. Ar. Pl. 325; l. = Ambr. 557 οἱ sq. sch. Ar. Ran. 140 319 Ar. Av. 1323 c. sch.

311 cf. v. πέζα 312 cf. 292 313 Z 393 314—5 Z 390 315 hinc v. σίλουρος fin. 316 Z 394; Xen. cf. v. ἐπιτήδειος 1 317 cf. v. κατεβλακευμένως, v. ὀβολοῦ, v. τριωβολιμαῖος, v. φεῦ 317—8 Z 392 319 Z 395

A(GITFVM) 7 αἰτιατική om. GT ss. I 8 οὕτως AVM: ὄντος GITF Et. οὗτος Ba, Σ°, τοσοῦτον sch. Pl. 21 στράτορες M στράτωρες V στρατρ AGIT στρατιῶτας F, στρατηγοί v. τριωβολιμαῖοι, στρατηγῶν v. ὀβολοῦ et v. φεῦ 24 φιλοψυχίαις] μικροψυχίαις GIT

320 Βλάνων: ὄνομα κύριον. μόλις δὲ τῶν Καρχηδονίων ἀπὸ τῆς καταπλήξεως ἀναλεξαμένων, μόνος ὁ Βλάνων καλούμενος οἰκείαν τῆς περιστάσεως φωνὴν προέμενος εἶπεν. Suid.

321 Βλάπτω· αἰτιατικῇ. Synt.

322 Βλάστη: βλάστημα. καὶ ἡ αἰτιατικὴ τὴν βλάστην. Δ

323 Βλάσφημος: ὁ εἰς θεὸν ἐξυβρίζων. Βλασφημῶ αἰτιατικῇ συντάσσεται. Ἀππιανός· οἱ δὲ ἐβλασφήμουν αὐτὸν ὡς κακῶς ἐπὶ τρισὶν ἀνδράσι τὰ πάντα θέμενον. Δ? E

324 Βλαύτη: εἶδος ὑποδήματος. Σοφοκλῆς· σπεύδειν ἀπὸ ῥυτῆρος, τουτέστιν ἀπὸ βλαύτης· ὡς ἕκαστος ἔχει σχήματος. καὶ αὖθις· ὁ σκήπων καὶ ταῦτα τὰ βλαυτία, πότνια Κύπρι, ἄγκειται κυνικοῦ σκῦλα Ποσωχάρεος. Soph. Anth.

325 Βλαυτίοις: σανδαλίοις. Ἀριστοφάνης· ὅπερ πίνων ἀνὴρ πέπονθ', ὅταν χεσείῃ, τοῖς τρόποισι τοῖς σοῖσιν ὥσπερ βλαυτίοις χρήσομαι. ἐπειδὴ εἰώθασιν οἱ πίνοντες τοῖς τῶν ἄλλων ὑποδήμασι χρῆσθαι, εἰ ἐπείγοιντο πρὸς λάσανον. λάσανα δὲ οἱ χυτρόποδες, τὰ μαγειρεῖα, ἔνθα τῇ βουλῇ σκευάζεται μετὰ τὰς θυσίας κρέα. Δ + Ar.

326 Βλαῖσος: ὄνομα κύριον. ὑπάτῳ δὲ ἦκτην Ἰούνιος Βλαῖσος καὶ Λεύκιος καὶ ζήτει ἐν τῷ Ἀπίκιος Μάρκος. Suid.

327 Βλαισός: παραλυτικός. διαφέρει βλαισὸς καὶ ῥαιβός, ὁ μὲν ἀπὸ τῶν γονάτων διεστραμμένος τοὺς πόδας, ὁ δὲ αὐτὰς τὰς κνήμας. πολλάκις ἐν θυμέλῃσι καὶ ἐν σκηνῇσι τεθηλὼς βλαισὸς Ἀχαρνείης κισσὸς ἕρεψε κόμην. καὶ Βλαισοπόδης, βάτραχος. Σ Anth. Δ

328 Βλεπεδαίμων: ὁ διεστραμμένος τὰς ὄψεις καὶ οἷον ὑπὸ δαίμονος πεπληγώς. Σ

329 Βλέπειν γὰρ ἄντικρυς δόξεις μ' Ἄρη: ἐπὶ τῶν ὑπισχνουμένων παντὶ σθένει πράττειν καὶ συνάρασθαι πρὸς βοήθειαν. δόξεις με, φησίν, Ἄρεα ὁρᾶν κατορθωτικὸν καὶ πρακτικόν. Ar.

320 — κύριον = Ambr. 536 cf. 538 321 = Synt. Laur. 322 cf. H 323 οἱ sq. App. Reg. fr. 7 324 — σχήματος Soph. OC 900 c. sch.; — ὑποδήματος cf. sch. Pl. Symp. 174a ὁ sq. Anth. 6, 293, 1—2 325 — σανδαλίοις cf. Poll. 7, 87, H v. βλαύρια, Ambr. 564 ὅπερ—χρῆσθαι Ar. Eq. 888—9 c. sch.; λάσανα sq. sch. Ar. Pac. 893 327 — παραλυτικός = Ba 180, 3, Lex. rhet. ap. Et. M. 199, 23, Ambr. 527, H v. βλεσός. διαφέρει—κνήμας cf. Etym. ap. Et. M. 199, 24, Poll. 2, 192—3 πολλάκις—κόμην Anth. 7, 21, 3—4 328 = Paus. Att. fr. 209 ap. Eust. I. 206, 27 329 Ar. Pl. 328 c. sch.

320 ex v. A 1935 323 Z 391 324 cf. v. σπεύδειν Z 392 325 cf. v. λάσανα et v. χεσείω 326 ex v. A 3213 327 hinc v. ῥαιβός; Anth. cf. v. A 4675 et v. θυμέλη 2 328 Z 391

320 om. FV post 325 A 5 βλάστημα om. GIT 6 βλασφημῶ—8 θέμενον A(GITFVM) om. GT 7 συντάσσεται] σύνταξις V om. I 10 ἕκαστος om. FV, v. σπεύδειν 11 σκήπων AGTM^{ac} σκῖπων FVM^{ec} cf. Anth. σκήπτων I ἄγκειται AF Anth. ἔγκειται GITM ἔγκυται V post 324 καὶ Συνέσιος· βλαύτης Ἀττικῆς ἀκριβέστερ⟨ον⟩ add. T; Synes. enc. calv. PG 66, 1192a 325 non nov. gl. A 326 ex AM 26 δόξεις GIT Ar. δόξης rell. 28¦ καὶ πρακτικόν om. A

Soph. 330 Βλέποντες: ἀντὶ τοῦ ζῶντες. οὕτως Σοφοκλῆς· οἱ δ' αὖ γελώντων κἀπιχαιρόντων κακοῖς τοῖς τοῦδ'. ἴσως τοι, κεἰ βλέποντα μὴ 'πόθουν, θανόντ' ἂν οἰμώξειαν ἐν χρείᾳ δορός.

Ar. 331 Βλέπος· Ἀριστοφάνης Νεφέλαις· ἐπὶ τοῦ προσώπου ἐστὶν Ἀττικὴ βλέπος. ἀντὶ τοῦ κακοῦργον βλέμμα καὶ δραστικόν. οἱ γὰρ Ἀττικοὶ ἐπὶ ἀναιδείᾳ διεβάλλοντο.

Ar. 332 Βλέποι: ἀντὶ τοῦ βλέμμα. οὕτως Ἀριστοφάνης.

Suid. 333 Βλεῖο: εὐκτικῶς. καὶ ζήτει τὸν κανόνα ἐν τῷ ἐμπλείμην.

Δ 334 Βλήδας: ὄνομα Σκύθου.

Prov. 335 Βλήτυρι: οὕτω λέγουσι καὶ σκινδαψόν. εἰσὶ δὲ παραπλήρωμα λόγων μὴ ἔχοντα λόγον. Ἰόβας δὲ τὸν σκινδαψὸν ὄργανον μουσικὸν ἀποδίδωσι, τὸ δὲ βλίτυρι χορδῆς μίμημα.

Δ+Σ 336 Βληχὴ καὶ Βληχήματα: φωναὶ προβάτων. καὶ Βληχώ-

Ar. μενοι παρὰ Ἀριστοφάνει ἐν Πλούτῳ· τουτέστι ποιᾷ φωνῇ χρώμενοι. βληχᾶσθαι γὰρ τὸ τὰ προβάτια ποιᾷ κεχρῆσθαι φωνῇ. καὶ αὖθις· βληχὴ τὰ τέκνα καὶ οὐδαμῶς τοῦ τρόπου.

337 Βληχώδης: πρόβασι τὸν νοῦν ὅμοιος. μωρὸς δὲ ποιμὴν καὶ τὰ πάντα βληχώδης πέμπειν ἔμελλεν.

Σ 338 Βλήχων: ἡ γλήχων. οὕτως λέγεται παρὰ Ἀττικοῖς. ἔστι δὲ εἶδος βοτάνης. καὶ τὸ ἐφήβαιον Ἀριστοφάνης οὕτως ὀνομάζει.

Ar. 339 Βληχωνία· Ἀριστοφάνης· ἆρ' οὖν βλαβῆναι διὰ χρόνου τί σοι δοκῶ, ὦ δέσποθ' Ἑρμῆ, τῆς Ὀπώρας κατελάσας; οὔκ· εἴγε κυκεῶνος ἐπιπίοις βληχωνίαν. σχόλιον· καὶ γὰρ οἱ διὰ χρόνου ἐσθίοντες ὀπώραν πολλὴν βλάπτονται καὶ οἱ συνουσιάζοντες συνεχῶς. ἐπεὶ οὖν ἐδόκει ἡ Ὀπώρα καὶ πόρνη, πρὸς ἀμφότερα ἔπαιζε. διὰ τοῦ β βληχωνίαν. οἱ δὲ πολλὴν ὀπώραν ἐσθίοντες, ἐὰν βληχωνίαν πίνωσιν, οὐ βλάπτονται, διὰ τὸ ὑπὸ τοῦ ὀποῦ κατεσθίεσθαι τὴν καρδίαν. ἵνα οὖν ἡ δριμύτης ἀποστυφῇ, βλήχωνος ἐλάμβανον. καὶ Βληχωνίας, κυκεών.

330 Soph. Ai. 961—3 c. sch. 331 Ar. Nu. 1176 c. sch. 332 sch. Ar. Nu. 1176 333 — εὐκτικῶς = Ambr. 569 335 cf. Paroem. ed. Gsf. 23, n. 237, Et. M. 201, 1, 44, H; — σκινδαψόν pr. cf. Artem. 4, 2 (p. 203 fin.), sch. Greg. PG 36, 1168 a; σκινδαψὸν ὄργανον cf. Ath. 4, 183 a; Iubae fr. 78, FHG 3, 482 336 Βληχή + φωναὶ προβάτων cf. sch. μ 266, Et. M. 200, 16, H, Ambr. 554; βληχήματα—προβάτων = Σ^{e} cf. Ba 180, 14, H βληχώμενοι—φωνῇ sch. Ar. Pl. 293; vs. 16 βληχή sq. Eup. fr. 103, 2 e sch. Ar. Nu. 1001 337 μωρός sq. Babr. 93, 5—6 338 — ἐφήβαιον = H cf. sch. Ar. Lys. 89, Ach. 874, Phryn. 53, 16, Thom. 53, 7, Greg. Cor. p. 40; Ἀριστοφάνης Lys. 89 339 Ar. Pac. 710—12 c. sch. cf. Zacher, Jahrb. cl. Philol. Suppl. 16, 731 sq.

331 cf. v. τί λέγεις cu 332 Z 393 333 ex v. ἐμπλείμην 334 cf. v. Zέρκων. Z 391 335 hinc 346; cf. v. σκινδαψός. Z 393 336 Eup. cf. v. τοῖς Ἱπποκράτους et v. ὑώδεις 337 Z 391 338 cf. v. Γ 287. Z 391—2 339 cf. v. Δ 843

A(GITFVM) 4 ἐστιν] σιν A 7 Βλέποι] Βλέπος pr., Zon. 333 om. GTFV 10 Βλήτυρι] Βλίτυρι GTM^{oo} Βλύτυρι I 11 ἔχοντα A^{op}GIT ἔχοντες F ἐχόντων VM 12 βλίτυρι] βλήτυρι FVM 15 προβάτια] πρόβατα V 18 πέμπειν] καὶ π. FV 19 ἡ] ὁ GIT 23 σχόλιον mg. A 25 ἐδόκει ἡ Ὀπώρα] ἡ Ὀ. ἐδόκει FV 28 βληχωνίας] βληχωνίαν GV

340 Βληχρόν: ἀσθενὲς παρὰ Ὁμήρῳ καὶ Ἀλκαίῳ· Πίνδαρος δὲ τὸν ἀντὶ τοῦ ἰσχυροῦ αὐτὸ λέγει. Σ

341 Βλιμάζειν: κυρίως τὸ τοῦ ὑπογαστρίου καὶ τοῦ στήθους ἅπτεσθαι· ὅπερ ἐποίουν οἱ τὰς ὄρνιθας ὠνούμενοι· οἱονεὶ θλιμάζειν. οἱ δὲ βλιμάζοντες, ἀντὶ τοῦ κακοῦντες. ἀποτίλλουσι γὰρ καὶ κατεσθίουσι. Βλιμάζειν, τὸ ταῖς χερσὶ διαθλίβειν. καὶ τὸ τὰ κηρία θλίψαι βλίσαι λέγεται. καὶ Βλιμάζων, ἀποστάζων τὸ μέλι τοῦ κηρίου. καὶ Βλιμάττομεν, ψηλαφῶμεν, ἐπιθυμοῦμεν. Ar. Harp Σ Ar.

342 Βλιτάδας οἱ παλαιοὶ τὰς εὐτελεῖς γυναῖκας. Σ

343 Βλίττειν: ἀφαιρεῖν τὸ μέλι ἀπὸ τῶν κηρίων. πειράζειν. καὶ τὸ ψηλαφᾶν. καὶ τὸ ἐκπιέζειν τὰ κηρία τῶν μελισσῶν. θλίβειν. ἀλλὰ καθείρξας αὐτὸν βλίττεις. οὕτως Ἀριστοφάνης. Ar.

344 Βλιττομάμμας· καί σε καλοῦμεν βλιττομάμμαν. τουτέστι μωρόν. καὶ γὰρ τὸ βλίττον μωρόν ἐστι λάχανον. Ar.

345 Βλίτος: εἶδος βοτάνης. Δ

346 Βλίτυρι: χορδῆς μίμημα. Suid.

347 Βλοσυρός: ἀξιωματικὸς, καταπληκτικὸς, φοβερὸς, σεμνός. Σ

348 Βλωθρή: χλωρὰ, ἁπαλὴ, εὐαξής. οὐκέτι συρίττων νόμιον μέλος ἀγχόθι ταύτας ἁρμόσῃ βλωθρᾶς, Θηρίμαχε, πλατάνου. Σ Anth.

349 Βλύζει· αἰτιατικῇ. Synt.

350 Βοανεργές: υἱοὶ βροντῆς. Δ

351 Λύσις ὀνείρου Νικηφόρου πατριάρχου ἰαμβικοί. Βόας θεωρεῖν εἰς καιρὸν πρᾶξιν φέρει. Νεκροὶ βόες δηλοῦσι τοὺς λιμοῦ χρόνους. On.

352 Βοάσομαι τὴν ὑπέρτατον βοάν· Ἀριστοφάνης. εἰ οὕτω, φησὶ Στρεψιάδης, ὁ παῖς ἐκπεπαίδευται, μέγιστον ὑπὸ τῆς χαρᾶς βοήσομαι. Ar.

353 Βόεια: μεγάλα. ῥήματ' ἂν βόεια δώδεκ' εἶπεν· Ἀριστοφάνης Βατράχοις. Ar.

340 = Lex. rhet. ap. Et. M. 200, 13 cf. Heraclid. Miles. in sch. Θ 178 = Eust. I. 705, 61; An. Ox. 1, 95, 8; — ἀσθενές = Ba 180, 15, H cf. Ambr. 552; ἰσχυροῦ cf. Bk. 322, 1; Ὁμήρῳ cf. ad v. A 58; Ἀλκαίῳ (lyr.) fr. 16; Πίνδαρος fr. 245 341 — κατεσθίουσι sch. Ar. Av. 530 cf. H, Et. M. 200, 37 βλιμάζειν alt. —λέγεται Harp. = An. Ox, 2, 491, 33 cf. sch. Ar. Eq. 794 βλιμάζων—μέλι cf. Ba 180, 16; Ambr. 574 = Ps. Herodian. 6 βλιμάττομεν sch. Ar. Lys. 1164 cf. Ambr. 566 342 cf. Men. com. fr. 955 343 Ar. Eq. 794 c. sch., Et. Gen.; — θλίβειν = Et. M. 200, 32; — κηρίων = H, Tim., sch. Pl. Rep. 564 e, Ambr. 575; πειράζειν—ψηλαφᾶν = Bk. 221, 16; τὰ κηρία sq. = Lex. Rhet. ap. Et. Gen. cf. Ambr. 578 344 Ar. Nu. 1001 c. sch. λάχανον cf. Et. M. 201, 41, An. Ox. 2, 184, 17, H, Phryn. 55, 7, Ps. Herodian. 7 347 = Ba 180, 17; καταπληκτικὸς, φοβερός = Σ^c, Et. M. 201, 6 cf. H; καταπληκτικός = Ambr. 531 cf. sch. H 212, Ap. S. 51, 27 348 — εὐαξής = Σ^c, Ba 180, 20; εὐαξής = H cf. sch. Π 483 οὐκέτι sq. Anth. 7, 174, 1—2 350 = Lagarde 188, 77 cf. Ambr. 764 = Ps. Herodian. 7, Lagarde 201, 49 cf. 176, 36 351 Astramps. 352 Ar. Nu. 1154 c. sch. 353 Ar. Ran. 924 c. sch.

340 cf. v. A 58 341 hinc v. A 3819, v. διαθλίβειν, v. θλίβειν, Z 394 342 Z 393 344 Z 391 346 ex 335 348 Z 393—4 350 Z 401 352 cf. v. ὑπέρτονον 353 Z 401

13 βλιττομάμμαν] βλιττομάμαν AGIT post 344 ἦν δὲ καὶ ἀρχαῖος μωρός· ὄνομα κύριον add. T A(GITFVM) post 345 ὅτι τὸ βλίττον μωρόν ἐστι λάχανον add. A 346 om. AGIT, ζήτει ἀνώτερον ss. M 19 ἁρμόσῃ] ἁρμόσει $V^{ac}M$

Hom. 354 Βοείας: βύρσας.

355 Βοαδρόμος: ὁ βοηθός. ὧδ' ὑπὲρ Ἀμβρακίας ὁ βοαδρόμος
Anth. ἀσπίδ' ἀείρας τεθνάμεν ἢ φεύγειν ἤθελεν.

Σ 356 Βοηδρομεῖν: μετὰ σπουδῆς παραγίνεσθαι· Κᾶρες δὲ ἀντὶ τοῦ
Ε βοηθεῖν. καὶ βοηδρομούντων ἐπὶ τοῦτο τῶν δημοτῶν, ἄλλος τις 5
παρὼν βάρβαρος ἔτρωσε τὸν ἕτερον ἐπιόντα, καὶ διεκέκριτο οὐδέν.

Harp. 357 Βοηδρομία· βοηδρομεῖν μὲν τὸ βοηθεῖν ὠνομάζετο, τουτέστιν
ἐπὶ μάχην δραμεῖν. ἔστι δὲ ἡ Βοηδρομία ἑορτή τις Ἀθήνησι καλου-
μένη, καθ' ἣν ἡμέραν ἐβοήθησεν ὁ Ξούθου σπουδῇ πολλῇ πολεμου-
μένοις Ἀθηναίοις ὑπὸ Εὐμόλπου τοῦ Ποσειδῶνος. Ἐρεχθεὺς δὲ τότε 10
Ἀθηναίων ἐβασίλευεν.

Σ? 358 Βοήθοον: ἀντὶ τοῦ ἐν μάχῃ ἔτρεχον. ἀλλ' οὐχὶ τὸ ἐβοήθουν,
Ar. τουτέστι συνεμάχουν. καὶ Βοηθεῖ· δοτικῇ. ἀντὶ τοῦ μάχεται.
ἐσμὸς γυναικῶν οὑτοσὶ θύρασι βοηθεῖ.

Synt. | 359 Βοηθῶ· δοτικῇ. καὶ Βοηθοίης, εὐκτικόν. 15
Suid. 360 Βόθυνος: εἶδος ἀστέρος. .ζήτει ἐν τῷ κομήτης.

Ar. 361 Βολβός· Ἀριστοφάνης· καταφαγὼν βολβῶν χύτραν. ἐπὶ τῶν
λαγνιστάτων. ἐπιτήδειοι γὰρ εἰς συνουσίαν οἱ βολβοί. ἔστι δὲ εἶδος
Δ ὀσπρίου, ἢ καὶ κρομμύου.

Σ 362 Βολεῶνας: οὕτως οἱ Ἀττικοὶ καλοῦσιν, οὗ ἡ κόπρος τῶν βοῶν 2
καὶ τῶν ὑποζυγίων καὶ τῶν προβάτων βάλλεται.

363 Βοήν: μάχην, καὶ μεγάλην φωνήν.

Harp. 364 Βόθυνος: τόπος τις ἰδίως οὕτω καλούμενος ἐν τῇ ἱερᾷ ὁδῷ,
οὗ μνήμην Ἰσαῖος καὶ Καλλισθένης ποιεῖται.

Σ | 365 Βολίς: βέλος, ἀκόντιον, λογχάριον. καὶ Βόλος, τὸ βαλλό- 25
Anth. μενον εἰς ἄγραν ἰχθύων. ἐν Ἐπιγράμμασι· Πίγρης μὲν πτανοῖσιν
ἐφεὶς βόλον, ἐν δ' ἁλίοισι Κλείτωρος, ἐν θηρσὶν Δᾶμις ἐρημονόμοις.
καὶ αὖθις· εὐστιβὲς αἰθύαις ἰχθυβόλοισι λέπας. καὶ Βόλος, ἐν Ἐπι-
γράμμασι· καὶ φελλὸν κρυφίων σῆμα λαχόντα βόλων.

354 sch. Λ 842 = H cf. Et. M. 203, 28 355 ὧδ' sq. Anth. 7, 231, 1—2 356 — βοηθεῖν = Et. M. 202, 42; παραγίνεσθαι = Ba 180, 21 H cf. Ambr. 784 357 Harp. = Et. M. 202, 44; — δραμεῖν = An. Ox. 2, 492, 1 358 βοηθεῖ sq. Ar. Lys. 353 c. sch. 359 — δοτικῇ = Synt. Laur., An. Ox. 4, 288, 16 361 — χύτραν Ar. Eccl. 1092; ἐπιτήδειοι—βολβοί sch. Ar. Eccl. 1092 εἶδος cf. Ambr. 608 362 = Et. M. 204, 25 cf. Harp., An. Ox. 2, 492, 3 363 cf. Apion, Et. M. 202, 25, H, Ap. S. 52, 21 364 Harp.; Isae. fr. 55; Callisth. fr. 45, FGrHist 124 365 — λογχάριον = Ba 180, 22, Σ^{c} cf. H Πίγρης—ἐρημονόμοις Anth. 6, 184, 3—4; εὐστιβές—λέπας Anth. 6, 23, 2; καὶ φελλόν sq. Anth. 6, 192, 6

355 Z 395 361 Z 396 363 Z 401 364 Z 395 365 Anth. 6, 23 cf. v. A 4240; Anth. 6, 192 cf. v. φελλός

A(GITFVM) 355 post 348 M 4 Κᾶρες δέ om. T, τραγικοὶ δέ Valck. 5 τοῦτο] τούτου M^{oc} τούτῳ pr. 11 Ἀθηναίων V Harp. Ἀθηναίοις F Et., Ἀθθ A^{cp} Ἀθηνῶν GITM 12 Βοήθοον] Βοήθεον pr. 359 om. FV post 357 AGIT 15 βοηθοίης M βοηθοίοις A βοηθείης GIT εὐκτικόν A εὐκτικῶς rell. 360 om. GFV 16 ζήτει—κομήτης om. T 19 ἢ—κρομμύου om. FV sed hab. Zon. 22 καί om. FV sed cf. Zon. 24 οὗ] οὗ καί V 27 Κλείτωρος FV Κλίτωρος rell. Κλείτωρ Anth. 28 καί pr.—p. 479, 6 νόμος om. GT καί pr.—29 βόλων om. add. καὶ τοὺς βολίτους ὑφελομένους κολάζει I cf. p. 479, 6 29 φελλόν A Anth. φελόν FV φελῶν M

366 Βόλιτος: Ἀττικοὶ οὕτω λέγουσι χωρὶς τοῦ β, ὅπερ ἡμεῖς βόλ- Ar.
βιτον. Ἀριστοφάνης· ἐτρεφέτην ἐν πᾶσι βολίτοις. τουτέστιν ἐν πάσῃ
τρυφῇ καὶ πᾶσιν ἀγαθοῖς. βολίτοις δέ, ὅτι περὶ βοῶν ὁ λόγος. οὕτω
δὲ λέγονται οἱ σπέλεθοι τῶν βοῶν.
367 Βολίτου δίκην: πρὸς τοὺς ἐπὶ μικροῖς δίκας ὑπέχοντας. ὁ Ar.
γὰρ Σόλωνος νόμος καὶ τοὺς βόλιτον ὑφελομένους κολάζει.
368 Βόλος: ἡ δρόσος. Δ
369 Βόλος ὁ κυβευτικὸς ἀγύρτης λέγεται. ζήτει ἐν τῷ ἀγύρτης. Suid.
370 Βομβάζειν: φθέγμα ἐπὶ τῷ διασύρειν καὶ τωθάζειν λεγόμενον.
371 Βομβάλβιοι: ἀντὶ τοῦ αὐληταί. τὸ δὲ βομβύλιος ἐν προσθέσει Ar.
τοῦ α εἶπε βομβαύλιος, παίζων παρὰ τὸν αὐλόν.
372 Βομβεῖ καὶ Περιβομβεῖ. Σιμοκάτης· ὡς δὲ τὸ Περσικὸν Δ + E
περιεβόμβει τρανέστερον, παρεδριμύττετο τὸ πολέμιον. Βόμβος Δ
δὲ ὁ ἦχος τῶν μελισσῶν. βόμβος, ψόφος τις.
373 Βόμβησεν: ἐψόφησέ πως. Δ
374 Βομβοῦσιν αἱ μέλισσαι, ὅταν τις προσίῃ μύρου ὄζων. Πολι- Σ
τείας θ′. καὶ οἱ περὶ τὴν Διονυσίου βομβοῦντες τράπεζαν καὶ περὶ E
τὴν Ἀλεξάνδρου μεμηνότες δαῖτα καὶ χεῖρα, καὶ ἄλλοι δὲ καὶ ἄλλοι
ὧν εἶπον, Ὀρέστης, Μαρψίας, Καλλίου τοῦ Ἀθηναίου κόλακες σὺν
ἑτέροις, καὶ ὅδε παρὰ Ῥωμαίοις Ἄλβιος ὄνομα.
375 Βομβυλιός: ζῷον, ἢ τὸ βησίον λεγόμενον. καὶ εἶδος μελίσσης, Σ
παρὰ τὸ βομβεῖν. ἐκ πηλοῦ τὰ κηρία πλαττούσης. Βομβυλιός Prov.
ζῷόν ἐστι παραπλήσιον μελίττῃ, ὠνομασμένον ἀπὸ τοῦ βόμβου, ὃν Harp
ἐκεῖνο βομβεῖ.
376 Βομβυλιός: εἶδος μελίσσης. καὶ εἴρηται παρὰ τὸ βομβεῖν. Σ
καὶ παροιμία· Βομβυλιὸς ἄνθρωπος, ἐπὶ τοῦ ἀκάρπου, παρόσον Prov.
καὶ βομβυλιός ἐστι μελίσσης εἶδος, ἐκ πηλοῦ πλαττούσης τὰ κηρία.
377 Βομβύλον: σκεῦος στρογγυλοειδές. Σ

366 — λόγος Ar. Ach. 1026 c. sch., sch. Eq. 658, Phryn. Ecl. 357, Moeris 159, 25, Thom. 55, 14; οὕτω sq. sch. Ar. Eq. 658 367 sch. Ar. Eq. 658 368 = Ambr. 598, Ps. Herodian. 7 371 sch. Ar. Ach. 866 372 Βομβεῖ cf. Ambr. 785, Ps. Herodian. 8 ὡς—πολέμιον Th. Simoc. 2, 2, 1 βόμβος—μελίσσῶν = Ps. Herodian. 8 cf Ambr. 613, 714, H; βόμβος alt. sq. = Et. M. 204, 43 cf. H 373 cf. Ap. S. 52, 23, H 374 Πολιτείας Pl. Rep. 9, 573a καὶ οἱ sq. Aelian. fr. 107 cf. Eupol. fr. 166 375 — λεγόμενον = Σ^{e}, Ba 180, 24; — ζῷον cf. Ath. 11, 784 d, H; εἶδος—βομβεῖν cf. Lex. rhet. ap. Et. Gen. = Et. M. 204, 54, sch. Ar. Ach. 866; sch. Ar. Vsp. 107, Bk. 220, 7 ἐκ—πλαττούσης cf. ad 376 vs. 22 βομβυλιός sq. Harp. cf. Bk. 220, 7, Ambr. 610 376 — βομβεῖν = Lex. rhet. ap. Et. Gen. cf. Erotian. et ad 375 βομβυλιὸς ἄνθρωπος sq. = Zen. II 80 377 = Ba 180, 25

368 hinc 483 extr. 369 ex v. A 388 370 Z 403 371 Z 396
374 Aelian. cf. v. διώνυμον 375—6 Z 396 377 Z 401

3 βοῶν] βολῶν FV 368 om. FVM 369 om. FV mg. A 8 ζήτει— ἀγύρτης om. GIT A(GITFVM) 10 Βομβάλβιοι] Βομβάλαιοι V Βομβάλβιος Zon. Βομβαύλιοι Ar. ἐν προσθέσει AV sch. ἐν προσθήκῃ M ἔμπροσθε I ἔμπροσθεν GTF 12 περιβομβεῖ] παραβομβεῖ FVM 14 βόμβος nov. gl. GITFVM 17 τήν] τόν A 18 καί sec.—22 πλαττούσης om. T 22 βομβυλιός nov. gl. GI(T)FV 25 Βομβυλιός —βομβεῖν om. TF

Σ 378 Βόμβυξ: βοοβοσκός.
379 Βονιφάτιος.
Δ 380 Βοοθύτης: ὁ τοὺς βόας βάλλων πελέκει.
Hom. 381 Βοὸς κέρας· Ὅμηρος· ἤτε κατ' ἀγραύλοιο βοὸς κέρας ἐμβεβαυῖα. κατεσκεύαζον γὰρ σύριγγα ἐκ κέρατος βοείου, ἣν περιετίθεσαν τῇ ὁρμιᾷ, ἵνα μὴ οἱ ἰχθύες ἀποτρώγωσι τὸ λίνον.
382 Βοοσφόριον.
ΔΣ 383 Βοῶμεν· δοτικῇ. ὁμόσωμεν. καὶ Βοώμενον, ἐπικαλούμενον.
Σ 384 Βοώνης: οὗτος παρὰ τῆς πόλεως ᾑρεῖτο, ἵνα βοῦς αὐτῇ πρίηται πρὸς τὰς θυσίας. ἦν δὲ λαμπρὸν τὸ βοώνην γενέσθαι, ἐπειδὴ στρατηγούς φασι βοώνας μάλιστα χειροτονεῖσθαι.
Σ Hom. 385 Βοῶπις: μεγαλόφθαλμος. εὐόφθαλμος.
Σ 386 Βοώτης: ἄστρον πλησίον τῶν Ἄρκτων. ὁ δ' αὐτὸς καὶ Ἀρκτοφύλαξ καλεῖται. ζήτει ἐν τῷ ἄρκτος.
Harp. 387 Βοώτης· αἱ μέγισται ἀρχαὶ παρὰ Ἀθηναίοις ἀπὸ τούτων ἐχειροτονοῦντο.
Ε 388 Βωτίαις· καί τινων βωτίαις ἐφεστώτων, τῶν δὲ ἄλλων τῶν περὶ βασιλέα τοῖς ἐρύμασι νενεμημένων. Κρίτων ἐν τοῖς Γετικοῖς.
Hdt. 389 Βοπόρους: παρὰ Ἡροδότῳ ὀβελοὺς μεγάλους.
Δ 390 Βορᾶς: βρώσεως ἢ τροφῆς. Βορρᾶς δὲ ὁ ἄνεμος, καὶ κλίνεται Βορρᾶ· ἡ εὐθεῖα τῶν πληθυντικῶν Βορραῖ.
Ε Δ ἐπιπνεύσαντες. καὶ Βορέας, Βορέου. καὶ Βορραίη. λαίλαπι
Anth. Βορραίῃ κλασθὲν ἐπέλεκε. ὅτι τὸν Βορέαν Ἀθηναίων σύμμαχον εἶναι νομί-
Suid. ζουσι· καὶ ζήτει τὸν τόπον, ἔνθα ὁ στόλος Ξέρξου ἐδυστύχησεν, ἐν τῷ ἀφέται.
Σ? 391 Βορβόροπιν: κῆπον. σημαίνει δὲ καὶ τὸ μόριον.
Ar. 392 Βορβοροτάραξι: Ἀριστοφάνης. ἀντὶ τοῦ ταραχωδέστατε· ταράττων ἡμῶν τὴν πόλιν καὶ θορυβῶν ὥσπερ βόρβορον· θορύβου
Prov. πληρώσας τὴν πόλιν καὶ βορβόρου. καὶ παροιμία· Βορβόρῳ ὕδωρ λαμπρὸν μιαίνων οὔποθ' εὑρήσεις ποτόν· ἐπὶ τῶν τὰ κάλ-

378 = Σ^{e} cf. Ba 180, 26 379 = Ambr. 623, Ps. Herodian. 8 381 Ω 81 c. sch. A cf. Ap. S. 52, 18 383 δοτικῇ = Synt. Laur. et Gud. βοώμενον sq. = Ba 181, 17 384 — θυσίας cf. Bk. 219, 22, Lex. Patm. BCH 1, 16 385 = H; — μεγαλόφθαλμος = Ba 181, 19, Ap. S. 52, 9 εὐόφθαλμος sch. A 551 = Et. M. 203, 55 386 — καλεῖται = Ba 181, 20 cf. sch. ε 272 387 Harp. 388 Crito. hist. fr. 3, FHG 4, 374 389 gl. Hdt. 2, 135 390 — τροφῆς cf. H, Et. M. 205, 5, Ambr. 716, Ps. Herodian. 7; Βορρᾶς—ἄνεμος cf. Ambr. 686, H, Ps. Herodian. 8 σκληροί—ἐπιπνεύσαντες Arr. An. 1, 26, 2 Βορέας = Ambr. 687 λαίλαπι—ἐπέλεκε Anth. 6, 245, 2 392 — βορβόρου sch. Ar. Eq. 309 βορβόρῳ—p. 481, 1 αἰσχίστοις = Zen. II 76; Aesch. Eum. 694—5

383 Z 403 384 cf. 387 386 Z 399 387 cf. 384 388 hinc v. ἐνεμημένων 390 Anth. cf. v. λαίλαψ; ὅτι sq. ex v. A 4591 391 cf. v. μυσάχνη. Z 396

A(GITFVM) 1 βοοβοσκός om. F, nov. gl. M 379 ex I (post 380), M^{ms} 6 τό] τόν M, sch. 382 ex I (post 379), M 13 Ἄρκτων] ἄστρων FVM 18 ἐρύμασι νενεμημένων GTM ἐρύμασι ἐνεμημένων AIV, s. v. ἐνεμημένων, ἐρύμασιν ἀνεμμένων F Γετικοῖς] Ἀττικοῖς A 23 κλασθέν om. V ἐπέλεκε GI^{ec}T ἐπέλεκεν AI^{ac}FM ἐπέλυκεν V ὅτι—24 ἀφέται om. TFV post 389 GI (ibidem repet. M), post 391 A 24 ἐδυστύχησεν] ἐδυστύχησας A 25 δέ om. AFM 26 Βορβοροτάραξι AM —ξε GITV—ξιν F Ἀριστοφάνης om. GIT 29 τά om. AI

λιστα μιγνύντων αἰσχίστοις. λύσις ὀνείρων· ἑκδηλός ἐστι βόρβορος ψυχῆς ῥύπος. ἰλὺν πεπλευκὼς τοῦ νοὸς νόει βλάβην. On.

393 Βορβορυγμός: ὁ ἦχος τοῦ ὕδατος ἐπιφερόμενος. ἡ φάρυγξ ἐκελάρυζε, καὶ πολὺς ἐν τῷ στόματι ἦν βορβορυγμός. E

394 Βορβορυγμός: ἦχος ἐκ τοῦ στόματος. σύνθημα δέ ἐστι ταῖς καμήλοις τὸ καθέζεσθαι ὁ τοιοῦτος ἦχος.

395 Βορραῖ· ζήτει ὀπίσω ἐν τῷ Βορρᾶς.

396 Βορίανθος: ὅτι βάρβαροί τινες κτείνουσι Βορίανθον τυραννήσαντα, ταύτῃ προσάγεσθαι τὸν τῶν Ῥωμαίων στρατηγὸν ἡγούμενοι εἰς εὔνοιαν. καὶ δὴ ἀφικόμενοι τῶν τοῦ Βοριάνθου αὐθεντῶν τινες ἆθλα τῶν περὶ τὸν ἄνδρα πεπραγμένων ἠξίουν παρὰ Σκιπίωνος κομίζεσθαι. ὁ δὲ Σκιπίων ἀποκρίνεται, μηδαμῶς εἶναι Ῥωμαίοις ἔννομον ἐν ἐπαίνῳ ποιεῖσθαι τὰς κατὰ τῶν στρατηγῶν τοῖς ἀρχομένοις ἐπιχειρουμένας ἐπιβουλάς.

397 Βορόν: βρωτικόν. ὀξυτόνως. Ἀριστοφάνης· μιαρὸν τὸ χρῆμα, κἄκοσμον καὶ βορόν. καὶ ὕδωρ βορόν, ἀγρυπνίη βορόν· ζήτει ἐν τῷ ὕδωρ βορόν. Σ Ar. Suid.

398 Βόσιν: τροφήν. Σ

399 Βοσκήσομεν: θρέψομεν. καὶ Βόσκουσαν, τρέφουσαν. Σοφοκλῆς περὶ Οἰδίποδος· ἀλλ' εἰ τὰ θνητῶν μὴ καταισχύνεσθ' ἔτι γένεθλα, τὴν γοῦν πάντα βόσκουσαν φλόγα αἰδεῖσθ' ἄνακτος ἡλίου, τοιόνδ' ἄγος ἀκάλυπτον οὕτω δείκνυται, τὸ μήτε γῆ μήτ' ὄμβρος ἱερὸς μήτε φῶς προσδέξεται. Δ Soph.

400 Βοσόρ: τὸ ἱμάτιον τὸ ἀπὸ κόκκου βεβαμμένον κατὰ Ἑβραΐδα διάλεκτον. Ecl.

401 Βόσπορος, πόλις περὶ τὸν Ἑλλήσποντον, ἣν Βωχάνος ὁ Τοῦρκος ἐπὶ Ἰουστινιανοῦ βασιλέως ἐπόρθησε. E

402 Βόσποροι β'· ὁ μὲν κατὰ τὴν Προποντίδα, ὁ δὲ Θρᾳκικός, ὥς φησι Φιλέας. Soph.

403 Βόστρυχος: πλέγμα τριχῶν γυναικείων. ἐν Ἐπιγράμμασιν· εἰπὲ τίνι πλέξεις ἔτι βόστρυχον; Ἀριστοφάνης· πάνυ γάρ τις ἔρως Anth. Ar.

574 Βρύλλων: ὑποπίνων· ἀπὸ τοῦ τοῖc παιδίοις λεγομένου. Ἀριcτοφάνης· βρύλλων τὸ καθ' ἡμέραν. κλέπτοντά τε βούλομαι τρέφειν ἕνα προστάτην. τοῦτον δ' ὅταν ᾖ πλέως, ταπεινώcας ἐπάταξα. ἀντὶ τοῦ ὅταν γένηται φαεινὸc, τουτέcτι πλήρηc· ὅταν ηὐξῆcθαι δοκῇ καὶ μέγας εἶναι, τοῦτον ταπεινὸν ἐποίηca. τουτέcτιν, ἐάcac πλουτῆcαι δημεύcω. Ar.

575 Βρυώδηc: δυcώδηc. Σ

576 Βρύcιc. λύcιc ὀνείρου· πηγὴ διαυγὴc τὰc νοὸc λύει λύπαc. Δ On.

577 Βρύτια: τὰ τῆc cταφυλῆc πιέcματα, ἅ τινεc cτέμφυλα λέγουcιν. Δ

578 Βρυτίδαι: ὄνομα γένουc Ἀττικοῦ. Harp.

579 Βρύχιοc: βυθιζόμενοc ὕδατι. καὶ Ἐμβρύοικοc, ἡ ἄγκυρα ἡ τὸν βυθὸν οἰκοῦca. καὶ Ἔμβρυον, τὸ ἐγγάcτριον βρέφοc. ἐν Ἐπιγράμμαcι· ἄγκυρον ἐμβρύοικον ἐρυcινηΐδα. ἐπὶ Ἡρακλείου βαcιλέωc c' χιλιάδεc ἀνδρῶν διεφθάρηcαν ἐν τῷ πρὸc Ἰcαύρουc πολέμῳ. ὁ δὲ βαcιλεὺc Ἡράκλειοc χρήματα πλεῖcτα καὶ χρυcὸν καὶ ἄργυρον καὶ λίθουc πολυτελεῖc πέμπει, ἅπερ βρύχια γέγονεν ἐπὶ Cεργίου πατριάρχου. Σ Δ Anth.

580 Βρύχων τοὺc ὀδόνταc ὁ λέων.

581 Βοίδιον: βοῖδιον. βοίδιον δὲ καλεύμαν τότε ἐγώ· νῦν δὲ Χάρητοc εὐνέτιc. ζήτει ποῦ τὸ Βοίβη καὶ Βοιβηῖc λίμνη. Δ Anth.

582 Βοιωτία. καὶ Βοιώτιοc νόμοc, ἐπὶ τῶν τὰc ἀρχὰc μὲν ἠρεμαίωc ἐχόντων, αὖθιc δὲ cφοδρῶc ἐπιγινομένων. Δ Prov.

583 Βοιωτία ὗc: ἐπὶ τῶν ἀναιcθητούντων καὶ ἀπαιδεύτων. Prov.

584 Βοῖπιc: ἡ βουνώδηc γῆ.

585 Βύαc: εἶδοc ὀρνέου νυκτερινοῦ. καὶ Βύαc ὤφθη· καὶ Βύαι ὤφθηcαν. Δίων ἐν Ῥωμαϊκοῖc ἐν τέρατοc λόγῳ τοῖc Ῥωμαίοιc ταῦτα ἐπιφαίνεcθαι πολλάκιc λέγει. cημαίνει δὲ cυμφοράc. ΔΣ

574 Ar. Eq. 1126—30 c. sch. 575 = Σ^{e} cf. H v. βρυῶδεc; l. = Ba 182, 16 576 l. cf. Ambr. 862 πηγή sq. Astramps. 577 = Et. M. 216, 20 cf. Ath. 2, 56 d, Ambr. 885—6, H 578 Harp. 579 — ὕδατι = Ba 182, 15 ἔμβρυον—βρέφοc cf. Ambr. litt. Ε ἄγκυρον—ἐρυcινηΐδα Anth. 6, 90, 1 ἐπὶ Ἡρακλείου sq. cf. Nicephor. 12, 10—14 580 cf. Studi it. fil. cl. 1, 80, 88 581 — βοῖδιον = Ambr. 775 cf. Phryn. ecl. 86 βοίδιον alt.—εὐνέτιc Anth. 7, 169, 7—8 Βοίβη sq. cf. An. Ox. 2, 19, 5 (Theognost.), Ambr. 750 582 l. = Ambr. 742 Βοιώτιοc sq. = Paroem. ed. Leutsch 1, 333, n. 77 (Plutarch. I 77); Philol. Suppl. 6, 261, n. 304 583 = Macar. II 79, Philol. Suppl. 6, 230, n. 22 584 = Ambr. 718, An. Ox. 2, 19, 6 (Theognost.) 585 βύαc ὤφθη sq. = Ba 182, 21; Cass. D. 40, 17

573 cf. v. ἐξαμήcω 574 Z 410 576 cf. v. πηγή 579 Z 408, 407. Nic. hinc v. Ἡράκλειοc 1 extr. 581 Z 401 585 Z 410

1 πλεύμονας] πνεύμονας GITF 6 γένηται om. V 576 om. FV 10 λύcιc—λύπαc mg. A 15 ἄγκυρον] ἄγκυραν T Anth. 17 καὶ alt. om. A 580 om. FV mg. A 21 καλεύμαν AFM καλεύμεν G καλοῦμεν I καλοῦμαι V cf. Anth. 22 Χάρητοc G Anth. χάριτοc rell. ζήτει—λίμνη om. AFV post 584 T 25 Βοιωτία ὗc M Βοιωτιᾶc rell. ἀναιcθητούντων] ἀναιcθήτων FVM Prov. 584 om. GIFV mg. A post 582 M 26 γῆ] γυνὴ M A(GITFVM)

586 Βύβλις: ὄνομα κύριον. ἀδελφὴ Κάννου· ἀμφότεροι δυστυχήσαντες.

Σ 587 Βύβλον: πάπυρον. Αἰλιανός· κελεύει τὸν μὲν ἀποδόσθαι τῷ
Ε Νικάνορι φάκελλον βύβλου τετρακοσίων χρυσῶν· ἐὰν δὲ μὴ ἐθέλῃ, ἀεὶ
προσεπιτιμᾶν καὶ ἐπαιτεῖν τοῦ χρυσίου προστιθέντα, ἕως ἂν ἀπειπὼν
Prov. δῷ ὅσον ἂν αἰτηθεὶς τύχῃ τῇ ἐπὶ πάσαις φωνῇ. καὶ παροιμία· Βύβλου δὲ καρπὸς οὐ κρατεῖ στάχυν μέγαν, ἐπὶ τῶν οὐ δυναμένων τοῖς ἰδίοις χρῆσθαι καλοῖς, παρόσον ἀσθενὴς οὖσα ἡ βύβλος οὐ δύναται μέγαν φέρειν καρπόν.

Ε 588 Βυζάντιον· ὅτι τὸ Βυζάντιον ἐπὶ Σεβήρου βασιλέως Ῥωμαίων
τετείχιστο γενναίῳ τείχει πεποιημένῳ μυλίτῃ λίθῳ, ἐς τετράγωνον εἰργασμένῳ. Ζ′ μὲν γὰρ ἦσαν ἀπὸ τῶν Θρᾳκίων πυλῶν πύργοι πρὸς τὴν θάλασσαν καθήκοντες. τούτων δὲ ἦν τις τῷ πρώτῳ ἐνεβόησέ τι ἢ λίθον ἔρρηξεν, αὐτός τε ἔχει καὶ ἐλάλει καὶ τῷ δευτέρῳ τοῦτο ποιεῖν παρεδίδου, καὶ οὕτως διὰ πάντων ἐχώρει. Ζήτει ἐν τῷ Σεβῆρος περὶ Βυζαντίου πλατύτερον.

Σ 589 Βύζην: ἀθρόως, πυκνῶς, ἐπαλλήλως, πεπυκνωμένως. Ἀρρια-
Ε νός· κατὰ τὸ στόμα τοῦ λιμένος, ᾗ στενότατον ἦν, βύζην τὰς τριήρεις
Ε ὁρμίζοντες. ὁ δὲ τὰ φρέατα φορυτοῦ καὶ τῇ ἐπιτυχούσῃ ὕλῃ βύζην ἐνέπλησεν.

Synt. 590 Βυθίζω· αἰτιατικῇ.

Δ 591 Βυκάνη: ὄργανον μουσικόν. καὶ βυκάνην ἐξ ἀργύρου εὗρε
Ε Μωϋσῆς. ἐγένοντο β′, καὶ τῇ μὲν πρὸς παρακέλευσιν καὶ συλλογὴν ἐχρῶντο, τῇ δὲ συνελθεῖν ἀρχάς.

Σ+Δ 592 Βύουσι: φράττουσι, καλύπτουσιν. ἔνθεν καὶ ἀκρόβυστος, ὁ τὸ ἄκρον βεβυσμένον ἔχων. Πισίδης· ἐρῶ δέ σοι νῦν, εἴπερ οὐ βύειν θέλεις.

Ar. 593 Βυρσαίετος: ὁ Κλέων. συντέθειται δὲ ἡ λέξις ἀπὸ τῆς βύρσης καὶ τοῦ αἰετοῦ. ἅμα μὲν ὡς βυρσοδέψην κωμῳδῶν τὸν Κλέωνα καὶ ὡς κλέπτην καὶ ἅρπαγα τῶν κοινῶν. ἁρπακτικὸν γὰρ τὸ ζῷον ὁ
Σ? ἀετός. Σκυτοδέψης Ἀττικόν, Βυρσοδέψης δὲ Ἀσιανόν.
Ar. ἢ Παφλαγὼν βυρσεύς. σημαίνει δὲ τὸ ἐκ τοῦ ἐμβρέχειν τὰ δέρματα καὶ πλείοσιν ἡμέραις ἐᾶν αὐτὰ εἰς τὸ φάρμακον, ἵνα διαλάβοιεν, ἀπὸ

587 — πάπυρον = Σ^{e} κελεύει—φωνῇ Aelian. fr. 41 παροιμία sq. = Zen. II 73 588 — ἐχώρει cf. Cass. D. 74, 14, 5—6, Io. Antioch. fr. 127, FHG 4, 587 589 — πεπυκνωμένως = Ba 182, 24 cf. H; Ambr. 944 = sch. Thuc. 4, 8, 7, Erotian. κατά—ὁρμίζοντες Arr. An. 1, 19, 3 ὁ sq. Arr. Parth. p. 8 R. 590 = Synt. Laur. et Gud., An. Ox. 4, 288, 18 591 καί sq. Ios. Ant. 3, 291—2 592 — φράττουσι cf. Ba 182, 28, H v. βύων καλύπτουσιν cf. H v. βυούσης ἐρῶ sq. Pisid. Sever. 508 593 — ἀετός sch. Ar. Eq. 197 σκυτοδέψης—βυρσοδέψης cf. H, Et. M. 217, 15 vs. 32 ἢ—p. 501, 3 Ἀθηναίων sch. Ar. Eq. 44

586 cf. v. Καύνιος ἔρως; hinc v. Κάννος; Z 410 587 Z 410. Aelian. cf. v. φάκελλον 2 588—9 Z 412 591 Z 411 592 cf. v. ἐβύνουν. Z 412 593 cf. v. σκυτοδέψης

A(GITFVM) 1 ἀδελφή T ἀδελφοῦ FA^{cp} ἀδελφός rell. Κάννου] Καύνου Bas. 3 ἀποδόσθαι] ἀποδεδόσθαι GIM 17 πεπυκνωμένως] πεπληρωμένως Ba 19 τῇ ἐπιτυχούσῃ ὕλῃ] τῆς ἐπιτυχούσης ὕλης Roos 32 ἐμβρέχειν] βρέχειν FV

τῆς ὀσμῆς τοῦ ὕδατος καὶ τῶν δερμάτων μολυνομένων ἄχαρι ὀδωδέναι. διαβάλλει οὖν ὡς δύσοσμον, ἄλλως τε καὶ τὴν εὐτέλειαν ἀντιδεικνὺς Κλέωνος, ἀφ' οἵας τύχης ὁρμώμενος πρωτεύει τῶν Ἀθηναίων. ἡ Καρχηδὼν ἡ καὶ Ἀφρικὴ Βύρσα λέγεται· καὶ ζήτει ἐν τῷ Ἀφρικανός. Suid.

594 Βυρσοδέψης: σκυτοτόμος, ὁ τὰς βύρσας θεραπεύων. Σ

595 Βυσαύχην: ὁ τοὺς ὦμους συνέλκων ἐπὶ τὸν τράχηλον. Σ

596 Βύσσινον: βύσσῳ βεβαμμένον. δέξαι βύσσινον εἶμα, τό τοι μετὰ παιδὸς ἀγαυᾶς ὕφανε. Anth.

597 Βυσσοδομοῦντες: ἐκ βάθους σκεπτόμενοι. καὶ Βύσσωμα. θύννων εὐκλώστοιο λίνου βυσσώμασι ῥόμβον φράξαντες γλαυκαῖς ἐν παρόδοις πελάγευς. ΣΔ Anth.

598 Βυσσόν: βάθος, ὀξυτόνως. βαρυτόνως δὲ σημαίνει βαφὴν ἐκ πορφύρας. καὶ Βυσσός, βυθὸς, παρὰ Ἡροδότῳ. Σ Hdt.

594 = Ba 183, 1 595 = Ael. D. fr. 97 ex Eust. I. 207, 2 cf. Poll. 2, 135, H = Paus. Att. fr. 97 596 δέξαι sq. Anth. 6, 265, 3—4 597 — σκεπτόμενοι = Ba 183, 2 θύννων sq. Anth. 6, 33, 3—4 598 — βάθος = Ba 182, 29 cf. Et. M. 217, 19 βυσσός sq. gl. Hdt. 2, 28 cf. Ap. S. 53, 19, H, Philop. diff.

594—5 Z 411 596 cf. v. εἶμα 597 Z 412; Anth. cf. v. ῥόμβον 598 Hdt. Z 411

1 ἄχαρι sch. ἄχρι omnes 3 ἀντιδεικνύς AV ἀντιδείκνυσι F cf. sch. δεικνύς GITM 4 ἡ Καρχηδὼν—5 Ἀφρικανός om. GF mg. AI; similia post 584 T post 591 V καί alt. —Ἀφρικανός om. ITV 10 σκεπτόμενοι] σκεπόμενοι GTVM Zon. 14 καί om. A, nov. gl. A(GITFVM)

Δ 1 Γαβαώ: πόλις. καὶ Γαβαωνῖται, οἱ ἀπὸ τῆς χώρας.

Δ 2 Γαβίνιος: ὄνομα κύριον Ῥωμαϊκόν.

Δ 3 Γαβριήλ: ὄνομα κύριον. καὶ Γαβριηλᾶς, ὄνομα κύριον.

4 Γάγγης, βασιλεὺς Αἰθιόπων, ὃν ἀπέκτεινεν Ἀλέξανδρος, δεκάπηχυς τὸ μῆκος, τὴν δὲ ὥραν οἷος οὔπω τις ἀνθρώπων, ποταμοῦ δὲ Γάγγου παῖς. τὸν δὲ πατέρα τὸν ἑαυτοῦ, τὴν Ἰνδικὴν ἐπικλύζοντα, αὐτὸς ἐς τὴν ἐρυθρὰν ἔτρεψε καὶ διήλλαξεν αὐτὸν τῇ γῇ, ὅθεν ἡ γῆ ζῶντι μὲν ἄφθονα ἔφερεν, ἀποθανόντι δὲ ἐτιμώρει. ἐπεὶ δὲ τὸν Ἀχιλλέα Ὅμηρος ἄγει μὲν ὑπὲρ Ἑλένης ἐς Τροίαν, φησὶ δὲ αὐτὸν ιβ′ μὲν πόλεις ἐκ θαλάττης ἠρηκέναι, πεζῇ δὲ ια′, γυναῖκα δὲ ὑπὸ τοῦ βασιλέως ἀφαιρεθέντα εἰς μῆνιν ἀπενεχθῆναι, ὅτε δὲ ἀτεράμονα καὶ ὠμὸν δόξαι· σκεψώμεθα τὸν Ἰνδὸν πρὸς ταῦτα. πόλεων μὲν τοίνυν ξ′ οἰκιστὴς ἐγένετο, αἵπερ εἰσὶ δοκιμώταται τῶν τῇδε· τὸ δὲ πορθεῖν πόλεις ὅστις εὐκλεέστερον ἡγεῖται τοῦ ἀνοικίζειν πόλιν, οὐκ ἔστιν. Σκύθας δὲ τοὺς ὑπὲρ Καύκασον στρατεύσαντάς ποτε ἐπὶ τήνδε τὴν γῆν ἀπώσατο· τὸ δὲ ἐλευθεροῦντα τὴν ἑαυτοῦ γῆν ἄνδρα ἀγαθὸν φαίνεσθαι, πολλῷ βέλτιον τοῦ δουλείαν ἐπάγειν τῇ πόλει.

Δ 5 Γάγγρα: πόλις.

Δ 6 Γάγγραινα: εἶδος πάθους.

Greg. 7 Γάδειρα: τόπος κατὰ τὴν ἑσπερίαν μοῖραν, ἀποτελεύτησις τῆς θαλάσσης καὶ οἷον ἐκροὴ ἀπὸ τῆς πρὸς ἡμᾶς καὶ τὴν Ἀτλαντίδα θάλασσαν, τὸν ὠκεανόν, ἣν διεκπλεῦσαι οὐκ ἐνῆν βραχώδη καὶ σκοτοειδῆ τυγχάνουσαν. Γάδειρα δὲ παρὰ τὴν γῆν καὶ τὴν δειρὴν, ὅ ἐστι τράχηλος. μέχρι τοῦτον ἐλθὼν ὁ Ἡρακλῆς καὶ μὴ δυνάμενος διελθεῖν στήλας παρὰ τῶν ἐγχωρίων λαβὼν ἱδρύσατο, δηλῶν δι' αὐτῶν ἄχρι

Δ τῶν τῇδε βατὴν εἶναι τὴν γῆν καὶ τὴν θάλασσαν. Γαδαρηνός, ἀπὸ τόπου.

ΔΣ 8 Γάζα. καὶ Γαζοφυλάκιον, θησαυροφυλάκιον. γάζα γὰρ θη-

E σαυρός. πολλὴν δὲ εὗρεν ἀφθονίαν τροφῆς καὶ γάζαν βαρβαρικήν,

1 — πόλις = Ambr. 92; Γαβαωνῖται = Ambr. 55 2 — κύριον = Ambr. 21 3 — κύριον pr. = Ambr. 30 4 Philostr. 3, 20 5 = Steph. Byz. 6 cf. Et. M. 219, 28, H, aliter Ambr. 85 7 — vs. 26 θάλασσαν cf. sch. Greg. Ann. p. 236, PG 36, 1055—6d; An. Ox. 2, 189, 13 Γαδαρηνός cf. Ambr. 68 8 γαζοφυλάκιον —θησαυρός = Ba 183, 9, Lex. rhet. ap. Et. M. 219, 38; — θησαυροφυλάκιον = Ambr. 118, H, Bk. 229, 10

3 Z 415 4 hinc v. ἐλεύθερος extr. 8 Z 419

A(GITFVM) 21 καί alt.] ἐπί vel εἰς sch. Greg. 26 Γαδαρηνός nov. gl. GITF 28 Γάζα καί om. F θησαυροφυλάκιον] θησαυροφυλάκειον A Ba

ἀργυρίου δὲ τάλαντα γ'. ὁ δὲ Πτολεμαῖος τὰ βασίλεια περιάγων EL
ἐπεδείκνυτο καὶ τὴν ἄλλην τὴν βασιλικὴν γάζαν. Διόδωρός φησι.

9 **Γαϊανός**, Ἀράβιος, σοφιστὴς, μαθητὴς Ἀψίνου τοῦ Γαδαρέως. ἦν Hesy.
δὲ ἐπί τε Μαξίμου καὶ Γορδιανοῦ. Περὶ συντάξεως βιβλία ε', Τέχνην
ῥητορικὴν, Μελέτας. ἐσοφίστευσεν ἐν Βηρυτῷ.

10 **Γάϊος** Ἰούλιος Καῖσαρ, ὁ πρῶτος μοναρχήσας. οὗτος ἔγραψε μετάφρασιν Suid.
τῶν Ἀράτου Φαινομένων καὶ τέχνην γραμματικὴν Ῥωμαϊκῶς καὶ περὶ τοῦ
ἰδίου βίου.

11 **Γάϊος Καῖσαρ**, ὃς ἐπεκλήθη Καλλιγόλας. Ῥητορικὴν τέχνην Hesy.
Ῥωμαϊκῶς.

12 **Γάϊος**, Ῥωμαίων βασιλεὺς, τὸ μὲν πρῶτον μεγαλοφρόνως διεῖπε E
τῆς βασιλείας τὰ πράγματα καὶ πᾶσι τοῖς ὑπηκόοις καθηκόντως ἐχρῆτο,
μετὰ δὲ δύο χρόνους ἐκστὰς τῆς ἀνθρωπίνης φύσεως κατὰ μίμησιν
τοῦ πατρὸς ἑαυτὸν ἀπεθέωσε καὶ ἀνδριάντα ἑαυτοῦ κατὰ πόλιν ἐν
τοῖς ναοῖς ἀπέστειλε καθιδρύσασθαι καὶ εἰς τὸν τῶν Ἱεροσολύμων
ναὸν θεσπίσας νέου Γαΐου ἱερὸν προσέταξεν ὀνομάζεσθαι. καὶ δουλο-
κρατίαν νομοθετήσας ἐπέτρεψε κατηγορεῖν τῶν δεσποτῶν, εἴ τι ἂν
εἰδοῖεν αὐτοῖς πλημμέλημα. κἀντεῦθεν δεινὴ συμφορὰ κατειλήφει τὴν
οἰκουμένην πᾶσαν, τῶν οἰκετῶν μεγάλαις τιμωρίαις ὑποβαλλόντων
τοὺς δεσπότας. ἕκαστος γὰρ ἀμύνεσθαι ἐβούλετο τὸν ἴδιον δεσπότην
ὑπὲρ ὧν παρ' αὐτοῦ βασάνων προέπαςχεν. οὐ μὴν δὲ ἀλλὰ καὶ εἰς
μανίαν τραπεὶς ἄθεσμον στολὰς γυναικείας ἠμφιέννυτο καὶ τὴν κόμην
πλοκάμοις καὶ πλοκῇ τινι περιστέλλων καὶ γυναικιζόμενος καὶ πᾶσαν
αἰσχρουργίαν διαπραττόμενος τελετὰς ἐπενόει καὶ ξένα μυστήρια ἐπε-
τέλει. καὶ δὴ λαβών ποτε τὴν ἰδίαν θυγατέρα καὶ εἰς τοὺς κόλπους
τοῦ ἀγάλματος αὐτὴν θέμενος ἔφη, σὺ ταύτην γεγέννηκας καὶ πατὴρ
αὐτῆς ἔννομος ὑπάρχεις. οὗτος μιαρώτατός τε καὶ ἀνοσιώτατος EV
ἐγένετο καὶ τοσοῦτον ὁρμαθὸν κακῶν συνειληφὼς ἐπεκάλυψε τὰ τοῦ
Τιβερίου μειονεκτήματα. ὅσα γὰρ τῷ Αὐγούστῳ ἐν πολλῷ χρόνῳ
περιεποιήθη, οὗτος ἐν μιᾷ ἡμέρᾳ ἀπεκτήσατο. μοιχικώτατός τε ἀν-
θρώπων γενόμενος καὶ γυναῖκας ἡρμοσμένας καὶ γεγαμημένας ἐλάμ-
βανε. τήν τε ἑαυτοῦ τιθήνην ἐπιτιμήσας ἀνοίας ἐς ἀνάγκην ἐκουσίου
θανάτου κατέστησεν. ἐχρῆτο δὲ καὶ ταῖς ἀδελφαῖς καὶ παρανόμων
ἐκοινώνει μίξεων, ὡς καὶ πατὴρ ἀνοσίας κατασταῖεν γονῆς ἐκ μιᾶς
αὐτῶν τῶν ἀδελφῶν ἀπογεννηθείσης. ναούς τε καὶ θυσίας ὡς ἡμιθέῳ

8 ὁ sq. Diodor. 33, 28a = EL 406, 32—407, 3 12 — vs. 27 ὑπάρχεις Georg. 1, 323, 6—324, 8 οὗτος—p. 504, 3 παρήνεγκαν Io. Antioch. fr. 82, FHG 4, 571 = EV 1, 178, 6—18 cf. Cass. D. 3, p. 752, Eutrop. 123

10 ex v. Καῖσαρ Ἰούλιος et v. Καῖσαρ Αὔγουστος 12 Georg. hinc v. δουλοκρατίαν. Io. Antioch. cf. v. ὁρμαθός

3 Ἀψίνου] Αὐλίνου VM 4 Μαξίμου] Μαξιμίνου Kust. 10 om. V A(GITFVM)
6 ὁ—8 βίου om. F 11 μεγαλοφρόνως] μεγαλοφόνως A cf. Georg. 16. 17 δουλοκρατίαν] δουλοκρατείαν IV cp. A cf. Georg. 19 ὑποβαλλόντων A Georg. ὑποβαλόντων rell. 20 ἐβούλετο om. GIT Georg. 25 θυγατέρα] θυγατέραν A 29 μειονεκτήματα] πλεονεκτήματα A 35 αὐτῶν] αὐτῷ Exc. om. I ἀδελφῶν] ἀ. αὐτῶν A

γίνεσθαι παρεσκεύαζε. τοιούτῳ αὐτοκράτορι οἱ Ῥωμαῖοι παρεδόθησαν, ὥστε τὰ τοῦ Τιβερίου ἔργα καίπερ χαλεπώτατα δόξαντα γεγονέναι τοσοῦτον τὰ Γαΐου, ὅσον τὰ τοῦ Αὐγούστου παρ' ἐκείνῳ παρήνεγκαν. οὗτος μετὰ Τιβέριον ἐβασίλευσε Καλλιγόλας ὀνομαζόμενος.

EV 13 Γάϊος Λαυτώριος, Μάρκος ἐπίκλησιν. ἐκ τούτου δείκνυται τὸ μισοπόνηρον τῶν Ῥωμαίων καὶ τὸ πρὸς τοὺς παραβαίνοντας τὰ κοινὰ καὶ νόμιμα τῆς ἀνθρωπίνης φύσεως ἀμείλικτον. οὗτος γὰρ χιλίαρχος ἀποδειχθεὶς ἐν τῷ Σαυιτικῷ πολέμῳ νεανίαν τινὰ τῶν ὁμοσκήνων διαφέροντα τὴν ὄψιν ἑτέρων μέχρι μέν τινος ἔπειθεν ἑαυτῷ χαρίσασθαι τὴν τοῦ σώματος ὥραν ἑκόντα, ὡς δ' οὔτε δωρεαῖς οὔτ' ἄλλῃ φιλανθρωπίᾳ τὸ μειράκιον ἠλίσκετο, κατέχειν τὴν ἐπιθυμίαν ἀδύνατος ὢν βίαν προσφέρειν ἐπεβάλετο. περιβοήτου δὲ τῆς ἀκοσμίας τοῦ ἀνδρὸς ἅπασι τοῖς ἐπὶ στρατοπέδου γενομένης, κοινὸν ἀδίκημα τῆς πόλεως εἶναι νομίσαντες οἱ δήμαρχοι γραφὴν ἀποφέρουσι κατ' αὐτοῦ δημοσίᾳ, καὶ ὁ δῆμος ἅπασαις ταῖς ψήφοις τοῦ ἀνδρὸς κατέγνω τίμημα δίκης ὁρίσας θάνατον, οὐκ ἀξιῶν εἰς ἐλεύθερα σώματα καὶ προπολεμοῦντα τῆς τῶν ἄλλων ἐλευθερίας τοὺς ἐν ταῖς ἄλλαις ὄντας ἀρχαῖς ὑβρίζειν τὰς ἀνηκέστους καὶ παρὰ φύσιν τοῖς ἄρρεσιν ὕβρεις. ἄλλο θαυμασιώτατον, καίτοι περὶ δοῦλον σῶμα γενομένης τῆς ὕβρεως. ἑνὸς γὰρ τῶν παραδόντων Σαυνίταις τὸ στρατόπεδον χιλιάρχων καὶ ὑπὸ ζυγὸν ὑπελθόντων Ποπλίου υἱὸς ὤν, ἐν πολλῇ καταλειφθεὶς πενίᾳ, δάνειον ἠναγκάσθη λαβεῖν, ὡς ἐρανισθησόμενος ὑπὸ τῶν συγγενῶν. διαψευσθεὶς δὲ τῆς ἐλπίδος ἀπήχθη πρὸς τὸ χρέος τῆς προθεσμίας διελθούσης, κομιδῇ νέος ὢν καὶ τῇ ὄψει ὡραῖος. οὗτος τὰ μὲν ἄλλα ὑπηρετῶν, ὅσα δούλους δεσπόταις νόμος ἦν, ἠνείχετο· τὴν δὲ τοῦ σώματος ὥραν χαρίσασθαι κελευόμενος ἠγανάκτει καὶ μέχρι παντὸς ἀπεμάχετο. πολλὰς δὲ διὰ τοῦτο μαστίγων λαβὼν πληγὰς ἐξέδραμεν ἐς τὴν ἀγορὰν καὶ στὰς ἐπὶ μετεώρου τινὸς τήν τε ἀκολασίαν τοῦ δανειστοῦ διηγήσατο καὶ τῶν μαστίγων τοὺς μώλωπας ὑπέδειξεν. ἀγανακτήσαντος δὲ τοῦ δήμου καὶ δημοσίας ὀργῆς ἄξιον ἡγησαμένου τὸ πρᾶγμα, κατηγορούντων τὴν εἰσαγγελίαν τῶν δημάρχων, ὤφλε θανάτου δίκην. καὶ δι' ἐκεῖνο τὸ πάθος ἅπαντες οἱ δουλωθέντες πρὸς τὰ χρέα Ῥωμαῖοι νόμῳ κυρωθέντι ἀρχαίαν ἐλευθερίαν ἐκομίσαντο.

Δ 14 Γαλααδίτις: χώρα.

Δ 15 Γαλαθηνός: ὁ ὑποτίτθιος, ἤγουν ὁ ὑπομάζιος.

13 Dionys. Hal. 16, 4 et 5 = EV 2, 79, 7—80, 19 14 = Ambr. 90 15 = Et. M. 219, 56; — ὑποτίτθιος cf. H = Bk. 229, 22; ὁ ὑπομάζιος = Ambr. 5

15 Z 415, 421

A(GITFVM) 1 γίνεσθαι VM Exc. γενέσθαι AGIT 5 Λαυτώριος] Λαιτώριος Exc. 8 Σαυιτικῷ] Σαβιτικῷ M Σαυνιτικῷ Exc. παιδοφθορία add. mg. GITM 12 ἐπεβάλετο] ἐπεβάλλετο AIV 13 γενομένης] γενομένοις V Exc. κοινόν] καινόν A 17 τῆς om. AGI 21 Ποπλίου] Πουπλίου M 23. 24 διελθούσης] παρελθούσης VM^{ac} 29 διηγήσατο] ἐξηγήσατο VM^{ac} τῶν om. M 36 ὑποτίτθιος] ὑποστήθιος AFVM^{ac}

16 Γαλακτίων: ὄνομα κύριον. Δ
17 Γαλακτοπότης: ὁ γάλα πίνων. Δ
18 Γαλαξίας: τὸ ἐν τῷ οὐρανῷ φῶς· ὅπερ ἐστὶν ἀνάκλασις φωτὸς Phil.
ἡλιακοῦ, μὴ καταλαμπομένων τῶν ἀστέρων.
19 Γάλα ὀρνίθων: ἐπὶ τῶν λίαν εὐδαιμονούντων καὶ πάντα κεκτη- Ar.
μένων. ἢ ἐπὶ τῶν σπανίων. τὰ σπάνιά φησι καὶ δυσεύρετα τῶν
ἀγαθῶν παρέξομεν· ὥστε παρέσται κοπιᾶν ὑμῖν ὑπὸ τῶν ἀγαθῶν.
τουτέστιν ἐν πλησμονῇ γενόμενοι τῶν ἀγαθῶν ἀπειρηκέναι μέλλετε·
οὕτω πλουτήσετε πάντες. Ἀριστοφάνης Ὄρνισι· δώσομεν ὑμῖν πλουθ-
υγίειαν, εὐδαιμονίαν, εἰρήνην, νεότητα, γέλωτα, χορούς, θαλείας γάλα
τ' ὀρνίθων, ὥστε παρέσται ὑμῖν κοπιᾶν ὑπὸ τῶν ἀγαθῶν.
20 Γάλα σκεδάζει δυσμενῶν συμβουλίας. Γάλα γαληνῶν πρόξενον πέλει τρόπων. On.
21 Γαλάται· ὅτι ἐπὶ Σκηπίωνος τοῦ Ῥωμαίων στρατηγοῦ καὶ Ἀννί- E
βου τοῦ Καρχηδόνος Ῥωμαῖοι Γαλάτας τοὺς ἐν τῇ Ἀσίᾳ κατεστρέψαντο.
οὗτοι δ' ἦσαν τῶν ἑσπερίων Γαλατῶν μοῖρα. ἀναστάντες γάρ ποτε
τῆς οἰκείας οἱ Γαλάται ἅμα Βρέννῳ στρατηγῷ προῆλθον εἰς λ' μυριά-
δας ἀριθμούμενοι. ἐντεῦθεν διακριθέντες οἱ μὲν ἐπὶ τὴν εἴσω πυλῶν
Ἑλλάδα, οἱ δὲ ἐπὶ Θρᾴκην καὶ τὴν Ἀσίαν ἐτράποντο, ἀμφὶ τὰς δύο
μάλιστά που καὶ αὐτοὶ μυριάδας ὄντες. καὶ κρατήσαντες τῷ πολέμῳ
πάντων μικροῦ τῶν ἐπὶ τάδε τοῦ Ταύρου Ἀσιανῶν γενῶν τοὺς μὲν
ἄλλους ὑποτελεῖς ἐποιήσαντο φόρου, αὐτοὶ δὲ τὰ περὶ τὸν Ἅλυν
ποταμὸν χωρία κατασχόντες ἐνέμοντο τὰ μεταξὺ Βιθυνῶν τε καὶ Καπ-
παδοκῶν κείμενα. ἐφ' οὓς ἐστρατεύσαντο Ῥωμαῖοι κοινωνήσαντες
Ἀντιόχῳ τῆς ἐπὶ τῷ Σιπύλῳ μάχης καὶ συμπεσόντες αὐτοῖς περὶ
πόλιν Ἄγκυραν, Μαλίου σφῶν ἡγουμένου, μυρίους μὲν τῆς μαχίμου
ἡλικίας καταβάλλουσι, τοὺς δὲ λοιποὺς ὑποκύψαι σφίσιν, ἀποστάντας
ὧν ἦρχον ἐθνῶν, ἠνάγκασαν.
22 Γαλάτεια: ὄνομα θεᾶς. Γαλατία δὲ χώρα. καὶ Γαλατίας, Δ
ὄνομα κύριον.
23 Γαλλαίῳ: τῷ τῶν Γάλλων. Γαλλαίῳ Κυβέλης ὀλολύγματι πολ- Anth.
λάκι δοῦσα τὸν βαρὺν εἰς ἀκοὰς ἦχον ἀπὸ στομάτων, τάσδε θεῇ
χαίτας περὶ δικλίδι θῆκεν ὀρείᾳ, θερμὸν ἐπεὶ λύσσης ὦδ' ἀνέπαυσε
πόδα.
24 Γαλέα: ὁ ἰχθύς. καὶ Γαλεὸς ὁμοίως. Δ

17 = Ambr. 7 18 ὅπερ sq. Laert. 2, 9 19 Ar. Av. 729—35 c. sch.
20 Astramps. 21 Polyb. attr. Kust., sed cf. Büttner-Wobst 4, 530
22 = Ambr. 100, 102, 25 cf. Et. M. 220, 5, Philop. diff. 23 Γαλλαίῳ alt. sq.
Anth. 6, 173, 3—6 24 = Ambr. 80 et 11

18 Z 415 19 cf. v. πλουθυγίειαν 1, 2 21 hinc v. A 257 23 cf. v. Κυβελίοις
et v. ὀρεία 1 24 Z 419

3 ἀνάκλασις] ἀντανάκλασις VM 6 φησι καί] γάρ φησι V 11 τ'] τῶν AFV A(GITFVM)
15 μοῖρα] μοίρας M^{ac} 16 προῆλθον AT προσῆλθον rell. 23 κοινωνήσαντες]
κοινωνήσαντας Bas. 27 ἠνάγκασαν AGI κατηνάγκασαν VM 31 θεῇ M,
v. ὀρεία, Anth. θεῆς rell. 32 δικλίδι A, Anth. δικλείδι rell. cf. v. ὀρεία

Δ 25 Γαλεάγρα: ὄργανον τιμωρητικόν. καὶ τελευτῶντες εἰς γαλε-
Ε άγραν ἐμβαλόντες περόναις σιδηραῖς διειργμένην πᾶσαν ἐν δυσχωρίαις
Ε ἐκύλιον. καὶ αὖθις· ὁ δὲ ἐν γαλεάγρᾳ σιδηρᾷ βαλὼν ἀπέκτεινεν.

Δ 26 Γαλεώδης: ὄνομα κύριον.

Σ 27 Γαλεώτης καὶ ἀσκαλαβώτης, ἑκατέρως. ζήτει ἐν τῷ ἀσκα- 5
λαβώτης.

Δ 28 Γαλερόν: φαιδρόν.

Δ 29 Γαλῆ: τὸ ζῷον. καλεῖται δὲ πρός τινων κερδὼ καὶ ἱλαρία. ἔστι δὲ τὸ ὄνομα ἰσόψηφον δίκῃ γαλῇ, ἄλγη· ἀπὸ γὰρ τῶν αὐτῶν
Σ σύγκειται γραμμάτων. καὶ Γαλῆ Ταρτηϲσία· ἡ Ταρτηϲσὸς πόλις 10
ἔξω τῶν Ἡρακλείων στηλῶν πρὸς τῷ ὠκεανῷ, ἔνθα μέγιϲται γίνον-
ται γαλαῖ.

30 Γαληνῶ ἢ γαληνιῶ.

31 Γαληνιᾶν: γάννυϲθαι, χαίρειν, διαχεῖϲθαι.

Hesy. 32 Γαληνός, ὁ διαϲημότατος ἰατρὸς, Περγαμηνὸς, γεγονὼς ἐπὶ 15
Μάρκου καὶ Κομόδου καὶ Περτίνακος τῶν Καιϲάρων ἐν Ῥώμῃ, υἱὸς
Νίκωνος γεωμέτρου καὶ ἀρχιτέκτονος, πολλὰ ϲυντεταχὼς ἰατρικά τε
καὶ φιλόϲοφα, ἔτι τε γραμματικὰ καὶ ῥητορικά· ἅτινα διὰ τὸ πᾶϲιν
εἶναι γνώριμα καταλέγειν ἄκαιρον ἡγηϲάμην ἐν τῷ παρόντι. ἐβίω
Δ ἔτη ο΄. ϲημαίνει δὲ καὶ τὸν ἥϲυχον. 20

Δ 33 Γαλήϲιον: ὄνομα τόπου.

Prov. 34 Γαλῇ χιτών: αὕτη ἐπὶ τῶν ἀδίκων τάϲϲεται καὶ μηδὲν ἀνιέντων. ὁμοία ἐϲτὶ τῇ, οὐ πρέπει γαλῇ κροκωτός.

35 Γαλῇ τὸν κροκωτόν· ζήτει ἐν τῷ κροκωτός.

36 Γαλιλαία: κατακυλιϲτὴ τῇ Ἑλλάδι γλώϲϲῃ. διὸ καὶ γελγὲλ ὁ 25
τροχὸς ὀνομάζεται.

37 Γαλιλαῖοι· ζήτει ποτὲ μετωνομάϲθηϲαν Χριϲτιανοὶ ἐν τῷ Ναζιραῖοι.

Δ 38 Γαλιψός: ὄνομα κύριον. ἔϲτι δὲ καὶ πόλις τῆς Θρᾴκης. ὠνο-
Harp. μάϲθη δὲ ἀπὸ Γαληψοῦ τοῦ ἐκ Θάϲου καὶ Τηλέφης.

39 Γαλλογραικία: ἡ τῶν Βουκελλαρίων χώρα. οἱ αὐτοὶ καὶ 30
Ἑλληνογαλάται ὀνομάζονται.

26 = Ambr. 26 27 — ἀσκαλαβώτης cf. H, Steph. Byz., Ba 183, 12 29 — ζῷον cf. H καλεῖται—vs. 9 γαλῇ Artem. 3, 28 γαλῇ Ταρτηϲσία cf. H, Bk. 229, 4, Paroem. ed. Gsf. 28, n. 263 32 Hesy. cf. Harder, De Tzetzae font. (1886) p. 66 vs. 20 ἥϲυχον = Ambr. 8 cf. 120; H 33 = Ambr. 119 34 cf. Zen. II 93 36 — κατακυλιϲτή = Lagarde 189, 6; γελγὲλ ὁ τροχός cf. Lagarde 189, 95 38 — κύριον = Ambr. 22 ἔϲτι sq. Harp. = Et. M. 219, 45 cf. Steph. Byz., H

25 Z 419 27 cf. v. A 4156 28 Z 421 31 Z 422 33 Z 421 36 cf. 102, partim hinc; Z 419 38 Z 415 39 hinc v. B 419; Z 419

A(GITFVM) 2 ἐμβαλόντες] ἐμβάλλοντες FVM 4 ὄνομα om. V et in lac. M 9 γαλῇ, ἄλγη] ἄλγη, γαλῇ FV καὶ γαλῇ Kust. cf. Artem. 30 ex I (post vs. 14 Γαληνιᾶν), M 16 Περτίνακος AV Πεοτίνακος GITM 17 πολλὰ] καὶ πολλὰ V 18 ἅτινα— 19 παρόντι om. V 19 ἄκαιρον AM ἄτοπον GIT 20 ἥϲυχον V Ambr. Hes. ἡϲύχιον rell. 22 ἀνιέντων] ἀνιόντων V 35 ex M 37 om. TFV mg. IM 28 Γαλιψός] Γαληψός FV^{ec}M^{ec}, Harp. Et. Hes., Steph. Byz. 29 Γαληψοῦ A^{ac}FV^{ec}M Γαλιψοῦ rell. 30 Γαλλογραικία VM Γαλογραικία rell., v. B 419, Zon.

40 Γάλλος: ὄνομα ποταμοῦ. Δ

41 Γάλλος: ἀπόκοπος. ἐν Ἐπιγράμμασι· γάλλος ὁ χαιτήεις, ὁ Δ
νεήτομος, ὅς ποτε Τμῶι Λυδιὸς ὀρχηστὸς μάκρας ὁλολυζόμενος. καὶ Anth.
Γάλλοι, οἱ ἀπόκοποι. Γναῖος, ὁ ὕπατος Ῥωμαίων, διερχόμενος Δ+E
ἐγεφύρωσε τὸν Σαγγάριον ποταμὸν, τελέως κοῖλον ὄντα καὶ δύσβατον·
καὶ παρ' αὐτὸν τὸν ποταμὸν στρατοπεδευσάμενος παραγίνονται Γάλλοι
παρὰ Ἄττιδος καὶ Βαττάκου τῶν ἐκ Πεσσινοῦντος ἱερέων τῆς μητρὸς
τῶν θεῶν ἔχοντες πρὸς τῇ ἰδέᾳ καὶ τύπους, φάσκοντες προσαγγέλλειν
τὴν θεὸν νίκην καὶ κράτος· οὓς ὁ Γναῖος φιλανθρώπως ὑπεδέξατο.
καὶ αὖθις· ἀπέστειλε νεανίσκους διασκευάσας εἰς Γάλλους, μετ' αὐλη- E
τῶν ἐν γυναικείαις στολαῖς ἔχοντας τύμπανα καὶ τύπους, ἐπὶ τοὺς
προκαθημένους τῆς χώρας. ὅτι Γάλλοι μὲν γίνονται ἐξ ἀνδρῶν,
ἐκ δὲ Γάλλων ἄνδρες οὐ γίνονται.

42 Γάλλους τί τεμεῖν· Γάλλοι δὲ οἱ ἀπόκοποι· ἐπὶ τῶν . . .

43 Γαλόῳ: γάλως, γάλῳ, καὶ πλεοναςμῷ τοῦ ο γαλόῳ, ἀνδρα- Eol.
δέλφῳ. καὶ Γαλοώνη ὁμοίως, ἡ ἀνδράδελφος. Δ

44 Γάμβρειος στολή. Δ

45 Γάμβορος: ὁ ἀμέτοχος. Δ

46 Γαμβρὸς Ἐρεχθῆος: ὁ Βορρᾶς. τὴν γὰρ Ὠρείθυιαν θυγατέρα Call.
αὐτοῦ ἔγημεν, ἐξ ἧς τίκτεται Ζήτης καὶ Κάλαϊς.

47 Γαμέτης: ὁ ἀνὴρ, ὁ σύζυγος. ὁ δὲ σὺν τῷ κουριδίῳ γαμέτῃ Δ
εἰς Ἔφεσον ἦλθεν. E

48 Γαμηλία: ἡ διδομένη τοῖς φράτορσιν ἐπὶ γάμοις. ἢ τῶν γυναι- Harp.
κῶν ἡ εἰς τοὺς φράτορας εἰσαγωγή. οὕτως Δίδυμος ὁ γραμματικός.
καὶ παροιμία. Γαμηλίαν εἰσενεγκεῖν. ὅταν τις ἠγάγετο γυναῖκα, Σ
πρὶν γενέσθαι παῖδα, οὗτος μαρτυρόμενος περὶ τοῦ γάμου κατὰ τοὺς
γάμους ἀπεδίδου τι τοῖς φράτορσιν εἰς λόγον εὐωχίας. καὶ τοῦτό
ἐστι γαμηλία εἰσενεγκεῖν. μέμνηται τοῦ λόγου Δημοσθένης ἐν τῷ
πρὸς Εὐβουλίδην λόγῳ· καὶ γὰρ ὅτι ὁ πατήρ μου κατὰ τοὺς νόμους
ἔγημε καὶ γαμηλίαν τοῖς φράτορσιν εἰσενήνοχε, μεμαρτύρηται.

40 cf. Et. M. 220, 25, Steph. Byz. 41 — ἀπόκοπος = H γάλλος alt.— ὁλολυζόμενος Anth. 6, 234, 1—2 Γναῖος pr.—ὑπεδέξατο Polyb. 21, 37, 4—7 vs. 12 Γάλλοι sq. Laert. 4, 43 42 cf. Paroem. ed. Gsf. 30, n. 280 (= ed. Schneidewin 1, 389, n. 67) 43 — ἀνδραδέλφῳ cf. Herodian. (2, 234, 1) ap. Et. M. 220, 9, An. Ox. 1, 100, 25; Aristoph. Byz. ap. Miller, Mél. 432, 4, Ap. S. 53, 31, H, sch. Γ 122 γαλοώνη sq. = Ambr. 78 44 = Ambr. 107 cf. Ath. 1, 30a 45 = Ambr. 4, H v. γάμμοροι 46 Call. fr. 11 K., an. 12 S. c. sch. cf. Michael Acominat. ed. Lambros 2, 212. 10 47 ὁ sq. Polyb. 20, 8, 5 contulit Toup 48 — γραμματικός Harp. cf. Et. M. 220, 50; Didym. ed. Schmidt p. 315, 320 γαμηλίαν pr.—εὐωχίας cf. Bk. 233, 31; Δημοσθένης—Εὐβουλίδην (Dem. 57, 43) = Harp. plen.

40 Z 416 41 Z 415; Polyb. hinc 325 et v. Σαγγάριος 43 cf. Z 419 45 Z 416 47 cf. v. κουρίδιον

1 ποταμοῦ] τόπου F 2 ὁ χαιτήεις] ὠχετήεις V 3 Τμῶι] Δμῶ V A(GITFVM] cf. Anth. Λυδιός] λυδι V 6 στρατοπεδευσάμενος] στρατοπεδευσαμένου Port. 7 Πεσσινοῦντος V Πισσινοῦντος M Πισινοῦντος AGI 9 θεόν AV θεῶν GIM 42 ex M 21 ὁ tert.] ἡ pr. 25 παροιμία condemn. Kust. 26 μαρτυρόμενος] μαρτυράμενος pr. 28 γαμηλία AGIM^{ac} γαμηλίαν M^{oc}

Δ 49 Γαμηλιῶνος: τοῦ μηνός.
Σ 50 Γαμησείειν Ἀττικοί φασι.
Δ 51 Γαμφηλή: ἡ σιαγών.
Δ 52 Γαμψωλή: ἡ ἐπίκαμψις.
Σ 53 Γαμψώνυχος: ἐπικαμπεῖς ἔχοντος τοὺς ὄνυχας. καὶ Γαμψώνυχα ζῷα, ὅσα τῶν πτερωτῶν τὴν ἐπιρυγχίδα γεγάμψωκεν ὑπὸ τὴν γένυν, οἷός ἐστιν ἀετός, ἱέραξ, κεγχρῆς ἄλλα τε τὰ μὴ πίνοντα.
Δ 54 Γαμψόν: ἐπικαμπές. καὶ γαμψὸν χαίτης ἐφ' ἵππείης πεδηAnth. θὲν ἄγκιστρον, κρυφίην εἰναλίοισι πάγην. ἐν Ἐπιγράμμασι· γαμψόν τε δρέπανον, σταχυητόμον ὅπλον ἀρούρης. καὶ αὖθις· γαμψὰς πυρολόγους δρεπάνας.
Ar. 55 Γαμψούς: τὰς καμπτούσας καὶ πλαγίους νεφέλας, ἢ τὰς ὀρνίθων ὄψεσιν εἰκασμένας. γαμψοὺς γὰρ ἐκάλουν τὰς ὄρνιθας. Ἀριστοφάνης Νεφέλαις.
Δ 56 Γάνδειρον: ὄνομα τόπου.
57 Γάνιος.
Δ 58 Γανόων: λελαμπρυσμένος.
Ar. Anth. 59 Γάνος: ὁ οἶνος. Πὰν ἀγέλην· Νύμφαι πίδακα· Βάκχε γάνος.
Ar. καί, γάνος ἀμπέλου, ὁ οἶνος, βότρυος ἕλικα παυσίπονον. Γάνος δὲ θηλυκῶς, τὸ πρὸς τῇ Θρᾴκῃ ὄρος ἡ Γάνος. Γάνος καὶ ΓανιHarp. άδα χωρία ἐστὶ Θρᾳκικά.
ΣΔ 60 Γαννυμένη: χαίρουσα. Γάννυμι γὰρ ὁ ἐνεστώς. καὶ Σ Γάννυσθαι, φαιδρύνεσθαι, χαίρειν καὶ διαχεῖσθαι.
Δ 61 Γαργηττός: ὄνομα κύριον. τόπου.
Suid. 62 Γαργαλισμός.
Σ 63 Γαργαλίζει· δοτικῇ. κινεῖ, ὑποσημαίνει, προτρέπει, ἐρεθίζει.
Ar. ὥστ' ἐμοῦ γ' ἀκροωμένου τοῦ μέλους ὑπὸ τὴν ἕδραν αὐτὴν ὑπῆλθε

49 = Ambr. 52 cf. Ambr. 34, 39, H, Bk. 228, 26 51 = Ambr. 86, Et. Gen. = Et. M. 221, 12 cf. sch. N 200 = H, Ap. S. 53, 34, sch. Ar. Eq. 198 52 = Ambr. 82 53 — ὄνυχας = Ba 183, 13 cf. H, sch. Π 428 γαμψώνυχα sq. Ar. Byz. Ep. 1, 22 54 — ἐπικαμπές = H vs. 8 καί—9 πάγην Anth. 6, 192, 3—4. vs. 9 γαμψόν —ἀρούρης Anth. 6, 95, 3. γαμψάς sq. Anth. 6, 104, 2 55 sch. Ar. Nu. 337 56 = Ambr. 112 58 cf. Ambr. 121, sch. N 265, H 59 — οἶνος sch. Ar. Ran. 1320 Πάν—γάνος sec. Anth. 6, 158, 4 γάνος tert.—παυσίπονον Ar. Ran. 1320—1 c. sch. vs. 20 γάνος alt. sq. Harp. 60 — χαίρουσα = Ba 183, 14 cf. H, Ap. S. 53, 28 γάννυμι cf. Ambr. 123 γάννυσθαι sq. = sch. Pl. Phaedr. 234 d cf. sch. N 493 61 l. = Ambr. 60 62 cf. Phryn. 56, 9, H 63 δοτικῇ = An. Ox. 4, 288, 22, Synt. Laur. et Gud. κινεῖ—ἐρεθίζει = Ba 183, 16, Et. M. 221, 24; ἐρεθίζει = H ὥστ'—p. 509, 1 γάργαλος Ar. Th. 132—3 (c. sch.)

49 cf. Z 416 52 Z 420 58 hinc v. ἐπιρυγχίδα, v. ῥύγχος 2 extr. 54 Z 422 58 Z 423 59 Z 422; Anth. hinc v. Νύμφαι πίδακα 62 ex 267 63 Z 423

A(GITFVM) 2 Γαμησείειν] Γαμησείην A 6 ἐπιρυγχίδα] ἐπιφρυγχίδα FV 9 εἰναλίοισι] εἰναλίηισι A 9. 10 γαμψόν τε] γάμψοντες A 11 δρεπάνας] δραπάνας A 57 om. AFV 24 Γαργηττός] Γαργηττός IFV Ambr. sed cf. Hes. Steph. Byz. τόπου om. FVM 62 om. AFV post p. 509, 1 Ἀριστοφάνης T post 63 M 27 γ' om. FV

γάργαλος. Ἀριστοφάνης. Γαργαρίζει δὲ, ἐρεθίζει ἀπὸ τοῦ στό- Σ
ματος ὥστε ἐμέσαι.

64 Γάργαρε· ζήτει ἐν τῷ ψαμμοκοσιογάργαρα.

65 Γάρμος: ὄνομα κύριον. ὁ δὲ ἕτερος ταῦρος ἐμυκήσατο κακὸν E
φώνημα Γάρμῳ.

66 Γάρος: ἀρσενικῶς λέγεται. ἔστι δὲ οὐδὲν ἄλλο ὁ γάρος ἢ Δ|
σηπεδών.

67 Γαριζείν: δρος.

68 Γαστήρ: ἡ κοιλία. Ὅμηρος διαπαντὸς γαστέρας καλεῖ οὐ κοι- Hom.?
λίας. καὶ παροιμία· γαστέρα μοι προφέρεις, κάλλιστον ὄνειδος Prov.
ἁπάντων, ἡ πλήρης μὲν ἐλαφροτέρη, κενεὰ δὲ βαρεῖα· ἐπὶ τῶν
γαστριμαργούντων. Γαστέρα δὲ ὁ Δαβὶδ τὸ τῶν λογισμῶν ταμεῖον Thdr.
ἐκάλεσεν. ἐταράχθη ἐν θυμῷ ὁ ὀφθαλμός μου, ἡ ψυχή μου καὶ ἡ
γαστήρ μου.

69 Γαστρίζεσθαι: λαμπρότερον τρέφεσθαι. Σ

70 Γαστρίζομαι: τύπτομαι εἰς τὴν γαστέρα. Ἀριστοφάνης· ὦ πόλις, Ar.
ὑφ' οἵων θηρίων γαστρίζομαι.

71 Γαστριμαργία, καὶ Γαστρίμαργος, ὁ ἄπληστος. καὶ Γαστρι- Δ
μάργως, ἀπλήστως. ζήτει ἐν τῷ δαιτρός.

72 Γάστρις: ὁ περὶ γαστέρα ἀκρατής. καλοῦσι δ' οὕτω καὶ τὸν Σ
ἕλμινθας ἔχοντα.

73 Γαῦλος: ὁ ἐξ ἀλλοτρίων ζῶν ἢ ὁ εὐαπάτητος. ἢ πλοῖόν τι φορτ- Δ + Ar. + Σ
ηγὸν Φοινικικὸν, ἢ ἄκατος. Γαυλὸς δὲ ὀξυτόνως, τὸ ποιμενικὸν
ἀγγεῖον, ὃ δέχεται τὸ γάλα. Ἡρόδοτος· γαύλους τε ἐνταῦθα κατα- E
δύσας. ἢ Γαυλός, ὁ τοῦ φρέατος ἀντλητήρ. ἢ οἰνηρὸν ἀγγεῖον, Hdt.
ἐκ ξύλων κατεσκευασμένον, ἣν Ἰταλοὶ μαγγάναν ὀνομάζουσιν. ἐπὶ
δὲ τῶν γαλακτοδόχων ἀγγείων· γαυλούς τε γλαγοπῆγας. ἐν Ἐπι- Anth.
γράμμασι.

74 Γαυνάκας ἀμπεχόμενον. Σ

63 γαργαρίζει sq. = Ba 183, 18, Et. M. 221, 25 65 ὁ sq. Iambl. fr. 3 66 ἔστι sq. Artem. 1, 66 (p. 60, 19) 67 cf. Ambr. 110 = Zon. 422 68 vs. 10 γαστέρα—γαστριμαργούντων = Diogen. III 85 vs. 12 γαστέρα sq. Thdr. in Ps. 30, 10, PG 80, 1080c 69 = Ba 183, 17, Et. M. 222, 2, H 70 Ar. Eq. 272 c. sch. 71 Γαστριμαργία = Ambr. 105; γαστρίμαργος, ὁ ἄπληστος = Ambr. 2 cf. H; γαστριμάργως, ἀπλήστως = Ambr. 130 72 — ἀκρατής = Et. M. 222, 4; καλοῦσι sq. cf. Bk. 230, 16 = H, fort. Ael. D. cf. 162 73 — ζῶν = H, Zon. 417 ὁ εὐαπάτητος + γαυλός—ἀγγεῖον = Philop. diff. πλοῖον—ἀγγεῖον cf. H, sch. Ar. Av. 598, Bk. 230, 24, Et. M. 221, 47 gl. Hdt. 3, 136; ἄκατος cf. Ambr. 83; ποιμενικόν—γάλα cf. Et. M. 222, 25, sch. I 223, Ap. S. 53, 27, Bk. 230, 21 γαύλους —καταδύσας Hdt. 6, 17 vs. 25 γαυλός—ἀντλητήρ gl. Hdt. 6, 119 cf. Bk. 230, 22, Et. M. 222, 32 vs. 27 γαυλούς sq. Anth. 6, 35, 5 74 = Σ^a, fort. fr. com.

65 cf. v. φάσμα 66 Z 416 68 Z 420 69—70 Z 423 72—3 Z 417
73 hinc v. μαγγάνα 74 Z 418

1 γαργαρίζει GITM^{ac}, Ba, Et. Zon. γαργαλίζει rell. 3 Γάργαρε A Γάργαιρε M A(GITFVM)
67 om. FV mg. I post 65 M 12 γαστριμαργούντων] γαστριμάργων V cf. Paroem.
17 γαστρίζομαι] γαστρίζομεν A 22 ὁ ἐξ—ἢ ex GIT 27 γλαγοπῆγας] γλαυγόπηγας A γαυλόπηγας V γλαγόποδας M

Σ 75 Γαυριᾷ· δοτικῇ. ἀγάλλεται, ἐπαίρεται, θρασύνεται.

Δ 76 Γαυροειδής: ὁ ὑπερήφανος.

Σ 77 Γαῦρον: στερρὸν, μέγα, ἀκλινὲς, ἀκατάπληκτον. Ἀριστοφάνης
Ar. Βατράχοις· οὐδὲν γὰρ οὕτω γαῦρον ἔσθ' ὡς Ἡρακλῆς. Ἀγαθίας· ὁ
E δὲ Βελισάριος τὴν ἐγχείρησιν μείζονα ἔδειξε καὶ γαυροτέραν, καὶ περι- 5
χαρὴς γε τὴν νίκην. καὶ αὖθις· ὁ δὲ γαῦρος ὥσπερεὶ κινούμενος.

E 78 Γαῦρος· ὁ δὲ γαῦρός τε ὢν ἀνὴρ καὶ ἀγέρωχος καὶ στρατείαις
ὡμιληκὼς καὶ τοῦτο πρῶτον ἀγαθὸν ἡγούμενος, τὸ ἐν ἀνθρώποις
τιμὴν καὶ δόξαν καὶ πλοῦτον ἐπικλύζοντα καὶ τὸ ἔχειν ἑαυτῷ ὅτι
βούλοιτο κεχρῆσθαι καὶ ἀδεῶς διὰ μέθην νύκτα καὶ ἡμέραν οὐκ εἰδέ- 10
ναι οὔτε ἀνατέλλοντα καὶ δυόμενον ἥλιον, ἵνα καὶ οὐρανοῦ εἶναι
νομίσας τὴν μετάκλησιν, ἐκ τῶν ἀλύπων καὶ διακεχυμένων εἰς ὀλιγω-
ρίαν διατριβῶν ἀπορρήξας ἑαυτὸν καὶ κατατείνας τὴν ψυχὴν εἰς
Suid. φιλοδοξίαν βαρὺς ἀναστὰς ἐκ Παμφυλίας ἀνέστρεφε. Τιμάσιος· οὗτος
ἦν, ὃν Εὐτρόπιος ἤγαγεν. 15

Hom. 79 Γαῖα χάνοι: καταπίοι αὐτὸν ἡ γῆ.

Δ 80 Γεζίτης: τοπικόν.

Δ 81 Γαίειος: ὄνομα κύριον. ὁ τῆς γῆς υἱός.

Δ 82 Γαιήϊος: ὁ γήϊνος.

Δ Suid. 83 Γαιήοχος: ὁ Ποσειδῶν. Γεοῦχος δέ. 20

Δ 84 Γαιοδότης: ὁ ἀπεμπολῶν γῆν.

Δ 85 Γαιών: ὄνομα τόπου. Γαιὼν καὶ Φεισών, ὀνόματα ποτα-
Ps. μῶν. καὶ Γαιῶν, γηΐνων πραγμάτων.

Hom. 86 Γαιοῦχος: ὁ τὴν γῆν ὀχῶν.

ΔΣ 87 Γαῖσα. καὶ Γαισός, κοντὸς, εἶδος ἀμυντηρίου, οἷον δόρατος. 25

Σ | 88 Γεγανωμένος: λελαμπρυσμένος. ἐσκεπασμένος. τὸ περιέ-
E χον τῷ κονιορτῷ γεγανωμένον ἐν χώρῳ βοτανώδει. τουτέστι λελευ-
κασμένον.

75 δοτικῇ cf. An. Ox. 4, 288, 21, Synt. Gud. et Laur. ἀγάλλεται sq. = Ba 183, 20 cf. H 76 = Ambr. 10 77 — ἀκατάπληκτον = Σ^{a} cf. H v. γαύρῳ; — ἀκλινές = Ba 183, 21 οὐδέν—Ἡρακλῆς Ar. Ran. 282 vs. 4 ὁ—6 νίκην Agath. 5, 15, p. 312 78 Eunap. fr. 70, FHG 4, 44—5 79 sch. Z 282 = H; ἡ γῆ = Ambr. 88 80 cf. Ambr. 64 81 = Ambr. 20 cf. sch. η 324, H v. Γαιήϊον, Ap. S. 53, 33 82 = Ambr. 12 83 cf. Stud. An. 267, Herodian. et Didymus ap. Eust. O. 1392, 23; — Ποσειδῶν = Ambr. 75, Stud. An. 279, 283, Ps. Herodian. 12; γεοῦχος cf. Ambr. 221, Stud. An. 278 84 cf. Ambr. 13, Ps. Herodian. 209 85 — τόπου cf. Ambr. 44 Γαιών—ποταμῶν cf. Ambr. 51 et sub litt. Φ, Hes., Ps. Herodian. 12 γαιῶν sq. = An. Ox. 2, 432, 4 86 = sch. α 68 cf. H v. γαιηούχῳ = sch. Ι 183 87 γαῖσα cf. Ambr. 79 γαισός sq. = Σ^{a}; κοντὸς sq. = Ba 183, 11 cf. Ambr. 14, H, Paus. Att. fr. 98 ex Eust. I. 344, 12 88 — λελαμπρυσμένος = Σ^{a}, Ba 183, 22, Et. M. 223, 43, sch. Pl. Rep. 411a, Ambr. 264 cf. H λελευκασμένον cf. Et. M. 223, 45

78 cf. v. Τιμάσιος, ex quo Τιμάσιος sq. 83 cf. 159, ex quo γεοῦχος δέ 85 cf. 241 et v. Φεισών 87 cf. 208

A(GITFVM) 3 ἀκατάπληκτον GT Σ^{a} εὐκατάπληκτον rell. 6 κινούμενος VM κοινούμενος rell. 8 καί—14 ἀνέστρεφε om. V καὶ τὰ ἑξῆς F 8 τό] τῶν v. Τιμάσιος 11 οὐρανοῦ] cf. v. Τιμάσιος 14 Τιμάσιος—15 ἤγαγεν om. F mg. V 17 Γεζίτης] Γαζίτης V cf. Ambr. 18 ὁ—υἱός om. FV 20 γεοῦχος δέ om. FV 22 Γαιών alt.] Γεών A cf. Zon. 427 Γηών M^{ac} 23 καί—πραγμάτων om. FV γηΐνων] καὶ γ. GIT 26 περιέχον] πενέχον A

89 Γεγαννυμένος: ἐπαγαλλόμενος. πῶς δὲ ἀνὴρ βασιλείῳ τύφῳ ἐκ παίδων καὶ κολακείᾳ πολλῇ γεγαννυμένος δίαιτάν τε λαχὼν βαρβαρωτάτην οὕτω διατεθῆναι. E

90 Γέγειαι βόες: αἱ ἀρχαῖαι. καὶ ἀρσενικῶς Γέγειος. Call.

91 Γέγηθε: χαίρει. Σ

92 Γεγηροτροφηκώς: ἐν γήρει θρέψας. Δ

93 Γέγονεν ἐν καλῷ: καλλίστως ἔσχεν. Σ

94 Γεγράψομαι: δεήσομαι. ὥστ' οὐ Κρέοντος προστάτου γεγράψομαι. Σοφοκλῆς φησι. Soph.

95 Γεγωνέναι. καὶ Γεγωνεῖν, ἐξάκουστον βοῆσαι. ΔΣ

96 Γεγωνοκῶμαι: γυναῖκες, αἱ τὰς κώμας ἐμπιπλῶσαι βοήσεων. Σ

97 Γεγωνόν: ἐξάκουστον· λαμπρὸν φθέγμα. καὶ Γεγωνίσκειν, τὸ φθέγγεσθαι ἐξάκουστον. καὶ Γεγωνότερον, τρανότερον. καὶ Γεγωνώς, βοήσας. Γεγώς τις. Δ

98 Γεδεών, στρατηγὸς τῶν Ἑβραίων. Μαδιηνίταις σὺν τοῖς Ἄραψι καὶ Ἀμαληκίταις μέλλοντος πολεμεῖν, ὁ θεὸς συνεβούλευεν ἐπιστὰς περὶ μέσην ἡμέραν ἐν ἀκμῇ τοῦ καύματος ὄντος ἀγαγεῖν τὸν στρατὸν εἰς τὸν ποταμὸν καὶ τοὺς μὲν κατακλιθέντας καὶ οὕτω πίνοντας εὐψύχους εἶναι ὑπολαμβάνειν, ὅσοι δ' ἂν ἐσπευσμένως καὶ μετὰ θορύβου πίνοιεν, τούτους δὴ νομίζειν ὑπὸ δειλίας τοῦτο πάσχειν, καταπεπληγότας τοὺς πολεμίους. καὶ εὑρέθησαν τ' ταῖς χερσὶ τεταραγμένοι πίνοντες. E

99 Γεδεών, κριτὴς τοῦ Ἰσραὴλ, ἐπάταξε τὸν Μαδιὰμ μετὰ τῶν λαμψάντων ἐν τῷ πίνειν καὶ τὸν Ὠρὴβ καὶ Ζὴβ καὶ Ζεβεὲ καὶ Σαλμωνὰν τοὺς ἄρχοντας αὐτῶν· τόν τε πύργον τοῦ Φανουὴλ κατέστρεψε καὶ τοὺς ἄρχοντας αὐτῶν ἠλόησεν ἐν ταῖς ἀκάνθαις θλίψαντας τὸν Ἰσραὴλ ἔτη ζ'. E

100 Γέεννα: ἡ καταδίκη. Δ

101 Γεηρόν: τὸ γῆϊνον. Δ

102 Γεθσημανή.

89 πῶς sq. Agath. 2, 28, p. 126 90 — ἀρχαῖαι Call. fr. 124 K., an. 13 S. c. sch. cf. Et. M. 223, 32 91 = Ba 183, 23, H 92 l. = Ambr. 269 93 = Ba 183, 24, H 94 Soph. OT 411 c. sch. 95 γεγωνεῖν sq. = Σ^{a} cf. Ba 184, 1, H v. γεγωνέειν et v. γεγωνέμεν, sch. ε 400, Et. M. 224, 11 96 = Et. Gen., Et. M. 224, 27, Eust. I. 909, 6 97 — ἐξάκουστον = H cf. Ba 184, 1, Σ^{a} γεγωνότερον aliter Ambr. 251, Et. M. 224, 25 γεγωνώς, βοήσας cf. H, sch. Λ 275, Ambr. 273 98 Ios. Ant. 5, 210, 216—7 99 Georg. 1, 147, 11—16 100 aliter Ambr. 222 101 = Ambr. 250

89 cf. v. Χοσρόης 90 Z 427 92 Z 432 94 Z 432 97 γεγωνίσκειν sq. Eust. I. 909, 6 101 Z 430

4 καί—γέγειος om. FV post βόες AM 94 extra ord. antistoech. 10 Γεγωνέναι] Γεγονέναι A 11 ἐμπιπλῶσαι] ἐμπιπλᾶσαι AFV 15 Μαδιηνίταις] Μαδιανίταις A cf. Zon. 16 συνεβούλευεν] συνεβούλευσεν FV 21. 22 τεταραγμένοι AM τεταραγμένως G1TF cp. V 23. 24 λαμψάντων] λαψάντων TV cf. Georg. 24 Σαλμωνάν A Σαλμώ FV, cp. GIM cf. Georg. 25 αὐτῶν] αὐτῷ AF 102 om. ATFV post 99 G A(GITFVM)

103 Γελγέλ: ὁ τροχὸς ὀνομάζεται. καθάπερ οὖν ἐξ ὄρους ὑψηλοῦ τοῦ σωτηρίου στόματος προενεχθέντα ταῦτα τὰ ῥήματα δίκην τροχοῦ κατὰ τὴν οἰκουμένην ἐκυλίσθη καὶ πᾶσαν ἐπέδραμε· καὶ ἐβαπτίσθησαν
Suid. πάντες κατὰ ἔθνη καὶ πόλεις. διὸ καὶ Γαλιλαία κατακυλιστὴ λέγεται τῇ Ἑλλάδι γλώσσῃ.

Ar. 104 Γελάδας: ἀγαλματοποιὸς, διδάσκαλος Φειδίου.

Ar. 105 Γέλα καὶ Καμάρινα, πόλεις Σικελίας.

Σ 106 Γελασείοντα: γελαστικῶς ἔχοντα, γελάσαι θέλοντα.

107 Γελασείω: ἐπιθυμητικῶς ἔχω τοῦ γελᾶν. Δαμάσκιος· νῦν δὲ καὶ τῷ μὴ πάνυ γελασείοντι γέλωτα παρέξει γενναῖον ἡ τοῦ ἔργου διέξοδος.

108 Γελασίνοις: γραμμαῖς ταῖς ἐκ τοῦ γελᾶν γινομέναις. ἐν Ἐπι-
Anth. γράμμασι· καὶ ῥ' ἡ μὲν τροχαλοῖς σφραγιζομένη γελασίνοις λευκὴ ἀπὸ
Suid. γλουτῶν ἤνθεεν εὐαφίην. ὅτι ὁ Δημόκριτος ὁ Ἀβδηρίτης ἐπεκλήθη Γελασῖνος διὰ τὸ γελᾶν πρὸς τὸ κενόσπουδον τῶν ἀνθρώπων.

Soph. 109 Γελαστής: ὁ ἐπεγγελῶν. οὔθ' ὡς γελαστὴς, Οἰδίπους, ἐλήλυθα, οὔθ' ὡς ὀνειδιῶν τι τῶν πάρος κακῶν. ὁ Κρέων φησί.

Δ 110 Γέλγιθες: σκορόδων κεφαλαί. καὶ πότιμοι γέλγιθες ἠδέ τε
Anth. ὄγχναι, δαψιλῆ οἰνοπόταις γαστρὸς ἐπεισόδια.

Δ 111 Γελίμερις: ὄνομα κύριον.

Σ 112 Γελλοῦς παιδοφιλωτέρα· αὕτη ἄωρος ἐτελεύτησε, καὶ τὸ φάντασμα αὐτῆς ἐδόκουν ἐπὶ τὰ παιδία καὶ τοὺς ἀώρους θανάτους ἰέναι.

Δ Synt. 113 Γέλων: ὄνομα κύριον. Γέλων δὲ τὸν γέλωτα. καὶ Γελῶ σε.
On. λύσις ὀνείρου· γελῶν καθ' ὕπνους δυσφόρους ἕξεις τρόπους.

Δ 114 Γελῷος: ἐθνικόν. καὶ Γελῴων, ἐθνῶν. καὶ Γέλως, ἡ χαρμονή.

Prov. 115 Γέλως Μεγαρικός: ἥκμασε γὰρ ἡ Μεγαρικὴ κωμῳδία ἀώρως, ἣν Ἀθηναῖοι καταμωκώμενοι ἐγέλων.

Ε 116 Γέλως πλατύς· ὁ δὲ Πέρσης ἐς τοσοῦτον ἐληλάκει φρυάγματος ὡς γέλωτα τῶν ἀγγελλόντων καταχέειν πλατύν. Σιμοκάτης φησί.

Prov. 117 Γέλως συγκροτούσιος: ὁ ἄτακτος καὶ ἄσεμνος· ἐκ μεταφορᾶς τοῦ μετὰ κρότου χειρῶν καὶ ποδῶν γενομένου γέλωτος.

103 — τροχός cf. Lagarde 189, 95 104 sch. Ar. Ran. 501; cf. Frickenhaus, Archäol. Jahrb. 1911, 25 105 sch. Ar. Ach. 606 106 = sch. Pl. Phaed. 64 b 107 νῦν sq. Dam. fr. 21 108 καί—εὐαφίην Anth. 5, 34, 3—4 109 οὔθ' sq. Soph. OT 1422—3 110 — κεφαλαί = H καί sq. Anth. 6, 232, 5—6 111 cf. Ambr. 165 112 cf. Zen. III 3, H 113 — γέλωτα = Ambr. 170 et 152 cf. Philop. diff., H γελῶ σε cf. Synt. Gud., An. Ox. 4, 288, 27 vs. 24 γελῶν sq. Astramps. 114 — ἐθνῶν cf. Ambr. 172, 210; γέλως sq. = Ambr. 152 115 = Paroem. ed. Gsf. 30, n. 285 116 Th. Simoc. 2, 2, 1 117 cf. Zen. II 100

103 cf. 36, ex quo διό sq.; Z 430 105 cf. v. Καμάρινα 107 Z 432 108 Z 427. ὅτι sq. ex v. Δ 447 109 Z 424 110 Z 427. Anth. cf. v. ἐπεισόδιον 1 111 Z 425 113 Astramps. cf. v. καθ' ὕπνους

A(GITFVM) 103 extra ord. 4 διό—5 γλώσσῃ om. FV nov. gl. A 107 non nov. gl. A 14 εὐαφίην] εὐβαφίην GIT ὅτι—15 ἀνθρώπων om. TFV post 109 A ὁ pr. om. GIM 23 καί—24 τρόπους om. GFV γελῶ σε] γελῶσαι A 24 λύσις —τρόπους om. T mg. A 29 τῶν] τὸν τῶν A

118 Γέλοιος: ὁ καταγελαστότατος, προπαροξυτόνως. Γελοῖος δὲ ὁ Σ
γελωτοποιός. καὶ παροιμία· γελοιότερον ἀπεργάζῃ τῶν τὰς κέγ-
χρους ἀποτορεύειν ἐπιχειρούντων ἢ καθάπερ τὸν Μυρμηκίδην ἀντι-
πραττόμενον τῇ Φειδίου τέχνῃ. καὶ ἑτέρα παροιμία· Γελοιότε- Prov.
ρον Μελιτίδου, ἐπὶ τῶν ἐπὶ μωρίᾳ διαβεβλημένων. Μελιτίδης
γὰρ ἀνὴρ κωμῳδούμενος ὑπὸ τῶν ποιητῶν ἐπὶ μωρίᾳ κατὰ ταυτὰ
τῷ Ἀμφιστείδῃ. τοῦτον δέ φασιν ἀριθμῆσαι μὲν πολλὰ παθόντα
μέχρι τῶν ε′ καὶ πέρα μηκέτι δύνασθαι, γήμαντα δὲ τῆς νύμφης μὴ
ἅψασθαι· φοβεῖσθαι γὰρ μὴ αὐτὸν ἡ παῖς τῇ μητρὶ διαβάλλῃ. ὁ δὲ
Ἀμφιστείδης ἠγνόει ἐξ ὁποτέρου γονέων ἐτέχθη.
119 Γελοῖον: γέλωτος ἄξιον. Δ
120 Γεμίζω· γενικῇ. ἔστι δὲ καὶ αἰτιατικῇ. τὸ ἀντλῶ. Synt. Δ
121 Γεμίνιος: ὄνομα κύριον. Δ
122 Γέμω· γενικῇ. τὸ πλήθω. ὁ δὲ Σκηπίων πυνθανόμενος τὸν Δ
ἀδελφιδοῦν γέμειν ἀργίας καὶ στάσεως καὶ τρυφῆς, ἔφη μὴ κρατήσειν E
πολεμίων πρὶν κατασχεῖν τῶν ἰδίων ἐγκρατῶς.
123 Γεννάδας: γενναῖος, εὐγενέστατος. Σ
124 Γεννάδιος, πατριάρχης Κωνσταντινουπόλεως, νύκτωρ εἰσελθὼν E
εἰς τὸ ἅγιον θυσιαστήριον προσεύξασθαι εἶδέ τι φάσμα δαιμόνιον καὶ
ἤκουσε κράζοντος, ὡς αὐτοῦ μὲν ζῶντος ἐνδίδωσιν, ὕστερον δὲ κρα-
τήσει πάντως τῆς ἐκκλησίας.
125 Γενάρχου: πατρός. Σ
126 Γενναῖος: ὁ εὖ γεγονώς. καὶ Γενναῖος εἶ ἐκ βαλαν- Σ
τίου, ἐπὶ τῶν διὰ πλοῦτον εὐγενῶν εἶναι δοκούντων. ὅτι χρημά- Prov.
των κρείττων ὁ γενναῖος ἀνήρ.
127 Γενναιότατος. ὤμοι τάλαινα, ὡς κακῶς διάκειται, γενναιό- Δ
τατος περὶ ἐμὲ γενόμενος καὶ θανάτου με ῥυσάμενος. E
128 Γενεά: κατ' ἐνίους μὲν ἔτη ζ′, ὅθεν καὶ λέγουσιν οἱ ἰατρικοὶ
τῶν δύο γενεῶν μὴ δεῖν φλεβοτομεῖν, τὸν τεσσαρεσκαιδέκατον λέγον-
τες ὡς ἔτι προσδεομένου αἵματος καὶ οὐδέπω ἔχοντος περισσὸν αἷμα·

118 — γελωτοποιός = Ba 184, 5, Et. Gen. cf. Et. M. 224, 35, 45, Ael. D. fr. 101 ap. Eust. I. 205, 44, Ammon., Philop. diff., Eust. I. 906, 52, Thom. 75, 13, sch. Luc. 105, 5, H γελοιότερον—τέχνῃ Iulian or. 3, p. 111 d—112 a vs. 5 ἐπί alt. sq. cf. Eust. O. 1669, 52, sch. Ar. Ran. 990 119 cf. H, Et. M. 224, 45, Ambr. 151 120 l. = Ambr. 281; γενικῇ cf. Synt. Laur.; αἰτιατικῇ cf. An. Ox. 4, 288, 25 121 = Ambr. 174 122 — γενικῇ = An. Ox. 4, 288, 24, Synt. Laur. ὁ sq. App. Iber. 84 extr. 123 = Ba 184, 16 cf. H 124 Georg. 2, 616, 19—617, 2 125 = Ba 184, 7, H 126 — γεγονώς Tim. cf. sch. Luc. 4, 16 γενναῖος sec.— δοκούντων = Zen. II 88 ὅτι sq. Dam. fr. 24 127 l. = Ambr. 203 ὤμοι sq. Iambl. fr. 10* 128 — p. 514, 1 γεγονέναι Artem. 2, 70 init. cf. Bk. 231, 15, H

118 Z 424, Vind. 15. Iul. hinc v. Μυρμηκίδην cf. v. Φειδίας. extr. cf. v. A 1771, v. B 468, v. Μαργίτης 2 120 Z 432 122 Z 432 123 Z 425 125 Z 425

5 Μελιτίδου GT Μελιτίου rell. Μελιτίδης] Πίδης V 7 τοῦτον— A(GITFVM) ἀριθμῆσαι] μῆσαι V 28 ἰατρικοί] ἰατροί FM 29 τῶν] τόν V cf. Artem. 30 προσδεομένου] προσδεόμενον Artem. ἔχοντος] ἔχοντα Artem. plerique

κατ' ἐνίους δὲ λ', ὅθεν καὶ τὸν Νέστορα βούλονται ϛ' ἔτη γεγονέ-
Suid. ναι. καὶ τριγέρων, ὁ τρεῖς γενεὰς βιούς, τουτέστιν ἐνενηκοντούτης. Νέστωρ ἐν Πύλῳ ἡγαθέῃ τύμβον ἔχει τριτογέρων.

129 Γενεαῖς γενεῶν: τουτέστιν ἀπείροις τισὶ γενεαῖς.

Σ 130 Γένεθλα: γεννήματα.

Σ 131 Γενέθλια: ἡ δι' ἐνιαυτοῦ ἐπιφοιτῶσα τοῦ τεχθέντος ἑορτή. καὶ Γενεθλιαλογία, μαντεία περὶ τῆς γεννήσεως.

Hesy. 132 Γενέθλιος, Γενεθλίου, Παλαιστῖνος, ἐκ Πετρῶν, σοφιστής, μαθητὴς Μινουκιανοῦ καὶ Ἀγαπητοῦ, ἀντιπαιδεύσας κατὰ τὰς Ἀθήνας Καλλινίκῳ τῷ διασήμῳ, δεξιὸς τὴν φύσιν καὶ ὅλην μελέτην ἀπομνημονεύσας ἐν ἀκροάσει. τελευτᾷ δὲ νέος ἐτῶν η' καὶ κ'. ἔγραψε δὲ Λαλιὰς ἤτοι Διαλέξεις καὶ Μελέτας, ὧν ἐστιν, ὁ ἄπολιν ἑαυτὸν ἀποκηρύττων μετὰ τὴν τῶν Θηβῶν κατασκαφήν· Προπεμπτικὸν πρὸς τοὺς ἑαυτοῦ ἑταίρους Δᾳδοῦχον καὶ Ἀσκληπιάδην, Πανηγυρικούς.

Σ 133 Γενέσια: ἡ δι' ἐνιαυτοῦ ἐπιφοιτῶσα τοῦ τεχθέντος μνήμη.

Δ 134 Γένεσις: ὁ κόσμος. περὶ τὴν γένεσίν τε πλανᾶται λήθῃ βαρούμενος καὶ κακίᾳ.

135 Γένεσις: ἡ τοῦ παντὸς διακόσμησις. ὁ δὲ Ἰσίδωρος διαπτύων τὴν γένεσιν ἀεὶ πρὸς θεὸν ἐτέτατο τὴν ψυχήν. καὶ οὐδὲν ἦν ἰδεῖν ἢ ἀκοῦσαι φθεγγόμενον ἢ τὰ αὐτὰ περὶ τῶν αὐτῶν, ἢ περὶ ἀρετῆς καὶ κακίας.

|E 136 Γένεσις: γένεσις λέγεται καὶ ἡ εἱμαρμένη. ἔστι δὲ πρεσβύτερον τῆς γενέσεως ἔννοια καὶ αὐτεξουσιότης. Γένεσις καὶ ἡ
E ἀρχή. Αἰλιανός· ἔνθεν οἱ καὶ τὸ ἀρρώστημα ἦν τὴν γένεσιν λαβόν.

Σ 137 Γενέτειραν: μητέρα. ποιητικῶς.

Σ 138 Γενετή: πάτρια ἢ γενέσια.

Δ 139 Γενέτης: ὁ πατήρ.

Δ 140 Γενετικόν: ἡ γέννησις.

Ar 141 Γενετυλλίς: δαίμων περὶ τὴν Ἀφροδίτην, γενέσεως αἴτιος, ἀπὸ τῆς γενέσεως τῶν παίδων ὠνομασμένος. πεποίηται δὲ τὸ ὄνομα παρὰ τὴν γένεσιν. οἱ δὲ περὶ τὴν Ἄρτεμίν φασι τῶν τοκετῶν ἐφό-

129 gl. sacra 130 = Ba 184, 8 cf. H v. γενέθλιον 131 = Ba 184, 10, 15, Et. M. 225, 29, 28; — ἑορτή = sch. Pl. Alc. 121 c 133 = Σ^a, sch. Pl. Alc. 121 c, Et. Gen., Et. M. 225, 20 cf. 30 135 ὁ sq. Dam. fr. 32 136 πρεσβύτερον—αὐτεξουσιότης Georg. 98, 7—8 ἔνθεν sq. Aelian. fr. 94 137 = Ba 184, 9 cf. Ambr. 224 138 = Ba 184, 17 139 = Ambr. 159 cf. H 140 = Ambr. 253 141 — Ἀφροδίτην + πεποίηται sq. Ar. Th. 130—2 c. sch.; περί—ὠνομασμένος sch. Ar. Lys. 2 cf. sch. Ar. Nu. 52, H

128 τριγέρων sq. ex v. τριγέρων 129 Z 427 131 cf. 133 132 Ps. Hesych. 15 133 cf. 131 134, 136 Z 428 139 Z 425

A(GITFVM) 1 ϛ' ἔτη] ἐνενηκονταετῆ VM 2 καί—3 τριτογέρων om. FV 3 Πύλῳ M Πύλη rell. 11 ἀκροάσει] α' ἀκροάσει Meursius ἀκροάσει μιᾷ Ps. Hesych. 12 ἄπολιν AITM ἄπολις G 13 τῶν om. A 15 τεχθέντος ex vs. 6 irrepsisse vid. Bhd., τεθνεῶτος Σ^a, sch. Pl. cf. Et. 20 τά—αὐτῶν] περὶ τῶν αὐτῶν τὰ αὐτά FV ἀρετῆς] αὐτῆς FVM 22 ἡ om. A 23 γένεσις] nov. gl. GITV 30 ἀπό—p. 515, 3 μανδαλωτόν] καὶ τὰ ἑξῆς F om. V

ρους, καὶ πάλιν παρὰ τὴν γένεσιν. Ἀριστοφάνης· ἡδὺ τὸ μέλος, ὦ πότνιαι Γενετυλλίδες, καὶ θηλυδριῶδες καὶ κατεγλωττισμένον καὶ μανδαλωτόν.

142 Γενειάς: αἱ τρίχες. Γένειον, ὁ τόπος, τὸ μέρος τοῦ σώμα- Δ
τος. ἐκ δὲ δασκίου γενειάδος κρουνοὶ διερραίνοντο κρηναίου Soph.
ποτοῦ. ζήτει ἐν τῷ ἀπόνοια. ὅτι ἡ τοῦ ἄνω χείλους τρίχωσις λέγεται Suid.
μύσταξ, τὸ δὲ κάτω πάππος.

143 Γεννητική. ὅτι κρείττων πασῶν καὶ τιμιωτέρα τῶν τῆς Δ
ψυχῆς φυσικῶν δυνάμεων ἡ γεννητική, δεύτερον δὲ ἡ αὐξητική, καὶ Phil.
τρίτον ἡ θρεπτική. τῆς μὲν γὰρ θρεπτικῆς ἔργον ἐστὶ τὸ σῴζειν τὸ εἶδος· μέχρι γὰρ τοσούτου σῳζόμεθα, ἕως ἂν τρεφώμεθα· τῆς δὲ αὐξητικῆς τὸ εἰς τέλειον καὶ κατὰ φύσιν μέτρον ἀγαγεῖν, εἰς ὃ γενόμενα τά τε ζῷα καὶ τὰ φυτὰ ἐπὶ τὸ σκοπιμώτατον τῆς φύσεως τέλος, λέγω δὴ τὴν γεννητικὴν δύναμιν, παραγίνεται. οὕτω γὰρ τῆς φύσεως ὁ τελικώτατος σκοπὸς διὰ τὴν ἔφεσιν τῆς ἀϊδιότητος, τοῖς θνητοῖς ζῴοις ἐπισκευαστῆς τῇ διαδοχῇ γινομένης. ὥστε ἡ μὲν αὐξητικὴ ὕλης ἐπέχει λόγον πρὸς τὴν γεννητικήν, πρὸς δὲ τὴν αὐξητικὴν ἡ θρεπτική. ὅτι Μέλισσος ᾤετο τὸ μὴ γενόμενον οὐκ ἔχειν ἀρχήν· ψεῦδος δέ ἐστι· πολλὰ γὰρ ἀγέννητα ὄντα ἀρχὰς ἔχει.

144 Γενησαρέτ: ὄνομα τόπου. Δ

145 Γέννησιν: τὴν τῶν Ἀφροδισίων μίξιν.

146 Γεννηταί: οὐχ οἱ ἐκ γένους καὶ ἀφ' αἵματος προσήκοντες, Σ
ἀλλὰ οἱ ἐκ τῶν γενῶν τῶν συννενεμημένων εἰς τὰς φρατρίας. οὗτοι δέ εἰσι καθάπερ οἱ δημόται καὶ φράτορες, νόμῳ τινὶ ἔχοντες κοινωνίαν. τὸ δὲ γένος ἔχει ἄνδρας λ'. αἱ δὲ φρατρίαι ἐκαλοῦντο τριττύς, ὅτι τεσσάρων φυλῶν οὐσῶν εἰς τρία ἑκάστην διεῖλον μέρη, τὰς μὲν φυλὰς τέσσαρας ποιήσαντες, ἀπομιμησάμενοι τὰς τοῦ ἐνιαυτοῦ ὥρας, τὰς δὲ φρατρίας καὶ τριττὺς ιβ', καθάπερ οἱ μῆνες, τὰ δὲ γένη λ' ἐν ἑκάστῃ φρατρίᾳ, καθάπερ αἱ ἡμέραι τξε'.

147 Γεννῆται: οἱ τοῦ αὐτοῦ γένους κοινωνοῦντες. καὶ γὰρ διή- Harp.
ρηντο κατὰ μέρη οἱ τῶν Ἀθηναίων πολῖται, καὶ τὰ μὲν μέγιστα μέρη

142 — τόπος cf. Et. M. 226, 4, 225, 55, H; γένειον = Ambr. 260 ἐκ—ποτοῦ Soph. Trach. 13—14 143 l. = Ambr. 227 vs. 8 ὅτι—17 θρεπτική Philop. 228, 10—19; Μέλισσος sq. Alex. Aphr. 192, 1—3 144 cf. Ambr. 248 146 = sch. Pl. Phileb. 30d cf. Lex. Patm. p. 152 = Aristot. Ath. Pol. fr. 3, sch. Pl. Ax. 371d, Eust. I. 239, 37 (Paus. Att. attr. Cohn, Neue Jahrb. Suppl. 13, 810, 834); Bk. 227, 9 = Et. M. 226, 13; Bk. 231, 23 = H, Et. M. 226, 19; Poll. 8, 111, Moeris 193, 16, Tim., Bk. 185, 18 147 Harp. cf. Sabb.; Philoch. fr. 92, FHG 1, 399; Isae. 7, 13

142 Z 429. ὅτι sq. ex v. πάππος 143 hinc v. A 4454 et v. σκοπιμώτατον 144 Z 428 146—7 sch. Dem. 57, 23; cf. v. φράτερες et v. φράτορες 147 Philoch. hinc v. ὁμογάλακτας cf. v. ὀργεῶνες

1 παρά AM περί GIT 142 om. F 6 ζήτει—7 πάππος om. TV A(GITFVM)
ὅτι—πάππος om. G mg. A (et iterum textu post vs. 8 Γεννητική), M, post vs. 4 τρίχες I 8 κρείττων] κρείσσων GFVM ad 18 Μέλισσος: ὄνομα κύριον mg. add. AIM 23 φρατρίας] φατρίας GITV 24 τινί] μή V 25 φρατρίαι cett. AF φατρίαι rell. τριττύς sch. Pl. etc. τριττοί omnes, v. l. sch. Pl. sec. Gsf. 29 ἐν FV sch. Pl., om. rell.

φυλαὶ ὠνομάζοντο, ἑκάστη δὲ φυλὴ πάλιν εἰς τρία διῄρητο, ὧν ἕκαστον μέρος τριττὺς καὶ φρατρία ὠνομάζετο. πάλιν δὲ τῶν φρατριῶν ἑκάστη εἰς γένη διῄρητο λ′, ἐξ ὧν αἱ ἱερωσύναι ἑκάστοις προσήκουσαι ἐκληροῦντο. καὶ γεννῆται, οἱ ἐκ τοῦ αὐτοῦ καὶ πρώτου γένους τῶν λ′ γενῶν, οὓς καὶ πρότερόν φησι Φιλόχορος ὁμογάλακτας καλεῖσθαι. Ἰσαῖος μέντοι τοὺς γεννήτας ἁπλῶς τοὺς ἐξ αἵματος συγγενεῖς ὀνομάζει.

Suid. 148 Γενικαὶ ἀρεταί δ′· φρόνησις, ἀνδρεία, σωφροσύνη καὶ δικαιοσύνη. καὶ ζήτει τὰς ἀντικειμένας αὐταῖς ἐν τῷ ὑπερήφανος.

Suid. 149 Γενικός· ὅτι Ἀρτέμιος, ὁ καὶ Ἀναστάσιος, βασιλεὺς Ῥωμαίων, αἰσθόμενος στόλον Σαρακηνῶν ἔρχεσθαι κατὰ τῆς πόλεως Ἰωάννην ἐφίστησιν ἡγεμόνα τοῦ πολέμου, διάκονον τῆς μεγάλης ἐκκλησίας καὶ λογιστὴν τῶν φόρων, ὃν Γενικὸν καλοῦσιν· ὃς πρὸς τῇ Ῥόδῳ γενόμενος, κατασταθεὶς ὑπὸ τοῦ πλήθους ἀναιρεῖται.

ΣΔ 150 Γεννικῶς: γενναίως. ἰσχυρῶς.

151 Γενόμενα καὶ γινόμενα διαφέρει. τὰ μὲν γὰρ γενόμενα πάντως ἀπέβη, τὰ δὲ γινόμενα ἤτοι ἀποβαίνει ἢ οὔ.

152 Γενόμενος ἐξ ὀφθαλμῶν: φυγών, ἀποδράσας. ὁ δὲ γενόμενος ἐξ ὀφθαλμῶν αὐτὸς εἶχε τὰπίχειρα τῆς ἀγνοίας. Γεννώμενος δὲ διὰ δύο νν, ὁ τικτόμενος.

Σ 153 Γεννούστης: οἷον γεννήτης, ἢ συγγενὴς, ἢ ἔγγονος· τὸ τελευταῖον ἐκδέχεσθαι ἄμεινον.

Δ Synt. 154 Γένωμαι· γενικῆ. αὐθυπότακτον. Γεννῶ δὲ αἰτιατικῇ.

Call. 155 Γέντα: τὰ μέλη· γέντα βοὸς μέλδοντες. Καλλίμαχος.

Σ 156 Γένυς: τὰ γένεια.

Soph. 157 Γένυς: εἶδος πελέκεως· ὅτε σοι παγχάλκων ἀνταία γενύων ἁρμόθη πλαγά. καὶ τὸ γένειον.

Σ 158 Γένυσι: σιαγόσιν. ἐν Ἐπιγράμμασι· χὠ μὲν ἐνέκλεισεν φονίαν γένυν, ἐκ δὲ τενόντων ἕνθους ῥομβητὴν ἐστροφάλιζε φόβην.

Anth.

ΔΣ Suid. 159 Γεοῦχος: ὁ Ποσειδῶν. ὁ τὴν γῆν ἔχων. Γαιήοχος δέ.

150 = H; — γενναίως = Ba 184, 19, Σ[a] ἰσχυρῶς = Ambr. 284 cf. 286 151 τὰ μέν sq. Artem. 4, 15 152 ὁ—ἀγνοίας Aeliano attr. Bhd. 153 sch. Pl. Phileb. 30 d 154 αὐθυπότακτον = Ambr. 282 γεννῶ sq. = Synt. Gud., An. Ox. 4, 288, 28 155 Call. fr. 125 K., 309 S. c. sch. 156 = Ba 184, 18, Et. M. 226, 1, Ap. S. 54, 26 cf. H, Ambr. 225 157 Soph. El. 195—6 c. sch. 158 — σιαγόσιν = Ba 184, 21, sch. Λ 416 χὠ sq. Anth. 6, 218, 7—8 159 — Ποσειδῶν cf. Ambr. 221, Stud. An. 267, 278 ὁ τ. γ. ἔχων = Σ[a], Ba 184, 22

148 cf. v. A 3330 et v. ὑπερήφανος 149 ex v. A 4027 151 hinc 272 155 cf. v. μέλδοντες. Z 430 157 Z 429 158 cf. v. τένοντες 159 cf. 83, unde Γαιήοχος δέ. Z 425

A(GITFVMB) 5 Φιλόχορος] Φιλόχωρος TFV cf. Harp. 148 om. FV mg. I post 149 A post 150 GM (sed α praem. M) post 151 T 8 καί alt.—9 ὑπερήφανος om. T 9 αὐταῖς] αὐταῖς κακίας Kust. 149 om. TFV mg. I 18. 19 γεννώμενος nov. gl. GITVM post 152 cf. ad 156 22 γενικῇ om. GTFV ss. I γεννῶ δὲ αἰτιατικῇ om. FV 23 βοός] βοῶν v. μέλδοντες Καλλίμαχος] Καλλιμάχῳ AV 156 post 152 GITFV, utrobique A (seq. 157 in FV) 25 Γένυς] καὶ πόλεως ss. V ἁρμόθη] ἁρμόσθη GI ὡρμήθη B ὡρμάθη Soph. 26 καὶ τὸ γένειον ex A 27 χώ] ἤγουν ὅτι ss. V 28 ἐστροφάλιζε] ἐστροφάλιξε v. τένοντες, corrector Anth. 29 γαιήοχος δέ om. FV

160 Γεωγραφία: ἡ περιήγησις. Δ
161 Γεώδης: ὁ ἐκ τῆς γῆς. Δ
162 Γεώλοφον: ὀρεινόν, ὄρος, ὕψωμα γῆς· καλοῦσι δ' οὕτως καὶ τὸν Σ
παχὺν καὶ ἀναίσθητον ἄνθρωπον. πέπατο γὰρ οὐ μέγα τοῦτο κλη- Anth.
ρίον ἐν λυπρῇ τῇδε γεωλοφίῃ.
163 Γεωμέτρης: ὁ τὴν γῆν μετρῶν. Δ
164 Γεωμετρία. γεωμετρία ἐστὶν ἐπιστήμη ἐπιστητοῦ ἢ ὑποληπτοῦ. Δ
ἐπιστητὰ γὰρ καὶ ὑποληπτὰ καὶ τὰ ὧν ἐστιν ἡ γεωμετρία ἐπιστήμη. Phil.
ταύτην δὲ τὴν ἐπιστήμην ἐφεῦρον Αἰγύπτιοι, ἐκ τοῦ ἁπλέτου τῆς γῆς E
καὶ τῆς διαιρέσεως τῶν χώρων προδιδαχθέντες, εἶτα καὶ συγγράψαντες.
165 Γεωμόριον: γεώργιον. ἐν Ἐπιγράμμασι· ἐφ' αἷς πολὺν ἔβρασεν Σ
ἄντλον Κριθῶν καὶ λιπαρὰν εἶδε γεωμορίην. Anth.
166 Γεωμόρος: ὁ περὶ τὴν γῆν κοπιῶν. Δ
167 Γεωπεῖναι: οἱ μικρὰν καὶ λυπρὰν ἔχοντες γῆν. παρὰ δὲ Ἡρο- Σ
δότῳ οἱ γῆς πεινῶντες καὶ ἀπορούμενοι. Hdt.
168 Γεωπείνης καὶ Γεωπόνος καὶ Γεηπόνος, ὁ τὴν γῆν πονῶν Δ
καὶ ἐργαζόμενος.
169 Γεωπός: ὁ γεωργός. Δ
170 Γεώργιος, διάκονος τῆς μεγάλης ἐκκλησίας καὶ χαρτοφύλαξ, τὸ Hesy.
ἐπίκλην Πισίδης. Ἑξαήμερον δι' ἰάμβων εἰς ἔπη τρισχίλια, Εἰς Ἡράκλειον
τὸν βασιλέα καὶ Εἰς τὸν κατὰ Περσῶν πόλεμον, ἔτι τε Ἀβαρικὰ καὶ κατα-
λογάδην Ἐγκώμιον εἰς τὸν μάρτυρα Ἀναστάσιον.
171 Γεώργιος ἄλλος, ὁ ἀλλόκοτα δογματίσας· καὶ ζήτει ἐν τῷ Ἀπολιναρίου. Suid.
172 Γεωργῶ· αἰτιατικῇ. Synt.
173 Γεῶρες: οἱ γεωφύλακες. Δ
174 Γεωφάνιον: χωρίον ἐν ᾧ μέταλλον. Harp.
175 Γεράνεια: πόλις. Δ
176 Γέρα: οὐδετέρως· τιμαί. ἐπειδὴ κεκάθαρτο τῷ βασιλεῖ ὁ στρατὸς Δ
καὶ τὰ γέρα ξὺν δίκῃ νενέμητο ἑκάστοις, τηνικαῦτα ἔγνω ἐξελαύνειν E
ἐπὶ πόλεμον.

160 l. = Ambr. 241 161 = Ambr. 145 162 = Lex. rhet. in Et. Gen., Et. M. 222, 52 (post 223, 28); — γῆς = Ba 185, 2 cf. H v. γεύλοφα = Bk. 232, 9; καλοῦσι—ἄνθρωπον Ael. D. fr. 107 ap. Eust. I. 962, 23 πέπατο sq. Anth. 6, 98, 5—6 163 = Ambr. 142, H 164 l. = Ambr. 246 γεωμετρία sec.— vs. 7 ἐπιστήμη Alex. Aphr. 482, 14—15 ταύτην sq. Georg. 1, 74, 7—9 cf. 48, 21—23 165 — γεώργιον = Ba 185, 1 ἐφ' sq. Anth. 6, 258, 3—4 166 = Ambr. 140, Ps. Herodian. 209 167 — γῆν Tim. οἱ sq. Gl. Hdt. 2, 6 = H cf. Orus ap. Et. M. 223, 30 168 — γεηπόνος = Ambr. 135—6, 138; γεηπόνος cf. H 169 = Ambr. 139 172 = Synt. Laur. et Gud. 173 = H, cf. Ambr. 133 174 Harp. cf. Bk. 227, 16 175 = Ambr. 239, Steph. Byz. 176 cf. Cyr. γέρα· τιμαί

160 Z 430 162 Z 426. Anth. cf. v. λυπρή et v. πέπατο 164 hinc v. ἐπιστήμη 2 165 cf. v. A 2751. Z 431 167 Z 426 171 ex v. A 3398

14 λυπράν] λῆπραν A λιπράν M λυπαράν I λιπαράν F 16 καὶ γεηπόνος A(GITFVM) om. V πονῶν IV cf. Zon. 433 v. γηπόνος, Et. M. 229, 45: πεινῶν rell. cf. vs. 15 18 ὁ om. FV 22 μάρτυρα] μέγαν AV Ἀναστάσιον] Ἀθανάσιον A cf. Usener, Act. Anastasii p. IV 171 om. GTFV post 169 M 23 ἄλλος I ὁ ἄλλος A om. M 28 οὐδετέρως] οὐδέτερον AVM 30 πόλεμον] τὸν π. V

Σ 177 Γέρρα: παρὰ Σικελοῖς τὰ γυναικεῖα καὶ ἀνδρεῖα αἰδοῖα.

Harp. 178 Γέρρα: Περσικὰ μέν ἐστιν ὅπλα κυρίως τὰ γέρρα· καταχρηστικῶς δὲ καὶ ἅπαν σκέπασμα, εἴτε δερμάτινον εἴτε ἄλλης τινὸς ὕλης, γέρρον ἐλέγετο. διὸ καὶ Δημοσθένης τὰ τῶν σκηνῶν σκεπάσματα καὶ παρακαλύμματα ἐν τῷ ὑπὲρ Κτησιφῶντος γέρρα καλῶν ἐμπίπρασθαι λέγει. λέγοιτ' ἂν ὁμοίως γέρρα καὶ τὰ τῶν σκηνῶν περιφράγματα.

Σ 179 Γερράδια: στρωτηρίδια.

Prov. 180 Γεράνδρυον μεταφυτευόμενον: ἐπὶ τοῦ ἀδυνάτου παρεγγυᾷ, ὅτι μὴ δεῖν τοὺς παρηβηκότας προσάγειν εἰς τὰ τῶν ἀκμαζόντων ἔργα.

Suid. 181 Γεράνεια: πόλις· καὶ Βιστονία, ἐπίθετον τῆς γεράνου· καὶ ζήτει ἐν τῷ Βιστονία.

Harp. 182 Γερανία: ὄρος τῆς Μεγαρίδος.

183 Γέρανος: τὸ ὄρνεον, ἐπίκοινον τῷ γένει. Βάβριος· Λίβυσσα γέρανος ἠδὲ ταὼς εὐπήληξ χλωρὴν ἀεὶ βόσκοντο χείματος ποίην.

Ar. 184 Γέρανοι λίθους καταπεπωκυῖαι: ἐπὶ τῶν προνοητικῶς τι ποιούντων· αἱ γὰρ γέρανοι διὰ τὸ ἐν ὕψει πέτεσθαι καὶ τῇ εἰς εὐθὺ ὁρμῇ τὴν ἐπὶ τὰ κάτω θέαν ἐμποδίζεσθαι λίθους βαστάζουσιν, ὅπως κάμνουσαι τῇ πτήσει ῥίπτοιεν καὶ αἴσθοιντο πότερον ἐπὶ γῆς ἢ θαλάττης φέρονται. καὶ εἰ μὲν ἐπὶ θάλατταν ἥκοι ὁ λίθος, ἀνύουσι τὴν ὁδόν· εἰ δὲ ἐπὶ γῆς, ἀναπαύονται. τοῦτό φησιν Ἀριστοφάνης· γέρανοι λίθους καταπεπω-

Suid. κυῖαι. ὅτι αἱ γέρανοι πετόμεναι ἐν τοῖς στόμασιν ψήφους φέρουσι στηρίγματος ἕνεκα πρὸς τὸ μὴ παραφέρεσθαι ἀνέμοις.

Σ 185 Γεραρόν: ἔντιμον ἢ πρεσβύτερον.

Σ 186 Γέρας: ἀμοιβαί, τιμαί, ἀνταποδόσεις.

Call. 187 Γεργέριμον: τὴν ἐν τῷ δένδρῳ πεπανθεῖσαν ἐλαίαν. ⟨γεργέριμον⟩ πίτυρίν τε, καὶ ἣν ἀπεθήκατο λευκήν. τουτέστι τὴν συνθλασθεῖσαν καὶ οὕτως ἀποτεθεῖσαν ἐλάαν. εἰν ἁλὶ δὲ νήχεσθαι φθινοπωρίδα· τὴν κολυμβάδα λέγει.

Δ 188 Γεργεσαῖος: ἀπὸ τόπου. καὶ Γεργεσηνός.

177 cf. Et. M. 228, 45, Paroem. ed. Leutsch 1, 390, n. 72, Philol. Suppl. 6, 283, sch. Luc. 170, 16, H, Paus. Att. fr. 105 ex Eust. O. 1924, 2 178 Harp. = Et. M. 228, 42, 50 cf. Lex. αἰμ. 622, 36, sch. Luc. 170, 11; Dem. 18, 169 179 = Ba 184, 29 cf. Ambr. 261 180 = Zen. III 1 182 Harp. cf. Et. M. 228, 20 183 Λίβυσσα sq. Babr. 65, 1 a b 184 — vs. 21 καταπεπωκυῖαι Ar. Av. 1137 c. sch. 185 = Σ^a cf. H v. γεραρώτερος; — ἔντιμον = sch. Γ 170 cf. Et. M. 227, 19 186 = Σ^a cf. Ba 184, 23 187 Call. fr. 28 K., 50 S. c. sch. cf. Ath. 2, 56 c 188 cf. Lagarde 174, 97; 189, 10; 175, 11; Ambr. 209, 219

177—8 cf. 205 183 cf. v. ταώς 184 ὅτι sq. ex v. A 2498 sive ex v. ἔρμα 187 hinc v. ἐλάα et v. φθινόπωρος extr., Z 429. cf. v. δρυπέπης

A(GITFVM) 177 om. A 9. 10 ἀκμαζόντων] ἡγοῦν τῶν νέων ss. V 181 ex AM (post 175) 11 ἐπίθετον M ἐπίθετα A 15 βόσκοντο] βόσκοντος GIM χείματος] λείμακος coll. v. λεῖμαξ Lewis 16 καταπεπωκυῖαι] καταπωκυῖαι A προνοητικῶς] προητικῶς F προφητικῶς ss. ἡγοῦν τολμηρῶς V 18 κάμνουσαι] κάμνουσιν A^{cc} 19 πότερον GIT πρότερον rell. 21. 22 καταπεπωκυῖαι] ἡγοῦν καταπιοῦσαι ss. V 22 ὅτι—23 ἀνέμοις om. GTFV mg. AM ψήφους AM ψόφον I 26. 27 ⟨γεργέριμον⟩ suppl. Kust. ex Ath. 28 ἐλάαν] ἐλαίαν GTV

189 Γέργηθες: ὄνομα πόλεως. ἢ ἡ τύρβη, καὶ οἱ χειρώνακτες Δ
οὕτω καλοῦνται παρὰ τοῖς Μιλησίοις τοῖς ἐν περιβολῇ, τουτέστι τοῖς Σ
πλουσίοις.
190 Γέρδιος: ὑφάντης. καὶ παρ' ἡμῖν ἡ γερδία. Σ
191 Γεραιά: ἡ γραῦς. καὶ Γεραιαί, αἱ τῷ Διονύσῳ ἱερώμεναι Δ
γυναῖκες. Harp.
192 Γεραιός: ἔντιμος. καὶ ὁ ῥυτίδων ἀνάπλεως. ἐν Ἐπι- Σ |
γράμμασι· ῥοιὴν ξανθοχίτωνα γεραιόφλοιά τε σῦκα. καὶ αὖθις· ἧς ὁ Anth.
γεραιὸς λαρότερον μαλακῶν ἔπνεεν ἐκ στομάτων.
193 Γεραίρειν: τιμᾶν, δοξάζειν. καὶ Γέραιρε, δόξαζε, τίμα. Σ Ar.?
καὶ παροιμία· Γέραιρε σαυτόν, ἀντὶ τοῦ εὔφραινε σαυτὸν μεγα- Prov.
λορρημονῶν.
194 Γεραιστός: ὄνομα λιμένος. Δ
195 Γεραίτερος: παλαιότερος. λόγος τέ τοί τίς ἐστι τῶν γεραι- Hom.
τέρων, ὅς' ἀνόητα χ' ἡ μῶρα βουλευσώμεθα, ἅπαντ' ἐπὶ τὸ βέλτιον Ar
ἡμῖν ξυμφέρειν. Ποσειδῶν γὰρ καὶ Ἀθηνᾶ ἐφιλονείκησαν περὶ τῆς
Ἀττικῆς, καὶ νικῆσαι τὴν Ἀθηνᾶν. ἡττηθέντα δὲ τὸν Ποσειδῶνα καὶ
λυπηθέντα καταράσασθαι τῇ πόλει καὶ λέγειν αὐτὸν, ὅτι γένοιτο τοὺς
Ἀθηναίους ἀεὶ κακῶς βουλεύεσθαι. ἀκούσαντα δὲ τὴν Ἀθηνᾶν τῆς
κατάρας προσθεῖναι, ὅτι κακῶς βουλεύεσθαι καὶ ἐπιτυγχάνειν.
196 Γερήνιος: ἔντιμος γέρων. ἢ ἐν τῇ Γερήνῃ. Σ Hom.
197 Γέρης: ὄνομα πένητος καὶ φαλακροῦ, ἔθνους Χαόνων. διεβά- Ar.
λετο δὲ εἰς μαλακίαν. καὶ Ἀριστοφάνης· σοὶ δὲ φίλος τίς ἐστιν ἄλλος
ἢ Γέρης; οὐκ ἔστι δὲ παρὰ τὸ γῆρας.
198 Γερμανικός: ὁ Φράγγος. ὅτι οἱ Γερμανοὶ Κελτοὶ λέγονται, οἳ Δ
ἀμφὶ τὸν Ῥῆνον ποταμόν εἰσι. Suid.
199 Γέρρον: ὅπλον. Ξενοφῶν· γέρρον ἐς τὴν ἀριστερὰν, κοπὶς Δ
ἢ σάγαρις ἐς τὴν δεξιάν. καὶ αὖθις· οἱ δὲ γέρρα ἔλαβον δασέων E
βοῶν ὠμοβόϊνα ἀμφὶ τὰ κ'. E

189 — πόλεως cf. Ambr. 232, H v. Γέργιθες, Nicet. p. 659 χειρώνακτες sq. cf. Ath. 12, 524a 190 — ὑφάντης = Ba 184, 26, H cf. Et. M. 228, 40 191 — γραῦς = Ambr. 223 γεραιαί sq. Harp. cf. Ael. D. fr. 103 ap. Et. M. 227, 35; H = Bk. 231, 32 192 — ἔντιμος = Ba 184, 24 cf. H, sch. Z 87 ῥοιήν—σῦκα Anth. 6, 102, 1; ἧς sq. Anth. 7, 24, 9—10 193 — δοξάζειν = Σ^{A} cf. Ba 184, 25, H, sch. H 321 γέραιρε pr.—τίμα fort. sch. Ar. Th. 961 γέραιρε alt. sq. cf. Paroem. ed. Gsf. 30, n. 284, Philol. Suppl. 6, 230, n. 25 194 cf. Ambr. 154 = 228 195 — παλαιότερος sch. I 60 λόγος sq. Ar. Eccl. 473—5 c. sch. 196 — γέρων = Ba 184, 27, H cf. Ap. S. 54, 18 = sch. B 336, Et. M. 227, 49 ἢ sq. sch. B 336 cf. Et. M. 227, 50 = Ambr. 237 197 — φαλακρο0 sch. Ar. Eccl. 932; ἔθνους—μαλακίαν sch. Ar. Ach. 604; σοὶ sq. Ar. Eccl. 932 c. sch. 198 — Φράγγος cf. Ambr. 215 199 — ὅπλον cf. Ambr. 254, Bk. 227, 2 γέρρον alt.—δεξιάν Xen. Cyr. 2, 1, 9 οἱ sq. Xen. An. 4, 7, 22

189 cf. v. περιβολή et v. τύρβη. Z 425 190 Z 425, 429 192 Anth. 7 cf. v. λαρόν 195 hinc v. A 726 extr. et 4358, v. Ποσειδέων extr. cf. v. A 732, v. μῶρα 197 cf. v. Χαόνες 198 Z 425. οἱ sq. ex v. Κελτοί

4 καί—γερδία om. FV 5 Διονύσῳ ed. pr. Διονυσίῳ omnes 17 δέ om. FVM A(GITFVM)
22 ὄνομα] ὁ. κύριον FVM 22. 23 διεβάλετο] διεβάλλετο sch. 25 ὅτι—
26 εἰσι ex IM

Οn. 200 Γέροντα σαυτὸν εἰ βλέπεις, ἕξεις γέρας.

Δ 201 Γέρων, γέροντος. ἡ κλητική, ὦ γέρον. καὶ παροιμία·

Prov. Γέροντι μηδὲν μὴ ποτε χρηστὸν ποίει. παρεγγυᾷ μὴ ἀκρίτως εὐεργετεῖν.

Prov. 202 Γέρων ἀλώπηξ οὐχ ἁλίσκεται πάγῃ: ἐπὶ τῶν διὰ χρόνου πλῆθος ἐμπείρων καὶ δυσαλώτων. καὶ Γέρων βοῦς ἀπένθητος δόμοισιν, ἐπὶ τῶν καθ' ὥραν τελευτησάντων.

Prov. 203 Γέρων πίθηκος οὐχ ἁλίσκεται πάγῃ, ἁλίσκεται μέν, μετὰ χρόνον δ' ἁλίσκεται: ἐπὶ τῶν ἅπαξ δυστυχησάντων.

Σ 204 Γερούσιον: ἔντιμον.

Σ 205 Γέρροιν: ἀπὸ σταυροῦ φησιν Εὔπολις. καὶ Δημοσθένης· τὰ γέρρα ἐνεπίμπρασαν. καὶ οἱ τόποι οἱ περιπεφραγμένοι· καὶ ἀσπίδες Περσικαὶ ἐκ λύγων. καὶ Γέρρα τὰ σκεπάσματα πάντα Ἀττικοί. τινὰ δὲ δερμάτινα σκεπάσματα καὶ Περσικά, οἷς ἀντ' ἀσπίδων ἐχρῶντο.

Ε σημαίνει δὲ καὶ πᾶν αἰδοῖον. καὶ αὖθις Ἡρόδοτος· Κῦρος περιελὼν τὰ πολλὰ τῶν πολεμικῶν κατέλιπε μόνον τὸ συνὸν τοῖς στρατιώταις

Ε μαχαίρᾳ καὶ γέρρῳ καὶ θώρακι μάχεσθαι. καὶ γερροφόροι ὁπλῖται ἐχόμενοι τούτων σὺν ποδήρεσι καὶ ξυλίναις ἀσπίσιν. Αἰγύπτιοι δὲ οὗτοι ἐλέγοντο.

Δ 206 Γεσάται: ἐθνικόν.

207 Γέσιος· ἐπὶ Ζήνωνος ἦν λαμπρυνόμενος ἐπὶ τέχνῃ ἰατρικῇ, Πετραῖος τὸ γένος. καθελὼν δὲ τὸν ἑαυτοῦ διδάσκαλον Δόμνον τὸν Ἰουδαῖον καὶ τοὺς ἑταίρους πρὸς ἑαυτὸν μεταστησάμενος ὀλίγου πάντας πανταχοῦ ἐγνωρίζετο καὶ μέγα κλέος εἶχεν, οὐ μόνον ἰατρικῆς ἕνεκα παρασκευῆς, τῆς τε διδασκαλικῆς καὶ τῆς ἐργάτιδος, ἀλλὰ καὶ τῆς ἄλλης ἁπάσης παιδείας. φιλότιμος γὰρ καὶ φιλόπονος ὢν ὁ ἀνὴρ ἄλλην τε πολλὴν ἐν πολλῷ χρόνῳ μελέτῃ καὶ οὐ φύσει προσπεριεβάλετο δοξοσοφίαν, καὶ τὴν τῶν ἰατρικῶν ἔργων τε καὶ λόγων ἀκριβεστέραν τῶν καθ' ἑαυτὸν πάντων ἰατρῶν τε καὶ ἰατροσοφιστῶν κατώρθωσε τέχνην. βραδέως δὲ ἀρξάμενος ἐπιδεικνύναι δημοσίᾳ τὴν ἐπιστήμην ταχέως ἀνέδραμέ τε καὶ εὐθήνησεν ἐπ' αὐτῇ, πομπικὸς ὢν καὶ ἐπιδεικτικός, φιλοσοφίας μὲν ἐπ' ὀλίγον ἥκων, ἰατρικῆς δὲ ἐπὶ

200 Astramps. 201 — γέρον cf. Ambr. 158, 191 γέροντι sq. = Paroem. ed. Gsf. 30, n. 286, fr. com. ad. 551 202 — πλῆθος cf. Zen. II 90; γέρων βοῦς sq. = Zen. II 97 203 = Apost. V 37a; l. = Laert. 5, 93 204 = Ba 184, 28, sch. Δ 259 cf. H, Ap. S. 54, 19 205 — λύγων = Et. M. 228, 52 cf. Ael. D. fr. 105 ex Eust. O. 1924, 2, sch. Luc. 170, 11; Eupol. fr. 405 (cf. Pherecr. fr. 17); Dem. 18, 169 γέρρα—ἐχρῶντο = sch. Pl. Lach. 191c cf. H, sch. Luc. 170, 15 Ἡρόδοτος 7, 61, 1, sed vitium hic latet Κῦρος—μάχεσθαι Xen. Cyr. 2, 1, 21 καὶ γερροφόροι sq. Xen. An. 1, 8, 9 207 Dam. fr. 299 cf. Phot. bibl. 352b 2

203 cf. v. πίθηκος 3 205 cf. 177—8

A(GITFVM) 5 χρόνου] χρόνων V 6 γέρων—7 τελευτησάντων bis A 7 καθ' ὥραν $A^{\Pi}T^{oc}VMTP$ Prov. καθαρῶς rell. 203 om. F 9 ἅπαξ om. V, v. πίθηκος 12 περιπεφραγμένοι GI, Et. M.: παραπεφραγμένοι rell. 16 μόνον] δὲ μ. V

πλεῖcτον. ὅθεν καὶ χρημάτων μεγάλων ἐγένετο κύριος καὶ Ῥωμαϊκῶν ἔτυχεν ἀξιωμάτων οὐ τῶν τυχόντων. ἀποδέχομαι δὲ τὸ ἀνδρεῖον παράcτημα τῆc ἀγαθῆc ψυχῆc. τόν τε γὰρ Ἡραΐcκον ἐπιζητούμενον ὑπὸ Ζήνωνος βαcιλέως οἴκῳ τῷ ἰδίῳ κατέκρυψε, παραβαλόμενος πρὸc τὸν κίνδυνον καὶ, ἐπειδὴ ἐν τῇ φυγῇ νοcήcας ἀπηλλάγη τοῦ cώματος, εὖ τε περιcτείλας καὶ τὰ νομιζόμενα θεραπεύcας. ὁ δὲ ἀποcταλεὶc βαcιλικὸc Ἀγάπιον καὶ τοὺc ἄλλους φιλοcόφους κατacχὼν εἰc τὸ ἀρχεῖον ἀπήγαγε.

208 Γεcοί. οἱ Ῥωμαῖοι πήξαντες τοὺc γεcοὺc καὶ τὰc περικεφαλαίας τούτοις ἐπιθέντες φανταcίας παρέcχοντο τοῖc ἐκ διαcτήματος ὡc μένοντεc ἐπὶ τοῦ λόφου. ἔcτι δὲ ὅπλον. ὅτι ὁ γεcός ἐcτιν μακροκέντηc ἢ κοντός. ὅτι Κρίτων ἔγραψεν ἐν τοῖc Γετικοῖc. Δ E Suid.

209 Γευcτὴ γλῶττα· ζήτει ἐν τῷ γλῶττα.

210 Γεύομαι· γενικῇ. Synt.

211 Γεῦcιc· ζήτει περὶ ποιοτήτων γεύcεωc ἐν τῷ φαιόν καὶ ἐν τῷ αἰcθήceιc ε'.

212 Γεφυρίζων: χλευάζων, ἐξευτελίζων. Πολύβιοc· ὁ δὲ Cύλλαc πορθήcαc τὰc Ἀθήναc ἐδέηcε μικροῦ διαφθεῖραι τὴν πόλιν θυμῷ διὰ τὰ cκώμματα, ἃ δὴ πολλὰ κατ' αὐτοῦ γεφυρίζων καὶ ἐπικερτομῶν ὁ Ἀρίcτων παρ' ὅλην ἀπέρριπτε τὴν πολιορκίαν. E

213 Γεφυρίc: ξένη καὶ ἐπείακτοc. οἱ γὰρ Γεφυραῖοι ξένοι καὶ ἐπήλυτοι ὄντεc Ἀθήνηcιν ᾤκηcαν. οὕτωc Ἡρόδοτοc. Σ

214 Γειναμέναιc: γεννηθείcαιc. δάκρυα μὲν Ἑκάβῃ τε καὶ Ἰλιάδεccι γυναιξὶ Μοῖραι ἐπεκλώcαντο δὴ τότε γειναμέναιc. Anth.

215 Γείνατο: ἐγέννηcε. καὶ Γείνεται, γεννᾷ. Δ

216 Γειοκόμον: τὸ γειτνίαμα. Δ

217 Γειοτόμον: τὸ ἄροτρον. Etym.

218 Γειῶραι: οἱ τὴν γῆν φυλάccοντεc. Σ

219 Γειωρίcαι. Δ

220 Γείcιον καὶ Γεῖcοc: τὸ ἄκρον τείχουc. ἢ cτεφάνωμα οἴκου. καὶ Γεῖca, τειχῶν ἄκρα. ἢ Γεῖcοc, ὁ γεωργός. Σ Δ

221 Γειcίπουc καὶ Γειcιπόδιcμα καὶ Γειcιποδίζειν: τὸ ἐξέχον Harp.

208 οἱ—λόφου Criton. fr. 1 (absque ratione) FHG 4, 374 ὅπλον cf. ad 87 210 = Synt. Laur. et Gud., An. Ox. 4, 288, 23 212 l. cf. Ambr. 280 Πολύβιοc cf. Byz. Zt. 21, 418, 1. ὁ sq. cf. Plutarch. Sulla 13, est Cass. D. sive Io. Antioch. 213 οἱ sq. = Sabb.; Hdt. 5, 57 214 δάκρυα sq. Anth. 7, 99, 1—2 215 — ἐγέννηcε = Ambr. 272, H, sch. Γ 238, Et. M. 229, 15 216 aliter Ambr. 256, H 217 = Et. M. 229, 47 218 = Ba 184, 4 cf. Ambr. 132 220 — ἄκρα = Ba 184, 2; cτεφάνωμα οἴκου = H 221 Harp. cf. Et. M. 229, 38; γειcιπόδιcμα = Ambr. 258

208 Γεcός—κοντός cf. 87. ὅτι Κρίτων sq. fort. ex v. A 4085 cf. v. Κρίτων 212 Z 433 213 Z 430 218 Z 426

4 παραβαλόμενος AM παραβαλλόμενος GIT 11 ὅτι—12 Γετικοῖc om. TFV A(GITFVM) mg. M post 207 GI 14 γενικῇ AI αἰτιατικῇ M 211 om. FV 15 ζήτει—ε' om. T γεύcεωc post l. GI(T) 17 πόλιν] π. πᾶcαν IT 22. 23 Ἰλιάδεcci] Ἰλιάδεcι ATF cf. Anth. 23 γειnομέναιc AM^{pc} Anth. γειναμέναιc rell. 24 γείνεται] γείναται M γεννᾷ] γεννῶν A γεννῶ F 25 Γειοκόμον] Γειοκόμενον V 217 om. ATFV mg. M post 209 G post 210 I 31 τό—p. 522, 2 γειcιποδίζειν om. A

τῆς δοκοῦ, ἐφ' οὗ τὸ γεῖσόν ἐστι, γειςίπους καλεῖται καὶ γειςιπόδιςμα· γειςιποδίζειν δὲ τὸ ποιεῖν τοῦτο.

Synt. 222 Γειτνιάζω· δοτικῇ.

223 Γίγαρτον: τὸ ἔνδυμα τῆς ςταφυλῆς.

Suid. 224 Γῆ· ἐπεὶ ἕδρα πάςης πόλεώς ἐστιν ἡ γῆ ὡς βαστάζουςα τὰς πόλεις, πλάττεται πυργοφόρος.

Δ 225 Γηγενέτης: ὁ γηγενής. καὶ Γηγενεῖς, οἱ ἐκ γῆς γεγονότες

Thdr. Ἀδὰμ καὶ Εὔα, ἐπεὶ οὐκ ἐκ cυνουςίας ἐγένοντο, κυρίως· καταχρηςτικῶς δὲ πᾶς ἄνθρωπος.

Ar. 226 Γηγενεῖς: ὠχροὺς καὶ νεκρώδεις. ἢ ἀcεβεῖς καὶ θεομάχους, διὰ τοὺς Γίγαντας. οὕτω διαβάλλει τοὺς φιλοςόφους Ἀριςτοφάνης Νεφέλαις· ταῦτ' ἔμαθες τὰ δεξιὰ εἶτα παρελθὼν παρὰ τοὺς γηγενεῖς; καὶ, Γηγενεῖ φυςήματι, ἀντὶ τοῦ μεγάλῳ ὥςτε ςειςμοὺς ποιεῖν· ἀρχαία γὰρ ὑπόνοια τὸ ὑπὸ πνευμάτων κατεχομένην ςείεςθαι τὴν γῆν.

Ps. Ἀριςτοφάνης. λέγονται καὶ Γηγενεῖς, οἱ τὰ γήϊνα φρονοῦντες.

Δ 227 Γήδιον: μικρὰ γῆ.

Ε 228 Γήδιον· ὑπεδέξατο αὐτοὺς ἄγροικος πένης γήδιον λεπτὸν κακῶς γεωργῶν.

Thdr. 229 Γῆ ζώντων: ὁ προcδοκώμενος βίος, ὡς τοῦ θανάτου κεχωριcμένος καὶ ἐλεύθερος λύπης. Δαβίδ· ὑψώcει ce τοῦ κατακληρονομῆcαι γῆν.

Prov. 230 Γῆ θάλατταν cυναναμίγνυcιν: ἐπὶ τῶν cφόδρα ὀργιζομένων ἡ παροιμία.

Σ 231 Γήθειν: χαίρειν.

Δ 232 Γηθοcύνη: χαρά. καὶ Γηθοcύνωc, μετὰ χαρᾶc.

ΣΔ 233 Γηθόcυνοι: χαίροντες. καὶ Γήθω ῥῆμα.

Σ 234 Γηθυλλίc: λάχανον πράcῳ ὅμοιον, ὅ τινες ἀμπελόπραcον λέγουcιν.

Δ 235 Γήϊνοc: ὁ φθαρτός.

Ar. 236 Γῆ κληρουχική: οἱ Ἀθηναῖοι λαμβάνοντες πολεμίαν πόλιν καὶ τοὺς ἐνοικοῦντας ἐκβάλλοντες, πολίτας ἑαυτῶν ἀποcτέλλοντες, κλήρῳ τὴν γῆν αὐτοῖc διένεμον.

222 = Synt. Laur. et Gud. 223 cf. H, Ps. Herodian. 13 225 — γηγενής cf. H v. γηγενέταις, Ambr. 296 γηγενεῖς sq. Thdr. in Ps. 48, 3, PG 80, 1217c, 1220a 226 — vs. 12 γηγενεῖς Ar. Nu. 852—3 c. sch.; γηγενεῖ—γῆν sch. Ar. Ran. 825 vs. 15 γηγενεῖς sq. = An. Ox. 2, 432, 3 227 = Ambr. 331 228 Iambl. attr. Bruhn Rh. Mus. 45, 282 229 — λύπης Thdr. in Ps. 26, 14, PG 80, 1056c; ὑψώcει sq. Ps. 36, 34 230 = Paroem. ed. Gsf. 31, n. 289 231 = Ba 185, 4, H 232 — χαρά = Ambr. 315, H, Et. M. 230, 33 cf. Ba 185, b = sch. N 29; γηθοcύνωc sq. = Ambr. 342 233 — χαίροντες = Ba 185, 6, sch. H 122 cf. H, Ambr. 301 γήθω sq. = Ambr. 332 cf. 340 234 cf. Moeris 194, 6, H v. γήθυα, Ambr. 321 235 = Ambr. 297 236 sch. Ar. Nu. 203

223 cf. 265 224 ex v. Δ 426 225 Z 433 226 hinc v. ειςμός 227 Z 435 229 Z 435 231 Z 436 234 cf. 262. Z 435

A(GITFVM) 223 om. FM; extra ord. 224 om. TFV mg. A post 217 GI 5 πόλεως] τῆς π. A 7 καί om. FVM γηγενεῖς nov. gl. FM ss. V 226 non nov. gl. AM 15 λέγονται—φρονοῦντες om. FV 20 Δαβίδ om. TFV mg. AM 27 δ] οἱ AG^{ac}I

237 Γήλοφος: ὁ ὑψηλὸς τόπος. Δ
238 Γήμας: ὁ ἀνήρ. καὶ Γήμω· αἰτιατικῇ. Δ Synt.
239 Γῆμ' ἐπῆρε: γῆμαι ἀνέπεισε. κυρίως δὲ τὸ ἐπῆρεν, ἀντὶ τοῦ Ar.
ἐχαύνωσε καὶ ἀνεκούφισεν, ἐπαγγελλομένη προῖκα μεγάλην εἰσοίσειν
5 τὴν γυναῖκα, οἰκουρὸν φάσκουσα εἶναι, μὴ οὕτως ἐχούσης. Ἀριστο-
φάνης Νεφέλαις· ἥτις με γῆμ' ἐπῆρε τὴν μητέρα.
240 Γῆν ἱλλομένην: συγκεκλεισμένην καὶ περιειλημμένην. ἱλλάδες Σ
γὰρ οἱ δεσμοί.
241 Γηών: ποταμός. Δ
10 242 Γηῶραι: ἐπίμικτοι, τηρηταὶ τόπων. Σ
243 Γήπαιδες: ὄνομα ἔθνους. Δ
244 Γήπεδον: τὸ χωρίον. ὥσπερ καὶ οἰκόπεδον, τὸ γῇ καὶ οἰκή- Harp
μασιν ἀπαρτιζόμενον.
245 Γηραλέα: ἡ γραῖα. καὶ Γηραλέος, ὁ γέρων. καὶ Γηρα- Δ
15 λέον, οὐδετέρως. νῦν γηραλέαι ἐναγκαλίζονται.
246 Γηρᾶναι: γηρᾶσαι. καὶ παροιμία· Γηράσκω δ' αἰεὶ πολλὰ Σ
διδασκόμενος, ἐπὶ τῶν διὰ γῆρας ἐμπειροτέρων. Prov.
247 Γηραιός: παλαιὸς, προβεβηκώς. ὁ δὲ γηραιός τε ὢν ἤδη καὶ
ἐκ πλείστου ἄμφω τὼ πόδε πεπηρωμένος καὶ οἷος μὴ ἐφ' ἵππου E
20 ὀχεῖσθαι, ὅμως ὥσπερ τις νεανίας ῥωμαλεώτατος οὐκ ἀπηγόρευε πρὸς
τοὺς πόνους, ἀλλὰ φοράδην εἰς τὰς παρατάξεις ἐφοίτα.
248 Γήρειον: τόπος. καὶ Γήρειον ἔτος, τὸ παλαιόν. Δ¦
249 Γηροτροφῶ. Δ
250 Γηρωβοσκῶ: γηροτροφῶ. Σοφοκλῆς· ὅπως γένηται γηρο- Δ Soph.
25 βοσκὸς εἰς ἀεὶ, μέχρις ἂν μυχοὺς κίχωσι τοῦ κάτω θεοῦ.
251 Γηρωκομεῖον, Γηροτροφεῖον δέ. Δ
252 Γῆρυν: φωνήν. ἐν Ἐπιγράμμασι· σὺν καλάμοις ἄγγος τε Σ
μελανδόκον, οἷσι φυλάσσει αἰὼν ἐσσομένοις γῆρυν ἀποιχομένων. Anth.
253 Γηρυόνεια δένδρα, καὶ Γηρυόνειον νῆμα. Δ

237 = Ambr. 287 cf. 319 238 γήμας cf. Ambr. 335 γήμω sq. = Synt. Gud., An. Ox. 4, 289, 1 239 Ar. Nu. 42 c. sch. 240 Tim. 241 = Ambr. 309, Nicet. p. 657 242 = Ba 185, 8 243 = Ambr. 311, Ps. Herodian. 14 244 Harp. = Et. M. 230, 16 cf. H 245 — γραῖα = Ambr. 314; γηραλέος, ὁ γέρων cf. H v. γηράλιος 246 — γηρᾶσαι = Ba 185, 7, H cf. Moeris 194, 5, Ambr. 333 γηράσκω sq. = Diogen. III 80, sch. Pl. Amat. 133 c; Solon. fr. 18 247 ὁ sq. Agath. 2, 22, p. 113 248 — τόπος = Ambr. 330 γήρειον ἔτος cf. Ambr. 329 249 = Ambr. 338 250 — γηροτροφῶ = H; l. = Ambr. 336 ὅπως sq. Soph. Ai. 570—1 251 cf. Ambr. 325—6, Ps. Herodian. 206 252 — φωνήν = H, Bk. 232, 16, sch. Vict. Ar. Av. 233 σὺν sq. Anth. 6, 68, 5—6 253 — δένδρα cf. Philostr. 5, 5, Ambr. 324

240 cf. v. ἱλλάδες. Z 435 241 cf. 85. Z 434 242 Z 434 244 hinc v. οἰκόπεδον 247 cf. v. φοράδην 250 cf. v. μυχός 251 cf. Z 435 252 cf. 256 253 Z 435

6 τήν] τὴν σὴν TM Ar. 14. 15 καὶ γηραλέον οὐδετέρως om. FV A(GITFVM)
15 νῦν—ἐναγκαλίζονται om. ATFV 20 ὅμως] Ὅμηρος FV 22 καί—παλαιόν ex GIM; Γῆρας· ἐν γήρει πίονι praemis. I 24 Γηρωβοσκῶ] Γηροβοσκῶ ITF, Hes. γηροτροφῶ om. GITF 24. 25 γηροβοσκός IF Soph. γηρωβοσκός rell.

Δ 254 Γηρυόνης: ὄνομα κύριον. Ἀριστοφάνης· βούλει διαμάχεσθαι
Ar. Γηρυόνῃ τετραπτίλῳ; ἀντὶ τοῦ τετρακεφάλῳ. αἰνίττεται δὲ τὴν τοῦ Λαμάχου περικεφαλαίαν τρεῖς λόφους ἔχουσαν· ἀπὸ τῶν περικειμένων αὐτῇ πτίλων. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· βούλει πρός τινα ἀκαταμάχητον μάχεσθαι; ὁ γὰρ Γηρυόνης τρικέφαλος ὢν πολὺν ἀγῶνα παρέσχε τῷ Ἡρακλεῖ.

Δ 255 Γηρυῶνος: ὄνομα κύριον.

Δ 256 Γῆρυς: ἡ φωνή.

257 Γῆς ἄγαλμα· γυναῖκα πλάττουσι τὴν Ἑστίαν, οἱονεὶ τὴν γῆν, τύμπανον βαστάζουσαν, ἐπειδὴ τοὺς ἀνέμους ἡ γῆ ὑφ' ἑαυτὴν συγκλείει.

Prov. 258 Γῆς βάρος: ἐπὶ τῶν εἰς μηδὲν συντελούντων. καὶ ἑτέρα παροιμία· Γῆς ἔντερα, ἐπὶ τῶν μηδενὸς ἀξίων.

Soph. 259 Γῆς ὀμφαλός: ὁ νεὼς τοῦ Ἀπόλλωνος. εἰ γὰρ αἱ τοιαίδε πράξεις τίμιαι, τί δεῖ με χορεύειν; οὐκέτι τὸν ἄθικτον εἶμι γῆς ἐπ' ὀμφαλὸν σέβων. τουτέστιν οὐκέτι ἄπειμι πρὸς τὸν Ἀπόλλωνα, οὐδὲ πρὸς τὸν ἄχραντον καὶ σεβάσμιον καὶ ἀπροσπέλαστον αὐτοῦ νεών.

Δ 260 Γήσεια: κρόμυα.

Ar. 261 Γήτεια: εἶδος βοτάνης, παρεοικὸς πράσῳ.

Δ Ar. 262 Γήτειον: τὸ ἀμπελόπρασον. Ἀριστοφάνης· τύπτε τοῦτον
Anth. γητείῳ. δῶρα δέ σοι γήτειον ἀειθαλὲς ὀρθρινὰ δώσω καὶ δροσερὰς
Ar. στόμασι σχιζομένας ψεκάδας. καὶ αὖθις Ἀριστοφάνης· ἡ λαχανόπωλις παραβλέψασά φησι θατέρῳ, εἰπέ μοι, γήτειον αἰτεῖς; πότερον ἐπὶ τυραννίδι; Ζήτει ἐν τῷ βασανίσας.

263 Γιγαντιᾷ: τὰ τῶν Γιγάντων φρονεῖ. Πισίδης περὶ Χοιρόου·

Δ γιγαντιᾷ δὲ καὶ τυραννῆσαι θέλει. καὶ Γιγαντιαῖον ὄνομα, τὸ μέγα. καὶ Γιγαντολέτειρα, ἡ τοὺς Γίγαντας ὀλοῦσα. καὶ Γιγαντολέτις, ὁμοίως θηλυκῶς. καὶ Γιγαντολέτωρ.

E 264 Γιγαντώδης· ἐδόκει γὰρ τό τε σῶμα γιγαντώδης εἶναι καὶ τὸν θυμὸν θηριώδης καὶ ἐς ἀγχίνοιαν τῶν συλληστευόντων ἁπάντων πολυπλοκώτερος.

Ar. 265 Γίγαρτα: τῶν σταφυλῶν ὁ καρπός. Ἀριστοφάνης· ὧν ἄνευ

254 — κύριον = Ambr. 303 cf. 306 βούλει sq. Ar. Ach. 1082 c. sch. 256 = Ambr. 313, Et. M. 231, 5, H, sch. Δ 437, Ap. S. 54, 29 257 = Preger 157, 3—6 258 = Paroem. ed. Gsf. 31, n. 288; Γῆς ἔντερα sq. = Diogen. III 91 259 Soph. OT 895—8 c. sch. 260 cf. sch. Luc. 192, 18, H v. γήτια, Et. M. 230, 21 = Et. Gen., Ambr. 323 261 sch. Ar. Vsp. 496 262 — ἀμπελόπρασον cf. Ambr. 321, H v. γήθυα τύπτε—γητείῳ Ar. Ran. 622 δῶρα—ψεκάδας Anth. 7, 195, 7—8 Ἀριστοφάνης—τυραννίδι Ar. Vsp. 495—7 263 vs. 25 γιγαντιᾷ—θέλει Pisid. Heracl. Acr. 1, 30 Γιγαντιαῖον—μέγα cf. Ambr. 365; Γιγαντολέτειρα = Ambr. 358; ἡ—ὀλοῦσα cf. Ambr. 344; Γιγαντολέτις—θηλυκῶς cf. Ambr. 357; Γιγαντολέτωρ cf. Ambr. 356, Stud. An. 265—6 264 Eunap. fr. 11, FHG 4, 17 265 Ar. Pac. 634 c. sch.

254 Z 434; Ar. cf. v. B 432; hinc v. τρικέφαλος 2 255 Z 434 256 cf. 252 258 Z 435 262 cf. 234 et v. B 137 263—4 Z 437 265 cf. 223

A(GITFVM) 3 τρεῖς] γω A 17 Γήσεια] Γήσια A 262 non nov. gl. AM 29 θηριώδης] καὶ θ. A

γιγάρτων, καὶ φιλῶν τὰς ἰσχάδας. οἱ γὰρ ἄγροικοι κόπτοντες τὰ γίγαρτα μετὰ τῶν ἰσχάδων ἤσθιον.

266 Γίγις, Γίγιδος: ὄνομα κύριον. Δ

267 Γιγλισμός: κιχλισμός, ἀπὸ χειρῶν γέλως, γαργαλισμός. Σ

268 Γίγλυμοι: ἀντεμβολαί τινων ἐξοχῶν πρὸς κοιλότητας, οἵαπερ Σ ἡ κατὰ τὸν πῆχυν πρὸς τὸν βραχίονα συμβολή.

269 Γίγνω καὶ Γιγνόμενος. καὶ Γίνομαί σοι Μωϋσῆς· δοτικῇ. Δ Synt.

270 Γιεζῆ: ὄνομα κύριον. Δ

271 Γίνεται: ἐπὶ τοῦ τελειοῦται διὰ τοῦ ι, ἐπὶ δὲ τοῦ γεννᾷ διὰ διφθόγγου. τὰ δὲ γινόμενα κατὰ τρεῖς τρόπους γίνεται· κατ' οἰκο- Phil. νομίαν, κατ' εὐδοκίαν, κατὰ συγχώρησιν.

272 Γινόμενα καὶ γενόμενα διαφέρει. τὰ μὲν γὰρ γενόμενα πάντως ἀπέβη, Suid. τὰ δὲ γινόμενα ἤτοι ἀποβαίνει ἢ οὔ.

273 Γινώσκω· αἰτιατικῇ. γνωρίζω. ἤδη γάρ σε γινώσκω, καὶ ὧν Δ+Ε εἶπας ἀκούσασα καὶ τὴν ὄψιν ἰδοῦσα.

274 Γιώρας: ὄνομα κύριον. Δ

275 Γίσχαλα: ὄνομα τόπου. Δ

276 Γλάγος: γάλα. καὶ Γλαγερῶν, ἀντὶ τοῦ λευκῶν. ἐν Ἐπι- Σ γράμμασι· ἄρκυν τε γλαγερῶν λαιμοπέδαν γεράνων. Anth.

277 Γλάμων: ὁ λημῶν τοὺς ὀφθαλμοὺς καὶ διύγρους αὐτοὺς ἔχων, Σ+ Ar. ὡς Χάρων. Γλάμων ὁ ἀκάθαρτος. καὶ Σοφοκλῆς ἐπὶ ὀρνέου· Ar. τοὺς γλαμυροὺς κατὰ φορβάν. Ἀριστοφάνης Βατράχοις· κ' Ἀρχέδημος ὁ γλάμων. σκορόδων ὁμοῦ τρίψαντ' ὀπῷ τιθύμαλλον ἐμβαλόντα τοῦ Λακωνικοῦ σαυτοῦ παραλείφειν τὰ βλέφαρα τῆς ἑσπέρας. εἰώθασιν οἱ ἰατροὶ καὶ πατρίδας ὑπ' ἀλαζονείας τῶν βοτανῶν ὀνομάζειν, οἷον Κυρηναϊκὸν ὀπόν, Σμυρναϊκόν. διαβόητος δὲ ἦν ὁ Λακωνικὸς τιθύμαλλος· ἔστι δὲ εἶδος βοτάνης δριμυτάτης παρὰ Λάκωσιν εὑρισκόμενον. εἴρηται δὲ ἐπὶ τῶν λημώντων τοὺς ὀφθαλμούς. τί δ' ἦν Νεοκλείδης ὁ γλάμων σε λοιδορῇ; οὗτος ἐκωμῳδεῖτο ὡς συκοφάντης

266 cf. Ambr. 345 267 = Ba 185, 9 cf. H, Ambr. 343 (= Ps. Herodian. 13) 268 = Ba 185, 13 269 Γίγνω = Ambr. 367; γιγνόμενος = Ambr. 369 γίνομαι sq. = An. Ox. 4, 289, 2 270 = Ambr. 350, Ps. Herodian. 13 271 — διφθόγγου cf. Choerob. An. Ox. 2, 188, 26 = Et Gud., Et. M. 232, 24 273 — αἰτιατικῇ = Synt. Laur. et Gud., An. Ox. 4, 289, 3 ἤδη sq. Iambl. fr. 5* (et Dam. fr. 75) 274 = Ambr. 346 275 = Ambr. 362 276 — γάλα = Ba 185, 11, H, sch. B 471, Ap. S. 55, 1, Et. M. 232, 35 ἄρκυν sq. Anth. 6, 109, 8 277 — Χάρων cf. sch. Ar. Ran. 588; — ἔχων = Ba 185, 18; — λημῶν = H vs. 21 γλάμων—23 γλάμων Ar. Ran. 588 c. sch. cf. sch. Ω 192; Soph. fr. 364; σκορόδων—εὑρισκόμενον Ar. Eccl. 404—6 c. sch.; εἴρηται—vs. 28 ὀφθαλμούς cf. sch. Ar. Ran. 588; τί sq. Ar. Eccl. 254 c. sch.

267 hinc 62, Z 436 268 Z 437 270 Z 437 271 cf. v. πρόνοια et v. οἰκονομία 272 ex 151; Z 437 273 γνωρίζω cf. 332. Z 438 274—5 Z 437 277 cf. v. ἰατρός et v. τιθύμαλλος. Z 438

3 Γίγις, Γίγιδος] Γίγγις, Γίγγιδος M 7 γιγνόμενος] γιγνώμενος AF A(GITFVM) καὶ γίνομαι—δοτικῇ om. FV 272 ex A post 273 M^{mg} 20 Γλάμων—21 Χάρων om. GV 21 Γλάμων nov. gl. ITF καί—p. 526, 2 ἀκαθαρσίας om. T ὀρνέου M ὄρνιει V cp. rell. ὀρνέων sch. 22 κ' Ἀρχέδημος—p. 526, 2 ἀκαθαρσίας om. V 23 ὀπῷ] ἀπῷ A 28 τί—p. 526, 1 κλέπτης om. F

καὶ ξένος καὶ κλέπτης. Γλάμων δὲ ὁ ἔχων τοὺς ὀφθαλμοὺς μεστοὺς ἀκαθαρσίας.

Ar. 278 Γλάνις: εἶδος ἰχθύος. καὶ χρησμολόγος, Βάκιδος ἀδελφός.

Prov. 279 Γλαῦκα εἰς Ἀθήνας: ἐπὶ τῶν ἀχρήστους ἐμπορίας ἀγόντων· ἐπειδὴ τὸ ζῷον τοῦτο σφόδρα ἐπιχωριάζει ταῖς Ἀθήναις. καὶ Δ Γλαύκειον ψόν.

Σ Harp. 280 Γλαυκός: λευκὸς, κυάνεος. Γλαῦκος δὲ ὄνομα κύριον, Σ γένος Καρύστιος. πύκτης, ϵ′ καὶ κ′ Ὀλυμπιάδι στεφανωθεὶς καὶ Πύθια τρὶς, Ἴσθμια δεκάκις, γενναῖος ὅλῳ τῷ σώματι.

E? 281 Γλαῦκος Καρύστιος· τούτου γῆν ἐργαζομένου, ἐπειδὴ συνέβη τὴν ὕνιν ἐκ τοῦ ἀρότρου πεσεῖν, καθήρμοσε τῇ χειρὶ ἀντὶ σφύρας. ἰδὼν δὲ τὸ ποιηθὲν ὁ πατὴρ ἤγαγεν αὐτὸν εἰς Ὀλυμπίαν πυκτεύοντα. ὁ δὲ, ἅτε οὐκ ἐμπείρως ἔχων, ἐτιτρώσκετο ὑπὸ τῶν ἀνταγωνιστῶν καὶ ἀπαγορεύειν ἔμελλεν ὑπὸ τῶν πληγῶν. φασὶ δὲ τὸν πατέρα βοῆσαι, παῖε τὴν ἐπ' ἀρότρου. ὁ δὲ βιαιότερον ἐπενεγκὼν πρὸς τὸν ἀνταγωνιζόμενον εἶχε τὴν νίκην. σκιαμαχοῦντος δὲ ὁ ἀνδριὰς παρέχεται σχῆμα, ὅτι ὁ Γλαῦκος ἦν ἐπιτηδειότατος χειρονομεῖν.

Ar. Prov 282 Γλαὺξ ἵπταται: ἡ πτῆσις τῆς γλαυκὸς εἰς νίκης σύμβολον ἐλογίζετο. καὶ ἑτέρα παροιμία· Γλαῦκες Λαυριωτικαί, ἐπὶ τῶν πολλὰ χρήματα ἐχόντων· παρόσον ἐν Λαυρείῳ τῆς Ἀττικῆς γίνονται χρύσεια μέταλλα. ἐνεχάραττον δὲ γλαῦκας ἐν τοῖς χρυσοῖς νομίσμασι. καὶ ἑτέρα παροιμία· Γλαύκου τέχνη, ἐπὶ τῶν ῥᾳδίως κατεργαζομένων· ἀπὸ Γλαύκου τινὸς Σαμίου, ὃς πρῶτος σιδήρου κόλλησιν

Suid. ἐξεῦρεν. λέγεται δὲ ἡ γλαὺξ χαλκίς.

Σ 283 Γλαφυρόν: ἡδὺ, κοῖλον, βαθὺ, σοφὸν, ἔμπειρον, ἀκριβὲς. Δ λαμπρόν.

Σ 284 Γλεῦκος: τὸ ἀποστάλαγμα τῆς σταφυλῆς πρὶν πατηθῇ. καὶ

Soph. ἡ τραγῳδία φησὶ περὶ Αἴαντος· ἐμοὶ πικρὸς τέθνηκεν ἢ κείνοις γλυκύς.

Hom. 285 Γλήναια: ἀξιοθέατα.

278 sch. Ar. Eq. 1004; — ἰχθύος = H cf. Bk. 88, 6 279 — Ἀθήναις = Zen. III 6 Γλαύκειον ψόν = Ambr. 414 280 — κυάνεος = Ba 185, 12; — λευκός = H Γλαῦκος—Καρύστιος Harp.; — κύριον = Ambr. 377 πύκτης sq. = Bk. 232, 24 cf. 227, 24 281 Paus. Per. 6, 10, 1—3 282 — ἐλογίζετο sch. Ar. Eq. 1093 cf. Zen. II 89 γλαῦκες—νομίσμασι = Paroem. ed. Gsf. 32, n. 297 cf. sch. Ar. Eq. 1093; Γλαύκου τέχνη—ἐξεῦρεν = Diogen. IV 8 cf. H 283 — ἀκριβές = Ba 185, 20, Et. M. 233, 44 cf. H, sch. B 516, Ap. S. 55, 3 λαμπρόν cf. H v. γλαφυράς 284 — πατηθῇ = Ba 185, 22, H cf. Bk. 227, 19 = Et. M. 234, 8 ἐμοί sq. Soph. Ai. 966 285 sch. Ω 192 cf. H, Ambr. 409, Et. M. 234, 5

278 Z 438 281 hinc v. παῖε cf. v. χειρονομεῖν 282 cf. v. οὐχὶ Γλαύκου. vs. 24 λέγεται sq. ex v. χαλκίς 283 Z 441

A(GITFVM) 3 χρησμολόγος—4 ἐμπορίας] χρησμοπορίας A 8 Ὀλυμπιάδι GT^{ec}FM Ὀλυμπιάδου I Ὀλυμπίοις V cp. A Ὀλυμπιάδα Bk. 12. 13 πυκτεύοντα] πυκτεύοντα A πυκτίζοντα V 16 σκιαμαχοῦντος—17 χειρονομεῖν om. V 20 Λαυρείῳ] Λαυρίῳ FV 24 λέγεται—χαλκίς om. FV 28 Αἴαντος T Ἀγαμέμνονος rell.

286 **Γλήνη**: κόρη ὀφθαλμοῦ. ἢ ὄρη. παρὰ τὸ ὁρᾶν. **Γλίνη** Σ Ecl.?
δὲ ὁ ῥύπος διὰ τοῦ ι. Δ
287 **Γληχώ**: θηλυκῶς Ἀττικοὶ τὴν ὀρίγανον. οἱ δὲ βληχώ φασι. Ar.
λέγεται δὲ καὶ **Γλήχων**, γλήχωνος. βοτάνη· ζήτει ἐν τῷ βληχωνία. Δ
Γλίχων δὲ ὄνομα κύριον διὰ τοῦ ι. βαθυγνώμων ἄνθρωπος καὶ κρυ- Δ
ψίνους· Ῥουφῖνος καὶ Γλίχων ἐπίτροποι βασιλέως Θεοδοσίου. Suid.
288 **Γλίσχρον**: τὸ λαίμαργον, καὶ ἡδύ. ἢ κολλῶδες. καὶ **Γλίσ-** Δ
χρος, φειδωλός, σκιφὸς, πάνυ ῥυπαρός. ἀλλ' ἐγώ τις ἄρα δυσ- Σ
απάλλακτος ἦν ἀπὸ τῶν τοιούτων καὶ γλίσχρως ἔτι εἰχόμην τῆς αὐτῆς
ἀληθείας, ἅτε ὡς ἀληθῶς ὄναρ πλουτήσας. κατέβη ἐκ χωρίων Ε
γλίσχρων καὶ μηδ' ἐν εἰρήνῃ τρέφειν ἱκανῶν ὄντων. τουτέστι τρο-
φῆς σπανιζόντων. ὅτι τὸ γλίσχρον ἐπὶ δυστυχίᾳ ἔλεγον οἱ Ἀττικοί. Ar.
Ἀριστοφάνης Εἰρήνῃ· ὦ γλίσχρων, ὁρᾷς ὡς οὐκέτ' εἶναί σοι δοκῶ
μιαρώτατος. ἀντὶ τοῦ ὦ ἐπιθυμητά· παρὰ τὸ γλίχεσθαι. πρὸς Ἑρμῆν
ὁ λόγος. καὶ αὖθις Ἀριστοφάνης Εἰρήνῃ· ἔλκουσι δ' ὅμως γλισχρό-
τατα σαρκάζοντες ὥσπερ κυνίδια. καὶ Ἀρριανός· τὰ ἐπιτήδεια Ε
γλίσχρως τῇ στρατιᾷ ἐπορίζοντο. ἀντὶ τοῦ φειδομένως.
289 **Γλίσχρος**: ταπεινὸς, κόλαξ. γενοῦ γλίσχρος, προσαιτῶν, λιπαρῶν Ar.
τ' Εὐριπίδη. λιπαρῶν· τὸ λι μακρόν. καὶ **Γλίσχρων**, ὁ ἐπιθυμητής·
παρὰ τὸ γλίχεσθαι. καὶ **Γλίσχρως**, ὀλισθηρῶς. Δ
290 **Γλισχραντιλογεξεπιτρίπτου**: ἐκ τοῦ γλίσχρου καὶ ἀντι- Ar.
λογίαν ἔχοντος καὶ ἐπιτρίπτου σύγκειται· οἷον τοῦ δυναμένου ἐπιτρῖ-
ψαι. Ἀριστοφάνης Νεφέλαις· οὐδ' ἑλκόμενος περὶ πραγματίου γλισ-
χραντιλογεξεπιτρίπτου.
291 **Γλίχεται**· γενικῇ. λίαν ἔχεται, ἐπιθυμεῖ. καὶ **Γλιχόμενος**, ΣΔ
ἐπιθυμῶν. κατ' αἰτιατικὴν δέ· καὶ ταῦτα ἦν, ἃ ταῦτ' ἐγλίχετο. Synt.

286 — ὄρη = Ba 185, 24, H; — ὀφθαλμοῦ = Et. M. 233, 57 (cf. 234, 11 = Bk. 233, 3); Eust. I. 1344, 52; sch. Θ 164, Apion, Ambr. 398 γλίνη sq. = Ambr. 397, Ps. Herodian. 15, Et. M. 234, 25 287 — φασι sch. Ar. Ach. 874 cf. ad v. B 338 γλήχων, γλήχωνος cf. Ambr. 382 **Γλίχων**—κύριον = Ambr. 375 288 ἡδύ = Ambr. 408 κολλῶδες—ῥυπαρός = Σ^a, Ba 185, 25, Lex. Rhet. in Et. Gen. cf. Et. M. 234, 33; H; Bk. 233, 6, sch. Pl. Rep. 553c ἀλλ'—πλουτήσας fort. Iulian. vs. 12 γλίσχρον—15 λόγος Ar. Pac. 193—4 c. sch. 192—3 cf. sch. 482; ἕλκουσι—κυνίδια Ar. Pac. 481—2 vs. 16 τά—ἐπορίζοντο Arr. Parth. p. 15 R. 289 — μακρόν Ar. Ach. 451—2 c. sch.; γλίσχρων—γλίχεσθαι sch. Ar. Pac. 193 γλίσχρως sq. = Ambr. 422, H 290 Ar. Nu. 1004 c. sch. 291 γενικῇ cf. Bk. 131, 3, Synt. Laur. λίαν—ἐπιθυμεῖ = Ba 185, 28, Lex. Rhet. ap. Et. Gen. = Et. M. 234, 37 cf. H γλιχόμενος, ἐπιθυμῶν = H, Ambr. 418 cf. Et. M. 234, 35 καὶ ταῦτα sq. cf. Bk. 131, 4

286 Ambr. Z 440, Eust. I. 1344, 55 287 cf. v. B 338; Z 440, 439. βαθυγνώμων sq. ex v. B 31 288 φειδωλός cf. v. λίσχρος. Ar. Pac. cf. v. Δ 310 et v. μιαροί 289 cf. v. λιπαρεῖ

4 βοτάνη—βληχωνία om. AFV βοτάνη] post βληχωνία M 5 βαθυγνώμων—6 Θεοδοσίου ex l^{mg} 8 σκιφός] σκνιφός Σ^a Ba Et. Hes. 9 γλίσχρως] γλίσχρος A^{ac} V 9. 10 τῆς αὐτῆς ἀληθείας] ταύτης τῆς εὐηθείας Port. 19 λιπαρῶν] λιπαρόν IVM om. T 26 κατ'—ἐγλίχετο om. FV αἰτιατικήν] αὐτήν M ταῦτ' del. pr. A(GITFVM)

Σ 292 Γλουτόν: τὸ σφαίρωμα τῆς κοτύλης.

Δ 293 Γλώνυς: ὄνομα κύριον.

Σ 294 Γλωσσαλγίαν: ἀργολογίαν.

Soph. 295 Γλῶσσαν μὲν ἀργὸν, χεῖρα δ' εἶχον ἐργάτιν. νῦν δ' εἰς ἔλεγχον ἐξιὼν ὁρῶ βροτοῖς γλῶσσαν οὐχὶ τἄργ' εἰς πάνθ' ἡγουμένην· οὕτω γραπτέον· ἐσθλοῦ πατρὸς παῖ, καὐτὸς ὢν νέος ποτὲ γλῶσσαν μὲν ἀργὸν καὶ τὰ ἑξῆς.

Prov. 296 Γλῶσσα ποῖ πορεύῃ; ἀπόκρισις· πόλιν ἀνορθώσουσα καὶ πόλιν καταστρέψουσα: ἡ παροιμία ἐπὶ τῶν διὰ λόγων ἢ ὠφελούντων ἢ βλαπτόντων.

Σ 297 Γλώσσαργον ἦθος: ἀντὶ τοῦ ταχὺ καὶ στωμύλον.

298 Γλῶσσα ταμιείου· ἣν ἔσχε Κυρῖνος ὁ σοφιστὴς ἐκ βασιλέως.

299 Γλωσσηματικά: εἶδος διαλέκτου.

Soph. 300 Γλώσσῃ σὺ δεινός· ἄνδρα δ' οὐδέν' οἶδ' ἐγὼ δίκαιον, ὅστις ἐξ ἅπαντος εὖ λέγει· οἷον βουλόμενος ἐκ παντὸς δοκεῖν δίκαια λέγειν.

Σ 301 Γλωσσόκομον: θήκη λειψάνων ξυλίνη.

E ὁ δὲ Φῆστος ὁ ἀνθύπατος πέμπεται ἐς Ἀσίαν, ὃς τὴν βασιλικὴν γλῶσσαν ἐπεπίστευτο. ἤκμαζεν ἐπὶ τοὺς χρόνους Οὐάλεντος.

Phil. 302 Γλῶττα· ὅτι αὕτη ὑπὸ μὲν τῶν πλειόνων χυμῶν ὑγραίνεται, ὑπ' ἐνίων δὲ καὶ ξηροτέρα γίνεται· ὡς ὑπὸ πεπέρεως καὶ ταρίχου καὶ μυρίων ἄλλων, καίτοι γευστῶν ὄντων, ξηραίνεται· οὐχ ὡς ἔγχυμα, ἀλλὰ διά τινα ἁπτὴν ποιότητα, οἷον ξηρότητα ἢ θερμότητα. οὐδὲ γὰρ ὁ ξηρὸς ἄρτος ξηραίνει, ἢ εἰ τύχοι τρωγάλια καὶ τὰ ὅμοια, ἀλλὰ τῷ ξηρὰ εἶναι ἢ θερμὰ ἐξικμάζει τὴν ἐν τῇ γλώττῃ ὑγρότητα. σημεῖον δὲ τοῦ δεῖν τὴν γλῶτταν δυνάμει μὲν ὑγρὰν εἶναι, ἐνεργείᾳ δὲ οὔ· ὅσοι δὲ τὴν γλῶτταν ἀμέτρως ἢ ξηρὰν ἔχουσιν ἢ ὑγρὰν, οὗτοι οὐκ ἀντιλαμβάνονται τῶν γευστῶν. καὶ διὰ τοῦτο οὐκ ἀντιλαμβάνεται ἡ λίαν ὑγρὰ γλῶττα τῶν χυμῶν, διότι ἡ ἐν αὐτῇ ὑγρότης ἔγχυμος οὖσα καὶ πρώτη αὐτῇ προσβάλλουσα γίνεται γλώττης ἀφὴ αὐτὴ ἑαυτῆς ἀντίληψιν παρέχουσα, καὶ ταύτῃ οὐκ ἐῶσα ἀντιλαβέσθαι τῆς ἔξωθεν. σημεῖον δὲ τούτου, ὅτι οἱ προγευσάμενοι ἄλλου χυμοῦ καὶ μάλιστα σφοδροτέρου οὐκέτι τῶν δευτέρων ὁμοίως αἰσθάνονται. ὅτι

292 = Σ^{a}, Ba 185, 29, Et. M. 234, 39 cf. H, sch. Ε 66 293 = Ambr. 378 294 = Ba 186, 3, An. Ox. 2, 477, 31 295 Soph. Phil. 96—99 (c. sch.) 296 = Zen. II 99 (fr. trag. adesp. 578) 297 l. fr. trag. adesp. 562 298 cf. Philostr. vit. soph. 2, 29 300 Soph. OC 806—7 c. sch. 301 — ξυλίνη = Ba 186, 5 cf. H, Ambr. 407 ὁ sq. Eunap. fr. 39, FHG 4, 29 302 — vs. 32 αἰσθάνονται Philop. 405, 21—28, 33 —406, 7; p. 529, 1 τὴν γλῶτταν—15 φάρυγξ Philop. 380, 27—381, 22; p. 529, 15 τῶν sq. Philop. 380, 13—16

296 hinc v. πόλιν, cf. v. ποῖ πορεύῃ 297 Z 442 298 hinc v. Κυρῖνος 301 cf. v. Φῆστος

A(GITFVM) 4 ἐργάτιν] ἐργάτην AIV 8 Γλῶσσα] ἐρώτησις ss. M ἀπόκρισις FM (rubr.) ἀπόκρισιν G ἀπόκρινιν V ἀπόκριν⟨ε⟩ A cp. I, om. T 299 ex A (post 300) M 13 Γλωσσηματικά M Γλωσσημαντικά A 15 post δοκεῖν lacuna in A 16 post Γλωσσόκομον add. τί σημαίνει M 24 ξηρά] ξηρῷ A

τὴν γλῶτταν ἐποίησεν ἡ φύσις πρὸς δύο ἔργα, ὧν τὸ μὲν εἰς τὸ εἶναι συμβάλλεται τοῖς ἔχουσιν, ὅπερ ἐστὶν ἡ γεῦσις καὶ κρίσις ἡ περὶ τοὺς χυμούς· τὸ δὲ εἰς τὸ εὖ εἶναι, οἷον πρὸς τὴν διάλεκτον. οὕτω καὶ ἐπὶ τῆς ἀναπνοῆς δύο ἐποίησεν ἔργα, τὸ μὲν πρῶτον πρὸς τὸ εἶναι· πρὸς γὰρ τὴν τοῦ ἐντὸς θερμοῦ κατάψυξιν συμβάλλεται· τὸ δὲ λοιπὸν πρὸς τὸ εὖ εἶναι, οἷον διάλεκτον. τῆς δὲ, ὅπερ ἐστὶν ἀναγκαῖον ἔργον τῆς φύσεως καὶ διαμονῆς αἴτιον. φωνῆς ὕλη ὁ ἐκπνεόμενος ἀήρ. ποιητικὸν δὲ αἴτιον φύσις, ὀργανικὸν δὲ τραχεῖα ἀρτηρία· οἷον γὰρ αὐλός ἐστιν. ἀμέλει οἱ μὲν νέοι εὐφωνότεροί εἰσιν ὡς λείαν ἔχοντες αὐτήν, οἱ δὲ γέροντες κακοφωνότεροι ὡς τραχυτέραν αὐτὴν ἔχοντες. τελικὸν δὲ ἡ σημασία· τέλος γὰρ τῷ ζῴῳ τῆς φωνῆς τὸ σημαίνειν δι' αὐτῆς τὰς τῆς ψυχῆς διαθέσεις. τῆς διαλέκτου ὕλη μὲν ἡ φωνή, ποιητικὸν δὲ αἴτιον ἡ λογικὴ ψυχή, ὀργανικὸν δὲ γλῶττα καὶ ὑπερῷα καὶ ὀδόντες, τελικὸν δὲ ἡ σημασία τῶν νοημάτων. ὄργανον δὲ τῆς φωνῆς ὁ φάρυγξ. ὅτι τῶν πτηνῶν ὅσα παραπλησίαν ἔχει τὴν γλῶτταν καὶ τὴν τῶν γενύων διάθεσιν ταῖς τῶν ἀνθρώπων, δύναται μιμεῖσθαι διάλεκτον, οἷον κίτται καὶ ψιττακοὶ καὶ τὰ ὅμοια.

303 Γλώττῃ πολεμίζων: οὐκ αὐτῇ τῇ γλώττῃ πολεμῶν, ἀλλὰ τῇ γλώττῃ καθάπερ ὅπλῳ χρώμενος. Ar.

304 Γλωχῖνας: γωνίας. ὑπὸ τὴν ἔνδοιν παρατεινομένην τῆς θαλάσσης γλωχῖνα ὡς εἰς ἐνέδραν καθορμίσας τὰς ἐπακτρίδας ἐνέκρυψε. καὶ σὺ πετρὰ γλωχῖνες μηλοσσόε, Μαιάδος Ἑρμᾶ, ὅς τε τὸν αἰγιβόταν, Πάν, κατέχεις σκόπελον. Σ E Anth.

305 Γλωττοστροφεῖν: τὴν γλῶτταν στρέφειν καὶ ποικίλον ἐν τῷ λέγειν καθεστηκέναι· ἢ ἐκστρέφειν τὰ πράγματα καὶ εὐπορεῖν ἐν τῷ λέγειν. Ἀριστοφάνης Νεφέλαις· ἀπὸ γὰρ ὀλοῦμαι μὴ μαθὼν γλωττοστροφεῖν. Ar.

306 Γλοιός: τὸ αὐτὸ δηλοῖ τῷ μάσθλης. εἴληπται δὲ ἡ μεταφορὰ ἀπὸ τοῦ ἐν τοῖς βαλανείοις ἐλαίου πεπηγότος, ὅπερ τοὺς ἐπιλαμβανομένους διολισθάνειν πέφυκε. τοιοῦτος οὖν καὶ οὗτος εὔχεται γενέσθαι τοὺς τρόπους, ἵν' ὥσπερ διολισθάνειν καὶ φεύγειν δύνηται τοὺς δανειστάς. καὶ μέχρι δεῦρο δὲ τοὺς τῇ γνώμῃ σκάζοντας καὶ μηδὲν σταθερὸν φρονοῦντας καὶ ἄλλα μὲν ἐπαγγελλομένους, ἄλλα δὲ Ar.

303 sch. Ar. Nu. 419 304 — γωνίας = Ba 186, 4 cf. Et. M. 235, 50, sch. Ω 274, H, Ambr. 395 ὑπό—ἐνέκρυψε Agath. 5, 22, p. 327 καὶ σύ sq. Anth. 6, 334, 3—4 305 Ar. Nu. 792 c. sch. 306 sch. Ar. Nu. 449; p. 530, 3 ῥυπαρός cf. H

302 extr. hinc v. κίττα et v. ψιττακός 304 Z 440. Anth. cf. v. Μαῖα 305 cf. v. A 3262. Z 439 306 Z 439

8 δέ pr. om. FV 10 λείαν AV λίαν rell. cf. Philop. 10. 11 τραχυτέραν] τραχεῖαν M A(GITFVM) 11 δέ] δὲ καί FVM 22 ἐπακτρίδας] ἐκπατρίδας A 23 γλωχῖνες] γλωχίνης A γλωχὶν v. Μαῖα, Anth. μηλοσσόε] μηλοσσόρ A μηλωσσός F μηλοσσόμεναι V 32 διολισθάνειν AV διολισθαίνειν rell. cf. sch. καὶ φεύγειν] πέφυκε A 34 σταθερόν] σταθηρόν VM

φρονοῦντας καὶ πράσσοντας, διὰ τὸ τῆς γνώμης ὀλισθηρὸν καὶ ἄπιστον γλοιοὺς καλοῦμεν. ἄλλως. ἐπὶ τοῦ μιαροῦ καὶ ῥυπαροῦ καὶ μικρολόγου παραλαμβάνεται· καὶ γὰρ ὁ ῥυπαρὸς διὰ τὴν ἄσκησιν σύνεγγύς πώς ἐστι τῷ γλοιῷ. ἐπὶ δὲ τὸ ἦθος μετενεχθὲν τὸν μοχθηρὸν δηλοῖ ἢ ὀλισθηρὸν καὶ εὐμετάβολον.

Δ 307 Γλοιώδης: ὁ ῥυπαρός.

Synt. 308 Γλυκαινόμενον· δοτικῇ.

Harp. 309 Γλυκέρα: ἑταίρά τις.

Suid. 310 Γλυκεῖαν ᾠδήν.

Prov. 311 Γλυκεῖ' ὀπώρα φύλακος ἐκλελοιπότος: ἐπὶ τῶν ἄνευ μόχθου τὰ ἀλλότρια καρπουμένων.

Ox. λύσις ὀνείρου· τρώγων γλυκηρὰ πικρίας ἕξεις τρόπους.

Δ 312 Γλυκίδιον: τὸ γλυκύ. καὶ Γλύκιον, τὸ γλυκύ.

Suid. ὅτι τὸ γλυκὺ ὕδωρ τοῦ ἁλμυροῦ ψυχρότερον.

Σ 313 Γλυκυδερκής: ἡδὺς ἐν τῷ ὁρᾶν.

Σ 314 Γλυκύθυμος: ἀπαλόψυχος.

Prov. 315 Γλυκὺ μέλι καὶ πνιξάτω: Τερπάνδρου ᾄδοντος καὶ κεχηνότος πρὸς τὴν ᾠδήν, ἐμβαλών τις εἰς τὸν φάρυγγα σῦκον ἀπέπνιξε.

Σ 316 Γλυκὺς ἀγκών: οὐ κατ' ἐναντίωσιν ἡ παροιμία, ἀλλὰ βουλόμενος εἰπεῖν, ὦ γλυκέα ἤθη. ἔστι δὲ παροιμία, ὡς ἐπιφωνούμενον. οὕτως ἐχρήσατο Πλάτων ὁ κωμικὸς ἐν τῷ Φάωνι. γέρων δ' αὐτῷ ὑπόκειται ἐρῶν αὐλητρίδος· ὦ χρυσοῦν ἀνάδημα, ὦ τοῖσιν ἐμοῖς τρυφεροῖσι τρόποις, ὦ γλυκὺς ἀγκών. ὡς εἴ τις λέγοι, ὦ γλυκὺς πῆχυς.

Prov. 317 Γλυκὺς ἀπείρῳ πόλεμος: ἐπὶ τῶν ὑπὸ ἀπειρίας πρὸς τὰ ἐπικίνδυνα προθυμούντων.

318 Γλυκυσίδη: ἥτις καὶ Παιονία καλεῖται. ἔστι δὲ ῥίζα φαρμακὸς κατὰ ἰατροὺς χαλαστική.

Ps. 319 Γλυπτόν: παρὰ τῷ Δαβὶδ τὸ εἴδωλον.

Δ 320 Γλυφεῖον· ἐκ τοῦ γλύφω.

Σ 321 Γλυφίδας: τὰς χηλὰς τῆς ἀκίδος, αἷς τὴν νευρὰν προσάγομεν. παρὰ τὸ ἐγγεγλύφθαι, ὅ ἐστι κεκοιλάνθαι.

307 = Ambr. 373 cf. 410, Ps. Herodian. 216 309 Harp. 311 — καρπουμένων = Paroem. ed. Gsf. 31, n. 295; l. = fr. trag. adesp. 403, fr. com. adesp. 1239 τρώγων sq. Astramps. 312 — γλυκύ sec. = Ambr. 415—6 313 = Ba 185, 30 cf. H 314 = Ba 185, 31 cf. H 315 Paroem. ed. Leutsch 1, p. 391, n. 77 316 vs. 21 ἐν sq. = Sabb.; Ael. D. attr. Cohn, Neue Jahrb. Suppl. 13, 848, Paus. Att. ego; Plat. com. fr. 178 317 cf. Diogen. III 94; Pind. fr. 110 319 εἴδωλον = An. Ox. 2, 432, 5 320 = Ambr. 411 321 = Ba 185, 32, Ap. S. 54, 30 cf. Et. M. 235, 8, H

310 ex v. Φρύνιχος καὶ Λύκις 311 Astramps. cf. v. ἔσθειν 312 ὅτι sq. ex v. A 1304 314 Z 439 315 Z 441 316 hinc v. A 249 extr.

A(GITFVM) 4 τόν] τό A 6 Γλοιώδης] Γλυώδης GIT Ambr. 373 308 ex I (post vs. 11 καρπουμένων), M 310 ex IM 10 φύλακος] φύλακες AGI 13 γλυκύ pr.] γλυκύον A τὸ γλυκύ sec. om. GIT ὅτι—14 ψυχρότερον ex A, I (post 315), M (post 318) 315 ad l. γρ. γλυκὺ ἤτω καὶ πνιξάτω mg. M post gl. F; γλυκὺ ἤτω καὶ σημεῖον post vs. 13 γλύκιον add. I cf. Zon., Paroem. ed. Gsf. 128, n. 81 318—9 om. GTFV; 318 post 319 in AI

322 Γναθαινία: ὄνομα κύριον. καὶ Γναθαίνιος, κύριον. Δ
323 Γνάθους· ἀλλ' ἐκεῖνό μοι δοκεῖ πεπονθέναι, ὅπερ ποτὲ φεύγων Ar.
ἔπαθε καὶ Θουκυδίδης· ἀπόπληκτος ἐγένετο τὰς γνάθους.
324 Γναθωνίδης: πατρωνυμικόν. Δ
325 Γναῖος: ὕπατος Ῥωμαίων. καὶ ζήτει ἐν τῷ Γάλλος. Suid.
326 Γναμπτή: ἡ καμπτή. Δ
327 Γνάφαλοι. ἔδοξέ τις ἐν τῇ τύλῃ πυροὺς ἔχειν ἀντὶ γναφά- Δ|
λων. καὶ παιδάριον ἐγέννησεν ἄρρεν. πτίλων τῶν ὑπὸ γνάθοις Suid. x+Δ
κειμένων.
328 Γναφεύς· κοινῶς διὰ τοῦ γ, Ἀττικῶς δὲ διὰ τοῦ κ. κνάφος Ar.
δέ ἐστιν ἀκανθῶδές τι, ᾧ ξύουσι τὰ ἱμάτια. παρὰ τὸ κνῶ, ὅ ἐστι
ξύω. καὶ ζήτει ἐν τῷ κναφεύς.
329 Γνάψις: τὸ αὐτό. παρὰ τὸ γανόν, ὅ ἐστι λαμπρόν. Ar.
330 Γναφεύς: ἐπὶ τοῦ πλύτου κεῖται παρὰ τῷ εὐαγγελιστῇ Μάρκῳ ἐν τῷ
κεφαλαίῳ τῆς μεταμορφώσεως. ἐν δὲ τῷ κάππα· ἐνταῦθα κεῖται τοῦ Ἀριστο- Suid.
φάνους χρῆσις οὕτως· ἣν παρέχωσι τοῖς δεομένοις οἱ κναφεῖς χλαίνας, ἐπειδὰν
πρῶτον ἥλιος τραπῇ, πλευρῖτις ἂν ὑμῶν οὐδένα λάβοι ποτέ. καὶ φαίνεται ἀπὸ
τῆς χλαίνης τὸ κναφεὺς ἐπὶ τῶν δερματέων κεῖσθαι.
331 Γνόφος: σκότος βαθύ. Δ Ps
332 Γνόντες: γνωρίσαντες. Δ
333 Γνῶθι σαυτόν: ἀπόφθεγμα Χίλωνος. τάττεται δὲ ἡ παροιμία Σ
ἐπὶ τῶν ὑπὲρ ὅ εἶσι κομπαζόντων.
334 Γνῶθι σαυτὸν καὶ τὸ νόμισμα παραχάραξον, παραγγέλματα
Πυθικά. τουτέστι τῆς τῶν πολλῶν δόξης ὑπερόρα καὶ παραχάραττε
μὴ τὴν ἀλήθειαν, ἀλλὰ τὸ νόμισμα.
335 Γνωματεύων: διακρίνων, διαγινώσκων ἀκριβῶς. ἢ Γνω- ΣΔ
ματεύω, τὸ βουλεύομαι. ἕτερα διαλεγόμενοι, ἕτερα γνωματεύουσι. EL
336 Γνῶμα· ὀλίγον ἐξωτέρω τῆς στρατηγίδος σκηνῆς χωρίον τι E
ὥσπερ ἀγορὰ ἀπεδέδεικτο, ὃ δὴ γνῶμα προσηγορεύετο. ἐκεῖσε δὴ αἱ
πρεσβεῖαι καὶ αἱ ἀγγελίαι καὶ ὅλα ἐγίνοντο. Γνώμας ἔλεγον καὶ Ar
τὰς δημηγορίας. ἀπὸ τοῦ νῦν ἐν τῷ δήμῳ γνώμας οὐδεὶς νικήσει
πλείονας ἢ σύ.

322 = Ambr. 442 cf. 438, et 439 cf. 447 323 Ar. Vsp. 946—8 324 = Ambr. 430 326 = Ambr. 437 327 ἔδοξε—γναφάλων Artem. 5, 8 πτίλων cf. H 328 — ξύω sch. Ar. Pl. 166 329 sch. Ar. Pl. 166 330 Μάρκῳ Mc. 9, 3 331 = An. Ox. 2, 432, 2; — σκότος = Ambr. 423 332 = Ambr. 452 cf. 449 333 = sch. Pl. Phileb. 48c; — Χίλωνος cf. Bk. 233, 13, H; ἐπί sq. = Paroem. ed. Gsf. 28, n. 266 334 Iulian. or. 7, p. 211b c 335 — ἀκριβῶς = Σ^{e} cf. sch. Pl. Rep. 516e, Et. M. 236, 48, Ba 186, 8, Tim. ἕτερα sq. Men. Prot. fr. 9, FHG 4, 205 = EL 444, 7—8 336 γνώμας sq. Ar. Nu. 431—2 c. sch.

325 ex 41 327 cf. v. τύλη, unde καί—ἄρρεν 328—9 cf. v. κναφεύς 328 Z 442 330 Ἀριστοφάνους—ποτέ ex v. κναφεύς 332 cf. 273 335 Z 445 336 Vind. 16. Ar. cf. v. A 3604; Z 444

325 om. GFV mg. AI 8 καί—ἄρρεν om. ATFV ἄρρεν M, v. τύλη: A(GITFVM)
ἄρσεν GI 10 Γναφεύς] Κναφεύς VM^{ec} δέ ex FV 330 ex GI 19 βαθύ
om. FV 335 post 336 FM; iterum post 350 GI^{ms}; ad 336 α' add. mg. A
29 δή alt.] δέ AV 30 γνώμας—32 σύ iterum post 338 AV (γνώμας—31 γνώμας
iterum GI, γνώμας—δημηγορίας iterum T)

337 Γνώμη: ἡ συνείδησις.

338 Γνώμη: σκέψις. ποιά τις διάθεσις. καὶ Γνώμων, ὁ συνετός. Σ λέγεται δὲ καὶ γνώμων κανόνιόν τι μηχανικόν, καὶ δὴ καί τι σχῆμα γεωμετρικόν, καὶ διοπτρικοῦ ὀργάνου μέρος καὶ δὴ καὶ ἀστρονομικοῦ. ἀλλὰ καὶ τὸ ἐν τοῖς γνωμονικοῖς ὀργάνοις μάλιστα λαμβανόμενον.

339 Γνώμη: ἡ βουλὴ καὶ ἡ προαίρεσις. ὅτῳ θεία μὲν ἡ γνώμη Ε περιόντι, εἰς θεοὺς δὲ ἡ μεταχώρησις. Ἀρριανός. Γνώμη καὶ τὸ Ar. σκέμμα. Ἀριστοφάνης Νεφέλαις· πρῴην δὲ γνώμην μεγάλην ἀφῃρέθην ὑπ' ἀσκαλαβώτου. καὶ τὴν δημηγορίαν ὁ αὐτός.

Suid. 340 Γνώμη· ὅτι οὐδὲν δικαίωμα τῶν ὅπλων ἰσχυρότερον. πᾶς γὰρ ὁ δυνάμει προὔχων δικαιότερα ἀεὶ καὶ πράττειν καὶ λέγειν δοκεῖ.

Ar. 341 Γνώμην ἐμήν: ἀντὶ τοῦ κατὰ τὴν ἐμὴν γνώμην καὶ οἴησιν.

Soph. Γνώμη· παρὰ Σοφοκλεῖ γνώμη ἐν Αἴαντι Μαστιγοφόρῳ· γνώμας βαλοῦσα τῆς ἀνηκέστου χαρᾶς ἐπ' ὄμμασι. χαράν φησι τὴν ἐπὶ τῷ δοκεῖν τοὺς Ἕλληνας ἀνῃρῆσθαι. ταύτης οὖν τῆς χαρᾶς ἀπεῖρξα δυσφόρους γνώμας ἐμβαλοῦσα τοῖς ὄμμασιν. οὐκ ἔκλεψά φησι τὴν ὄψιν ὥστε μὴ ὁρᾶν· ἀλλ' ἐπ' αὐτῇ δύσφορον γνώμην ἐπέβαλον ὡς οἴεσθαι ἰδεῖν τὰ μὴ ὄντα. τοῦτο δὲ οὐ τῶν ὀφθαλμῶν ἁμάρτημα, ἀλλὰ πολὺ πρότερον τῆς διανοίας.

342 Γνώμην ἐμοί: ὡς ἐμοὶ δοκεῖ.

Δ 343 Γνωμίδιον: τὸ μικρὸν ἐνθύμημα.

Δ 344 Γνωμοδοτῶ: γνώμην δίδωμι.

Δ 345 Γνωμοτυπικῶς: γνωμολογικῶς.

Σ 346 Γνώμων: τὸ ἐν τοῖς ἡλιοτροπίοις πηγνύμενον. ὅπερ ἐφεῦρεν Ἀναξίμανδρος καὶ ἔστησεν ἐπὶ τῶν σκιοθήρων.

Σ 347 Γνώμονα ἔλεγον τὸν βαλλόμενον ὀδόντα τῷ ὄνῳ, δι' οὗ τὰς ἡλικίας ἐξήταζον. τὸν δὲ αὐτὸν καὶ κατηρτυκότα ἔλεγον.

Synt. 348 Γνωρίζω· δοτικῇ. αἰτιατικῇ δέ· ἵνα μή τι ἄλλο, ἐξ ὧν εὐεργετῇ γνωρίσῃς θεόν.

Δ 349 Γνωρίζω: γινώσκω, ἱστορῶ. εἰ γὰρ ἐγώ σοι νῦν αὐτὸν γνωρίζω, πέπονθα τὸ τῆς παροιμίας, τὸ σὸν ὄναρ σοι διηγούμενος.

Phil. 350 Γνωριμώτερον: τοῦτο διχῶς λέγεται· ἢ ἁπλῶς, οἷον τὸ

338 ποιά sq. = Ba 186, 15; ποιά—διάθεσις = Et. M. 236, 43 cf. H; γνώμων sq. = Lex. rhet. ap. Et. M. 236, 53 339 ὅτῳ—μεταχώρησις Arr. Exc. SB Berl. 1890, 2, 566 vs. 7 γνώμη—9 ἀσκαλαβώτου Ar. Nu. 169—70 c. sch.; τὴν δημηγορίαν cf. ad 336 341 — οἴησιν sch. Ar. Eccl. 349 cf. Phryn. 58, 5 γνώμας sq. Soph. Ai. 51—52 c. sch. 343 l. = Ambr. 446 (in Ar. Eq. 100 vel Nu. 321) 344 = Ambr. 454 345 cf. H v. γνωμοτυπία 346 — πηγνύμενον cf. H = Bk. 233, 17 ἐφεῦρεν sq. Laert. 2, 1 347 = sch. Pl. Leg. 834 c cf. H v. ἄβολος 348 — αἰτιατικῇ cf. Synt. Laur. 349 — γινώσκω = Vind. 5; l. = Ambr. 455 εἰ sq. fort. Iulian. 350 cf. Alex. Aphr. 435, 21—22, 437, 8, 16

337—9 Z 444 338—9 Vind. 16 340 ex v. Δ 1080 343—4 Z 445 345 Z 446 346 cf. v. ἡλιοτρόπιον. Z 443 347 hinc v. κατηρτυκότα cf. v. A 59 349 hinc v. τὸ σόν cf. v. ταὐτὸν πέπονθα. Z 445 350 Z 445

A(GITFVM) 339 om. T 8. 9 ἀφῃρέθην] ἀφῃρέθη F Ar. 340 ex IM^{mg} 13 γνώμη pr. —19 διανοίας om. T γνώμη pr. nov. gl. GI 22 δίδωμι] διδόναι A 348 om. TFV post 350 A

πρότερον τοῦ ὑστέρου, ἢ ἡμῖν, ὅ ἐστι τῇ φύσει ἔσχατον, ὅ ἐστι τὸ σύνθετον.

351 Γνώριμοι: φοιτηταί. Πυθαγόρας ὁ Σάμιος γνωρίμους ἔσχε πλεῖον ἢ χ'. Hesy.

352 Γνώσῃ δὲ τοὺς τούτου τε κἀμοῦ μαθητάς· τούτου μὲν Φορμίσιος, Μεγαίνετός θ' ὁ Μάνης: δούλων ὀνόματα. Ar.

353 Γνῶσις· ὅτι πάντων ἡ γνῶσις ἢ ὁμοιότητί τινι καὶ ταυτότητι γίνεται ἢ ἀνομοιότητι καὶ ἑτερότητι. τὸ γὰρ λευκὸν καὶ τῇ τοῦ λευκοῦ παραθέσει γνωρίζομεν, διότι ὅμοιον· καὶ τῇ τοῦ μέλανος, τὸ γὰρ ἐναντίον τῷ μέλανι λευκόν. καὶ τήν γε φύσιν τοῦ ταὐτοῦ καὶ τοῦ ἑτέρου ἐν τῇ συστάσει ταύτης μεμίχθαι φασί. Phil.

354 Γνῶσις: ἀντὶ τοῦ κρίσις· ὡς Δημοσθένης ἐν τῷ κατὰ Ἀριστογείτονος. Harp.

355 Γνῶσις· Ἀρριανὸς ἐν Παρθικοῖς· περὶ Παρθαμασίρου δὲ, οὐχὶ Ἀξιδάρου εἶναι, ἀλλὰ τὴν ἑαυτοῦ γνῶσιν· ὅτι πρῶτος παραβαίνων τὰ ξυγκείμενα ἔτυχε τῆς δίκης. ἀντὶ τοῦ τὴν αἰτίαν, τὴν ἀφορμήν. E

356 Γνωσιμαχῆσαι· αἰτιατικῆ. μετανοῆσαι, μεταγνῶναι τὸ δίκαιον καὶ πρέπον. ἢ τὸ γνῶναι τὴν ἑαυτοῦ ἀσθένειαν καὶ τῶν ἐναντίων τὴν ἰσχύν. οὐκοῦν οἱ πλεῖστοι ἐγνωσιμάχουν καὶ μετεβάλλοντο. Σ Hdt.

Ἀρριανός· εἴ πῃ Χοσρόης γνωσιμαχήσας ὑποδύσεται τοῖς ἐκ Ῥωμαίων ξὺν δίκῃ ἀξιουμένοις. E

357 Γνωστοί: φίλοι.

358 Γνωτός: ἀδελφός. καὶ Γνωτή, ἀδελφή. ὦ φίλ' Οἰδίπους, γνωτὰ κοὐκ ἄγνωτά μοι προσήλθετ' ἰμείροντες. εὖ γὰρ οἶδ' ὅτι νοσεῖτε πάντες· καὶ νοσοῦντες, ὡς ἐγὼ οὐκ ἔστιν ὑμῶν ὅστις ἐξ ἴσου νοσεῖ. τὸ μὲν γὰρ ὑμῶν ἄλγος εἰς ἕν' ἔρχεται μόνον καθ' αὑτὸν, κοὐδέν' ἄλλον· ἡ δ' ἐμὴ ψυχὴ πόλιν τε κἀμὲ καὶ σ' ὁμοῦ στένει. καὶ ἐν Ἐπιγράμμασι· γνωτῶν τριττατίων ἐκ τριττατίης λίνα θήρης δέχνυσο Πάν. Σ Soph. Anth.

359 Γνύξ: ἐπὶ γόνατα. Σ

352 Ar. Ran. 964—5 c. sch. 353 Philop. 75, 19—23 354 Harp.; Dem. 25, 28; 26, 5 355 — δίκης Arr. Parth. p. 37 R. 356 αἰτιατικῆ = Synt. Laur. et Gud. μετανοῆσαι—πρέπον = Ba 186, 9; μετανοῆσαι = H cf. Moer. 193, 26, Phryn. 59, 10 τό—ἰσχύν gl. Hdt. 3, 25 cf. Bk. 233, 20 = H, Et. M. 237, 13; sch. Ar. Av. 555 εἴ πῃ sq. Arr. Parth. p. 30 R. 358 — ἀδελφή = Σ^{a}, Ba 186, 11 cf. H; — ἀδελφός cf. sch. Γ 174, Apion, Ap. S. 55, 12 ὦ—στένει Soph. OT 58—64 vs. 28 γνωτῶν sq. Anth. 6, 12, 1—2 359 = Σ^{a}, Ba 186, 7, H, Et. M. 236, 37 cf. Ap. S. 55, 15 = sch. Ε 68

351 cf. v. Πυθαγόρας 1. Z 443 352 hinc v. Μεγαίνετος 356 Z 445. οὐκοῦν—μετεβάλλοντο cf. v. A 2127. Arr. cf. v. A 3128 358 Σ Z 444

1 ὁ alt.] τουτ M 4 πλεῖον] πλείους GIT 352 non nov. gl. GITF A(GITFVM) 5 μαθητάς] καθηγητάς M 6 Μεγαίνετος] Ἐγένετος A 354 non nov. gl. A 355 non nov. gl. AM 14 Παρθαμασίρου F (coniecit Bhd.): Παρμασίρου AGIM θ παρθένου Μασίρου V cf. v. παραβαλών 1 δέ om. GI 15 τὴν ἑαυτοῦ] ἑαυτοῦ τήν Bhd., Roos 23 ὦ φίλ' Οἰδίπους] Σοφοκλῆς Οἰδίποδι Dobree

Suid. 360 Γνύρου· ὅτι Ἀνάχαρσις υἱὸς ἦν Γνύρου, μητρὸς δὲ Ἑλληνίδος.

Δ 361 Γογγύλιον: στρογγύλον. καὶ Γογγυλίζει, ἀντὶ τοῦ μετα-
Ar. στρέφει. Ἀριστοφάνης· ὥσπερ γυναικὶ γογγύλην μεμαγμένην. αἱ γὰρ γυναῖκες, ἵνα μὴ δοκοῖεν πολυφάγοι εἶναι, ὀλιγοφαγίας δόξαν ἐμφαίνουσι στρογγύλας ποιοῦσαι τὰς μάζας.

Δ 362 Γοδολίας: ὄνομα κύριον. καὶ μήν.

Σ Call. 363 Γοερόν: θρηνῶδες, λυπηρόν, κατανυκτικόν. καὶ γοεροῖο γόοιο.

ΔΣ 364 Γόης, γόητος. κόλαξ, περίεργος, πλάνος, ἀπατεών.

Δ 365 Γοητεία: μαγεία. γοητεία καὶ μαγεία καὶ φαρμακεία διαφέ-
E ρουσιν· ἅπερ ἐφεῦρον Μῆδοι καὶ Πέρσαι. μαγεία μὲν οὖν ἐστιν ἐπίκλησις δαιμόνων ἀγαθοποιῶν δῆθεν πρὸς ἀγαθοῦ τινος σύστασιν, ὥσπερ τὰ τοῦ Ἀπολλωνίου τοῦ Τυανέως θεσπίσματα. γοητεία δὲ ἐπὶ τῷ ἀνάγειν νεκρὸν δι' ἐπικλήσεως, ὅθεν εἴρηται ἀπὸ τῶν γόων καὶ τῶν θρήνων τῶν περὶ τοὺς τάφους γινομένων. φαρμακεία δέ, ὅταν διά τινος σκευασίας θανατηφόρου πρὸς φίλτρον δοθῇ τινι διὰ στόματος. μαγεία δὲ καὶ ἀστρολογία ἀπὸ Μαγουσαίων ἤρξατο· οἱ γάρ

Δ τοι Πέρσαι Μαγὼγ ὑπὸ τῶν ἐγχωρίων ὀνομάζονται. καὶ Μαγου-
Synt. σαῖοι, οἱ αὐτοί. καὶ Γοητεύω· αἰτιατικῇ.

Δ 366 Γολγοθά: τόπος.

E 367 Γολιάθης· οὗτος Παλαιστῖνος ἦν ἀνὴρ παμμεγεθέστατος, πηχῶν δ' καὶ σπιθαμῆς, ὅπλα τῆς φύσεως τοῦ σώματος ἀναλογοῦντα περικείμενος. ὁ αὐτὸς Γολιαθ Ἑβραϊδι διαλέκτῳ.

Δ 368 Γολόη: ὄνομα τόπου.

Suid. 369 Γολόσσης: ὁ Νομάδων βασιλεύς. καὶ ζήτει ἐν τῷ Ἀσδρούβας.

Δ 370 Γομόρ: εἶδος μέτρου Ἑβραϊκοῦ.

Δ 371 Γόμορα: τόπος τῶν Σοδόμων.

Δ 372 Γομφιασμός: ὁ συγκλασμός.

Δ? 373 Γομφίους: ὀδόντας, κλειδώσεις. καὶ Γομφιόδουπα χαλι-
Anth. νά· ἐν Ἐπιγράμμασι· τὰ εἰς τοὺς γομφίους κτυποῦντα, τουτέστι τὰς σιαγόνας.

361 — στρογγύλον cf. H v. γογγύλον, sch. Ar. Pac. 28 ὥσπερ sq. Ar. Pac. 28 c. sch. 362 — κύριον = Ambr. 468 363 — κατανυκτικόν = Ba 186, 21 cf. H γοεροῖο γόοιο Call. fr. 126 K., an. 14 S. 364 — γόητος aliter Ambr. 459 κόλαξ sq. = Ba 186, 22 cf. H, Moer. 193, 25, Tim., Et. M. 238, 23 365 — μαγεία pr. = Ambr. 514 γοητεία sec.—vs. 16 στόματος Georg. 1, 74, 10—20; vs. 16 μαγεία—17 ὀνομάζονται Georg. 1, 96, 3—5 γοητεύω sq. = Synt. Laur. et Gud. 366 = Ambr. 490 367 — περικείμενος Ios. Ant. 6, 171 Γολιάθ cf. Ambr. 471 370 — μέτρου = Ambr. 463 371 — τόπος = Ambr. 520 372 = Ambr. 462 cf. H 373 — ὀδόντας cf. H v. γόμφους γομφιόδουπα sq. Anth. 6, 233, 1 c. sch.

360 ex v. A 2130 361 cf. Z 448 362 Z 446 363 Z 448 364 Z 446 365 cf. v. μαγεία, v. μαγική, v. φαρμακεία (partim hinc); hinc v. A 4257, v. Μαγουσαῖοι, v. Πέρσαι; Z 448 368 Z 448 369 ex v. A 4133 370 Z 447 372—3 Z 447

A(GITFVM) 360 om. FV post 361 A 3 μεμαγμένην FI Ar.: μεμαγμένη rell., vid. ad 501 7 γοεροῖο γόοιο] γοεροῖς γόοις AF 9. 10 διαφέρουσιν GIT Georg.: διαφέρει FVM cp. A 18 καί—αἰτιατικῇ om. GTFV 22 ὁ—διαλέκτῳ om. ATFV 369 om. FV 24 καί—Ἀσδρούβας om. T 370—1 om. A

374 Γομφίους: τοὺς προσθίους ὀδόντας. ὁ δ' ὠχριήσας γομφίους τε συγκρούσας, μή μοι χαρίζου φησί. Ar.

375 Γομφοπαγῆ ῥήματα: ἀντὶ τοῦ ἀκριβέστατα, πολυσύνθετα. περὶ Αἰσχύλου Ἀριστοφάνης. Ar.

376 Γόμφοι: μύλοι, σφῆνες, δεσμὰ, ἄρθρα, σύνδεσμοι ὀδόντων. Σ

377 Γόνατον· καὶ κάλαμοι ἐνέκειντο ἐν τοῖς κρατῆρσιν οὐκ ἔχοντες γόνατα. E

378 Γονεῦσιν ἀπειθεῖς: τοὺς καὶ μέχρι γονέων ἀγνώμονας παρὰ τῷ Ἀποστόλῳ.

379 Γονεία: ἡ γέννησις. Δ

380 Γονορροίης: ὁ νοσῶν. Δ

381 Γόνυ, γόνυος. Δ

382 Γονυκλινής: ἐπὶ γόνυ πεσών. τήν τε γυναῖκα τοῦ βαρβάρου γονυκλινὴς ὢν ἐθεράπευεν. E

383 Γόνυ κνήμης ἔγγιον: ἐπὶ τῶν ἑαυτῶν μᾶλλον ἑτέρους ἀγαπώντων. Prov.

ἔνιοι δὲ ἐπὶ τῶν ὀφειλόντων παρέχειν τοῖς προσήκουσιν. Σ

ἐπεὶ ἐγγύτερον τὸ γόνυ.

384 Γονύων: γονάτων. Ξενοφῶν· ἐνῆσαν δὲ καὶ κάλαμοι, γόνατα οὐκ ἔχοντες. Σ E

385 Γονυπετῆσαι· αἰτιατικῇ. προσκυνῆσαι. Δ

386 Γόον: θρῆνον. Σ

387 Γόρβορα: τόπος τις. Δ

388 Γοργίας, Χαρμαντίδου, Λεοντῖνος, ῥήτωρ, μαθητὴς Ἐμπεδοκλέους, διδάσκαλος Πώλου Ἀκραγαντίνου καὶ Περικλέους καὶ Ἰσοκράτους καὶ Ἀλκιδάμαντος τοῦ Ἐλεάτου, ὃς αὐτοῦ καὶ τὴν σχολὴν διεδέξατο· ἀδελφὸς δὲ ἦν τοῦ ἰατροῦ Ἡροδίκου. Πορφύριος δὲ αὐτὸν ἐπὶ τῆς π' Ὀλυμπιάδος τίθησιν· ἀλλὰ χρὴ νοεῖν πρεσβύτερον αὐτὸν εἶναι. οὗτος πρῶτος τῷ ῥητορικῷ εἴδει τῆς παιδείας δύναμίν τε φραστικὴν καὶ τέχνην ἔδωκε, τροπαῖς τε καὶ μεταφοραῖς καὶ ἀλληγορίαις καὶ ὑπαλλαγαῖς καὶ καταχρήσεσι καὶ ὑπερβάσεσι καὶ ἀναδιπλώσεσι καὶ ἐπαναλήψεσι καὶ ἀποστροφαῖς καὶ παρισώσεσιν ἐχρήσατο. ἔπραττε δὲ τῶν μαθητῶν ἕκαστον μνᾶς ρ'. ἐβίω δὲ ἔτη ρθ', καὶ συνεγράψατο πολλά. Hesy.

374 — ὀδόντας sch. Ar. Pac. 34 ὁ sq. Babr. 92, 8—9 375 sch. Ar. Ran. 824 376 = Σ^a, Ba 186, 23, Lex. rhet. ap. Et. Gen. = Et. M. 237, 53 cf. H 377 Xen. An. 4, 5, 26 378 Ἀποστόλῳ Rom. 1, 30 379 = Ambr. 513 (cf. 501), Ps. Herodian. 16 380 = Ambr. 461, Et. Gud. cf. Ps. Herodian. 16 381 = Ambr. 521 383 — ἀγαπώντων = Zen. III 2 384 — γονάτων = Ba 186, 29 ἐνῆσαν sq. Xen. An. 4, 5, 26 385 αἰτιατικῇ = Synt. Laur. et Gud. προσκυνῆσαι = Ambr. 527 cf. 529 386 = Ba 186, 28, H, sch. E 156 cf. Et. M. 238, 18 388 cf. sch. Pl. Gorg. 465c, 448b, Laert. 8, 2, 58

374 Z 447 375 Z 448 377 cf. 384 382 Z 447 384 cf. 377. Z 449 385 Z 449 388 cf. v. A 1283

4 Ἀριστοφάνης] φησὶν FV 25 Ἐλεάτου] Ἐλαΐτου Kust. 32 μνᾶς] A(GITFVM) ἤγουν λίτρας ss. V καὶ om. GIT

Σ 389 Γόργια: παρὰ Δωριεῦσι τὰ τῶν ὑποκριτῶν προσωπεῖα, τῶν ἀπὸ τῆς σκηνῆς τραγῳδῶν.

Greg. 390 Γοργόνες: τρεῖς γυναῖκες, αἳ τοσοῦτον εἶχον φοβερὰ τὰ πρόσωπα, ὡς τοὺς ὁρῶντας θνήσκειν· ὧν μίαν ἀνέλειν λογχοδρεπάνῳ τὸν Περσέα.

Ar. 391 Γοργόνες Τιθράσιαι: Τίθρασος ποταμὸς, ἢ τόπος Λιβύης, ἔνθα αἱ Γοργόνες διέτριβον.

Ar. 392 Γοργόνη· Ἀριστοφάνης· καὶ Γοργόν' ἐξήγειρεν ἐκ τῆς ἀσπίδος. ὡσεὶ ἔλεγεν, οἴδημα ἐποίησεν ἐπὶ τῆς κεφαλῆς· παρ' ὑπόνοιαν. θέλων γὰρ εἰπεῖν, καὶ ἀπὸ τῆς πληγῆς κορδύλην ἐποίησεν, ἔφη, Γοργόνα
E ἐξήγειρε. καὶ Αἰλιανός· καὶ ἐνέκειντο αὐτῷ τὴν ἐξ αὐτοῦ προφέροντες, καὶ προσιόντες ὡς εἰπεῖν Γοργόνα κατεσίγασαν ἄλλως πρόλαλον ὄντα καὶ ἰταμόν. λέγει δὲ περὶ Διοπείθους τοῦ Ἀθηναίου, ὃς νόμον εἰσάγει, τὸν ἀπὸ τοῦ ἄστεος ἐν Πειραιεῖ μείναντα, τοῦτον τεθνάναι. οὗτος οὖν ὠψίσθη ποτὲ ἄκων καὶ κατέμεινεν ἐν τῷ Πει-
Ar. ραιεῖ, καὶ αὐτὸν οἱ ἐχθροὶ εἰς δίκην ὑπάγουσι. διὰ τοῦτο λέγει, προσιόντες Γοργόνα. καὶ σκώπτων ὁ αὐτὸς Μόρσιμον καὶ Μελάνθιόν φησι. Γοργόνες, ἀντὶ τοῦ φοβεροὶ εἰς γαστριμαργίαν.

Δ 393 Γοργονεῖον: ἀντὶ τοῦ προσωπεῖον. καὶ Γοργόνη, ἡ Γοργώ.

Ar. 394 Γοργολόφας: ἡ ἐκ τῆς κεφαλῆς τῆς Γοργοῦς τὴν περικεφαλαίαν ἔχουσα, ἡ Ἀθηνᾶ.

Ar. 395 Γοργόνωτον: περιφραστικῶς τὴν ἀσπίδα, τὴν ἔχουσαν Γοργόνα.

396 Γοργός: ἀντὶ τοῦ φοβερός. Ἀμάχιος ἐπὶ Ἰουλιανοῦ ἤκμαζεν ἄρχων μικρᾶς πόλεως, Ἕλλην γοργός.

EV 397 Γόργος, ὁ Μεσσήνιος, οὐδενὸς ἦν δεύτερος Μεσσηνίων πλούτῳ καὶ γένει, διὰ δὲ τὴν ἄθλησιν κατὰ τὴν ἀκμὴν πάντων ἐνδοξότατος ἐγεγόνει τῶν περὶ τοὺς γυμνικοὺς ἀγῶνας φιλοστεφανούντων. καὶ γὰρ κατὰ τὴν ἐπιφάνειαν καὶ κατὰ τὴν τοῦ λοιποῦ βίου προστασίαν, ἔτι δὲ κατὰ τὸ πλῆθος τῶν στεφάνων, οὐδενὸς ἐλείπετο τῶν καθ' αὐτόν. καὶ μὴν ὅτε καταλύσας τὴν ἄθλησιν ἐπὶ τὸ πολιτεύεσθαι καὶ τὸ πράττειν τὰ τῆς πατρίδος ὥρμησε, καὶ περὶ τοῦτο τὸ μέρος οὐκ ἐλάττω δόξαν ἐφέρετο τῆς πρότερον ὑπαρχούσης αὐτῷ, πλεῖστον μὲν

389 cf. sch. Pl. Gorg. 473d, Ax. 364b, Et. M. 238, 46, H 390 Nonn. in Greg. PG 36, 1025d 391 sch. Ar. Ran. 477 392 — vs. 11 ἐξήγειρε Ar. Ach. 1181 c. sch. vs. 11 καί alt.—17 Γοργόνα Aelian. fr. 22 καὶ σκώπτων sq. sch. Ar. Pac. 809 393 Γοργονεῖον cf. Ambr. 524; Γοργόνη sq. = Ambr. 505 394 sch. Ar. Eq. 1181 395 sch. Ar. Ach. 1124 397 Polyb. 7, 10, 2—5 = EV 2, 104, 14—24

389 cf. v. μορμολύκεια. Z 449 390 Z 448 391 cf. v. Τίθρασος et v. τοία Στυγός 392 Aelian. hinc v. Δ 1188 extr., cf. v. πρόλαλος et v. ὠψίσθη 396 cf. v. A 1513

A(GITFVM) 9 οἴδημα] ἤγουν οἴκημα ss. V 12 (cf. vs. 17) προσιόντες] προσείοντες Port. κατεσίγασαν AGI: κατεσίγησαν VM καὶ τοῦτον κατεσίγασαν Hercher ἄλλως Perizon.: ἀλλ' ὡς omnes, τηνάλως v. πρόλαλος 20 Γοργολόφας] Γοργολόφα c' Ar. 22 Γοργόνωτον] Γοργόνῳ τινί GIT 29 δέ AM Exc.: δὲ καί GIT

ἀπέχειν δοκῶν τῆς τοῖς ἀθληταῖς παρεπομένης ἀγωνίας, πρακτικώτατος δὲ καὶ νουνεχέστατος εἶναι νομιζόμενος περὶ τὴν πολιτείαν.

398 Γοργῶπις: γοργόφθαλμος. Δ

399 Γοργωπὸν ἔδραν: φοβερὰν καθέδραν. Σ

400 Γοργύνη: δεσμωτήριον ὑπόγειον. ἢ ἀπὸ δήμου τῆς Ἀττικῆς κακοπράγμονος. Hdt. Ar.

401 Γοργύρα: τὸ κατὰ γῆς ὄρυγμα. οὕτως Δείναρχος καὶ Ἡρόδοτος καὶ ἄλλοι. Harp.

402 Γορδίειον: πόλις. καὶ Γορδιηνός, ὄνομα κύριον. Δ

403 Γορπιαῖος: μὴν Σεπτέμβριος. κατὰ Μακεδόνας. Δ

404 Γορτύνη: πόλις. καὶ Γορτύνιος, ἀπὸ τόπου. Δ

405 Γόρτυς: ὄνομα νήσου. Δ

406 Γοτθοί. ζήτει τὴν συναλοιφήν. Δ|

407 Γουνάσομαι: λιτανεύσω. παρακαλέσω. οὐκέτι γουνάσομαι τὴν βάρβαρον, οὐδ' ἐπ' ἐμαυτῷ κλαύσομαι. Hom. Anth.

408 Γούνδας: τὸ παρ' ἡμῖν λεγόμενον γουνδίον.

409 Γωλιά: τὸ σπήλαιον.

410 Γώβαρις: ὄνομα κύριον. Δ

411 Γωβρύας: ὄνομα κύριον. Δ

412 Γωνία: ἡ τοῦ οἴκου. καὶ Γωνιασμὸς Λυσίας ἐν τῷ κατὰ Λυσιθέου, εἰ ἔστι γνήσιος. κάμψαντι, φησί, τοῦ τείχους, ὦ βουλή, ἐστὶ γωνιασμὸς ἐν ἀριστερᾷ καὶ εὐρυχωρία πάνυ πολλή. καὶ Γωνιασμούς, ἀποφυγάς, ἀπαγωγάς. Ἀριστοφάνης· ἔδειξα τουτουσὶ λεπτῶν κανόνων εἰσβολὰς ἐπῶν τε γωνιασμούς. Δ Harp. Ar.

413 Γωνίᾳ ἀπορθῶσαι: τὸ ἐν γωνίᾳ ὑπό τινος περανθῆναι. Σ?

414 Γώνυμος: ὁ φερώνυμος. Δ

415 Γωρυτός: θήκη τόξων. καὶ κατὰ γωρυτοῦ παρηρτημέναι τρεῖς ἢ πλείους ἄκοντες, πλατεῖς μὲν αἰχμάς, οὐκ ἀποδέοντες δὲ δοράτων μέγεθος. καὶ αὖθις· καὶ γωρυτοὺς πλήρεις ὀϊστῶν. Σ E E

398 = Ambr. 503 cf. H 399 = Ba 186, 30 cf. H 400 — ὑπόγειον gl. Hdt. 3, 145 ἀπό sq. sch. Ar. Ran. 477; ad 391 pertinere perspexit Grotefend, Ztschr. f. Altertumsw. 1835, 303 401 Harp.; Dinarch. fr. LXXXIX 13; Hdt. 3, 145 402 Γορδίειον = Ambr. 523; Γορδιηνός sq. = Ambr. 474 403 — Σεπτέμβριος = Ambr. 488 404 — πόλις cf. Ambr. 510, Steph. Byz.; Γορτύνιος sq. cf. Ambr. 489 405 = Ambr. 509 406 l. = Ambr. 492 407 — λιτανεύσω sch. A 427 cf. H οὐκέτι sq. Anth. 5, 1, 5—6 409 cf. Zon. 461, H v. γωλιοί 410 = Ambr. 645 411 = Ambr. 640 412 — οἴκου cf. Ambr. 652, Ps. Herodian. 17 γωνιασμός pr.—πολλή Harp.; Lysiae fr. 158 vs. 22. 23 γωνιασμούς sq. Ar. Ran. 954, 956 c. sch. cf. Harp. 413 gl. comica sec. Bhd. 414 = Ambr. 636, H 415 — τόξων = Ba 187, 19 cf. sch. φ 54, Ap. S. 56, 1, Ambr. 637, H καὶ κατά—μέγεθος Ios. bell. 3, 96

398—9 Z 447, 448 400 cf. v. Τίθρασος 401 Z 448 403 Z 447 404—5 Z 448 407 Z 449 410—12 Z 461 414 Z 461

7. 8 Ἡρόδοτος] Εἰρήναρχος M 10 κατὰ Μακεδόνας om. FV Zon. 13 ζήτει τὴν συναλοιφήν om. TV ὄνομα ἔθνους F cf. Ambr. 408 om. TFV post 405 A post 415 G 409 ex GI 17 Γωλιά G: Γουλειά I 22 πολλή] πολύς V, Harp. ms. E 413 om. GIT A(GITFVM)

Ε 416 Γράμματα: ὅτι τὰ γράμματα Φοίνικες ἐφεῦρον πρῶτοι. ἔνθεν καὶ Φοινίκεια ἐκλήθησαν. καὶ τὸν Κάδμον φασὶ πρῶτον ἐς
Ε τὴν Ἑλλάδα κομίσαι· ἰατρικὴν δὲ ὁ Ἄπις ὁ Αἰγύπτιος· ὁ δὲ Ἀσκληπιὸς ηὔξησε τὴν τέχνην. καὶ ζήτει ἐν τῷ Φοινικήϊα γράμματα.

Σ 417 Γραμματεύς: οὗτος πράξεως μὲν οὐδεμιᾶς ἦν κύριος, ὑπανεγίνωσκε δὲ τῇ βουλῇ καὶ τῷ δήμῳ τὰ πραττόμενα. ὁ δ' ἀντιγραφεὺς καὶ οὗτος ἀπὸ τοῦ γράφειν τὰ παρὰ τῇ βουλῇ ὠνόμασται.

418 Γραμματεύς: ὁ νοτάριος. τὸν τῶν ἀπορρήτων γραμματέα·
EL ἀσηκρῆτις καλοῦσι τὸ ἀξίωμα Ῥωμαῖοι. κληρωτοὶ δὲ ἦσαν τὸν
Σ ἀριθμὸν τρεῖς, γράφοντες τὰ δημόσια. οὐδενὸς δὲ ἦσαν οἱ γραμματεῖς
οὗτοι κύριοι ἀλλ' ἢ τοῦ γράφειν καὶ ἀναγνῶναι.

Δ 419 Γραμματείδιον καὶ Γραμματεῖον: τὸ συμβόλαιον. Γραμμάτιον δὲ τὸ μικρὸν γράμμα.

420 Γραμματείου: διδασκαλείου. ἅτε προηγμένος ἀνελπίστως ἐκ τοῦ γραμματείσου καὶ τῆς τοιαύτης διαθέσεως πολὺς ἐπέπνει. ἔνθεν μὲν χρυσόν τε καὶ ἄργυρον καὶ γραμματεῖα βασιλικά, τὴν τῶν πατρικίων τιμὴν δωρούμενα.

Thdr. 421 Γραμματίας: ἐξαριθμήσεις. Δαβίδ· ὅτι οὐκ ἔγνων γραμματίας· ὅμως εἰσελεύσομαι ἐν δυναστείᾳ κυρίου.

Σ Phil. 422 Γραμματιστής: ὁ τὰ πρῶτα στοιχεῖα διδάσκων. Γραμμα-
EL τικὴ δέ ἐστιν ἐπιστήμη τοῦ ἀναγινώσκειν καὶ γράφειν. ὁ δὲ ἐς
EV γραμματιστοῦ ἐφοίτησε παρὰ Ἀντιοχεῦσι. καὶ αὖθις· οὐδὲ τὰ πρῶτα
Suid. παρὰ τοῖς γραμματισταῖς ἐκμεμαθηκὼς στοιχεῖα. καὶ αὖθις· οὐ γὰρ ἄλλο οὐδὲν ἐς γραμματιστοῦ φοιτῶν ἔμαθεν, ὅτι μὴ γράμματα καὶ ταῦτα κακῶς γράψαι.

Σ 423 Γραμματοκύφων: ἀντὶ τοῦ ταπεινὲ γραμματεῦ· κυρίως γὰρ κύφων τὸ ξύλον καλεῖται. Δημοσθένης καὶ ἄλλα σκώπτει τὸν Αἰσχίνην καὶ γραμματοκύφωνα, ὃν καὶ υἱὸν εἶναί φησιν ὄνομα μὲν Τρόμητος, διδασκάλου δὲ τῶν πρώτων γραμμάτων.

416 πρῶτοι + καὶ τόν—τέχνην Georg. 1, 75, 16—19 417 = Sabb. cf. Bk. 185, 14, Poll. 8, 98, Psell. PG 122, 1016a 418 τὸν τῶν—Ῥωμαῖοι Proc. bell. 2, 7, 15 = EL 97, 3—4 κληρωτοί sq. cf. Bk. 226, 30, Aristot. Ath. Pol. 54, 3—4, Poll. 8, 98, Harp. 419 cf. Ambr. 576, 573, 575, Et. M. 240, 57, 241, 4, Ps. Herodian. 268 420 ἅτε—ἐπέπνει Dam. fr. 109 ἔνθεν sq. fort. Metaphr. 421 Thdr. in Ps. 70, 16, PG 80, 1424a b 422 — διδάσκων cf. Phryn. 57, 13 γραμματική—γράφειν Alex. Aphr. 462, 5 ὁ—Ἀντιοχεῦσι Proc. bell. 2, 6, 23 = EL 95, 32—96, 1 οὐδέ—στοιχεῖα Io. Antioch. fr. 173, FHG 4, 604 = EV 1, 199, 2—3 423 — καλεῖται = Ba 186, 31 cf. Bk. 228, 15 = Et. M. 240, 21; Δημοσθένης (18, 209) cf. Et. M. 240, 25

416 hinc v. A 3217 et 4120 extr. 417 hinc v. A 2061 init. 418 Z 450 419 Vind. 9 419—20 Z 455 421 Z 452 422 Z 450. οὐ γάρ sq. ex v. A 2407 vel e v. Ἰωάννης ὁ Καππαδοκίας 423 hinc v. Τρόμης; Z 451

A(GITFVME) 12 συμβόλαιον] ἤγουν τὸ σύμφωνον ss. V 14 προηγμένος AF: προηγμένως GI προηγούμενος M Zon. προηγουμένως T 15 ἐπέπνει] ἐπίπνει V 15 ἔνθεν—17 δωρούμενα om. TFV post 418 GI post 419 M 16 τῶν πατρικίων AM: τοῦ πατρικίου GI 18 Γραμματίας AVM: Γραμματείας rell. Zon. cf. Thdr. Δαβὶδ om. FV mg. A iterum mg. M 23 καί—25 γράψαι om. TFV post vs. 17 δωρούμενα GI 27 κύφων] κύφον GM κύφη Ba, Σ^a 28 γραμματοκύφωνα] καλεῖ add. E αὐτὸν καλεῖ pr.

424 Γραμμή· γραμμή ἐστιν ἐπιφανείας πέρας, ἢ μῆκος ἀπλατὲς, τὸ Phil.
μῆκος μόνον ἔχον. καὶ ἡ ἀρχὴ, ἡ ἀφετηρία, ἡ βαλβίς. Ἀριστο- Ar.
φάνης· γραμμὴ δ' αὐτῆι. ἀντὶ τοῦ ἀρχὴ, ἀφετηρία, ἡ λεγομένη βαλ-
βίς. ἐκ μεταφορᾶς τῶν δρομέων. πρόβαινε νῦν, ὦ θυμέ· γραμμὴ
δ' αὐτῆι.

425 Γραός. Δ

426 Γράσος: ἡ δυσοσμία τῶν τράγων. καὶ Γράσων ἄνθρωπος, Δ
ὁ δύσοσμος. τῷ γράσωνι μὴ ὀργίζου.

427 Γρατιανός· οὗτος ὡς ἐπύθετο τὴν τοῦ Οὐάλεντος τοῦ θείου EV
τελευτὴν, αὐτίκα πρὸς τὴν ἑῴαν Ῥώμην διέθει καὶ καταγνοὺς τῆς τοῦ
θείου Οὐάλεντος τῆς περὶ τοὺς Χριστιανοὺς ὠμότητος τοὺς μὲν ὑπ'
ἐκείνου ἐξορισθέντας διὰ ταχέων ἀνεκαλεῖτο, οὐσίας τε αὐτοῖς ἀποδι-
δοὺς καὶ θεραπεύων τὰς βλάβας· πᾶσί τε νόμον παρεῖχεν ἀδεῶς καὶ
ἀδηρίτως ἐν ταῖς ἰδίαις ἐκκλησίαις συνάγεσθαι, μόνους δὲ τῶν εὐκτη-
ρίων εἴργεσθαι Εὐνομιανοὺς, Φωτεινιανοὺς, Μανιχαίους. ὅτι ἐν τῷ
περιπάτῳ ἔφιπποι στῆλαι ἵσταντο Γρατιανοῦ καὶ Οὐαλεντινιανοῦ καὶ
Θεοδοσίου καὶ κυρτοῦ Φιρμιλιανοῦ πρὸς γέλωτα.

428 Γραῦς: καὶ ἡ ἄνθρωπος, καὶ ὁ ἀνώτατος ἀφρὸς ἐν τῷ ὑπερζεῖν Ar.
τὰ ὄσπρια γινόμενος. Ἀριστοφάνης Πλούτῳ· πολὺ τῶν ἄλλων χυτρῶν
τάναντία αὗται ποιοῦσι. ποιητικῶς δὲ γρῆυς λέγεται. ἡ γρῆυς, Δ
ἡ χερνῆτις, ἡ γυρὴ πόδας, πύστιν κατ' ἐσθλὴν ὕδατος Παιωνίου ἦλθέν Anth
ποθ' ἑρπύζουσα σὺν δρυὸς ξύλῳ.

429 Γραῦς ἀνακροτήσασα πολὺν κονιορτὸν ἐγείρει: ἐπὶ Prov.
τῶν δι' ἐμπειρίαν πολλὰ πράγματα κινούντων.

430 Γραῦς ὡς τις ἵππος τὸν χαραδραῖον τάφον ἔξεις: ἐπὶ Prov.
τῶν ἀξίως τὰ ἔσχατα πασχόντων· παρόσον οἱ γεγηρακότες ἵπποι εἰς
τὰς χαράδρας κρημνίζονται καὶ ἐμβάλλονται.

431 Γραῦς σέριφος: ἡ ἐν παρθενίᾳ γεγηρακυῖα· ἀπὸ μεταφορᾶς Prov.
τῆς ἀρουραίας ἀκρίδος, ἣν καλοῦσι γραῦν σερίφην καὶ μάντιν.

432 Γραῦς χορεύει: ἐπὶ τῶν παρ' ὥραν τι διαπραττομένων· ταῖς Prov.
γὰρ νέαις πρέπει τὸ χορεύειν. καὶ Γραῶν ὕθλοι, ἡ παροιμία ἐπὶ
τῶν μάτην ληρούντων.

433 Γραφάς: δικαστήρια, κατηγορίας. Ar.

424 — ἔχον Laert. 7, 135 vs. 3 γραμμή sq. Ar. Ach. 483 c. sch.
425 = H 426 — δυσοσμία = H cf. Phryn. 60, 11 γράσων = Ambr. 541
cf. Et. M. 239, 39 τῷ sq. Marc. 5, 28, 1 427 — Μανιχαίους Io. Antioch. fr. 185,
FHG 4, 608 = EV 1, 202, 11—18 vs. 15 ἐν sq. Preger 190, 6—9 cf. 32, 3; 207, 7
428 — γινόμενος sch. Ar. Pl. 1206; πολύ—ποιοῦσι Ar. Pl. 1204—5 ἡ γρῆυς sq.
Anth. 6, 203, 1—3 429 = Diogen. III 97 430 = Diogen. III 96 431 cf.
Zen. II 94, H 432 — χορεύειν = Zen. II 96; γραῶν sq. = Diogen. III 79
433 sch. Ar. Ach. 679 cf. H

424 Z 452 426 hinc v. τράγος 1 extr. 427 (Preger) hinc v. στήλη
σταυροῦ et v. Φιρμιλιανός 428 Anth. cf. v. Δ 959, v. Παιώνιον, v. πύστεις
431 hinc v. Σέριφος

1 πέρας] μέρος GIT 10 τῆς om. V 11 τῆς om. V Exc. 16 Οὐα- A(GITFVM)
λεντινιανοῦ] Οὐαλεντιανοῦ V 17 κυρτοῦ] σκορτοῦ V 21 γυρή] χυρή A

Prov. 434 Γραφή τε καὶ Λευκαῖος οὐ ταὐτόν: ἐπὶ τῶν ἀνόμοια γραφόντων.

Σ 435 Γράφεται: ἀντὶ τοῦ γράφει, ἢ κατηγορεῖ.

Harp. 436 Γραφεύς: ὁ ζωγράφος. ὃς τοῖς νεκροῖσι ζωγραφεῖ τὰς λη-
Ar. κύθους. τοιαῦτα γὰρ ἐν τοῖς μνήμασιν ἔγραφον. καὶ Δημοσθένης
Harp. Γράφειν, τὸ ζωγραφεῖν.

Δ 437 Γραφείδιον καὶ Γραφεῖον.

Ar.? 438 Γράφειν ἐς τάχος: οὕτω λέγεται κατὰ διαστολήν. Προ-
E κόπιος· τὴν ἐς τάχος γράφουσαν μοῖραν.

Σ 439 Γραφή: ἡ περὶ τῶν δημοσίων ἀδικημάτων κατηγορία, καὶ περὶ τῶν ἄλλων ἁμαρτημάτων. γίνονται δὲ γραφαὶ καὶ νόμων καὶ ψηφισμάτων οὐκ ἐπιτηδείων εἰσκομίζεσθαι δοκούντων, αἵτινες γραφαὶ παρανόμων καλοῦνται.

Harp. 440 Γραφή: δημοσίου τινὸς ἐγκλήματος ὄνομα. οὐ μόνον δὲ ὅταν ψηφίσματος ἢ νόμου κατηγορῇ τις, παρανόμων γραφὴν ἀποφέρεσθαι καὶ γράφεσθαι λέγεται, ἀλλὰ καὶ ἐπ' ἄλλοις πολλοῖς δημοσίοις ἀδικήμασι. πολλὴ δὲ ἡ χρῆσις τοῖς ῥήτορσιν.

Thuc. 441 Γραφή: ζωγραφία, κατηγορία, καὶ ἡ ἐπὶ γράμμασιν.
Ar. γράφω. γράφω μὲν ἀντὶ τοῦ καταγράφω, ἢ ζωγραφῶ ἐπὶ τῆς γῆς ξὺν τῷ δακτύλῳ καί τινι τοιούτῳ παιδιᾷ τινι.

Σ 442 Γραφὴ καὶ ἐγκλήματα: κατηγορία καὶ ἐγκλήματα.

Et. + Synt. 443 Γράφω: τὸ ἐπιστέλλω, δοτικῇ. ἰστέον ὅτι τὸ γράφω πρὸς διάφορον σημασίαν διάφορον ἔχει καὶ τὴν σύνταξιν. καὶ εἰ μὲν γράφω σοι ἐστί, δοκεῖ σημαίνειν τὸ ἐπιστέλλω σοι· εἰ δὲ γράφω σε, σημαίνει τὸ ἐκτύπωμά σου ποιῶ· ὡς τὸ, οἱ τὰς μορφὰς γράφοντες καὶ τὰ γράμματα. εἰ δὲ γράφομαί σε, σημαίνει τὸ κατὰ σοῦ ἐγγραφὰς ποιῶ, εἰς δικαστήρια ἐκτίθεμαι· ὡς τὸ, γράφομαί σε φόνων καὶ παρανόμων ἐπὶ τοῦ Ῥαδαμάνθυος.

Σ 444 Γράψαι: κοιλάναι, διασκάψαι.

Ar. 445 Γράψομαι: κατηγορήσω. Ἀριστοφάνης· γράψομαι Μήδοισιν αὐτὸν προδιδόναι τὴν Ἑλλάδα.

Δ 446 Γραῖα: ἡ παλαιά.

434 Paroem. ed. Leutsch 1, 392, n. 83; l. = fr. com. ad. 279 435 = Ba 187, 1 436 — ζωγράφος + καὶ Δημοσθένης (21, 147) sq. Harp.; — ζωγράφος = H ὃς—ἔγραφον Ar. Eccl. 996 c. sch. 437 = Ambr. 581 et 574 cf. Et. M. 240, 17 438 — λέγεται cf. sch. Ar. Ach. 686 (fort. Atticistarum e Σ) Προκόπιος cf. Byz. Zt. 21, 419 439 = Ba 187, 2 cf. Bk. 185, 12, sch. Pl. Euthyphr. 2a; γίνονται sq. = Sabb. 440 Harp. = Sabb. cf. Bk. 244, 17 441 — γράμμασιν sch. Thuc. 1, 129, 1 cf. Orus ap. Reitz. Gesch. 340 ἀπορῶ sq. Ar. Ach. 31 c. sch. 442 = Σ[a] cf. H 443 — ἐκτίθεμαι cf. An. Ox. 2, 354, 22, Et. M. 240, 31, Vind. 8 et 22; vs. 26 γράφομαι sq. cf. Synt. Gud. p. 589 444 = Σ[a] 445 Ar. Pac. 107—8 c. sch. 446 = Ambr. 562

435 Z 456 436 Ar. cf. v. λήκυθος 438 cf. ἐς τάχος et v. A 4089 441 cf. v. A 3506 445 Z 456

A(GITFVM) 1 Γραφή] Γραφαφή AGFM ἀνόμοια] ἄνομα FV 4. 5 ληκύθους I Ar.: ληκύθας rell. 15 παρανόμων] παράνομον F cf. Harp. 18 γράμμασιν] γράμμα F cp. AV γραμμάτων sch. 443 om. FV post 438 A 25 γράφοντες] γράψαντες M

447 Γραικοί: οἱ Ἕλληνες. ἀπὸ κώμης τινὸς, ἢ ἀπὸ Γραικοῦ τινος. Σ
ἐκ τοῦ Γραῖξ, Γραικός.

448 Γραιοσόβαι: ἀπὸ τῶν ἰχθύων ἀποσοβοῦντες τὰς γραῖδας ὡς Ar.
μὴ ἀγοράζειν· ἢ γραΐσι συγκοιμώμενοι· σοβάδες γὰρ αἱ πόρναι.

449 Γραιούδια: οἱ παρ' ἡμῖν ἐφθοὶ ὄμφακες.

450 Γρηγόριος, Ναζιανζοῦ ἐπίσκοπος (σταθμὸς δέ ἐστιν οὗτος Καπ- Hesy.
παδοκίας), ἀνὴρ ἐλλογιμώτατος, ἀναγκαῖος δὲ φίλος Βασιλείου τοῦ τῆς Καισαρείας ἐπισκόπου τῆς ἐν Καππαδοκίᾳ. οὗτος οὐ μόνον γραμματικὸς καὶ τὰ ἐς τὴν ποίησιν δεξιός, ἀλλὰ πολλῷ πλεῖον καὶ ἐς φιλοσοφίαν ἐξήσκητο, καὶ ῥήτωρ ἦν ἀμφιδέξιος. οὗτος ἔγραψε καταλογάδην πολλά· εἰς γὰρ τρεῖς μυριάδας στίχων τὰ συντάγματα αὐτοῦ συνέθηκεν· ἀφ' ὧν εἰσι τάδε· Περὶ τῆς τελευτῆς τοῦ ἀδελφοῦ Καισαρίου, Ἐπιτάφιος εἰς τὸν ἑαυτοῦ πατέρα, ἕτερος εἰς τὴν ἀδελφὴν Γοργονίαν, Περὶ φιλοπτωχίας, Ἐπαίνους τῶν Μακκαβαίων, Ἐπαίνους Κυπριανοῦ, Ἐπαίνους Ἀθανασίου, Ἐπαίνους Ἥρωνος φιλοσόφου, Κατὰ Ἰουλιανοῦ τοῦ βασιλέως λόγοι β', Κατὰ Εὐνομίου λόγοι β', Περὶ θεολογίας α', Περὶ Υἱοῦ λόγοι β', Περὶ τοῦ ἁγίου πνεύματος λόγος α', Πανηγυρικοὶ λόγοι ι'· καὶ ἕτεροι πλεῖστοι καὶ πᾶσι γνώριμοι. ἠκολούθησε δὲ τῷ Πολέμωνος χαρακτῆρι τοῦ Λαοδικέως, τοῦ σοφιστεύσαντος ἐν Σμύρνῃ· ὃς ἐγεγόνει διδάσκαλος Ἀριστείδου τοῦ ῥήτορος. ἐγράφη δὲ αὐτῷ καὶ ἑτέρα βίβλος δι' ἑξαμέτρων, παρθενίας καὶ γάμου καθ' ἑαυτοὺς διαλεγομένων· καὶ εἰς ἑτέρας ὑποθέσεις ἐν παντοίοις καὶ διαφόροις μέτροις, ἅτινα συνάγονται εἰς ἐπῶν μυριάδας τρεῖς. τοῦ δὲ Γρηγορίου τούτου καὶ Φιλοστόργιος ὁ Ἀρειανὸς ἐν τῇ κατ' αὐτὸν ἱστορίᾳ μνήμην πεποίηται καί φησι· Γρηγόριος γὰρ ἤκμαζε κατ' ἐκείνους τοὺς χρόνους ἐν τῇ Ναζιανζῷ (σταθμὸς δὲ οὗτος ὁ τόπος Καππαδοκίας) καὶ Βασίλειος ἐν Καισαρείᾳ τῆς Καππαδοκίας καὶ Ἀπολινάριος ἐν τῇ Λαοδικείᾳ τῆς Συρίας. τρεῖς δὴ οὗτοι ἄνδρες τότε τοῦ ὁμοουσίου προυμάχουν κατὰ τοῦ ἑτεροουσίου, μακρῷ πάντας παρενεγκόντες τοὺς πρότερον καὶ ὕστερον ἄχρις ἐμοῦ τῆς αὐτῆς αἱρέσεως προστάντας, ὡς παῖδα παρ' αὐτοῖς κριθῆναι τὸν Ἀθανάσιον. τῆς τε γὰρ ἔξωθεν καλουμένης παιδεύσεως ἐπιπλεῖστον οὗτοι προεληλύθειαν καὶ τῶν ἱερῶν γραφῶν, ὁπόσα εἰς ἀνάγνωσιν καὶ τὴν πρόχειρον μνήμην ἐτέλει, πολλὴν εἶχον τὴν ἐμπειρίαν, καὶ μάλιστά γε αὐτῶν ὁ Γρηγόριος. καὶ μὴν καὶ συγγράφειν ἕκαστος αὐτῶν ἐς τὸν

447 cf. Steph. Byz., Et. M. 239, 18; — Ἕλληνες cf. Bk. 88, 1, H; Γραῖξ sq. cf. Ambr. 536 448 sch. Ar. Pac. 812 450 cf. Hesychii vita Greg. in Cod. Mosq. Syn. 64 ap. Wentzel. TU 13, 3, 5 sq., Philostorg. ed. Bidez p. LXXVI sq.; Hieron. vir. ill. 125; Philostorg. 111—3

447—8 Z 451 448 cf. v. σοβάδες 450 cf. v. σταθμός; Philostorg. cf. v. A 3397, v. B 150

449 om. TFV post 447 G 12. 13 Καισαρίου] Καισαρείου A 14 Γοργονίαν] A(GITFVMB) ἕτερον εἰς τὸν ἑταῖρον καὶ μέγαν Βασίλειον add. T 16 βασιλέως] παραβάτου TB λόγοι pr.] στηλιτευτικοὶ add. T 31 προστάντας M, v. A 3397, B 150: πρὸς πάντας AGI

ἑαυτοῦ τρόπον ἦν ἱκανώτατος. τῷ μέν γε Ἀπολιναρίῳ τὸ ὑπομνηματικὸν εἶδος τῆς λέξεως μακρῷ ἄριστα εἶχε, Βασίλειος δὲ πανηγυρίσαι λαμπρότατος ἦν, τῷ δέ γε Γρηγορίῳ καὶ παρ' ἀμφοτέροις ἐξεταζομένῳ μείζω βάσιν εἰς συγγραφὴν εἶχεν ὁ λόγος. καὶ ἦν εἰπεῖν Ἀπολιναρίου μὲν ἀδρότερος, Βασιλείου δὲ σταθερώτερος. τοσαύτης δὲ αὐτοῖς ἐν τῷ λέγειν καὶ γράφειν δυνάμεως οὔσης, καὶ τὸ ἦθος οὐδὲν ἧττον οἱ ἄνδρες παρείχοντο πρὸς τὴν τῶν πολλῶν θέαν ἐπαγωγότατον· ὥστε καὶ οἷς ὠρῶντο καὶ οἷς ἔλεγον καὶ ὁπόσα γράφοντες διεδίδοσαν, διὰ πάντων ἤρουν εἰς τὴν ἑαυτῶν κοινωνίαν τοὺς καθ' ὁτιοῦν αὐτῶν εὐμαρέστερον ἁλίσκεσθαι δυναμένους. τοσαῦτα περὶ αὐτῶν ὡς ἐν παραδρομῇ Φιλοστόργιος καὶ ταῦτα Ἀρειανὸς ὢν ἔγραψεν. ἔτι γοῦν περιὼν εἰς τὸν οἰκεῖον τόπον ὁ Γρηγόριος ἐπίσκοπον κατεστήσας ἐν τῇ λαχούσῃ αὐτὸν ἐκκλησίᾳ, αὐτὸς ἐν ἀγρῷ τινι βίον μοναδικὸν ἀπηνέγκατο. ἐλάσας δὲ περὶ τὰ ἐνενήκοντα ἔτη καὶ ἐπέκεινα, Θεοδοσίου τρίτον καὶ δέκατον ἔτος ἄγοντος, καταλύει τὸν βίον, ἀνάξιον τοῦτο τῆς αὐτοῦ παθὼν ἀρετῆς, τὸ τῆς καθέδρας ἀποκρουσθῆναι τῆς βασιλευούσης τῶν πόλεων, καὶ προκριθῆναι μᾶλλον τοὺς φαυλοτέρους ἢ τὸν ἐπ' ἀρετῇ καὶ λαμπρότητι βίου πάντων μᾶλλον ὑπερανέχοντα.

Hesy. 451 Γρηγόριος, Νύσσης ἐπίσκοπος, ἀδελφὸς Βασιλείου τοῦ Καισαρέως, ἀνὴρ καὶ αὐτὸς ἐλλογιμώτατος καὶ πάσης ὑπάρχων παιδείας ἀνάπλεως, προσκείμενος δὲ μᾶλλον τοῖς τῇ ῥητορικῇ χαίρουσι. καὶ γοῦν εὐδόκιμος ἐν ταύτῃ γεγένηται καὶ λαμπρὸς εἴ τις ἄλλος τῶν πάλαι ταύτῃ γεγενημένων. οὗτος συνέταξε κατ' Εὐνομίου λόγον ἐξαίρετον καὶ τεῦχος θαυμάσιον εἰς τὴν τοῦ ἀνθρώπου κατασκευήν, ἄλλας τε πυκνὰς καὶ συνεχεῖς ὁμιλίας. Εἴς τε τὰ Ἄισματα τῶν ᾀσμάτων καὶ Εἰς τὸν Ἐκκλησιαστὴν, καὶ πρὸς τὴν ἀδελφὴν Μακρίναν μακρόν τινα καὶ περικαλλῆ περὶ ψυχῆς συνέθηκε λόγον. ἄλλα τε πολλὰ γεγραφήκει καὶ τὸν πολυθαύμαστον ἔπαινον τοῦ πρώτου τῶν μαρτύρων Στεφάνου. καὶ Βίον δὲ συνέταξε Γρηγορίου τοῦ ἐν θαύμασι διαλάμψαντος.

Hesy. 452 Γρηγόριος, ὁ καὶ Θεόδωρος, ὁ Θαυματουργὸς, Νεοκαισαρείας τῆς ἐν τῷ Πόντῳ ἐπίσκοπος, νέος κομιδῇ διὰ τὴν παίδευσιν Ἑλληνικῶν τε καὶ Ῥωμαϊκῶν γραμμάτων ἀπὸ τῆς Καππαδοκίας εἰς Βηρυτὸν κἀκεῖθεν εἰς Καισάρειαν τὴν τῆς Παλαιστίνης διέβη ἅμα Ἀθηνοδώρῳ ἀδελφῷ· οὗς καὶ κατὰ μέρος εἰς τὴν τοῦ Χριστοῦ πίστιν εἰσάγων Ὠριγένης ζηλωτὰς ἰδίους κατέστησεν. ἐπὶ πέντε τοίνυν παρ' αὐτοῦ παιδευθέντες ἐνιαυτοὺς πρὸς τὴν πατρίδα ἀποπέμπονται· ἀφ' οὗ ὁ Γρηγόριος ἀποδημῶν πανηγυρικὸν εὐχαριστίας τῷ Ὠριγένει ἔγραψε λόγον, καὶ συγκαλεσάμενος πάντας τοὺς ἐπιχωρίους αὐτοῦ τε τοῦ

451 cf. Hieron. vir. ill. 136, Phot. bibl. 3 b 17 sq., Wentzel TU 13, 3, 30
452 cf. Hieron. vir. ill. 75, Wentzel TU 13, 3, 30

452 cf. v. A 734, v. Ὠριγένης

A(GITFVM) 1 ἑαυτοῦ] αὐτοῦ M 18 ὑπερανέχοντα] ὑπανέχοντα M

Ὠριγένους παρόντος, τοῦτον ἀνέγνω τὸν λόγον, ὅστις ἄχρι τοῦ παρόντος ὑπάρχει· ἔγραψε δὲ καὶ Μετάφρασιν εἰς τὸν Ἐκκλησιαστήν, ἐλάχιστον μέν, πάνυ δὲ θαυμαστὸν λόγον· καὶ ἄλλας τε πολλὰς καὶ ποικίλας ἐπιστολὰς καὶ λόγους συνεγράψατο, ποιήσας τε σημεῖα καὶ θαύματα ὑπὲρ ἄνθρωπον, ἡνίκα ἐπίσκοπος ἐτύγχανεν. ἐτελεύτησεν ἐπὶ Αὐρηλιανοῦ. ὅτι Γρηγόριος καὶ Ἀθηνόδωρος συναίμονες· ἀλλ' ὁ μὲν τερατουργός, ὁ δὲ σοφιστής. ἔγραψε δὲ καὶ περὶ σαρκώσεως καὶ πίστεως λόγον.

453 Γρηγόριος, ἀδελφὸς Ἑρμείου τοῦ φιλοσόφου· ὃς ἅπαν τοὐναντίον ἦν τῷ Ἑρμείᾳ, ὀξύτατος μὲν εἰς ὑπερβολὴν καὶ εὐκίνητος ἐπί τε τὰς ζητήσεις καὶ τὰς μαθήσεις, ἄλλως δὲ οὐχ ἡσύχιος οὐδὲ γαλήνην ἐν τοῖς ἤθεσι φέρων τινά, ἀλλά τι καὶ παρακεκινηκός. ἐπεὶ δὲ Ἀθήνηθεν ἦκον εἰς Ἀλεξάνδρειαν, ὕστερον ὁ Γρηγόριος ἑάλω τῇ νόσῳ ἐπὶ τὸ πλέον, ὥστε δύσχρηστον αὐτοῦ καὶ πολλαχῇ παραλλάττον γενέσθαι τὸ ὄργανον. οὕτω φησὶ Δαμάσκιος εἰς τὴν φιλόσοφον ἱστορίαν.

454 Γρήνικος: ποταμός. Δ

455 Γρῖος: ὄνομα κύριον. Δ

456 Γριπεύς: ἰχθύων θηρευτής. γριπεὺς, Ἐριούνιε, σοὶ τάδε δῶρα φέρει. καὶ Γριπηΐς τέχνη. Ἑρμώναξ δ' ἐκίχανεν, ὅτε γριπηΐδι τέχνῃ εἶλκε τὸν ἐκ πελάγευς ἰχθυόεντα βόλον. Δ Anth

457 Γρῖφος: τὸ δίκτυον. λέγεται δὲ καὶ ὁ δύσκολος καὶ συμπεπλεγμένος λόγος. ὁ ἔχων πάθος ἐν ἑαυτῷ μὴ φαινόμενον. Σ

458 Γρῖφος: ὁ ἀσαφὴς λόγος. Ἴλῳ ἐνὶ παῖδες Ὄμηρον ἤκαχον, ἐκ Μουσῶν γρῖφον ὑφηνάμενοι. καὶ Γριφώδης λόγος. Anth. Δ

459 Γρομφίς: ὗς, ἡ παλαιὰ σκρόφα. τὰς ὗς δὲ πληθυντικῶς. Δ Suid.

460 Γρώνη: πέτρα. Δ

461 Γρύ: βραχύ. ἔνιοι δὲ τὸν ἀπὸ τῶν ὀνύχων ῥύπον. Ἀριστοφάνης Πλούτῳ· καὶ ταῦτ' ἀποκρινομένου τοπαράπαν οὐδὲ γρύ. τινὲς παρὰ τὸν γρυλισμὸν, τουτέστι τὴν φωνὴν τῶν χοίρων· ἢ εἶδος μικροῦ νομίσματος· ἢ τὸ τυχὸν, τὸ μικρότατον. ὅθεν καὶ γρύτη καὶ γρυτόπωλις· ὅπερ οὐκ εἴρηται, ἀλλὰ γρυπόπωλις. καὶ παροιμία· Τὸ Δίωνος γρύ, ἐπὶ τοῦ μικροῦ καὶ τυχόντος. Σ Ar. Prov.

453 Dam. fr. 75 cf. Phot. bibl. 341 a 33—b 1 454 = H, Ambr. 556 cf. 546, Et. M. 241, 16 455 = Ambr. 545 456 l. cf. Ambr. 559 γριπεύς alt.—φέρει Anth. 6, 28, 7—8; Ἑρμώναξ sq. Anth. 6, 223, 5—6 457 — λόγος = Ba 187, 7; — δίκτυον = Ps. Herodian. 16; ὁ δύσκολος = Ambr. 533 cf. Et. M. 241, 35 458 ἀσαφὴς cf. sch. Luc. 68, 14 Ἴλῳ—ὑφηνάμενοι Anth. 7, 1, 1—2 γριφώδης λόγος = Ambr. 544, Ps. Herodian. 16 459 — σκρόφα = H, aliter Ambr. 537 460 = Ambr. 564 cf. Et. M. 241, 52, sch. Lycophr. 20 461 — ῥύπον = Σ^a cf. sch. Ar. Pl. 17, Eq. 877, H, Bk. 228, 2, Theognost. An. Ox. 2, 19, 20 vs. 28 καί —γρυτοπώλις Ar. Pl. 17 c. sch. τὸ Δίωνος sq. cf. Paroem. ed. Gsf. 113, n. 908, Philol. Suppl. 6, 265, n. 632

454 Z 451 456 Ἑρμώναξ sq. hinc v. 458 Anth. hinc v. ἤκαχον 459 Z 454. τάς sq. ex v. ὗς 461 Z 455. Prov. cf. v. τὸ Δίωνος

6 ὅτι Γρηγόριος—7 λόγον ex $I^{ms}M$; 7 ἔγραψε—λόγον post vs. 3 λόγον GT A(GITFVM) 25 τάς—πληθυντικῶς om. FV πληθυντικῶς] παθητικῶς A 30 μικρότατον] σμικρότατον GIT 31 γρυπόπωλις] γρυτόπωλις G cf. sch.

Δ 462 Γρύζω: θρηνῶ.

Harp. 463 Γρύλλος· Ξενοφῶντος τοῦ Σωκρατικοῦ υἱοὶ Γρύλλος καὶ Διό-
Δ δωρος. καὶ Γρύλλος, ὁ χοῖρος.

Suid. 464 Γρυκτόν· ἆρα γρυκτόν ἐστιν ὑμῖν; τουτέστιν ἆρα γρύξαι ὀφείλετε ἢ παρ-
ρησίαν ἄγειν.

Δ 465 Γρυμαία: ἡ σκευοθήκη.

Σ 466 Γρύξαι: φθέγξασθαι, κράξαι.

Ar. 467 Γρύττος· τῶν ἐπὶ μαλακίᾳ διαβαλλομένων οὗτος ἦν. οἱ δὲ Γρῦπον λέγουσι διὰ τοῦ π· ὃς ἦν καταπύγων. ἤτοι λαγνός. Ἀριστοφάνης· ἔπαυσα τοὺς βινουμένους τὸν Γρῦπον ἐξαλείψας.

Harp. 468 Γρυπάνιον: γρυπαίνειν τὸ γρυποῦσθαι λέγουσιν. οἷον ἐπὶ τῶν ἁπαλῶν ξυλυφίων, ὅταν κάμψαντες ἀφῶμεν αὐτά. Ἀντιφῶν δέ φησιν ἐν Ἀληθείας δευτέρῳ· καίων γὰρ ἦν τὴν γῆν καὶ συντήκων γρυπάνιον ποιεῖ. καὶ Μελάνθιος· σεισμός, φησί, γέγονε, καὶ ἔγρυπεν ἡ γῆ.

Δ 469 Γρυπός: ὁ καμπυλόριν.

Σ 470 Γῦα: μέλη, ἢ πόδας τοῦ σώματος. γυιοτακὴς δὲ λιπὼν τάδε
Anth. σύμβολα κώμων μέμφεται ἀστρέπτου κάλλεϊ θηλυτέρης.

Δ 471 Γύαλον: τὸ κοῖλον.

Ε 472 Γύγης, Λυδός. ἐσέβαλε μέν νυ στρατιὴν καὶ οὗτος, ἐπεί τε ἦρξεν, ἔς τε Μίλητον καὶ Σμύρνην, καὶ Κολοφῶνος τὸ ἄστυ εἶλεν. ἀλλ' οὐδὲν μέγα ἀπ' αὐτοῦ ἄλλο ἔργον ἐγένετο βασιλεύσαντος δυοῖν δέοντα μ' ἔτεα, τοῦτον μὲν παρήσομεν τοσαῦτα ἐπιμνησθέντες, Ἄρδυος δὲ τοῦ Γύγεω μετὰ Γύγην βασιλεύσαντος μνήμην ποιήσομαι. οὗτος Πριηνέας τε εἷλεν ἐς Μίλητόν τε ἐσέβαλεν. ἐπὶ τούτου τυραννεύοντος Σαρδίων Κιμμέριοι ἐξ ἠθέων ὑπὸ Σκυθέων τῶν Νομάδων ἐξαναστάντες ἀπίκοντο ἐς τὴν Ἀσίην καὶ Σάρδεις πλὴν τῆς ἀκροπόλεως εἷλον. Ἄρδυος δὲ βασιλεύσαντος ἐνὸς δέοντα ν' ἔτεα ἐξεδέξατο Σαδυάττης ὁ Ἄρδυος καὶ ἐβασίλευσεν ἔτη ιβ', Σαδυάττεω δὲ Ἀλυάττης. οὗτος δὲ Κυαξάρῃ τε τῷ Δηϊόκεω ἀπογόνῳ ἐπολέμησε καὶ Μήδοισι, Κιμμερίους τε ἐκ τῆς Ἀσίης ἐξήλασε, Σμύρνην τε τὴν ἀπὸ Κολοφῶνος κτισθεῖσαν

462 = Ambr. 583 463 — Διόδωρος Harp. vs. 3 γρύλλος sq. = Ambr. 535, H 465 = Ambr. 563, Ba 187, 20, Theognost. An. Ox. 2, 19, 22 cf. H 466 = Σ^{a} cf. H, Ba 187, 9 467 Ar. Eq. 877 c. sch. 468 Harp. = Et. M. 242, 10; Ἀντιφῶν sq. = Sabb.; Antiph. fr. 111, Melanth. fr. 1, FHG 4, 444 469 = Ambr. 534 cf. H 470 — σώματος = Ba 187, 10 cf. H; — μέλη = sch. Δ 230; πόδας cf. Ap. S. 55, 27 γυιοτακής sq. Anth. 6, 71, 9—10 471 = Ambr. 626 cf. H, sch. Ε 99 472 Hdt. 1, 14, 4—18, 1

462 Z 456 464 ex v. A 3731 465 Z 454 467 hinc v. B 288 extr. 468 hinc v. ξυλυφίων et v. ἔγρυπεν 469 cf. Z 455 471 Z 459 472 hinc v. Δ 385 et v. Σαδυάττης

A(GITFVM) 464 om. V; post 462 Γρυκτόν· ἄξιον φθέγξασθαι· γρύξαι F 8 Γρύττος] καὶ Γρῦπον add. AM 9 ἤτοι λαγνός om. FV sch., ss. M 11 Γρυπάνιον] Γρυπάνον A 12 ξυλυφίων] ξυλιφίων GM cf. v. et Harp. 15 καμπυλόριν] καμπυλόνιν A ἤτοι ὁ καμπύλην ῥῖνα ἔχων add. T 16 Γῦα] Γυῖα GT Ba, Hes. πόδας] πόδες GIT cf. Hes. 22 τοῦτον—ἐπιμνησθέντες om. V, interiecto 473 τοσαῦτα AGI om. M 29 Δηϊόκεω AV Hdt. Δηιόκρω GIM Μήδοισι] Μήδοις A

ἐξεῖλεν, ἐς Κλαζομενάς τε ἐσέβαλλεν. ἀπὸ μέν νυ τούτων οὐχ ὡς ἤθελεν ἀπήλλαξεν, ἀλλὰ προσπταίσας μεγάλως· ἄλλα δὲ ἔργα ἀπεδέξατο ἐὼν ἐν τῇ ἀρχῇ ἀξιαπηγητότατα τάδε. ἐπολέμησε Μιλησίοισι παραδεξάμενος τὸν πόλεμον ἀπὸ τοῦ πατρός. ἐπελαύνων γὰρ ἐπολιόρκεε τὴν Μίλητον τρόπῳ τοιῷδε. ὅκως μὲν εἴη ἐν τῇ γῇ καρπὸς ἀδρός, τηνικαῦτα ἐσέβαλλε τὴν στρατιήν· ἐστρατεύετο δὲ ὑπὸ συρίγγων τε καὶ πηκτίδων καὶ αὐλοῦ γυναικηίου τε καὶ ἀνδρηίου. ὡς δὲ ἐς τὴν Μιλησίην ἀπίκοιτο, οἰκήματα μὲν τὰ ἐπὶ τῶν ἀγρῶν οὐ κατέβαλλεν οὔτε ἐνεπίμπρη οὔτε θύρας ἀπέσπα, ἔα δὲ κατὰ χώρην ἑστάναι· ὁ δὲ τά τε δένδρεα καὶ τὸν καρπὸν τὸν ἐν τῇ γῇ ὅκως διαφθείρειε, ἀπαλλάσσετο ὀπίσω. τῆς γὰρ θαλάσσης οἱ Μιλήσιοι ἐπεκράτεον ὥστε ἐπέδρης μὴ εἶναι τὸ ἔργον τῇ στρατιῇ. τὰς δὲ οἰκίας οὐ κατέβαλλεν ὁ Λυδὸς τῶνδε εἵνεκα, ὅκως ἐντεῦθεν ὁρμώμενοι τὴν γῆν σπείρειν τε καὶ ἐργάζεσθαι οἱ Μιλήσιοι, αὐτὸς δὲ ἐκείνων ἐργαζομένων ἔχοι τι καὶ σίνεσθαι ἐσβάλλων. ταῦτα ποιέων ἐπολέμεε ἔτεα ια′, ἐν τοῖσι τρώματα μεγάλα διφάσια Μιλησίων ἐγένετο ἔν τε ἐν λιμενηίῳ χώρης τῆς σφετέρης μαχεσαμένων καὶ ἐν Μαιάνδρου πεδίῳ.

473 Γύγου δακτύλιος: ἐπὶ τῶν πολυμηχάνων καὶ πανούργων. Prov.
Γύγης γὰρ βουκόλος ὢν, τῆς γῆς ὑπὸ σεισμοῦ ῥαγείσης, νεκρὸν εὑρὼν φοροῦντα δακτύλιον τοῦτον περιεῖλεν. ὁ δὲ εἶχε φύσιν ὥστε κατὰ τὰς στροφὰς τῆς σφενδόνης ὁρᾶσθαι καὶ μή. δι' αὐτοῦ κτείνας τὸν πρὸ αὐτοῦ ἐβασίλευσεν.

474 Γύης: μέρος ἀρότρου. καὶ παροιμία· Γύης οὐκ ἔνεστ' Δ
αὐτῷ, ἐπὶ τῶν ἔν τινι ἀχρήστων· ἐκ μεταφορᾶς τοῦ ἀρότρου. Prov.

475 Γυλιαύχενας: τοὺς μακροτραχήλους. Ar.

476 Γύλιος: πλέγμα στρατιωτικόν, σκευοφόρον, ἐπίμηκες, εἰς ὀξὺ Ar.
λῆγον πρὸς τὸ μὴ κατάγνυσθαι· ἐν ᾧ κατετίθεντο τυρὸν καὶ ἐλαίας καὶ κρόμυα. ἡ λεγομένη στρατιωτικὴ ὀψοθήκη. ἔστι δὲ καὶ Δ
ζῷον ὁ καλούμενος χοιρογρύλλιος. λέγεται δὲ καὶ ὁ Ἡρακλῆς Ar.
Γύλιος. καὶ Γύλιον, ἀγγεῖον πλεκτόν. Δ

477 Γύλιππος: ὄνομα κύριον. Δ

478 Γύλων· οὗτος αἰτίαν ἔχων ἐπὶ τῇ τοῦ Νυμφαίου τοῦ ἐν Πόντῳ χωρίου προδοσίᾳ ἔφυγεν· ἐλθὼν δὲ εἰς Σκυθίαν ἔγημε. δύο δὲ ἔχων

473 = Diogen. III 99 474 — ἀρότρου = E. M. 242, 22 cf. H Γύης οὐκ sq. cf. Philol. Suppl. 6, 230, n. 28 475 sch. Ar. Pac. 788 476 — σκευοφόρον + πρός—κρόμυα + ἔστι—χοιρογρύλλιος sch. Ar. Pac. 527 cf. sch. Ach. 1097, Harp.; Bk. 228, 29 = Et. M. 244, 21; — λῆγον sch. Ar. Pac. 788 στρατιωτικὴ ὀψοθήκη cf. Ambr. 617 Ἡρακλῆς Γύλιος = H, Ambr. 592 cf. 614 et Et. M. 244, 27; γύλιον sq. = H cf. Ambr. 629 477 = Ambr. 601 cf. Harp. 478 — προδοσίᾳ cf. sch. Aeschin. 3, 171; l. = Ambr. 602, Harp.

472 hinc v. Κλαζομενάς, v. Δ 1289, v. τρώματα 473 Z 456 475 Z 457

1 οὐχ] οὐκ AG 11. 12 ὥστε ἐπέδρης AM Hdt.: ὥστε καὶ ἐνέδρης GI A(GITFVM)
473 post p. 544, 22 V 21 σφενδόνης] ἤγουν τοῦ δακτυλ⟨ίου⟩ ss. V

θυγατέρας ἔπεμψεν εἰς τὴν πατρίδα, ὧν τὴν μὲν μίαν ἔγημε Φιλοχάρης, τὴν δὲ ἑτέραν Κλεόβουλος.

Δ 479 Γυμνασία: ἡ τριβή. ὅτι ἡ διαλεκτικὴ πρὸς τρία ἐστὶ χρήσιμος· Phil. πρὸς γυμνασίαν, πρὸς τὰς ἐντεύξεις, πρὸς τὰς κατὰ φιλοσοφίαν ἐπιστήμας. γυμνασίαν δὲ λέγει ἤτοι τὴν γινομένην ἐν τῷ διαλέγεσθαι πρός τινας· δεχόμενοι γάρ τινα προβλήματα παρὰ τῶν προδιαλεγομένων πειρῶνται τούτοις συμπαρίστασθαι, δι' ἐνδόξων τὰς ἐπιχειρήσεις ποιούμενοι. ἢ γυμνασίαν λέγοι ἂν τὴν εἰς ἑκάτερον μέρος ἐπιχείρησιν. ἦν δὲ σύνηθες τὸ τοιοῦτον εἶδος τῶν λόγων τοῖς ἀρχαίοις, καὶ τὰς συνουσίας τὰς πλείστας τοῦτον ἐποιοῦντο τὸν τρόπον, οὐκ ἐπὶ βιβλίων ὥσπερ νῦν (οὐ γὰρ ἦν τότε τοιαῦτα βιβλία), ἀλλὰ θέσεώς τινος τεθείσης εἰς ταύτην γυμνάζοντες αὐτῶν τὸ πρὸς τὰς ἐπιχειρήσεις εὑρετικὸν ἐπεχείρουν, κατασκευάζοντες καὶ ἀνασκευάζοντες δι' ἐνδόξων τὸ κείμενον. καὶ ἔστι βιβλία τοιαῦτα Ἀριστοτέλει τε καὶ Θεοφράστῳ γεγραμμένα ἔχοντα τὴν εἰς τὰ ἀντικείμενα δι' ἐνδόξων ἐπιχείρησιν. πρὸς δὴ τὴν τοιαύτην γυμνασίαν χρήσιμον εἶναί φησι τὴν διαλεκτικήν· μέθοδον γάρ τινα εὑρετικὴν τῶν ἐπιχειρημάτων ἔχοντες (αὕτη δέ ἐστιν ἡ τῶν τόπων γνῶσις) ῥᾳον ἐπιχειρεῖν δυνησόμεθα. ὡς γὰρ ἐν τοῖς ῥητορικοῖς γυμνάσμασιν οἱ διαιρεῖν δυνάμενοι τὰ προβλήματα καὶ τὴν τάξιν τῶν κεφαλαίων συνορῶντες ῥᾳον ἐπιχειροῦσιν, οὕτω καὶ ἐν τοῖς διαλεκτικοῖς οἱ τὴν μέθοδον εἰδότες ῥᾳον ἐπιχειρημάτων εὐποροῦσι πρὸς τὰ προκείμενα. χρήσιμος δὲ ἡ τοιαύτη γυμνασία, ἡ κατὰ τοὺς λόγους, πρὸς εὕρεσιν τῶν ζητουμένων τε καὶ ἀληθῶν· προπαρασκευάζει γὰρ τὴν ψυχὴν πρὸς φιλοσοφίαν. ὡς γὰρ τὰ τοῦ σώματος γυμνάσια γινόμενα κατὰ τέχνην εὐεξίαν περιποιεῖ τῷ σώματι, οὕτω καὶ τὰ τῆς ψυχῆς ἐν λόγοις γυμνάσια κατὰ μέθοδον γινόμενα τὴν οἰκείαν εὐεξίαν τῆς ψυχῆς περιποιεῖ· οἰκεία δὲ εὐεξία ψυχῆς λογικῆς ἡ δύναμις, καθ' ἣν εὐεξίαν εὑρετική τε τοῦ ἀληθοῦς καὶ κριτικὴ γίνεται. δεύτερον τρόπον τῆς ὠφελείας ἐκτίθεται πρὸς τὰς ἐντεύξεις. ζήτει ἐν τῷ ε στοιχείῳ περὶ ἐντεύξεως.

Σ 480 Γυμνάσια: ἀλειπτήρια, ἢ βαλανεῖα, ἢ λουτρά. τρία γυμνάσια τῆς Ἀττικῆς· Ἀκαδημία, Λύκειον, Κυνόσαργες.

Hesy. 481 Γυμνάσιος, Σιδώνιος, σοφιστὴς, ἐπὶ τῶν Κωνσταντίνου τοῦ βασιλέως χρόνων. ἔγραψε Μελέτας, καὶ εἰς Δημοσθένην ὑπόμνημα καὶ ἄλλα τινά.

479 l. = Ambr. 623 ἡ διαλεκτική—vs. 30 ἐντεύξεις Alex. Aphr. 27,7—28,2
480 — λουτρά = Ba 187,11 cf. Et. M. 242,53 τρία sq. cf. sch. Dem. 24,114

479 init. Z 459. extr. cf. v. ἔντευξις 480 Z 460. τρία sq. cf. v. A 775

A(GITFVM) 1 Φιλοχάρης] Λεωχάρης V Δημοχάρης Meursius 2 Κλεόβουλος] Κλεοβούλην Δημοσθένης P. Wesseling, Probabil. (1731) 255; locus corruptus 10 τοῦτον] τοιοῦτον M 10. 11 βιβλίων] βιβλίῳ A 23. 24 προπαρασκευάζει] προσπαρασκευάζει AI cf. Alex. 30 ζήτει—ἐντεύξεως om. GTF mg. I στοιχείῳ om. IM 33 τῶν] τοῦ A

482 **Γυμνῆται.** ἡ εὐθεῖα ὁ γυμνήτης, καὶ οἱ γυμνῆται. τάξις πεζῶν. Ξενοφῶν· ὁ δὲ Χειρίσοφος ἡγεῖτο τοῦ στρατεύματος λαβὼν E
τὸ ἀμφ' αὐτὸν, τοὺς γυμνήτας ἅπαντας· οὐδεὶς γὰρ κίνδυνος ἐδόκει
εἶναι. καὶ **Γυμνήτης,** ὁ γεγυμνωμένος. ὅς ποτε θυμῷ ἄρσενι Δ Anth.
γυμνήτην ἐξεπόνει βίοτον. λέγεται καὶ **Γυμνής,** γυμνῆτος, ὁπλί- Δ
του. καὶ αὖθις· εἶπόντο δὲ καὶ γυμνῆτες ἐς υ' ἀποκεκριμένοι ὡς E
ὁδοποιεῖν τὰ ἄβατα.

483 **Γυμνητεύω:** γυμνὸς διατελῶ. Δ

484 **Γυμνικοὶ ἀγῶνες·** ὁ δὲ Ἰουλιανὸς ἐν Πέρσαις ὧν γυμνικοὺς E
ἀγῶνας ἦγε. τουτέστιν ὅσους γυμνούς.

485 **Γύμνις:** ὄνομα κύριον. καὶ κλίνεται γύμνιδος. Δ

486 **Γυμνοπαιδεία:** ἡ παλαίστρα. ἢ τοὺς ἐφήβους Λυκοῦργος Δ
ἠνάγκαζε. καὶ **Γυμνοπαίδια,** χοροὶ ἐκ παίδων ἐν Σπάρτῃ τῆς Σ
Λακωνικῆς εἰς θεοὺς ὕμνους ᾄδοντες, εἰς τιμὴν τῶν ἐν Θυραιαῖς
ἀποθανόντων Σπαρτιατῶν. καὶ Ἰώσηπος· τόπος δ' ἐπὶ τῆς πόλεως E
οὐδεὶς γυμνὸς ἦν, ἀλλὰ πᾶς λιμοῦ νεκρὸν εἶχεν ἢ στάσεως.

487 **Γυμνοπόδης:** ὁ ἀνυπόδητος. καὶ **Γυμνοποδῶ,** γυμνὸς βαίνω. Δ

488 **Γυμνορρύπαροι:** οἱ σοφισταί. ἦσαν δὲ περὶ αὐτὸν γυμνορ-
ρύπαροί τινες.

489 **Γυμνὸς** καθεσθεὶς σῶν ὑπεκστῆς πραγμάτων. On.

490 **Γυμνοσοφισταί:** παρὰ Βαβυλωνίοις οἱ φιλόσοφοι, καὶ παρὰ Ἀccυρίοις.

491 **Γυμνότερος Ἰαλέμου:** ὁ Ἴαλεμος ἐπίρρημα θρήνου. τάσσεται Prov.
δὲ ἐπὶ τῶν οἰκτρῶν. καὶ **Γυμνότερος ὑπέρου καὶ λεβηρίδος.**
Ἀριστοφάνης δὲ τυφλότερος. ἔστι δὲ τὸ σῦφαρ καὶ ἔκδυμα τοῦ ὄφεως
καὶ τοῦ τέττιγος, παρὰ τὴν λεπίδα. κυρίως δὲ, ᾧ περιέχεται τὸ ἔμ-
βρυον τοῦ βοός. ἔστι δὲ τοῦτο καὶ τυφλόν· τὰς γὰρ ὀπὰς μόνας
ἔχει τῶν ὀφθαλμῶν. τριχῇ δὲ ἀναγράφουσι τὴν παροιμίαν, τυφλότερος,
κενότερος καὶ γυμνότερος.

482 vs. 2 ὁ—εἶναι Xen. An. 4, 1, 6 γυμνήτης, ὁ γεγυμνωμένος cf. Ambr. 597—8 ὅς—βίοτον Anth. 7, 65, 1—2 γυμνής—ὁπλίτου cf. Ambr. 596 483 = Ambr. 630 484 ὁ—ἦγε fort. Eunap. 486 — παλαίστρα = Ambr. 620 Γυμνοπαίδια—Σπαρτιατῶν Tim. = Sabb. cf. Et. M. 243, 3, Phryn. 57, 19, Bk. 234, 4 τόπος sq. Ios. bell. 6, 369 487 — ἀνυπόδητος = Ambr. 589; γυμνοποδῶ sq. = Ambr. 632 488 ἦσαν sq. Laert. 7, 16 489 Astramps. 491 — οἰκτρῶν = Paroem. ed. Gsf. 33, n. 316 γυμνότερος sec. sq. cf. Zen. II 95, H, Cohn Z. d. P. 8, Ar. fr. 35

482 Z 457 484 cf. v. ἦγεν 486 Z 458. ἢ—ἠνάγκαζε cf. v. Λυκοῦργος 1 490 Z 457 491 cf. v. Ἴαλεμος, v. λεβηρίς, partim hinc; hinc v. σῦφαρ extr. et v. ὑπέρου περίτροφον

1 ἡ—γυμνῆται om. FV Zon. ἔστι (ἔτι I) γὰρ γυμνής, γυμνῆτος καὶ τὸ πλη- A(GITFVM)
θυντικὸν γυμνῆτες mg. add. IM ὁ γυμνήτης] οἱ γυμνῆται A 4 γυμνήτης] γυμνίτις V cf. Ambr. 616 5 γυμνήτην] γυμνίτην FV γυμνής T Ambr.: γυμνῆτος AGIT om. VM 5. 6 ὁπλίτου] οὐχ ὁπλίτου Toup ἅοπλος Ambr. 10 τουτέστιν—γυμνούς om. F verba corrupta ὅσους γυμνούς om. in lac. V 13 Γυμνοπαίδια FVM^{ac} Tim. Sabb.: Γυμνοπόδια rell. 17 γυμνός] τὸ γ. F 18 οἱ—γυμνορρύπαροι om. F ἦσαν—19 τινες om. GIT cf. ad 21 20 καθεσθεὶς IT Astramps.: καθεστῶς AM 21 Γυμνοσοφισταί om. GIT cf. ad 18 24 ὑπέρου καί om. FV λεβηρίδος καὶ ὑπέρου ordine inverso GIT

Prov. 492 Γυμνότερος παττάλου: ἐπὶ τῶν σφόδρα ἀπορωτάτων.

Prov 493 Γυμνῷ φυλακὴν ἐπιτάττεις: ἐπὶ τῶν ἀδυνάτως ἐχόντων

Synt. τὰ προστεταγμένα πληροῦν, διὰ τὰ ἀναγκαῖα. ὅτι τὸ Γυμνῷ μετὰ γενικῆς· μετὰ αἰτιατικῆς δέ, ὡς τό, γυμνώσαντες αὐτὸν ἐξήγαγον ἔξω. καί, γυμνῶν τὰ ἐσφραγισμένα.

ΔΕ 494 Γύνανδρος: κίναιδος. ὁ γύνανδρός τε καὶ μάλθων τύραννος. ἀντὶ τοῦ ἔκλυτος.

Δ 495 Γυναικεία φύσις. Γυναικίας δὲ ἀνὴρ, ὁ θηλυμανὴς, διὰ τοῦ ι. καὶ Γυναικιζόμενος, ὁ θηλυνόμενος.

Ar. 496 Γυναίκισις: ἡ γυναικεία μίμησις. πρὶν τῆς ἑτέρας γυναικίσεως δίκην δοῦναι.

Ε 497 Γυναικοϊέρακες: οἱ περὶ ἔρωτας ἐπτοημένοι. δεινοὶ γὰρ οἱ γυναικοϊέρακες εὐπρεπεῖς αἰτίας εὑρίσκειν ἐς ἄγραν τῶν θηλειῶν.

Hom. 498 Γυναικὸς ἄρ' ἀντιτέτυξο: ἀντὶ τοῦ ἴσος γυναικὶ κατεσκευάσθης. παρ' Ὁμήρῳ.

Prov. 499 Γυναικὸς ὄλεθρος: ἐπὶ τῶν οἰκτρῶς ἀναιρουμένων· παρόσον πολλοὶ δεινῶς ὑπὸ γυναικῶν ἀπώλοντο. καὶ Γυναικὸς πυγή, ἐπὶ τῶν ἀργῶν. ἢ ὅτι χρὴ τὰς γυναῖκας οἴκοι μένειν.

Δ 500 Γυναικωνῖτις: οἰκία τῶν γυναικῶν. γυναικωνῖτιν φάλαγγα

Ε? τῶν εὐνούχων Οὐάλεντος.

Σ 501 Γυναιμανής: ἐπὶ γυναιξὶ μαινόμενος. ὁ ἀκόλαστος. ὦ γύναι.

Prov. 502 Γυνὴ εἰς Ἡρακλέους οὐ φοιτᾷ: πρὸς τοὺς ἀναξίους τῶν πράξεων· παρόσον Ἡρακλῆς ἐδούλευσεν Ὀμφάλῃ. καὶ Γυνὴ στρατηγεῖ καὶ γυνὴ στρατηγεῖται, ἐπὶ τοῦ παραδόξου.

Suid. 503 Γυνὴ μεγάλη· διαβάλλει Ἀριστοφάνης τὸν Παναίτιον μάγειρον, μικροφυῆ ὄντα, ὡς καταλαβόντα τὴν γυναῖκα αὐτοῦ μοιχευομένην· ἐδυναστεύετο γὰρ ὑπ' αὐτῆς μεγάλης οὔσης.

ΣAr. 504 Γύννις: ἀνδρόγυνος, μαλακός. ποδαπὸς ὁ γύννις; τίς

Ε πάτρα; κακὴν σοφίαν μετιὼν καὶ τοὺς ἀθέους Ἐπικούρου λόγους

492 = Diogen. III 98 493 — ἀναγκαῖα cf. Zen. II 98 αἰτιατικῆς—ἔξω = An. Ox. 4, 289, 11 494 ὁ—τύραννος Aelian. fr. 290 495 γυναικίας—θηλυμανής cf. Ps. Herodian. 18; γυναικιζόμενος cf. Ambr. 633 496 Ar. Th 863 c. sch. 498 Θ 163 cum explic. (H et sch. aliter) 499 — ἀπώλοντο cf. Paroem. ed. Gsf. 33, n. 309; γυναικὸς πυγή sq. = ibid. p. 32, n. 303 500 — γυναικῶν cf. H, Ambr. 615 γυναικωνῖτιν sq. cf. FHG 4, 614 501 — ἀκόλαστος = Σ^{a}; — μαινόμενος = Ba 187, 17 cf. sch. Γ 39, Et. M. 243, 44, H 502 — Ὀμφάλῃ = Paroem. ed. Gsf. 32, n. 304; γυνὴ στρατηγεῖ sq. cf. ibid. n. 305 504 — μαλακός = Σ^{a} cf. H, Et. M. 243, 8, Thom. 24, 17 ποδαπός—πάτρα Ar. Th. 136 κακὴν sq. Aelian. fr. 10

494 cf. v. μάλθων 495 Z 460 496 Z 459 497 cf. v. Λογγῖνος 2 500 cf. v. θλαδίας 501 Z 457 503 ex v. Δ 565 cf. v. Παναίτιος 2 504 Z 457. Aelian. cf. v. Δ 6 et v. χλοῦναι

A(GITFVM) 1 παττάλου] γρ. ὑπέρου ss. M; γρ. καὶ ὑπέρου post gl. add. A 3 ὅτι—5 ἐσφραγισμένα om. GTFV post 485 I 7 ἀντὶ τοῦ ἔκλυτος om. FV 9 ὁ om. FVM 14 ἴσος] ἴσως A 17 δεινῶς] δεινὰς A 21 ὦ γύναι om. TFV mg. M; ὅτι αἱ γυναῖκες μάζας. Ἀριστοφάνης· ὥσπερ γυναικὶ γογγύλην μεμαγμένη. καὶ γογγυλίζει· ἀντὶ τοῦ μετατρέφει ex 362 add. mg. A 24 τοῦ] τῆς A 503 om. FV

καὶ γύννιδας ἑπασκῶν κἀκ τῆς ἡδονῆς, ἣν ἐκεῖνος ὕμνει ὁ χλούνης τε καὶ γύννις.

505 Γυῶ· ἐξ οὗ καὶ τὸ, γυώσει μὲν σφῶϊν. Δ

506 Γυπαρίοις: ἀντὶ τοῦ ἐν φωλεοῖς καὶ καλιαῖς καὶ στενοῖς χωρίοις. Ar.
Κράτης δέ φησιν, ὅτι πᾶσαν στενὴν κατάδυσιν γύπας ὠνόμαζον. Ἀριστοφάνης· οἰκοῦντα τοῦτον ἐν πιθάκναις καὶ γυπαρίοις καὶ πυργιδίοις. καὶ Γυπαιετούς. Δ

507 Γυπὸς σκιά: ἐπὶ τῶν μηδενὸς λόγου ἀξίων. Prov.

508 Γύργαθος. καὶ παροιμία· Γύργαθον φυσᾷς, ἐπὶ τῶν Δ Prov.
μάτην πονούντων. Γύργαθος οὖν κλίνη, ἐν ᾗ τοὺς παρέτους καὶ δαιμονιώδεις στροβοῦσι.

509 Γυρίης: περιφεροῦς. ἐπεὶ δὲ λίμνης ἐγγὺς ἦλθον γυρίης. Hom.
καὶ Ὅμηρος· γυρὸς ἐν ὤμοισι, μελανόχροος, οὐλοκάρηνος. περὶ Ὀδυσσέως.

510 Γυρόν: κυρτὸν, στρογγύλον. ἐν Ἐπιγράμμασι· γυρὸν κυανέης Δ
μόλιβον σημάντορα γραμμῆς. Anth.

511 Γυρῶν: περιφερῶν, κεκαμμένων. ἐν Ἐπιγράμμασι· γυρῶν τ' x + Anth.
ἀγκίστρων λαιμοδακεῖς ἀκίδας.

505 γυῶ cf. Ambr. 631; γυώσει sq. Θ 402 506 — πυργιδίοις Ar. Eq. 792—3 c. sch. 507 = Diogen. III 100 508 Γύργαθος pr. = Ambr. 595 γύργαθον—πονούντων = Paroem. ed. Gsf. 32, n. 308 509 — περιφεροῦς cf. sch. τ 246 (ed. Dindorf) ἐπεί—γυρίης Babr. 25, 5 γυρός sq. τ 246 cf. Et. M. 243, 54 510 — στρογγύλον = H cf. cod. Marc. 433 (Rh. Mus. 49, 627), Et. M. 243, 55 cf. sch. τ 246 (ed. Dindorf) γυρόν alt. sq. Anth. 6, 64, 1 511 — περιφερῶν cf. sch. τ 246, Et. M. 243, 55; κεκαμμένων cf. Hes. a Ruhnken. emend. Γυρῶν alt. sq. Anth. 6, 5, 2

505—6 Z 460 509 Z 459 510 Z 458, 460

3 Γυῶ] χωλῶ (debuit χωλῶ), βλάπτω add. F cf. Et. M. 242, 41 σφῶϊν A^{ec}: A(GITFVM) σφῶϊ rell. 5. 6 Ἀριστοφάνης] καὶ Ἀ. FV 508 ex AM 13 ἐν] ἓν M 14 Ὀδυσσέως] Ὀδυσσέος VM cp. I; Ὀ. ἑταίρου (melius κήρυκος Bhd.) Toup. 16 μόλιβον VM Anth.: μόλυβον A μέλλοβον GI